X θεσιφρονῶν, κακολογῶν. ¶ Χθιζά, τὰ χθὲς καὶ πρώην

X θιζὰ καὶ πρωϊζὰ, χθὲς ἐπὶ πρωί. ¶ Χθιζοί, χθεσιναὶ

X θιζός, χθεσινός. ¶ Χθόα, σῶμα. ¶ Χθόνιος, καὶ χθόνιος, γήινος, ἐπίγειος. ¶ Χθόνιος Ζεύς, ὁ ἅδης.

X θόνια, ὑπόγεια κεκρυμμένα, βαρέα, φοβερὰ μεγάλα. ¶ Χθονίην, νεκρικήν. ¶ Χθόνια λουτρὰ τὰ τοῖς νεκροῖς ἐπιφερόμενα, ἐκόμιζον γὰρ ἐπὶ τοὺς τάφους λουτρά

X θονήρεις, χθονίοις. ¶ Χθονίαν λώβαν, ἀντὶ τοῦ μεγάλην ὕβριν, καὶ τὴν χθονὸς λώβην ¶ Χθόνιον μέγα

X θονίους, ἰναχίδας, αὐτόχθονας καὶ οὐκ ἐπήλυδας.

X θονίων, ἐπιγείων ¶ Χθονόπαιδα ὥραν, καθ᾽ ὃ ἐκ τῆς αἱ ὧραι τὰ φυόμενα ὡς ἡμέρα ἡλίου καθ᾽ ἱστορίαν ¶ Χθονός, γῆς ¶ Χθών, ἡ γῆ ἀπὸ τοῦ χεύσεως ¶ Χιάζειν σφηνιάζειν ¶ Χῖαι, ὑποδήματος ἀνδρείου εἶδος

X ιδόν, χλιδὸν, θερμόν ¶ Χιασὶ τίλλειν, ὡς τῶν χίων καταγότων καὶ παραλλομένων. ¶ Χιδὰ, φικτή

X ιδαλέον, τυφλὸν, ἄγαμον πτωχικός. ¶ Χίδαδον τὸ παιδίον. ¶ Χίδαι, ἀντὶ τοῦ κριθῶν ¶ Χιδᾶν χιμάζεσθαι, δειλιᾶν. ¶ Χίδρα, στάχυες νεοχνεῖς, ἢ τὰ ἐξ ὀσπρείων ἄλευρα, ἢ σῖτος νέος φυτευόμενος, ἢ

θῶν ἐφ᾽ ἃ παντὶ ἀπόθον ἐστίν. ¶Χαλεπαίνας, ἀγανακτήσας. ¶Χαλεπὸν, δύσεργον, σκληρὸν, δεινόν.
Χ αλεπήνη, εἰς χαλεπότητα ἀνάγκη. ¶Χαλεπαίνει, ἐρεθίζει, ἀπειλεῖ, φοβεῖ. ἀγανακτεῖ, κακίζει, βλάπτει, εἰς χαλεπότητα ἄγει. ¶Χαλεπότης, χαλεπότης.
Χ αλεπῶς, δυσκόλως. ¶Χαλέσιν, ὄνυξι. ¶Χαλεψάμενος, χολωθείς. ¶Χαλέρυπτρον, τὸ ῥύμμα τὸ ἀπὸ τοῦ νίτρου γενόμενον, ὃ τινὲς νίτρωμα λέγουσι. ¶Χαλία, ἡσυχία. ¶Χαλίδιον, πινάκιον. ¶Χάλικες, οἱ εἰς τὰς οἰκοδομὰς μικροὶ λίθοι. ¶Χαλίκρατον, εὔκρατον. ἄκρατον. ¶Χάλιμος, φαρμακός. ¶Χαλιμάδες, ἀναίσχυντοι καὶ θρασεῖαι. ¶Χαλὶς, ὁ ἄκρατος οἶνος. καὶ ὁ μεμηνὼς ἢ κεχαλασμένος τὰς φρένας.
Χ αλιστὸν, σκαιὸν ἢ ἀπαθὸν καὶ δίκαιον. ¶Χαλίφρονας, παράφρονας, μαινομένας, βέλτιον δὲ τὰς καταφερεῖς καὶ κεχαλασμένας πρὸς συνουσίαν ὑφ᾽ ἡδονῆς.
Χ αλιφροσύνη, ἡ τῆς ψυχῆς ἄνεσις. ¶Χαλίφρων, κεχαλασμένας ἔχων τὰς φρένας. ἤγουν ἀσύνετος.
Χ άλκεα, τὰ ὅπλα συνήθως καὶ τὰ ἐκ σιδήρου. χάλκεα ἐπίσσωτρα τὰ ἔξωθεν τῶν τροχῶν οἱ κανθοί. ¶Χαλκέγχεων, πολεμιστῶν. ¶Χαλκεῖα, ὑπομνήματα τῆς τῶν τεχνῶν εὑρέσεως. ¶Χάλκε᾽ ἐπίσσωτρα ὁμοίως.
Χ άλκεον, ὀχυρόν. σκληρόν. ἄλλοι ὕπνον ἢ θάνατον.
Χ άλκεος, ἰσχυρός. ¶Χάλκεος κέραμος. εἱρκτὴ. πίθος καὶ ὅρος. ¶Χαλκεόφωνον, ἰσχυρόφωνον. ¶Χαλκεὺς, πᾶς τεχνίτης, καὶ ὁ ἀργυροκόπος ἢ ὁ χρυσοχόος.
Χ αλκεῶνα. χαλκεῖον ἐν ᾧ τοὺς κοττάβους ἐποιοῦντο.
Χ άλκη, πορφύρα. ¶Χαλκηδὼν, πόλις. ¶Χαλκῆ μυῖα, εἶδος παιδιᾶς. ¶Χαλκήρεα, χαλκῷ ἀραρότα.
Χ αλκηρέας, χαλκῷ ἡρμοσμένοις. ¶Χαλκήρη, χαλκῷ ἡρμοσμένα. ¶Χαλκόστομα, χαλκία κύμβαλα.
Χ αλκίδαι, γένος. ¶Χαλκιδεὺς, δηλός. ¶Χαλκιδικὴ, σκυθικὴ. τὰ μέταλλα τοῦ σιδήρου, ἐκεῖ πρῶτον εὑρεθέντα. ¶Χαλκιδίζειν, ἀπὸ τῶν κατ᾽ εὔβοιαν χαλκιδέων. τίθεται δὲ καὶ ἐπὶ τῶν παιδεραστούντων. ἐπεὶ ἐπολεόναζον παρ᾽ αὐτοῖς οἱ παιδικοὶ ἔρωτες. ¶Χαλκιδικὸν δίωγμα, διότι εἰς χαλκίδα ἐγένετο ἡ ἐκδίωξις.
Χ αλκιδικὸς λιμὼν, οἱ μὲν τὴν κυκλωπίαν κώμην, οἱ δὲ κύκλωπος λίμνην. ¶Χαλκιδικὸς, εἶδος ἀλεκτρυόνος. ¶Χαλκίνασς, χαλκίοικος. ¶Χαλκίνδα, τὸ εἰς χαλκὸν κυβεύειν. ¶Χαλκίον, τὸ χαλκοῦν.
Χ αλκίον, μακρὸν τὴν ἐλασμὰν ἐπίχυσιν. ¶Χαλκὶς εἶδος ὀρνέου καὶ ἰχθύος, καὶ πόλις τῆς βοιωτίας. ¶Χαλκοβάρεα, ἰσχυρά, ἢ ἐκ τοῦ χαλκοῦ βαρεῖα. ¶Χαλκοβαρὴς, ὁ ἐκ τοῦ σιδήρου βαρούμενος. ¶Χαλκοβατὲς, τὸ ἰσχυρῶς βεβηκός. ¶Χαλκόβατον, ἰσχυρῶς βεβηκότα.
Χ αλκογλώχινος, χαλκῆν ἐπιδορατίδα ἐχούσης.
Χ αλκηδόνη ταύτης ἱερὸν ἐν σπάρτῃ. ¶Χαλκοδαμάντωρ, χαλκόδρεμος, ἐπεὶ ὅπλιστα λέγεται δὲ καὶ χαλκοδαμάντωρ. ¶Χαλκοκορυσταὶ, χαλκῷ καθωπλισμένοι. ¶Χαλκοκνήμιδες, οἷς σιδηρᾶ ἦσαν, ἢ χαλκαῖ αἱ κνῆμαι. ¶Χαλκοκορυστόν, χαλκῷ ὡπλισμένον.
Χ αλκόκρας, τὸ χαλκόκροτον νόμισμα. ¶Χαλκόκροτος, ἡ ῥέα διὰ τὰ κύμβαλα. ¶Χαλκολογεῖν, νομίσματα συλλέγειν. ¶Χαλκόλοφον, ἱπποχαίτην, τὸ ἐπικνάστημα τῆς περικεφαλαίας, ἢ δὲ ἱππείων τρι

χῶν κεκόσμηται. ¶Χαλκὸς, ὁ σίδηρος καὶ νόμος ἀκίνητος. ¶Χαλκοπαρεῖος, χαλκᾶς παρειὰς ἐχούσης.
Χ αλκόποδας, ἰσχυρόποδας. ¶Χαλκοῦν, πινάκιον, ἀθηναῖοι εἶχον ἕκαστος πινάκιον πύξινον ἐπιγεγραμμένον τὸ ὄνομα τοῦ αὐτοῦ καὶ τοῦ δήμου παρ᾽ ὃ θηρ. ¶Χαλκοτύποις, χαλκοπλήκτοις. ¶Χαλκοῦς, τὸ παρ᾽ ἡμῖν τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου ἔλεγον. ¶Χαλκοχιτώνων χαλκοθωράκων, ἢ ἰσχυροθωράκων. ¶Χαλκόδοντας στόλοις. χαλκοῖς ὀδόντας ἔχοντας. ὀδόντας δὲ ἔλεγον τὰ ἔμβολα. ἃ τινὲς ἐμβόλια. ¶Χαλκόνωτος, ἠγγερασμένος. ¶Χαλκοτύρα, κέραμός τις.
Χ άλυβοι, ἔθνος τῆς σκυθίας, ὅπου σίδηρος γίνεται.
Χ αλυβδικὴ, τῆς σκυθίας, ὅπου σιδήρου μέταλλα.
Χ αλυβώνιος, εἶδος οἴνου ἀπὸ τόπου τινὸς τῆς συρίας.
Χ ελωνέοντα, λύραις. ¶Χελώνη κιθάρα, ἀπὸ τῶν ὀστράκων χελώνης ἡ κιθάρα γίνεται. ¶Χαλῶσα, χάσκουσα.
Χ αμαδύται, κοχλίαι. Χάμαζε, χαμαὶ, χαμάδις χαμάδις, τὰ αὐτά. ¶Χαμαιδὶς, χαμαὶ χεῖν καταβάλλειν. ¶Χαμαιευνάδες, οἱ σύες ἀπὸ τοῦ παρακολουθοῦντος αὐτοῖς. πολλὰ γὰρ τῶν ἄλλων τετραπόδων ὀρθὰ κοιμᾶται καὶ ἑστῶτα. ἀππίων δὲ ὅτι βόθρους ὀρύσσει, ὃ οἱ χαμαὶ κοιτῶντες. ¶Χαμεῶνας, στίαρ, ἢ τὰ ἐκ στέατος τικτόμενα. ¶Χαμαίζηλα, ταπεινὰ ξύλινα.
Χ αμαίζηλοι εὐτελεῖς. ¶Χαμαιλέων, ζῷον ᾠοτόκον καὶ πεζόν. ¶Χαμαιπετεῖ, ταπεινῷ ἢ χαμαὶ κειμένῳ.
Χ αμαιπετῶς, ὅς τε μὴ εἰς τοὔδαφος ῥίπτεται. ¶Χαμερπῶς, χαμαιζήλως, ἢ εἰς τὰ γήϊνα ῥέπων. ¶Χαμαιτύπη, πόρνη ἄδοξος. ¶Χαμαιτυπιῶν, τῶν πλουσίων συνουσιῶν, ὅτοι πορνειῶν. ¶Χαμερπὴς, γεωργὸς, ὁ ἐν τῇ γῇ κοιμώμενος. ¶Χαμετυρὶς, ἡ πόρνη. ¶Χαμευνὰ, ταπεινά. ¶Χαμευνεῖ χαμαικοιτεῖ. ¶Χαμεύνη, στιβὰς, καὶ ἡ ταπεινὴ κλινίς. καὶ χαμεύνιος ὁ χαμαὶ κοιμώμενος. ¶Χαμεύνιον, κλινίδιον πενιχρόν. ¶Χαμηλὸν, χαμαίζηλον. ¶Χαμόθεν ἐκ τῶν χαμαί. ¶Χαμοκοίτης, ὁ εἰς τὴν γῆν κοιμώμενος. ¶Χαμὸν, καμπύλον. ¶Χανὰ, κόσμησις.
Χ * αναβὶς, ἅλως. ¶Χάναι, ἀνοῖξαι στόμα. ¶Χαναάμ. σάλος. ¶Χανακὲς, ἐπιεικές. ¶Χανάκτιον, τὸ μωρὸν διωξεῖς. ¶Χαμᾶσθαι, χασμᾶσθαι.
Χ ανδάνειν χωρεῖν. δέχεσθαι. ¶Χανδὸν, πολὺν καὶ ὅσον δυνατὸν καὶ ἀθρόως ἀπὸ τοῦ κεχηνέναι πλατύ. ¶Χανδὸν πιεῖν κεχηνότας καὶ ἀθρόως πιεῖν ὅλῳ στόματι.
Χ ανεῖ, φυλάσσει, ἀνοίγει. ἀπαγγελεῖ. ¶Χανηδὸς, τὸ ἐπὶ τὴν ἅμαξαν ἐπιτιθέμενον πλέγμα. ¶Χάνοι, χάσμα ποιήσοι. ¶Χάνοι εὐρεῖα χθὼν, εὐρὺ χάσμα ποιήσειεν ἡ γῆ. ¶Χάνοιμι, εἴποιμι. ¶Χανὼν, στόμα, ἀνοίγων στόμα. ¶Χανύειν, βοᾶν. ¶Χανύσει, βίᾳ καλεῖ.
Χ άος, χώρησις, καὶ τὸ κενὸν ἀπὸ τοῦ κεχύσθαι. ὁ σκότος. ¶Χαρὰ, ἡδονὴ, ἀγαλλίασις, εὐφροσύνη.
Χ αράβδη, λίμνη σίτου. ¶Χαράδρα, χείμαρρος ποταμὸς, κατάγει δὲ οὗτος παντοῖα ἐν τῷ ῥεύματι, καὶ κατασύρει. ¶Χαράδραι, αἱ χαράξεις τοῦ ἐδάφους, καὶ οἱ κοῖλοι τόποι ἀπὸ τῶν καταφερομένων ὀμβρίων ὑδάτων. ¶Χαραδριὸς, εἶδος ὀρνέου.
Χ άρακες, τάφροι, καὶ ἀκανθώδη φυτά. καὶ οἱ κάλαμοι.
Χ αρακέαι. οἱ ἐν τοῖς χάραξι διατρίβοντες.

Φ υροῖ, μολύνει, ῥυποῖ. ¶ Φιρακές, ἐλαφροί.

Φ ύρσαι, μολύνω. ¶ Φυρτήτης. οἶνος. ¶ Φυρτίζεσθαι τὸ παίζειν συνεσχαμμένοις φυροῖς τοῖς ἱματίοις.

Φ υρτοῖσιν, εἰκαίοις, συμπεφυραμένοις, οἱ δὲ ἄλφιτα οἴνω διαλυμένα. συμπεφυρμένοις. ¶ Φὺς, γεννηθείς, βλαστήσας. ¶ Φύσα, φαρέτρα καὶ ἰχθῦς ποιὸς ἐν τῷ νείλῳ γενόμενος. οἱ δὲ τὸ πνεῦμα καὶ ὁ ἀὴρ, ἢ ἀσκός.

Φ ύσα, τὰ πνευματώδη, ἐσπέρτηται. ¶ Φυσακτὴρ, ἀργὸς ποιός τις ποπανώδης. ¶ Φυσαλλίδες, φυσητήρια. αὐλοί.

Φ ύσας, γεννήσας, ἢ τοὺς ἀσκοὺς πληρώσας. ¶ Φύσασθαι, γεννῆσαι. ¶ Φυσητὸς, συρμὸς, φύσει δὲ σκληρόν.

Φ ύσει, βλαστήσει, ἀληθῶς φύει. ¶ Φυσητὴρ, ὁ τῶν κητωδῶν ἰχθύων αὐλός. ¶ Φύσιγγες, εἶδος σκορόδου, ἄλλοι δὲ σκορόδων κεφαλίδας, καὶ οἱ πρόβολοι τῶν ὀρνίθων. καὶ τὰ ἐν ταῖς κνήμαις ἐγκαύματα. ¶ Φυσίζωος, πρὸς τὸ ζῆν φύουσα. ¶ Φυσικῇ, ποιότητι.

Φ υσίωσις ἔπαρσις, ὑψηλοφροσύνη. ¶ Φυσιολογεῖ, περὶ φύσεως διαλέγεται. ¶ Φυσιολογία, λόγοι φύσεως ἐξαγγελτικοί. ¶ Φύσιον, τὸ κανθήλιον. ¶ Φυσιούμεθα, ἐπαιρόμεθα, τυφούμεθα. ¶ Φυσιόων, φυσιῶν, ἀσθμαίνων, πνευστιῶν. ¶ Φύσις, γένος, οὐσία, προαίρεσις. ¶ Φυσίφρονες, πεφυσημένοι τὰς φρένας μάταιοι. ¶ Φυσιῶν, ἀέρων παχύς. ¶ Φύσκη, κοιλία καὶ τὸ παχὺ ἔντερον. ¶ Φύστη μάζα ἄτεχνος.

Φ υταλιαῖς, κήποις, ἢ ταῖς γονίμαις καὶ φυτευτικαῖς.

Φ υταλίδαι, γένος παρὰ ἀθηναίοις. ¶ Φυταλίζειν, φυτεύειν, πληθύνειν. ¶ Φυταλιῆς. κήπου δενδροφόρου γῆς. ¶ Φυταλίμοις, φυτευτικοῖς γονίμοις.

Φ υτάλμιος ζεὺς, συγγενὴς, ἢ ζωογόνος. ¶ Φυτεύει, κατασκευάζει, γεννᾷ. ¶ Φυτηκόμος. σύνδενδρος τόπος.

Φ ύτιος, ἥλιος, ἢ ζεύς. ¶ Φύτλη. γέννα, γένεσις, γένος.

Φ ύτορες. γεννήτορες. ¶ Φυτοσμῶν, φευγόντων. ¶ Φυτοῦ. φύματος. ¶ Φύτρα, φύσις οἱ δὲ φυτήρια.

Φ ῦ. χειρί. ἐμπεφυκότως λίξοις* τῇ χειρί. ¶ Φύονται, γεννῶνται. ¶ Φυῶς, φύσει. ¶ Φῶ. εἴπω.

Φ ώγειν, φρύγειν. ¶ Φῷδες, φωΐδες, τὰ ὑπὸ πυρὸς ἐν σώματι γινόμενα ἐκ φυσήματος. οἱ δὲ τὰς φλυκταίνας. ¶ Φώκη, ζῶον θαλάσσιον. ¶ Φωκαῖς ὄνομα ἔθνους καὶ τὸ κάκιστον χρυσίον. ¶ Φωκίων, ὄρνις ποιός. ¶ Φῶκος. κῆτος θαλάσσιον ὅμοιον δελφῖνι.

Φ ωλάδες, ἐμφωλεύουσαι. ¶ Φωλάδην, ἐμφωλεύουσαν.

Φ ωλάζει, ἐμφωλεύει. ¶ Φωλαΐδες, ὀστράκινα, τινὰ βρωμώδη. ¶ Φωλεὸν, διδασκαλεῖον, ἢ οὗ τὰ θηρία κοιμᾶται ἢ οὗ χορεύουσι καὶ διδάσκουσιν, οἱ δὲ σπήλαιον.

Φ ωλεύει, οἰκουρεῖ, κρύπτει. ¶ Φωλητηρίοις, φωλητήρια καὶ φωλεαὶ τῶν θηρίων καὶ ζώων οἶκοι. ¶ Φωλητὴρ, ὁ ἐν τῷ αὐτῷ τόπῳ καθεζόμενος ἀεί. ¶ Φωλὶς, ἰχθῦς ποιός. ¶ Φῶμεν. εἴπωμεν. ¶ Φωνασκεῖ φωνὴν ἀποτελεῖ. ἢ φωνῆς ἐπιτελεῖ. ¶ Φωνεῖ, λέγει. ¶ Φωνὴ, ἡ τοῦ ἀνθρώπου. ¶ Φωνήεις, λαλῆσαι δυνάμενος. ¶ Φωνήσας, εἰπὼν, λέξας.

Φ ωνεῖ λαλεῖ, λέγει. ¶ Φῶντα, λάμποντα. ¶ Φὼρ καὶ φῶρας, κλέπτας λῃστὰς κατασκόπους. ¶ Φωρὰ, κλοπή. ¶ Φωρᾷ, ζητεῖ. ¶ Φωραθεὶς, εὑρεθεὶς φανείς.

Φ ωραθῆναι, γνωσθῆναι, λεχθῆναι. ¶ Φωρᾶν. τὸ τὰ κλεψιμαῖα ζητεῖν, καὶ φωρεύειν. φώραι δὲ τὴν ἔρευναν.

Φ ωράσαντες, εὑρόντες τὰ κακά. ¶ Φωράσας, ἐλέγξας. ¶ Φωρᾶσθαι, ἐλεγχθήσεσθαι. ¶ Φωριαμὸς, κιβωτός. καὶ φωριάμων. ¶ Φωρίον, κλέμμα, καὶ θρόνου εἶδος. ¶ Φώριος, εἶδος μελίσσης. ¶ Φῶρος, κατάσκοπος. ¶ Φωρυτὸν, συρφετὸν, ἢ φρυγάνων σωρὸς ἢ βόρβορος καὶ ἀκαθαρσία. καὶ χόρτος ἐπὶ γῆς.

Φ ῶς, τὸ ὁρώμενον τὸ παρὰ τοῦ θεοῦ δημιουργηθὲν, καὶ τὸ πῦρ καὶ ἡ χαρά. ὀξυτόνως δὲ ὁ ἄνθρωπος. ¶ Φῶσαι φῶξαι, φρύξαι, θάλψαι. ¶ Φώσκει, διαφαίνει.

Φ ωστὴρ, θυρίς. ¶ Φωσφορία, ἑορτή. ¶ Φωσφόρος, φωτοδότης. λαμπρὸς ἀστήρ. ¶ Φώσσων, τὸ λινοῦν ἄρμενον. ¶ Φῶτα, ἄνθρωποι, ἢ ὄμματα καὶ θυρίδες.

Φ ωταγωγὰς, ὁ τὸ φῶς φέρων. ¶ Φῶτας, ἄνδρας ἀνθρώπους. ¶ Φῶτας ἐννέα, ἄνδρας ἐννέα.

Φ ῶτε, ἄνδρε δυϊκῶς. ¶ Φωτὶ, ἀνδρί. ¶ Φῶτες, ἄνθρωποι ἄνδρες. ¶ Φωτεύει. γεννᾷ. ¶ Φωτία, λαμπρία καὶ ὄμματα. ¶ Φῶτιγξ, αὐγὴ, σύριγξ. φλόγιος αὐλὸς. ὡς εἶδος σάλπιγγος. ¶ Φώτιον, προσφιλὲς ἡδύ.

Φ ωτισμὸς, αὐγὴ, τηλαυγές. καταυγάζομαι. ¶ Φωτολόγιον, τυφλὸν νεκρόν. ¶ Φωτῶν, ἀνδρῶν, φωτὸς, ἀνδρός. ¶ Φωτὸς, ἡμέρας. ¶ Φώψ, φάος.

ΑΡΧΗ ΤΟΥ Χ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Χ ΜΕΤΑ ΤΟΥ Α.

Χ Αβὸν, καμπύλον, στενόν. ¶ Χαβῶνες, σιτία ὀπτώμενα ὑπὸ ἀλεύρου. ¶ Χαδέειν χωρῆσαι.

Χ άδεν. ἐχώρησεν. ¶ Χάζει, προσδεῖται, χαλᾶται.

Χ άζειν, ἀναχωρεῖν, φυλάσσεσθαι. ¶ Χάζεο τῆλε, ἀναχώρει μακράν. ¶ Χάζεσθαι, ὑποχωρεῖν.

Χ άζεται, ἀναχωρεῖ. ¶ Χάζευ, ἀναχώρει.

Χ αζόμενον, ἀναχωροῦντα. ¶ Χαιὰ, ἀγαθή.

Χ αίνας, στέαρ. ¶ Χαίνει. ἀνοίγει τὸ στόμα.

Χ αιὸς, ἀγαθός. ¶ Χαίρετε, θαρρεῖτε. ¶ Χαίρειν, ἐρρῶσθαι, τὸ χαίρειν ταῖς ἐπιστολαῖς προστιθέασιν. ἔστι δὲ καὶ ἀπαλλασσομένων προσαγόρευσις. χαίρειν ἐᾶσαι καταφρονεῖν. ¶ Χαίρειν φράσαντες, ἀποταξάμενοι

Χ αιρέτω λήρων, ἐρρύσθω. ¶ Χαιρηδόνα, τὴν χαράν. ¶ Χαιροσύνη, χαρά. ¶ Χαιρωθῆναι, ἐκπλαγῆναι. ¶ Χαῖται, αἱ κεχυμέναι τρίχες. ¶ Χαιτήεντος, κομήτου. ¶ Χαίτη, ἡ ἐπὶ τοῦ τραχήλου θρίξ.

Χ αλαβεῖν, φοβεῖν, θορυβεῖν. ¶ Χαλᾷ, χαλάσει, καὶ πόδα. ¶ Χολάδες, τὰ ἔντερα, ἢ λιθώδεις.

Χ αλάδες, λιθώδεις ἐξέντερος. ¶ Χάλανδρον, κράββατον. ¶ Χάλαζα, σημεῖον θυτικὸν καὶ πάθος ἐπὶ τὰς σῦς. ¶ Χαλεπαίνει, δυσχεραίνει, ἀγανακτεῖ. ¶ Χαλαίρυπος. ὁ τῶν πλυνομένων ἱματίων ῥύπος.

Χ αλάρα, ἄλυσις. ¶ Χαλάμβειοι, ἵπποι ἀπὸ τόπου τῆς λιβύης. ¶ Χαλαργοὺς, τὰ ἄκρα τῶν ποδῶν τῶν ὀνύχων, οἷον ποδαργοὺς, ἢ ταχύποδας. ¶ Χαλαρῶν, ὡραίων.

Χ αλαστραίων στομῶν, πόλις τῆς μακεδονίας καὶ λίμνη, ἔνθα τὸ χαλαστραῖον νίτρον γίνεται. ¶ Χαλδαῖοι, γένος μάγων πάντα γινωσκόντων. ¶ Χαλεπὰ τὰ καλὰ, σόλωνά φασι τὰ περὶ τὸν περίανδρον πυθόμενον εἰπεῖν. χαλεπὰ τὰ καλὰ, καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν. ἔνιοι δὲ τὸ χαλεπὸν ἀκούουσιν ἐπὶ τοῦ ἀδυνάτου, ἀδύνατον τὸ

κύματος. ¶ Φρίκες, χέρακες. ¶ Φρίκη, ψύχος, τρόμος. ¶ Φρικνόν, φρικαλέον, δεινὸν, φοβερόν.

Φρικὸν, φρικῶδες, φοβερὸν, πάνυ δεινόν. ¶ Φρικωδέστερον, φοβερώτερον. ¶ Φριμάσσεται, σκιρτᾶ, ἐπιχειρεῖται. ¶ Φρυᾶται. βεβρυμμένη. ¶ Φρὶξ, ἡ ἐπιπολῆς ἀνωμαλία τοῦ κύματος. ἢ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρὸς ὅταν ἄρχηται ἄνεμος πνεῖν. ¶ Φρίξας, ὑπὸ λόφῳ σκώμματι, ἀντὶ τοῦ αὐχμῇ ἄρτιος. ¶ Φρῖξαν ἔθειραν, ὀρθὴν ἔστησαν τὴν θρίχα. ¶ Φριξόλοφος, ὀρθοχαίτης. ¶ Φρίσσει, διεγείρεται, ἐξορθοῦται, δέδοικε, τρέμει.

Φρίσσει νῶτον, τὰς τρίχας ὀρθοῖ τοῦ νώτου, ἤγουν ἐγείρει.

Φρίσσει, φοβεῖται, δέδοικεν. ¶ Φροίμια. προοίμια, προρρήσεις ἀττικοί. ¶ Φρόκλος, περίπολος. ¶ Φρονεῖν, νοεῖν, διανοεῖσθαι. ¶ Φρονέω, φρονῶ, διανοοῦμαι.

Φρονέων, φρονῶν, διανοούμενος. ¶ Φρόνημα, βούλημα, θέλημα. ¶ Φρόνιμος, σοφὸς, διανοητής. ¶ Φρονηματισθεὶς, ἐπαρθεὶς τῷ φρονήματι. ¶ Φρόνιν, φρόνησιν τὴν καταφρόνησιν, ἐκδοτέον οὐ τὴν λέξιν ὥς τινες.

Φρόνις, φρόνησις, βουλὴ, διάνοια. ¶ Φρόνησις ἀκριβὴς, νοῦς πράττων καλῶς. ¶ Φροντίζει, μεριμνᾷ.

Φρόντις, ὄνομα τοῦ κυβερνήτου μενελάου, φρόντιν ὀνητορίδην.

Φροντισταὶ, φιλόσοφοι. ¶ Φροντιστήριον, διατριβὴ, καὶ τὸ οἴκημα σωκράτους καὶ τὸ σχολίον, καὶ μοναστήριον.

Φρονῶ, σωφρονῶ. ¶ Φροῦδα, ἀφανῆ. ἄφαντα, φρυγανώδη. ¶ Φροῦδος, πρόοδος δὲ οὗ τὸ οὐκ ἔρχεσθαι δηλοῦται. ὁ δὲ ἐληλυθὼς, ἔκδημος. ἀφανής. ¶ Φροῦδον ἄρδην. παντελῶς ἀφανὲς ὂν κεχωρηκὸς ἔρημον.

Φρουρὰ, φυλακὴ, στρατός. ¶ Φρουρεῖ, φυλάττει, ὁ προφυλάττει. ¶ Φρούριον, προφύλαγμα, προφυλακτήριον. ¶ Φρουρὸς. φύλαξ, σωματοφύλαξ.

Φρύαγμα, ἔπαρσις, μετεωρισμα, ὑπερηφάνεια.

Φρυάσσεται, ἐπιχειρεῖται, μεγαλοφρονεῖ, γαυριᾷ φρυάττεται. ἐπαίρεται. ¶ Φρύγανα, ὕλη λεπτὴ καὶ ξηρά.

Φρύγετρον, ξυλίδιον ᾧ κινοῦσι τὰς πεφρυγμένας κριθάς. ¶ Φρυγία, ἡ φρύγωσις. ¶ Φρυγίνδα, παιδιᾶς εἶδος διὰ κυάμων. ¶ Φρύγιον, ξύλον ξηρόν.

Φρύγιον, ἰσόρκησον πέπαιχεν ἐπίχαρμος ἐν κωμασταῖς ἢ πικευόμενος. ¶ Φρύγιος, ξηρός.

Φρυκτὰ, ξηρὰ, ἰχθύδια εὐτελῆ. ¶ Φρυκτὸς, μάντις. κλῆρος σύμβουλος πυρσός. ¶ Φρυκτὸς δελφίς. κλῆρος, ἐχρῶντο δὲ τοῖς κλήροις μαντευόμενοι ἐν ὀλυμπίᾳ. ¶ Φρυκτωρία, πυρκαϊὰ πυρσεία. λαμπάς. καῦσις. ¶ Φρυνίχου πάλαισμα, ἐκφεύγειν τὰ φρυνίχου κακά. ¶ Φρύνος, βάτραχος ἢ παχύς.

Φρυνώνδας, πονηρούς. ¶ Φρὺξ, ἡ ἀπὸ φρυγίας ἐθνικόν. ¶ Φρουρεῖ. στρατεύεται. ¶ Φρυγὰ, ὁ φυγὴ, τροπὴ εἰς φυγάς. ¶ Φρεῶν. ἢ φρονίμων γυναικῶν.

Φῦ, ἔφυ, ἐφύτευε. ¶ Φυγὰς, ἐξορίας.

Φῦσις, φύσει. ¶ Φυγεῖν, φεύξειν. ¶ Φρυγμὸν, καῦσιν. ¶ Φυγόσκειν, φεύγειν. ¶ Φύει, γεννᾷ.

Φύεσθαι, βλαστάνειν. ¶ Φύζα, φυγὴ φόβος, ἀθυμία. δειλία. ¶ Φυζακινὴ, δειλή. ¶ Φυζακινὸς, δειλός. ¶ Φυγὰς, δειλός. ¶ Φυζάναι, φυγεῖν δειλιάσαι. ¶ Φύζηλος, δειλὸς φυγάς. ¶ Φυὴ, φύσις σώματος ἡλικία. ¶ Φύημα, κόπρος. ¶ Φυὴ, φύσεως, καὶ ἡ τοῦ σώματος ὑπόστασις. ¶ Φυκαρχέτλια, οὐκ ἀνικτά. ¶ Φῦκος, εἶδος κομμωτικὸν γυναικεῖον. ¶ Φυκία, θαλάττια βρύα. ¶ Φυκιόεν, φυκία ἔχον, ὅ ἐστι πορφύρεον βαθύ. ¶ Φυκιοχαίτην. τὰ φαροχαίτην. ¶ Φυκὸς, τὸ προσβρασσόμενον ἀπὸ τῆς θαλάσσης τῇ γῇ, ὅπερ ἔνιοι καὶ πράσον καλοῦσι, καὶ ἀκρωτήριον λιβύης, ὁ βρύα, ἡ φλακτά. ¶ Φυκτὰ, φευκτά.

Φυκτῆρες, φύλακες. ¶ Φυλιστιείμ, πίπτων πόματι, ἤγουν μέθῃ. ¶ Φυκοῦντα, φυκοῦς ἀκρωτήριον περὶ τὴν ἀρχὴν τῆς λιβύης, καὶ πολίχνιον ὁμώνυμον. ¶ Φυλάδε ἡ ἑκάτη. ¶ Φῦλα, ἔθνη, συγγενικὰ γένη. ¶ Φῦλα θεοῦ ἔθνη θεοῦ. ¶ Φυλακὴ, φρουρὰ εἱρκτή. τήρησις ἐντολῶν. πόλις θεσσαλίας περιοξυτόνως, ὀξυτόνως δὲ ἀγρυπνία.

Φύλαξ, φυλακτήρ. ¶ Φυλακτῆρες, φύλακες.

Φυλακτηρεία, παννυχίς. ¶ Φυλαρχία, τιμή τις.

Φύλαρχος, φυλῆς ἄρχων. ¶ Φύλαρχον. χορηγόν.

Φυλὰς, τὰς κατοικίας. ἀπογραφήσεις καὶ τὰ πέραποδα.

Φυλάσιοι, οἱ ἐκ τοῦ δήμου. καλεῖται δὲ οὕτω καὶ φυλήτης.

Φυλάσσειν, ἐπιτηρεῖν ἄλλοι δῶμα φυλασσέμεναι.

Φ * υλακὸς, ὁ λέξις παρὰ βλαίσῳ σημαίνει δὲ ᾠδήν.

Φυλέτης, ἐκ τῆς φυλῆς ὁ ὢν ὁμόψυχος.

Φυλείδης, φυλέως παῖς ὁ μέγης. ¶ Φυλίης, φυλία ἐστὶ εἶδος ἀγριελαίας. ἄλλοι συκῆς. οἱ δὲ εἶδος δένδρου ὅμοιον πρίνῳ. ¶ Φυλὴ, τόπος τῆς ἀττικῆς οὕτω λεγόμενος. ¶ Φυλίη, ἀγριελαία. ¶ Φυλὴ, τάγμα μέρος πόλεως. ¶ Φύλλα, τὰ τῶν δένδρων.

Φυλλάδες, οἱ ξηροὶ κλάδοι καὶ φύλλα ἔχοντες.

Φυλλὰς, ξηρὰ δάφνη ἔχουσα φύλλα. ¶ Φύλλια, τὰ τῶν λαχάνων ἃ προστιθέασι τοῖς ὠνουμένοις ἄιολα τὰ φαῦλα. ¶ Φυλλιᾶν, τοπάζειν. ¶ Φυλλιάς. ἐκ λαχάνων. ὑπότριμμά τι σκευαζόμενον, ἐκαλεῖτο δὲ θεία φυλλίας δὲ, γένος ἰθακηνῶν. ¶ Φύλλιον, πέταλον, ἢ τὰ ἐκ τῆς γῆς ἄνθη. ¶ Φυλλεῖν, ἀδολεσχεῖν.

Φύλλεις, ἀλώπεκες. ¶ Φυλλίδες, τὰ τῶν ἀνθέων ἅ τινα φύλλα ἐκάλουν. ¶ Φυλλῖναι, ἀγῶνες, ἐν οἷς μὴ ἔστι θετὸν ἀργύριον, ἀλλὰ στέφανοι μόνοι καὶ εἶδός τι, κυκεών.

Φυλλὶς, ἡ στέμος τὸ πάλαι. ¶ Φυλοβασιλεῖς, ἐκ τῶν φυλῶν αἱρετοὶ, οἱ τὰς θυσίας ἐπιτελοῦντες. ¶ Φυλοκρινεῖν, τὰς φυλὰς διακρίνειν. ¶ Φυλοκρίνομαι, ἐν τῇ φυλῇ διακρίνομαι. ¶ Φῦλον, ἔθνος. γένος.

Φύλοπις, πόλεμος, μάχη. ¶ Φῦμα, ψώρα, ὁ ἕτερον φῦμα. ¶ Φύματα, ψυδράκια ψῶραι. ¶ Φύντων, γεννηθέντων. ¶ Φῦξαι, φύξιν. φυγεῖν. ¶ Φύξηλιν, φυγάδα, δειλόν. φυγοπόλεμον. ¶ Φυξήλιδες, δειλούς.

Φυξήλιον, φυγαδικὸν βίον. ¶ Φυξή. φυγή.

Φυξίμηλα, δένδρα τὰ διὰ ὕψος ἐκπεφευγότα ἐσθίεσθαι ὑπὸ τῶν βοσκημάτων. ¶ Φύξις, φυγή. ¶ Φυομένας γεινομένας. ¶ Φυὸς, φύτευμα, γέννημα. ¶ Φύπαξ, ὅπερ ὑμεῖς βόμβαξ. ¶ Φύραμα, ζύμη, σπέρμα, ἢ ζημία.

Φυρᾶν, ζυμοῦν, ταράσσειν τὰ ἄλευρα. ¶ Φυραστὴς, ὁ ἡμεῖς φύραν. ¶ Φυρδήσκια, σκωλήκια. ¶ Φύρδην, ἀτάκτως, συγκεχυμένως. ἀναμίξ.

Φύρει, μολύνει μαλάσσει, μιγνύει.

Φύρεσθαι, μίγνυσθαι. ¶ Φυρκηλῖται τειχήρεις.

Φύρκος. τεῖχος. ¶ Φύρμα, κόπρος, ῥύπος.

Φυρμᾶται, πλάττεται.

Φυρμὸς. μολυσμὸς, ῥύπος, μίασμα.

Φ ολύνει, μολύνει, καταπίμπλησιν. ¶ Φονοὶ, οὕτω καλοῦνται, οἱ τόποι ἔνθα τινὲς αἰχμαλωτοῦνται. ¶ Φονᾶν, τὸ περὶ φόνον μαίνεσθαι. ¶ Φονίοις, φονοκτόνοις.

Φ ονὶς, ἰχθὺς ποιός. ¶ Φόνος, ὁ διὰ σφαγῆς θάνατος, καὶ αὐτὸ τὸ φονεύειν, ἢ αἷμα. ¶ Φονώντων, περὶ τὸν φόνον θρασυνομένων καὶ λυσσώντων. ¶ Φονῶσαι, φόνου ἐπιθυμοῦσαι. ¶ Φοξός, λιπόδερμος, ὀξυκέφαλος.

Φ ορὰ, πλημμύρα, σύστημα, καὶ ἡ τῶν μηχανικῶν ὀργάνων λαβή. ¶ Φοράδες, αἱ θήλειαι ἵπποι. ¶ Φοράδην, ὁ φερόμενος βαστ. μφ. ¶ Φορὰν, τὸ φέρεσθαι, τὴν ὁρμὴν κίνησιν. ¶ Φορβάδες, νομάδες, φορβάδες βοσκήματα. ¶ Φοράδην, πάντα φερόμενον.

Φ ορβάδων, νομάδων, βοσκημάτων. ¶ Φόρβαντα, ἰατρικὰ φάρμακα. ¶ Φόρβας ἀττικὸς ἥρως.

Φ ορβέα, ἕλκυστρον, περιστόμιον, καπίστριον. ¶ Φορβειὰ, ἡ αὐλητικὴ στομὶς, λέγεται δὲ καὶ ὁ χειλωτήρ.

Φ ορβὴ, βορὰ, τροφὴ, βοτάνη, βρῶσις. ¶ Φορβαίαν, περιστόμιον, καπίστριον. ¶ Φόρβια, φάρμακα, οἱ δὲ φόρβα. ¶ Φορμιόμενος, τρεφόμενος. ¶ Φόρβον, ἀπὸ τῶν θρεπτῶν. ¶ Φόρβυτα, οὖλαι ἤλεῖοι. ¶ Φορμένη, ὁ ἀραιότης. ¶ Φορέεσκον, ἔφερον, ἐβάσταζον ἐφόρουν.

Φ ορέσεται, οἰσεται. ¶ Φορεῖς, οἱ τὴν μεταλλικὴν ὕλην ἐκκομίζοντες παῖδες καὶ οἱ τῶν ἀσπίδων ἱμάντες ἢ οἱ φέροντες. ¶ Φορέεσθαι, φέρεσθαι. ¶ Φορεύμενα, φορούμενα. ¶ Φορεύουσι, φοροῦσιν. ¶ Φορῆες, οἱ βαστάζοντες ἢ φέροντές τι. ¶ Φορητὰ, ἀκτὰ, βαστακτὰ, ἃ δύναταί τις φέρειν. ¶ Φορηθεὶς, ἐνεχθέντες. βαστακρύς. ¶ Φορητὸν ὑπὲρ τοῦ ἀγροῦ σῖτον.

Φ όριμος, λυσιτελής. ¶ Φορίνη, ἡ παρ' ἐνίοις πυρίνη.

Φ όριγγες τὰ ὕλινα. ¶ Φόρκες, χάρακες. ¶ Φορκὶς, μονόφθαλμος. ¶ Φορκὸν, λευκὸν. πολιὸν. ῥυσόν. ¶ Φόρμιγγι, τῇ κιθάρᾳ. ¶ Φορμίζειν, κιθαρίζειν. ¶ Φόρμιγξ, κιθάρα ἢ τοῖς ὤμοις φερομένη.

Φ όρμιγγα, μύρμηκα. ¶ Φορμὶς, σφυρίς. ¶ Φορμίων οὗτος στρατηγὸς ἐγένετο κροτωνιατῶν. ¶ Φόρμιον, πλέγμα ψιαθῶδες, φορμίδιον. ¶ Φορμός. ἀγγεῖον τι πλεκτὸν ψιάθοις ὡς κόφινος. ¶ Φορμορραφούμεθα, ὡς φόρμοι καταρραπτόμεθα. ¶ Φορμοσήκον, παχύς. ¶ Φόροι, δημόσιοι ἀπαιτήσεις. ¶ Φορολογῆσαι, φόροις συνάξαι. ¶ Φορολόγημα, ὑποτελεῖς, λειτουργοί. ¶ Φορολόγος, ὁ ἀπαιτῶν τοὺς φόρους. ¶ Φόρος, ἡ τῶν χρημάτων καταβολὴ, ἢ νέον τέλεσμα. ¶ Φορτὸν, ἐγκεόμενον βαρύ.

Φ ορτικὰ, τὰ γελοῖα, καὶ τὰ ὑποβολίας σκώμματα.

Φ ορτὶς, φορτηγὸς ναῦς πλοῖον. ¶ Φόρτος, φορτίον.

Φ ορύκαια, ἄνυδρον ποιόν. ¶ Φορύνει, φυρᾷ, μολύνει, συγχεῖ. ¶ Φορύνετο, ἐμολύνετο. ¶ Φορύξαι, συγχέαι, φυρᾶσαι. ¶ Φορύξαντες, συγχέαντες, μολύναντες. ¶ Φόριξ, δακτύλιος ὁ κατὰ τὴν ἕδραν.

Φ ορυσσέσθαι, μολῦναι. ¶ Φορυτὸν ἄχυρα φρύγανα.

Φ ορυτὸς, φρύγανα ἄχυρα, ἡ ἀπὸ γῆς αἰρόμενος ὑπὸ ἀνέμου χόρτος. ¶ Φορυτώδης, συρφετὸν, βόρβορος, ἀκαθαρσία. ¶ Φορωνεὺς, ὄνος βασιλικός.

Φ ορυσᾶ, κιθαρίστα. ¶ Φοσαλίδι, στομασκεῖ.

* Φουαξίξιον, ὁ ἐστὶ ἐπὶ χώρας στομασκία τῶν μελλόντων μαστιγοῦσθαι. ¶ Φοῦιξ, σφύριγξ. ¶ Φοῦσκος, ὀξυκέφαλος. ¶ Φοῦκα, ἀλώπεκες. ¶ Φουλίδιον, περὶ θηνῶν χορός. δωριεῖς. ¶ Φυλλόμενοι, πιλλόμενοι δωριεῖς. ¶ Φύρκος ὁ χόρτωμα. ¶ Φόως, φῶς, χαρὰ σωτηρία. ¶ Φόως ἐρέουσι, τὴν ἀνατολὴν τοῦ ἡλίου σημαίνουσι.

ΤΟ Φ ΜΕΤΑ ΤΟΥ Ρ.

Φ ράγματα, κατασκιάσματα. ¶ Φραγμὸς, θριγκὸς, ἢ καὶ ὁ νόμος. ¶ Φράδεν, ἔλεγεν. ¶ Φραδέων, ἑρμηνεύων. ¶ Φραδίος, συνετοῦ.

Φ ραδαῖσι, βουλαῖς. ¶ Φραδεύουσι, λέγουσιν.

Φ ράδμονες, ἔμπειροι, συνετοί. ¶ Φράδη, φράζε, λέγε.

Φ ραδῆσαι, συνιέσαι. ¶ Φραδμοσύνη, σκέψις, βουλὴ, νόησις. ¶ Φραδέως, φραστικῶς, φανερῶς.

Φ ράζει, δεικνύει, σημαίνει, λέγει. διηγεῖται, σκέπτεται διανοεῖται. ¶ Φράζεο, λέγε καὶ τὰ ὅμοια.

Φ ράζεται, φραζόμενος, φραζοίμην ὁμοίως. ¶ Φραστίζειν, σωφρονίζειν. ¶ Φραξάμενος, κλείσας, ὁπλισάμενος. ¶ Φράσαι, διανοήθητι, σκέψαι. ¶ Φράσαντας, εἰπόντας δείξαντας λέξαντας. ¶ Φρασθῆναι λεχθῆναι, δειχθῆναι καὶ τὰ ὅμοια. ¶ Φρασίζων, διασκεπτόμενον εἰς ζωήν. ¶ Φράσμεσθα, προσέχομεν.

Φ ράσασθαι, φρασθῆναι, συνεῖναι. ¶ Φράσις, λέξις διάλογος, ἑρμηνεία, φράσις δὲ γένος ἀθήνησι.

Φ ρασάμενος, σκεψάμενος, νοήσας, λογισάμενος.

Φ ράσσεται, ἀσφαλίζεται, πληροῦται, αὐτέχεται.

Φ ράσον, εἰπὲ, λέξον. ἑρμήνευσον. ¶ Φρασσόμεθα, βουλευόμεθα, εἴπωμεν. ¶ Φραστῆρες, μηνυταί.

Φ ραστύς, σκέψις, ἔννοια. βουλὴ, φράσις. ¶ Φράτορας τοὺς τοῦ αὐτοῦ μετέχοντας φρατρίας, συγγενεῖς.

Φ ράτρισιν. ἑταίροις συμμάχοις. ¶ Φραχθέντες, ἀσφαλισάμενοι ἑαυτούς. ¶ Φρέαρ, πηγὴ, λάκκος.

Φ ρέαρ ὀρύττειν, σκιοθηρεῖν, οἱ γὰρ ἀπὸ τῶν μαθημάτων εἰώθασι τὰς μεσουρανήσεις λαμβάνειν καὶ σκιοθηρεῖν ἐκ τῶν φρεάτων. ¶ Φρεάρριοι, δῆμος τῆς λεοντίδος φυλῆς.

Φ ρεάτεια, τὰ βαθέα ὀρύγματα. ¶ Φρεατύπανα, ὄργανα τινὰ παρὰ πολυβίῳ. ¶ Φρείατα, φρέατα.

Φ ρεναπατᾷ. χλευάζει. ¶ Φρεναρίοις, φρενήρεις.

Φ ρένες, ἔννοιαι, φρονήσεις. ¶ Φρένας ἴσας, ἴσας φρένας, οἷον ἡρμοσμένας συμφώνους. ¶ Φρενεῖν, φρονεῖν, διδάσκειν. ¶ Φρεμπάρωσις, βλαψίφρων.

Φ ρένες, μέρος τι τῶν ἐντοσθίων τὸ ὑπὸ τῷ ἥπατι κείμενον, τὸ διάφραγμα τοῖς στήθεσι. ¶ Φρενήρης, ἀστίφρων.

Φ ρενοβλάβεια, ἡ τῶν φρενῶν βλάβη. ¶ Φρενὶ, διανοίᾳ. ¶ Φρενοκλοπεῖ, ἐξαπατᾷ. ¶ Φρενὸς ἔκστασις, ὁ εἰς ἑαυτὸν μὴ ὤν. ¶ Φρενοῦν, φρονεῖν, διδάσκειν νουθετεῖν. ¶ Φρενοῦται, νουθετεῖται. ¶ Φρενώσας, παραλογισάμενος ἀπατήσας. ¶ Φρενώσει, νουθετήσει. ¶ Φρενοπτήριον, παραίνεσις. ¶ Φρεσὶ, διανοίαις. ¶ Φρεσὶν ὁρμαίνοντα, διανοούμενον.

Φ ρεώρυχοι, γένος ἀθήνησιν, ἢ οἱ τὰ φρέατα ὀρύσσοντες.

Φ ριμᾶται, φριμάσσεται. ¶ Φρὶν, φρένα, διάνοιαν γνώμην. ¶ Φρίζει, φοβεῖται. ¶ Φρητὴς, ἀδελφός. ¶ Φρητία, στόμα φρέατος. ¶ Φρήτρα καὶ φρήτρη, φρατρία, συγγένεια, πατρικὴ γενεὰ καὶ στιβάδος καὶ συσσίτια. ¶ Φρίκα, λεπτοκυμία. ἡ ἀρχὴ τοῦ

Φ λέως, τὸ φλέσμα. ¶ Φλεγύαι, ἔθνος ὑβριστικὸν καὶ ἀσεβές. ¶ Φλέσμας, ἀετός. ξανθὸς ὀξύς. ¶ Φλεγόμενον, καιόμενον, λαμπρυνόμενον. ¶ Φλεγυρά, ὑβριστικὴ λαμπρά. ¶ Φλέγειον, βλάπτειον. ¶ Φλεγυροῦ, βλαβεροῦ. ¶ Φλεδονεῖ, αἰσθάνεται, φλυαρεῖ, καὶ φλεδονεύεσθαι τὰ αὐτά. ¶ Φλεδονώδη, φλύαρα. ληρώδη. ¶ Φλέδων, φλυαρία καὶ ὁ ἀλαζὼν εὐήθης

Φ λεῖ, γέμει. εὐκαρπεῖ πολυκαρπεῖ. ¶ Φλέβημα, φλυαρία. ¶ Φλέξαι, κατακαῦσαι. ¶ Φλέοντας. φλυαροῦντας, ἢ φλυαροῦντας. ¶ Φλεός, βασκανία, φθορά, καὶ ὁ αἴλιος φλοιός. ¶ Φλέψ, μώλωψ, καὶ τὸ ἀναλοῦν ἐν τῷ σώματι. ¶ Φλέω. Διονύσου ἱερόν

Φ ληδῶντα, ληροῦντα. ¶ Φληναφᾷ, φλυαρεῖ, μωρολογεῖ. ¶ Φλήναφοι, μωρολόγοι. ¶ Φλήναφος, φλύδος, λῆρος, μωρολόγος. ¶ Φληναφῶντα. φλυδοῦντα

Φ λῆφος, φλύδος. ¶ Φλιδᾷ, χλιαρά. ¶ Φλιάς, τῆς θύρας παραστάδες. ¶ Φλιδᾶν, σήπεσθαι.

Φ λιδάνει, διαπίπτει διαρρεῖ. ¶ Φλιδόωντο, διέσπον το, ἐτέμνοντο. ¶ Φλιδόνες, τὰ ἐν τοῖς ἱματίοις ἀνάσματα, ἢ ῥυτίδες τινὲς δὲ σφυγμοί. ¶ Φλιδόωσα ῥηγνυμένη. ¶ Φλίεθος, καρποφόρος. ¶ Φλιή, πρόθυρον ἢ παραστὰς τῆς θύρας. ¶ Φλιοῦς, ἡ τῶν καρπῶν ἐκχυσις. ¶ Φλίψεται, ἀποθλιβήσεται.

Φ λίψις, θλίψις. ¶ Φλόα, φλογερόν. ¶ Φλογερόν, θερμόν, λαμπρόν. ¶ Φλόγια, λαμπρά. φλογώδη. ¶ Φλογίδες, κρέα ὀπτά. διὰ τὸ φλογίζεσθαι.

Φ λεγμονή, ὄγκος πυρώδης συρρυέντων ἐπὶ τὸ ἀσθενὲς σκευῶν μέρος τῶν ὑγρῶν, καὶ τῇ παρὰ φύσιν θερμασίᾳ φλεγόντων τὸ πεπονθός. ¶ Φλογίδια, αἱ κεγχρίδες δι' ἐλαίου σκευαζόμεναι. ¶ Φλογίνη, καυστική. ¶ Φλογίσαι, καῦσαι. ¶ Φλογμός. καῦσος, θερμασμός, καύσων, φλογισμός. ¶ Φλογμῷ, κατακαύσει, καταφλέξει

Φ λογόδερποι, ἄνθρακες. ¶ Φλογώδες, καυστικόν.

Φ λογόλευκον, ἐρυθρόλευκον. ¶ Φλογώματα, τῶν ἄρτων τὰ ἐπικεκαυμένα. ¶ Φλοιὰν τὴν κόρην τὸν θεὸν οὕτω καλοῦσι Λάκωνες. ¶ Φλοιδᾶν, πεπρῆσθαι.

Φ λοιδούμενος, ταραττόμενος. ¶ Φλοινόν, φλοιόν.

Φ λοιόν, τὸ λέπος τοῦ ξύλου. ¶ Φλοῖσβος, τάραχος, ἀφρός, ταραχή. ¶ Φλόμος, πίασος. ἢ καὶ αὐτὸ ἐλλυχνίοις χρῶνται, ἡ αὐτὴ δὲ καὶ θρυαλλίς. ¶ Φλονίδες, λεπίδες. ¶ Φλόξ, ἡ τοῦ πυρός, καὶ ἄνθος τι.

Φ λουάζει, φλυαρεῖ, ληρεῖ. ¶ Φλούκτος, εἶδος ῥόφημα τος. ¶ Φλοῦς, φλοιός, λεπύχανον, λεπυρόν.

Φ λυάκια, τὰ ψυδράκια. ¶ Φλύαξ, μέθυσος, μεθυστής, γελοιαστής. ¶ Φλύαρος, φαῦλος, εὐήθης.

Φ λυάσει, φλυαρεῖ. φλύει. ¶ Φλυδᾶν, διαχεῖσθαι.

Φ λύεις, δῆμος τῆς Πτολεμαΐδος φυλῆς. ¶ Φλύζει, ἀναζεῖ. ¶ Φλύζειν, ἀναζεῖν, φλύζεσθαι. ¶ Φλυήσιος, ὀξέως, καὶ μήν τις. ¶ Φλυκτά κακὰ σχέτλια.

Φ λύκταινα, τὸ ἀπὸ πυρὸς φύσημα γενόμενον ἐν τῷ σώματι. ¶ Φλύον, βιβλίον καθαρόν. ¶ Φλύσαι, ἀποβαλεῖν, ἐμέσαι, ζέσαι. ¶ Φλυσός, στοιβή, οἱ δὲ φλοιός. ¶ Φλύασει, ἐρυγγάνει. ¶ Φλυστέδος, μαινομένη.

Φ οβεῖται. φεύγει, κνίζεται. ¶ Φόα, ἐξανθήματα. ἐν τῷ σώματι. ¶ Φοβεῖ, κνίζει διώκει. ¶ Φοβερόν, δειλόν, ἔμφοβον. ¶ Φοβόρον, δηλητήριον.

Φ οβεύμενος, διωκόμενος. ¶ Φόβη, κόμη, χαίτη, θρίξ, οἱ δὲ ἐκτενισμένη ἀπὸ τοῦ Φοίβου, ὅ ἐστι καθαροῦ.

Φ οβῆσαι, σεῖσαι. ¶ Φόβος, φυγή. ¶ Φοβήστρος, ἔνθαν ποιήσας. ¶ Φοβηθείς, εἰς φυγὴν τραπείς. ¶ Φοίβα, ἀγὼν δρόμου. ¶ Φοιβάζει, μαντεύεται.

Φ οιβαζόντων, προλεγόντων. ¶ Φοιβάναι, λαμπρύναι, μαντεύσασθαι, κοσμῆσαι. καθῆραι, ἁγνίσαι καὶ φοιβάσαι ὁμοίως. ¶ Φοιβᾶσθαι, καθαιρεῖσθαι.

Φ οιβητεύειν, χρησμῳδεῖν. ¶ Φοιβήτεια, καθάρσια.

Φ οῖβοι, Ἀττικοὶ ἐπὶ τῶν δυσειδῶν. οἱ δὲ καθαρούς.

Φ οῖβος, καθαρός, λαμπρός. ἁγνός, ἀμίαντος.

Φ οίνια, ἐρυθρά. ¶ Φοίνια, πυρρά. ¶ Φοινίκι, ἐρυθρῷ βάμματι. ¶ Φοινικελίκτην καὶ λόγον ἀλαζόνα ἀπατηλὸν καὶ κάπηλον. ¶ Φοινικίοις, γράμμασι, Σοφοκλῆς ποιμέσιν, ἐπεὶ δοκεῖ Κάδμος αὐτὰ ἐκ Φοίνικος κεκομικέναι. ¶ Φοινικήϊα, γράμματα, ἀπὸ Φοίνικος τοῦ Ἀκταίωνος φασὶν ὀνομασθῆναι αὐτά.

Φ οινικεντα. λεπιδωτὸν ὁ ἀπαρίων φασί, οἱ δὲ φόνιον, ἢ ἐρυθρὸν τῷ χρώματι, ἢ καταπληκτικόν, ἢ φονευτικόν. ¶ Φοινικάδες αἱ ῥάφανοι ὑπὸ Εὐβοέων.

Φ οίνικες, γένος τι ἀθήνησιν. ¶ Φοινίκια, Λυδοὶ καὶ Ἴωνες τὰ γράμματα ἀπὸ Φοίνικος τινός. ¶ Φοινικέλικτον, ἀπατηλόν. ¶ Φοινικόϊον, πυρρόν.

Φ οινικοῖδες, αἱ ἀνεμῶναι ἡ πόα, οἱ δὲ τὰ φοινικᾶ ἐνδύματα. ¶ Φοινικιστής, παρὰ Ξενοφῶντι ἐν πρώτῳ Ἀναβάσεως, ἀπέκτεινεν ἄνδρα Πέρσην μεταφέροντα φοινικιστὴν βασίλειον. ¶ Φοίνια, κύναρος πυρρά.

Φ οίνικι φαεινόν, φοινικίνῳ χρώματι λελαμπρυσμένον.

Φ οινικολόφοιο, ξανθοῦ λόφου. ¶ Φοίνικος ἔρνεος, περιφραστικῶς τὸν φοίνικα. ¶ Φοινίκης, ὅπλον ἐρυθρόν. ¶ Φοινικοβάλανα, τὸ τράγημα, καὶ εἶδος ἀμπέλου. ¶ Φοινικόεσσα, πυρρὰ τῷ χρώματι, ἐρυθρά.

Φ οινικόλεπτον, ἴσον τὸν πανέλοπα, τὸ ὄρνεον, τὸν ἀπὸ ξάχιλον ἐπὶ πᾶν φοινικοῦν, ἡ δὲ λέγνη παρέλκει.

Φ οινικοῦν, πυρρόν, κόκκινον αἱματῶδες. ¶ Φοινίκυρος, ὄρνις ποιός ἐστι ὁ ἐρίθακος. ¶ Φοινίκοις μάστιξι διὰ τὸ τὰ νῶτα φοινίσσειν. ¶ Φοινικόχλοις, ξανθόχλοις.

Φ οῖνιξ, τὸ δένδρον, Φοίνικος, νέον ἔρνος, καὶ ὁ καρπὸς καὶ ὁ πυρρὸς τῷ χρώματι. ¶ Φοινίξαι, αἱμάξαι, βάψαι.

Φ οίνιον, φονόν, δεινὸν ἐρυθρόν. ¶ Φοινίασα, εἶδος ἀμπέλου. ¶ Φοινίασων, βάπτων. ἐρυθρῶν.

Φ οίνικες, γλύφαι. ¶ Φοινιχθέντων, αἱμαχθέντων, αἱματωθέντων. ¶ Φοινόν, πυρρόν. ¶ Φοιτᾷ, ἔρχεται. βαδίζει, μαίνεται, περίεισιν, ἀφικνεῖται, διέρχεται, περαίνεται. ¶ Φοιταλέος, παράκοπος, μανιώδης. ¶ Φοίτης, ὁ κῆρυξ. παρὰ τὸ φοιτᾶν πανταχοῦ. ¶ Φοιτήσας, παραγενόμενος. ¶ Φοιτητός, μαθητής. ¶ Φοῖτος, μανία λύσσα. ¶ Φοιτῶν, ἀναστρεφόμενος. ¶ Φοιτῶντα, ἄνδρα μανίαις λυσσῶντα. λυσσήμασι. τὴν ἔμφρονα μανίαν. Φοιτρὸν ἔλεγον τουτέστι τὸν μετ' ὁρμῆς μεμηνότα. ¶ Φλέανδρος, νῆσος ἔρημος. ¶ Φαλιὰ πάθα, χρύσιππος δὲ καὶ τὸ σέλινον οὕτω καλεῖ. ¶ Φολίδες. αἱ λεπίδες τοῦ ὄφεως. ¶ Φολίς, λεπὶς ἢ σύριγξ πλυκάλαμος.

Φ ολκός, στρακός, οἱ δὲ λιπόδερμον. ¶ Φόλυνδε, κύνες, οἱ πυρροὶ ὄντες μέλανα στόματα εἶχον, οἱ δὲ φυλακάς.

Φθονερός, ζηλωτὴς, ζηλότυπος. ¶ Φθόνος, πάθος [illegible] τῇ τοῦ πέλας εὐπραγίᾳ. ¶ Φθορά. ὄλεθρος.

Φθόης, φθίσις. ¶ Φθίνον, ὀλιγοχρόνιον, ὀλίγον.

Φθείρεται, ὀδύρεται. ¶ Φία, ἀπονία. ¶ Φιαρὸν, λαμπρὸν καθαρόν. ¶ Φιαρύνει, λαμπρύνει.

Φιβαλέα. εἶδος σύκων, καὶ ἡ συκῆ ὁμωνύμως. τινὲς δὲ ἰσχάδας. ¶ Φίβλα, πόρπη ῥωμαϊκόν. περόνη.

Φίκα, φίκα, σφίγγα. ¶ Φισκαλία, ἀπὸ ἑνὸς τῶν λυκάονος παίδων. ¶ Φιδάκνη, πιθάκιον μικρὸν στενόν.

Φιδίτια, συσσίτια. ¶ Φειδίαι. λιθοξόοι. ¶ Φειδωλός. ἐπιθυμητός. ¶ Φίδνα, ῥίζα, ὁ ἀχίλλειος καλούμενη. ¶ Φιαρὸν, καθαρὸν λαμπρὸν, ἁγνὸν ἱλαρόν.

Φικιῶν, προσθηβῶν. ¶ Φίλα, προσφιλέστατα.

Φίλαι, φίλησον. ¶ Φιλαίμων, φιλῶν τὸ αἷμα.

Φιλαίτατος, φίλος σφόδρα. ¶ Φιλαίτιοι, μεμψίμοιροι.

Φιλαίτιος, μεμψίμοιρος. ¶ Φιλακριβοῦντες μετ' ἀκριβείας διαχωρίζοντες. φιλακροάμονας. ¶ Φιλαλήθης, ὁ τὴν ἀλήθειαν φιλῶν. ¶ Φιλαλληλίαν, οἱ φιλοῦντες ἀλλήλους. ¶ Φίλαξ, δρῦς, μέσος ἡλέιοι.

Φιλαπεχθημόνως, φιλομίσως. φιλοῦντα μισεῖσθαι.

Φιλαργυρία, φιλοχρηματία. ¶ Φίλατο, ἐφίλησεν. ἠγάπησεν. ¶ Φιλαῦρα, τὰ κακὰ τὰ ἄτοπα.

Φιλαυτία, τὸ πάντα πρὸς τὰ ἑαυτῷ ἀρέσκοντα πράττειν. ¶ Φίλαυτοι, οἱ ἑαυτοὺς φιλοῦντες. ¶ Φιλεῖ, εἴωθεν, ξενίζει, ἢ κατὰ ψυχὴν ἀσπάζεται. ¶ Φιλέσκομ, ἐξένισεν. ¶ Φιλεκκλήσιον, κηδεμονικόν. ¶ Φιλέντολος [illegible]. ¶ Φιλεόντων, φιλείτωσαν. ὡς τὸ ἔστων ἔστωσαν.

Φιλέοντος. φιλοῦσα. ¶ Φιλέρημοι, φιλερημοί οἱ τὸ ἔρημον φιλοῦντες. ¶ Φιλέριδες, οἱ ἀγαπῶντες ἐρίζεσθαι.

Φιλέταιρος, πρὸς φιλία κείμενος. ¶ Φιλέθνος, φιλοπαίγμων. φιλοπάλαιστρος. ¶ Φιληχίνα, παρὰ φνάς.

Φίληθεν, ἐφιλήθησαν. ¶ Φιλήμης, φιλίας. ¶ Φίλην, φιλίαν, ὅ τὴν προσφιλεστάτην. ¶ Φιλήρετμοι, φιλόκωποι, φιλοναῦται. ¶ Φίλησα, ἐξένισα. ἠσπασάμην.

Φιλήσια, φιλοτήσια, προσφιλῆ. ¶ Φιλησίαις, κλεπτοσύναις. ¶ Φιλήτης κλέπτης λῃστής. ¶ Φιλήτωρ, ἐραστής. ¶ Φιλητῶν, γένος κλεπτῶν. ¶ Φίλια. προσφιλέστατα. ¶ Φιλιάζετο. ἐχαρίσθη αὐτοῦ. ¶ Φιλίδα σύριγγα. ¶ Φίλιος, ὁ ἀπὸ ἑταιρείας κατ' εὐφημισμένον.

Φίλιπποι, μοιχοί. ¶ Φιλιστίδιον, νόμισμά τι. ¶ Φιλίων, ἀντὶ τοῦ φίλτερος προσφιλέστερος. ἐσχημάτισται δὲ τὸ μέτρον. ὡς τὸ καλλίων, ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα. ¶ Φιλόδικος, φιλοπράγμων.

Φιλοδώτῳ, λεπίδας ἔχοντι. ¶ Φιλόθακχος ἀρχή.

Φιλοθεάμων, φιλοθεωρητής. ¶ Φιλοθεάμοσι, φιλοθεωρηταῖς. ¶ Φιλοθηρσίδης, φιλοθήρσου παῖς.

Φιλοιφος, παιχνητής. ¶ Φίλοι, προσφιλέσταθοι.

Φιλοκαλία, φιλοῦσα τὰ ὡραῖα. ¶ Φιλοίστωρ, φιλῶν ἱστορεῖν. ¶ Φιλόκαλος, φιλόκοσμος. ¶ Φιλοκέρτομε. φιλῶν σκώπτειν. ¶ Φιλοκηδὴς, ὁ κηδεμονικός. ¶ Φιλοκνήμιδες, φίλοπλοι. ¶ Φιλοκρινεῖν, διαιρεῖν. ¶ Φιλοκτέανος. φιλοκτήμων φιλοχρήματος. ¶ Φιλοκτεανώτατε, φιλοχρηματώτατε.

Φιλοκτήμων, φιλοχρήματος. ¶ Φιλολάμπαδος, ἡ ἄρτεμις. ¶ Φιλολέγγος, ἀσκητής, πολυλάλος.

Φιλολόγος. λάλιος, λάλος. ¶ Φιλομειδὴς. φιλόγελως.

φιλῶν τὰ μειδιάματα ἱλαρά. ¶ Φιλομηλείδης. οἱ μὲν, κύριον ὄνομα. πολλάκις δὲ παρωνυμικῷ τύπῳ κυρίως δηλοῦται ὡς εὐριπίδης ἡρακλείδης. ¶ Φιλομύθῳ πεπλασμένῳ λόγῳ. ¶ Φίλομ, προσφιλές.

Φιλόνεικος, μάχιμος, φίλερις, φιλονεικία γὰρ ἡ μάχη.

Φιλοπευστεῖν, ἀκούειν μανθάνειν, ἐρωτᾶν. ¶ Φιλοπευστοῦντα, ἡδέως ἀκούοντα, ἢ ἐρωτῶντα. ¶ Φιλοπονός, φιλεργός. ¶ Φιλοπονία, σπουδαῖα ἔργα. ¶ Φιλόπονος, φιλεργὸς σπουδαῖος. ¶ Φιλόπυστος, φιλοπράγμων. ¶ Φιλόσοφος, ὁ πάντων πειραθεὶς φιλομαθὴς φιλόστοργος. φιλότεκνος. φιλοσόφους δέ φασι λυδοὺς, τοὺς κιθαριστὰς ἢ μουσικούς. οἱ ἀρχαῖοι σοφοὺς καὶ φιλοσόφους καὶ σοφιστὰς ἔλεγον. ¶ Φιλόστροφος, εὐμετάβολος. ¶ Φιλοσύμμαχος, φιλολοίδορος, μάχιμος.

Φίλος, ὁ προσφιλής. ¶ Φιλότης, φιλία ἡ συνουσία.

Φιλοτησία, πρόποσις ἥν μετὰ τὸ δειπνεῖν ὑπὲρ φιλίας

Φιλοτήσια ἔργα ἀφροδίσια τὰ συνουσιαστικά. ¶ Φιλοτιμεῖται, μεγάλα φρονεῖ, ἐπαίρεται, πλουτεῖ.

Φιλοτιμία, δωρεά κενοδοξία. πλοῦτος μεγαλοφροσύνη.

Φιλότιμος, ὁ φιλῶν τιμᾶν μεγάλως ἢ θέλων αὐτὸς δοξάζεσθαι. ¶ Φιλοτιμούμενοι, δαψιλῶς τιμῶντες.

Φιλοτίμως, φιλοδόξως πλουσίως, μεγαλοψύχως δαψιλῶς. ¶ Φιλοφρονοῦμαι, δεξιῶς καὶ προθύμως εἰσδέχομαι, ἢ ἀποδέχομαι. ¶ Φιλοφροσύνη. προθυμία. διάθεσις, σπουδή, ἀγάπη. παρὰ τὸ φίλα ἢ φίλια φρονεῖν. ¶ Φιλοχωρῶν. τὴν χώραν ἀσπαζῶν. ¶ Φιλοψευδής, ὁ τὸ ψεῦδος φιλῶν. ¶ Φιλόψυχον, εὔψυχον.

Φίλτατα. τὰ ὄμματα καὶ προσφιλέστατα. ¶ Φίλτατοι, φιλικώτατοι. ¶ Φίλτρον, φιλία. ¶ Φιλυδρία. φιλεῖ τὸ ὕδωρ. ¶ Φιλύρινον, ἀσθενές. ¶ Φιλυρόμ, εὐώδης ἐλαφρόμ. ¶ Φιλωνίδας, ὑποκοριστικῶς ἀντὶ τοῦ φιλωνίδης. ¶ Φίλως, ἡδέως. ¶ Φίλως χ' ὁρόωτε, ἡδέως ἂν βλέποιτε. ¶ Φιλωψ, κρήνη, ἢ φίλος.

Φιλοτερίς, κασσιτερίς. ¶ Φιλώτατα. φίλτατα.

Φιλώτατος, φίλταρος. ¶ Φίμα, κημός. παραστόμιον φιμός. ¶ Φιμοῖ, δεσμεύει ἐμφράττει, ἄγχει, ἐπιστομίζει. ¶ Φιμοῖ, δεσμοῖ. ¶ Φιμοῦν. δεσμεύειν ἐπὶ τὰ ὅμοια. ¶ Φὶν, αὐτοῖς. ὁ αὐταῖς. ¶ Φίνακα, δρῦμ.

Φίνεται, συντιθεῖ. ¶ Φίσκος, δημόσιον ταμεῖον πολύχρημον. ¶ Φισκοσυνήγορος, ὁ ταμιείων συνήγορος.

Φίτρον, μέτρον, μάταιον, ῥάδιον, καὶ τὸ μέσον τοῦ ῥινίου τὸ κοῖλον, καὶ ὁ κορμὸς τοῦ ξύλου παρὰ τὸ φύεσθαι.

Φίτυ, φυτὸν, φύτευμα. ¶ Φίτυμα, τέκνον, γέννημα.

Φιτύσατο, ἐγέννησεν. ¶ Φλᾷ, θλᾷ, μαλάττει, συντρίβει. ¶ Φλαδιᾶν, θλαδιᾶν, μαλάττειν, τύπτειν.

Φλᾶν. μαλάσσειν πληγαῖς. ¶ Φλανύαρεῖ, φλυαρεῖ, ληρεῖ. ¶ Φλασμός, τύφος. ¶ Φλασμένος. τετυφωμένος. ¶ Φλάσσας, θλάσας. ¶ Φαυλικῶς, ἁπλῶς.

Φαῦρα, φαῦλα. κακά. πονηρά. κοῦφα ἀσθενῆ.

Φλέβαι, νεῦρα τινὰ αἵματος δεκτικά. ¶ Φίλιππος, στόμα χειρῶν ἢ λαμπάδος. ¶ Φλέγει, καίει, λαμπρύνει.

Φλέγλα, ὁ νῦν πελλήνη. ¶ Φλέγεται, καίεται, λαμπρύνεται. ¶ Φλέγμα, φλόξ. καῦσος. παρὰ τὸ φλέγειν. ¶ Φλεγμαίνει, ὀγκοῦται, φυσοῦται.

Φλέγματι, ἢ φλέγματα ἔχουσα. ¶ Φλεγματώδη, ἐν κρίματα ἐπὶ φλοιοῖς. ¶ Φλεγμός, τὸ αἷμα.

Φ εισῶν. ποταμὸς περὶ Λίσσου, ὃ ἑρμηνεύεται στόμα κόρης· παρὰ δὲ ἕλλησι γάγγης. ¶ Φεῖσαι, ῥῦσαι, σῶσαι.
Φ ελγύνει, ἀσυνετεῖ, ληρεῖ. ¶ Φελλάντας, λίθος σκληρὸς ἀπὸ τόπου. ¶ Φελλεῦον, ἐπὶ πλέον. ¶ Φελλεὺς, τὸ δυσεργὲς χωρίον. ¶ Φελλίνιοι, ὀροβάκχαι.
Φ ελλίνας, κοῦφος ἀπὸ τοῦ φελλοῦ. ¶ Φελλὸς, σκληρὸς τόπος καὶ δυσεργὴς, καὶ ἐπιπολῆς πετρώδης. ἢ φλοιὸς δένδρου, καὶ ξύλον ἐλαφρὸν, τὸ δὲ αὐτὸ καὶ φελλεὺς καὶ τὸ τῶν βιβλίων ἔξωθεν σκέπασμα. καὶ ἀλαζών.
Φ ενάκας, ἀπατεῶνας. ¶ Φέναξ, χλευαστὴς ἀπατεὼν, ψεύστης, πλάνος. ¶ Φενεὸς, φονέα πόλις ἀρκαδίας. ¶ Φεννίδα, παιδιὰν σφαίρας. ¶ Φεννίον, ἡ μηδικὴ ὁδός. παμφύλιοι. ¶ Φεννὶς, εἶδος παιδιᾶς μετὰ σφαίρας. ¶ Φεννος, θάνατος. ἐνιαυτός.
Φ ραὶ, πόλις θετταλίας. ¶ Φεραία, ἀθηνᾶ ξενικὴ θεός. οἱ δὲ τὴν ἑκάτην. ¶ Φεραυγὲς, κατάλαμπρον.
Φ έρβειν τρέφειν βόσκειν. ¶ Φέρβεται, τρέφεται.
Φ έρβητας, νομεῖς. ¶ Φερβόμενος, τρεφόμενος.
Φ ερέγγοις, φέρων τὸ βιβλίον, ἢ τῇ βίβλῳ ἐμφερομένοις.
Φ ερέγγυος, ἀξιόπιστος. ἐγγυητὴς καὶ βεβαιωτής. ἔγγυος, βέβαιος. ¶ Φερέγγυον, βέβαιον, δυνατόν.
Φ έρειν, λαμβάνειν. βαστάζειν ὑπομένειν. ¶ Φερεκλέα, τὸν ἄδωνιν. ¶ Φερέοικος, ὁ κοχλίας, ἔνιοι ζῶον ὅμοιον πελῆ ὑπὸ δρυσὶ ἢ ἐλαίαις γινόμενον. οἱ δὲ ζῶον σφηκὸς μεῖζον. ¶ Φερέσβιος, ὁ τὰ πρὸς τὸν βίον φέρων καὶ σώζων, ἢ ζωοποιός. ¶ Φέρεσκον, ἔφερον.
Φ έριστος, ὄνομα κύριον. ¶ Φέριστε, βέλτιστε κράτιστε, ἐξοχώτατε ἀγαθέ. ¶ Φέρμια, ἃς ἔνιοι ἀσκίλας τὰς ἐκ σχοίνων πλεκομένας, καὶ ἰχθυηρὰ ἀγγεῖα οἷον σπυρίδια. ¶ Φερνὰς, προῖκας, δῶρα νυμφικὰ, ἀπὸ τοῦ φέρειν φερνὰς καὶ πάντα τὰ φερόμενα. ¶ Φερνὴ, προὶξ, δῶρα νυμφικά. ¶ Φέροντο. προσεφέροντο.
Φ ερρεύει. ἀποφέρει. ¶ Φερεφάττιον, τόπος ἐν ἀγορᾷ.
Φ ερσεφόνεια, ἡ τῆς δήμητρος θυγάτηρ, ἡ φέρουσα τὸ ἄφενος, τουτέστι τὸν πλοῦτον. διὰ τὸν καρπὸν ἀπὸ τοῦ φέρειν ὄνησιν.
Φ ερτάζει, φέρει. ¶ Φέρτατος, ἀγαθώτατος.
Φ έρτε, φέρετε. κατὰ συγκοπήν. ¶ Φέρτατον, κράτιστον, ἀγαθώτατον. ¶ Φέριστον, βέλτιστον.
Φ έρτερον, κρεῖσσον. ἀπὸ τοῦ φέρειν βέλτιον. ¶ Φέρτρον, φορεῖον, καὶ ἡ τῶν νεκρῶν κλίνη. ¶ Φέρεφυς, ἄθλος θούειοι. ¶ Φέρων, λαμβάνων. ¶ Φερώνυμος, ἀληθεύων τῷ ὀνόματι. ¶ Φετμαῖς, ἐντολαῖς παραγγελίαις. ¶ Φεῦ, σχετλιασμοῦ ἐπίρρημα.
Φ εύγει ἀποδιδράσκει, ἀντὶ τοῦ εὐθύνεσθαι ὡς καὶ φεύγειν κλοπῆς, ἢ μοιχείας φαμέν. ¶ Φευκτὰ φεύξιμα. ¶ Φευκταῖοι, ἀποτρόπαιοι. ¶ Φεύξεσθαι, φεύγεσθαι. ¶ Φεῦ φεῦ, ἴσον τῷ οἴμοι. ¶ Φεψάλυξ, φέψελος, σπινθὴρ. ἄνθραξ. ¶ Φηγαιεὺς, δῆμος αἰγηίδος. ¶ Φήγινος, δρύϊνος. ¶ Φηγὸς, ἡ δρῦς.
Φ ηλανὸς, ἀφρονός. ¶ Φηλῶσαι, ἀπατῆσαι, φθεῖραι ἀπολέσαι. ¶ Φηκημόθρεπτον, ὑπὸ ὀλύνθου ἐπὶ συκῆς τεθραμμένον. ¶ Φήληξ, ὄλυνθος, τὸ μὴ πεπεμμένον σῦκον. ¶ Φῆ, εἶπεν, ἔλεγεν.
Φ ηλήτης, λῃστής. ¶ Φῆλον, ἀπατηλὸν, ληθαργὸν κακοῦργον, ἐπίβουλον. ¶ Φηλωθεὶς, ἀπατηθείς.
Φ ηλωθῆσαι, ἀπατηθῆσαι. ¶ Φηλώσομεν, ἀντὶ τοῦ

βοήσομεν. ¶ Φήματα, ῥήματα. φάσματα.
Φ ημάσομεν, βοήσομεν. ¶ Φήμη, ἀκοὴ ὀνομασία.
Φ ημὶ, λέγω, ὑπολαμβάνω. ¶ Φημίζεται, μαντεύεται. λέγει. ¶ Φημὶς, φήμη, κληδὼν, φωνὴ, λόγος.
Φ ῆν. εἶπεν. λέγων. ¶ Φήνας, δείξας, φηνάσης, δειξάσης. ¶ Φήνη, ἀετοῦ εἶδος. ¶ Φανὸν, λαμπρόν.
Φ ήνωσι, δείξωσι. ¶ Φῆρα, θῆρα εἶπεν. ¶ Φῆρες, οἱ κένταυροι αἰολικῶς. ¶ Φηρεία, θηρεία αἰολεῖς.
Φ ῆρος, ἡ τῶν ἀρχαίων θεῶν τροφή. ¶ Φὴς λέγεις ὑπολαμβάνεις. ¶ Φῆσθα, λέγεις, ἔφησθα. ¶ Φήξομαι, λέξομαι, βοήσομαι. ¶ Φητὼ, σύριγξ.
Φ θαίημεν, φθάσομεν. ¶ Φθὰν. ἔφθασαν δὲ τοπολλὸ τοὺς ἱππέας οἱ πεζοί. ¶ Φθάνει, καταλαμβάνει, προλαμβάνει. ¶ Φθατήσῃ, φθάσῃ. ¶ Φθεῖ, θνήσκει.
Φ θαρτὸν, θνητόν. ¶ Φθιάδος, θετταλικῆς.
Φ θιμένων. ἀποθανόντων. ¶ Φθίνει, ἀναλίσκει.
Φ θινόπωρον, ὅ ἐστι μετὰ τὸ θέρος ἢ νόσος. ¶ Φθεὶρ, ὁ τῆς πίτυος καρπὸς, καὶ μέρη τῆς νεὼς πρὸς τῇ πρύμνῃ καὶ ἰχθύς τις. ¶ Φθεῖρα φθειρίασιν. ¶ Φθείρεται, πλανᾶται ἀπόλλυται. ¶ Φθειροκομίδης φθειρῶν γέμων.
Φ θεῖνος, φθαρεῖνος. ¶ Φθειρῶν ὄρος πιτυῶδες ὄρος διὰ τὸ πληθύνειν ἐν αὐτῷ πίτυσι. τῶν γὰρ στροβίλων τὰ ἔνδον φθεῖρας καλεῖσθαι. ¶ Φηρσί: κενταύροις.
Φ θήσονται, διαφθαρήσονται. ¶ Φθῆ, ἔφθασεν.
Φ θίη, φθάσῃ πρότερος. ¶ Φθῆναι, φθάσαι, προλαβεῖν. δεῖξαι. ¶ Φθήσεται, καταλήψεται, φθάσῃ, καὶ φθία πόλις θετταλίας. ¶ Φθιακὸν, τμητικόν.
Φ θίη. φθίσει. ¶ Φθίμενοι, θανόντες. ¶ Φθίμενος, φθαρεὶς, θανείς. ¶ Φθίνα, ἡ ἐρυσίβη καὶ εἶδος ἐλαίας. ¶ Φθινὰς ἁμέρα, τὴν ἱσταμένην τρίτην τριμήνιον λέγει. ¶ Φθινάσμασι, φθίσεσι: ¶ Φθίνοντος, λήγοντος παυομένου, ἀναλισκομένου. ¶ Φθίνοντος μηνὸς, λήγοντος τοῦ μηνός. φθίνων δὲ μὴν καλεῖται ὁ ἀπὸ εἰκάδος ἕως τριακάδος μέσος δὲ μὴν ὁ ἀπὸ δεκάδος ἕως εἰκάδος. ἱστάμενος δὲ μὴν, ὁ ἀπὸ πρώτης ἕως πέμπτης. ¶ Φθινόντων, φθειρομένων. ¶ Φθινόπωρον, ὁ ἀπὸ τῆς πεντεκαιδεκάτης αὐγούστου μηνὸς, ἕως τῆς πεντεκαιδεκάτης δεκεμβρίου, οἱ δὲ ἀπὸ τῆς εἰκοστῆς δευτέρας αὐγούστου, ἕως πάλιν εἰκοστῆς δευτέρας δεκεμβρίου.
Φ θινύθειν, φθείρεσθαι, τήκεσθαι. ¶ Φθινύθουσιν, εἰς φθίσιν ἄγουσιν. ¶ Φθινύθουσι, φθείρονται.
Φ θίνουσαν. ἐλαττουμένην. ¶ Φθίοι, οἱ ὑπὸ πρωτεσιλάῳ τεταγμένοι. ¶ Φθεὶρ, ὁ τῆς πίτυος καρπός.
Φ θίσις, ἡ λεπτὴ ἀπὸ φθίσεως. ¶ Φθίσεσθαι, θανεῖν.
Φ θισήνορα, ἡ τοὺς ἄνδρας διαφθείρουσα, ἢ τὴν ἀνδρείαν
Φ θισκὸς, φθισικός. ¶ Φθίσει, ἀπολέσει.
Φ θίσθαι, ὀλέσαι. ¶ Φθισίμβροτος. ἀνθρωποκτόνος διαφθείρων τοὺς ἄνδρας. ¶ Φθίσων, εἰς φθίσιν ἄξων καὶ φθείρων καὶ φθερῶν. ¶ Φθίνοιτο θάνοιτο, ἢ ἔθανεν. ¶ Φθιτοὶ, φθαρτοὶ θνητοὶ, νεκροὶ. ἢ εἴδωλα
Φ θιώτην, θετταλικήν. ¶ Φθογγὴ, φθέγμα, ἡ φωνή.
Φ θόγγος, φθογγὴ φωνὴ καὶ τὰ ὅμοια.
Φ θόη, φθίσις, φθορὰ, λύμη. ¶ Φθοατήσει. φθάσει κτήσασθαι. ¶ Φθόϊς. πλακοῦς, καὶ τὰ πρὸς δεῖπνον ἀλληλεσμένα. καὶ τὸ ἀπορρέον ψῆγμα τοῦ χρυσίου.
Φ θονεῖς, ζηλοῖς, βασκαίνεις.

Φ άλα, ἄκρα τῆς εὐβοίας. ¶Φάλλη, ἡ πεποιημένη ψυχή. ¶Φάλικα, ᾠδὴ πεποιημένη εἰς τὸν διόνυσον, τοῦ φαλλοῦ ᾀδομένου. ¶Φαλλικὸν, ὄρχημά τι, οἱ δὲ μέλος, ἄλλοι ᾠδὴν αὐτοσχέδιον ἐπὶ τῷ φαλλῷ ᾀδομένην. ¶Φαλλὸς, λευκὸς, ἢ βόλος ἐπὶ τὸν φάλλον τὰ ἐμμανῆον. ¶Φαλὸν, τὸ στερεὸν κύκλωμα τῆς στέρνης οἱ δὲ τὸν μετωρόν. ¶Φάλος, ὁ λόφος τῆς περικεφαλαίας, καὶ τετράφαλεια ἡ τέσσαρας κεφαλὰς ἔχουσα, ἔνιοι λευκὸς ἧλος, ἄλλοι ψελλὸς, ἄλλοι κωφός. ¶Φαλύγματα, ὑγράσματα. ¶Φαλύνει, λαμπρύνει.

Φ αλόσετη, καταῤῥήσσει, περιέρχεται. ¶Φαλωθεὶς παραξαπείς. ¶Φάμην, φήμην. ¶Φαμάξεις, φήσεις. ¶Φθιμένων, τετελευτηκότων. ¶Φάμεν, λέγομεν. ¶Φάμενος, εἰπών. ¶Φάμην, εἶπον.

Φ άμμη, ἄλφιτα. ¶Φαμμάσρια, τὰ ψαιστὰ καὶ ἑορτή τις. ¶Φὰμ, ὑπέλαβον λέγειν. ¶Φάναι, εἰπεῖν.

Φ αναῖος ἀπόλλων. ἀχαιὸς ὀμφαλη. παρὰ χίοις οὕτω λέγεται. ¶Φανᾶν, θέλειν. ¶Φάναοι, ἄρνες.

Φ ανας, ἐκλάμψας, ἢ τὰς ἐκλάμψεις. ¶Φανὸν, τὸ φαινόμενον. φωτεινὸν καὶ λαμπρόν. ἀττικοὶ δὲ λυχνοῦχον ἐκάλουν. ὃ ἡμεῖς νῦν φανόν. ¶Φαίνοντα, λάμποντα. ¶Φαντάζομαι, συκοφαντοῦμαι. ¶Φαντάζου δόμῳ, φαίνου. ¶Φαντάσας, δείξας. ¶Φαντασία, τὸ μὴ ὂν ἀληθὲς, ἀλλὰ σχήματι. ¶Φαίνητι, εἰπόντι. ¶Φαντίζοιτο, φαίνοιτο. ¶Φαίδρος, εἰπόντος, ἢ πλάτανος φανωτάτη, περιφανὴς λαμπρά.

Φ ανοτάτη, φωτεινοτάτη. ¶Φαοσκὶς, ζυγίς. ¶Φάος φῶς, ὄρθρου ἀνατολή. ¶Φάος ἠελίοιο, ἡ αὐγή.

Φ άπιν, τὴν ταφρίην. ¶Φαραξαῖον, τὸ φάραγξας τὸ κάλυμμα. ¶Φάραγξ, τάφρος κοίλωμα. ¶Φάραξι, κοιλάσι. ¶Φάρειν, ὑφαίνειν, πλέκειν. ¶Φαρσακιδάκη, μυρίκη. ¶Φάραγμα, φραγμός. ¶Φαρέτρα, βελοθήκη. ¶Φαρετρεὼν, τοξότης. ¶Φάρη, ἱμάτια νεφέλαι. ¶Φάρικον, φάρμακον σύνθετον θανάσιμον.

Φ αρινὸν, τὸ ἐρεοῦν. ¶Φάρις, ὄνομα πόλεως. ¶Φαρκάζει, κλέπτει. ¶Φαρκιδούμενοι, συνάζοντες.

Φ αρκὶς, ῥυτὶς ἡ ἐκ τοῦ γήρους γινομένη, ἢ ῥίζα περὶ ῥυτίδας ποιοῦσα, ἢ σολίς. ¶Φαρκίδων, ῥυτίδων, ἢ πόλις.

Φ άρκες, νεοσσοί. ¶Φάρκτου, φυλακὴν σκεύαζε.

Φ άρμακα, βοτάναι, χρώματα, καὶ πᾶσα πόα. ¶Φαρμακεύεται, σκευάζεται, ἀρτύεται. ¶Φαρμακίτης, ἀλδιφάρος. ¶Φαρμακίς, ἡ γυναικὸς φαρμακίδος, καὶ εἶδος φαρμάκου ἢ ἀκρίς. ¶Φάρμακοι, καθαρτήριοι περικαθαίροντες τὰς πόλεις. ἀνὴρ καὶ γυνή. ¶Φαρμακὴ, ἡ χύτρα, ἣν ἡτοίμαζον τοῖς καθαίρουσι τὰς πόλεις.

Φ άρμακον, ἡ ὑποστάθμη· ἄλλοι σύνθεσις ὃ κηδεύουσι τὰ ἱερὰ τῶν ζώων. ¶Φαρμακῶνες, τὰ βαφεῖα, διὰ τὸ τὰ βάμματα φάρμακα καλεῖσθαι. ¶Φαρμάξαι, ὀξῦναι. βάψαι. ¶Φαρμάξασα, ἀπατήσασα. ¶Φαρμάσσει, φαρμακεύεται, θεραπεύει, φαρμακεύει. ¶Φαρμάσσων, βάπτων στομῶν, στομοποιῶν, φαρμακεύων. ¶Φαρματτόμενος, κολακευόμενος, ἀλειφόμενος. ¶Φάρος, ἱμάτιον, περιβόλαιον, ἀκρωτήριον. καὶ νῆσος ἐν αἰγύπτῳ.

Φ άρος στελῶν, τὸ περιβόλαιον στελῶν. ἢ τὸ ἄρμενον.

Φ αροῦν, ἀροτρεῖν. ¶Φάρσος, ζόφος, κλάσμα, πλόδρυπιον ἀκρωτήριον. ¶Φαρύαιθρον, ὁ κατὰ τὰ προθύμια τόπος. ¶Φαρυγγίδα, ἀντὶ τῆς γαστριμαργίαν.

Φ άρυγξ, λάρυγξ, βρόγχος, στόμα. ¶Φαρυμὸς, τολμηρὸς, θρασύς. ¶Φαρῦδο, ὁμοίως. ¶Φαρύνει, λαμπρύνει. ¶Φαρῶσαι, ἀρόσαι, νεῶσαι, λαμπρυνθῆναι.

Φ άς, εἰπών. ¶Φάσκεις, συκοφάντει. ¶Φάσγανον, ξίφος, παρὰ τὸ φάσαι ὃ ἐστιν ἀνελεῖν. ¶Φασγάνεται, ξίφει ἀναιρεῖσθαι. ¶Φασγανιῶσαν, ἐξιφισμένην.

Φ ασγανίων, ἐξιφισμένων. ¶Φάσεις, ἐγκλήματα, συκοφαντίαι, ἢ ἐνυπνίων ὄψεις, λόγοι, φῆμαι. ¶Φᾶσθαι, λέγειν. ¶Φασιανοὶ, ὄρνις ποιοί. οἱ δὲ, γῆς ποντικοῖς φασίν. ¶Φᾶσις, ποταμὸς κόλχων. ¶Φασκάδες, ὄρνεις ποιοί. ¶Φασί, λέγουσι. ¶Φάσκει, λέγει. ¶Φάσκοντα, λέγοντα. ¶Φάσκος, τὸ ἐπὶ τῶν δένδρων γινόμενον. ¶Φασκώλιον, βαλλάντιον, φάσκωλος δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται. ¶Φάσκω, λέγω. ¶Φάσμα, φάντασμα, σημεῖον, τέρας.

Φ ασσοφόνῳ, τῷ τὰς φάσσας φονεύοντι. ἔστι δὲ εἶδος περιστερᾶς ὑπὸ τὴν τρυγόνα. ¶Φάτε, εἴπατε. ¶Φατὲ λέγετε. ¶Φατίζει, λέγει, χωρίζει. ¶Φατερὶς, εἶδος ὀρχήσεως. ¶Φάτης, ψεύστης. ¶Φάτις, φήμη, δόξα, λόγος, κληδών. ¶Φάτνη, καὶ ἡ τράπεζα, ἡ τῶν κτηνῶν, καὶ εἴ τι τῶν τοιούτων. ¶Φατνώματα, σανιδώματα. ¶Φατνωτῶν, σανιδωτῶν. ¶Φάρ, εἶπε, διενοήθη, ὑπέλαβεν. ¶Φαροὶ, τεθνεῶτες, ῥυτοί.

Φ αδὸς, ὁμοίως. ¶Φατὸν, τεθνηκὸς, ῥητόν. ¶Φατὸς στοιβὴ, φήμη. ¶Φάζαι, σύστημα. ¶Φατρεία, σύνταγμα, σύστημα. ¶Φάτνιον, τόπον ὕπαιθρον, ἐρείπιον φάνα. ¶*Φατῶζεν, γνῶθι. ¶Φαῦδαι, γένη σκυθῶν.

Φ αύειν, ποιεῖν. ¶Φαυίζειν, φρύγειν. ¶Φαῦλα, κακὰ δόλια εὐτελῆ. ¶Φαυλία, εἶδος ἐλαίας, οἱ δὲ τὰς λευκάς. ¶Φαύλια, μῆλα τὰ μεγάλα. ¶Φαυλίον, ἁδρὸν καλόν. ¶Φαυλί..., ὀρθός. Φαύλιος, ἰταλικὸς θεός.

Φ αυλίστρια, ἡ καταπελωτρία. ¶Φαῦλον, ἁδρὸν καλόν. εὐτελὲς, μέσον. μοχθηρὸν, ἀραιόν. ¶Φαῦλος, κακός, δόλιος, χαλεπός. εὐτελής· ἁπλοῦς καταγέλαστος.

Φ αύλως, ὁλοσχερῶς καὶ τὰ ὅμοια. ¶Φαῦνος, φαίνων αὐτόν. ¶Φαιὸν, ἀκανθῶδες φυτόν. ¶Φαυοφόροι, αἰολεῖς ἱέρειαι. ¶Φαῦρος, κοῦφος.

Φ αυσίγγες, αἱ ἐν ταῖς πτέρναις γινόμεναι ῥαγάδες, ἔνιοι τὰς ἀπὸ τοῦ πυρὸς ἐν ταῖς κνήμαις καὶ τοῖς σκέλεσι γινομένας φλυκταίνας. δηλοῦσι δὲ καὶ αὐγὰς καὶ ἀκτῖνας. ἄλλοι δὲ αἱμοῤῥοΐδας καὶ φλυκταίνας καὶ λαμπηδόνας. ¶Φαῦσις, φῶς, φέγγος, φωταυγία.

Φ αῦσμα, σπλάγχνα ἐκ σίτου πεποιημένα. καὶ αἱ ἀπαρχαὶ τῶν πεμμάτων. ¶Φαίων τῶν δυσμόρφων. ἐγένετο* ἠρέθιζεν. ¶Φέβεσθαι, φεύγειν. ¶Φέβομαι, φεύγω, φοβοῦμαι. ¶Φέβοντο, ἐφοβοῦντο, ἔφευγον.

Φ οβεῖ, διώκει, φεύγει. ¶Φοοψὶς, λαμπρὸν φαίνουσα.

Φ έγγουσαν, λαμπρύνουσαν. ¶Φέγγος, φῶς, ἡμέρας. φέγγος, σελήνης. ¶Φειά. πόλις θεσσαλίας.

Φ ειδαλφιτοῦσαι, φειδωλὸν περὶ τὰ ἄλφιτα γενέσθαι.

Φ είδεσθαι, ἐλεεῖν. ¶Φειδικόμισος, ἡ διὰ μαρτύρων πίστις. ¶Φειδὸς, φειδωλός. ¶Φειδοῦς, φειδωλίας. ¶Φειδῶ, τὸ φείδεσθαι. ¶Φειδώλιον, δίφος σφίλας, χόρρος. ¶Φειδωλὸς, φειδόμενος δαπανᾶν, σκνιφός. ¶Φείδων, ὄνομα κυρίου.

Ψωραλέοντα, ψωριῶντα. ¶ Ψωροπέταλοι, ἰχθύες εὐτελεῖς. ¶ Ψῶρος, παιδεραστής. ¶ Ψῶσαι, θάλψαι. ¶ Ψώματα, τὰ ἀεὶ σωνύμω ὑπακτὴν(?) ὁ λέξις τῇ βοιωτῶν διαλέκτῳ. ¶ Ψώχειν, ἀνακινεῖν, ἀνατρίβειν. ¶ Ψώχοντες, λεπτύνοντες, πλύνοντες, ἀναξαίνοντες. ¶ Ψώχω, λεπτύνω, πλύνω, ξαίνω. ¶ Ψωχὸς γῆ ψαμμώδης.

ΑΡΧΗ ΤΟΥ Ω ΜΕΓΑΛΟΥ ΣΤΟΙΧΕΙΟΥ.
ΤΟ Ω ΜΕΤΑ ΤΟΥ Α.

Ὢ θαυμαστικῶς, λίαν, οἷον, ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ. ¶ Ὢ ἐπίρρημα σχετλιασμοῦ. ¶ Ὦ ἄρθρον κλητικῆς πτώσεως, οἷον, ὦ ἄνθρωπε. ¶ Ὤα, τοῦ προβάτου ἡ μηλωτή. ὤα δὲ, τῶν ἱματίων καὶ τὸ λῶμα τοῦ ἐνδύματος, καὶ τὸ περιστόμιον τοῦ ἱματίου.
Ὤας, τὰς κόμας, καὶ τὰς διφθέρας οὕτω φασί. ¶ Ὤασιν, ὠσίν. ¶ Ὤατα, ὠτία, ὦτα. ¶ Ὠάσω, ἠίσω, ἀκούσομαι. ¶ Ὤαχει, χομένῳ, περὶ ἑαυτοῦ ἄχει κατάσχερς γινομένη. ¶ Ὦβοι, τόποι μεταλαμβρεῖς(?). ¶ Ὠβάλλετο, διωθεῖτο. ¶ Ὠβάρεις, τοὺς φυλέτας. ¶ Ὤβεα, τὰ ᾠὰ ἀργεῖοι, ἢ τὰ ἄργα ὦτα. ¶ Ὠβεοκόπτας, τοὺς ὄφεις ἀπὸ τούτου ὤβεα, ᾠόν, καὶ τοῦ προσικοῦ τὸ ἐντός.
Ὠβὼμ, πόλισμα μωαβιτῶν. ¶ Ὤβραρ, [illegible]. ¶ Ὤκνη(?), κνημὶς, ἀμάρη. ¶ Ὠγενίδαι, ὠκεανίδαι, ὠγὴν γὰρ ὠκεανός. ¶ Ὠγένιον, παλαιὸν, ἢ ὄρος τι. ¶ Ὠγὴν, ὠκεανός. ¶ Ὠγὴ, κώμη. καὶ φάλαγγος τὸ ἔσχατον ἢ τὸ ἄκρον. ¶ Ὤγκωσαν, ἐμετεωρήσαν. ¶ Ὤιγνυτο, ἀνεῴγνυτο. ¶ Ὠγύγια, ἀρχαῖα τείχη. ¶ Ὠγυγίη, ὄνομα τῆς νήσου Καλυψοῦς. ¶ Ὠγυγίου, παλαιοῦ ἀρχαίου μεγάλου πολύ. ¶ Ὤγυλλοντο, συνεκάμπτοντο.
Ὠγμὸς, φωνὴ μετὰ τοῦ ἐκβοηθῆσαι, ἢ μετὰ χειροτονίας.
Ὠδὴν, διάφραξις. ¶ Ὠιδαῖς, ὑμνῳδίαις, ᾄσμασιν.
Ὠδάκτατον, ἔδακνον, ἀπέβρωσαν. ¶ Ὠλιδάγμην(?), ὠνησάμην. ¶ Ὠλίξατο, ἐδίδαξεν. ¶ Ὤλλοσαν(?), ἀπώλοντο. ¶ Ὧδε, οὕτως, ἐνταῦθα, εἰς τοῦτον τὸν τρόπον.
Ὧδ' ἂν εἴη, οὕτω γὰρ ἂν εἴη. ¶ Ὧδ' ἄν, οὕτω δ' ἄν.
Ὠδεῖον, τόπος ἐν ᾧ πρὶν τὸ θέατρον κατασκευασθῆναι οἱ ῥαψῳδοὶ καὶ οἱ κιθαρῳδοὶ ἠγωνίζοντο. ¶ Ὤιδηκα, ἐφροντισάμην. ¶ Ὧδ' ἂν, οὕτως ἄν. ¶ Ὧδ' εἶμι, ὧδ' αὐτή. ¶ Ὧδέ ποι, ὧδέ πως. ¶ Ὧδέ πως. θείῳ νεύματι, ἢ οὕτω πῶς τὸν τρόπον. ¶ Ὧδέ ποτε, οὕτω γάρ. ¶ Ὠιδή, ᾆσμα, ὑμνῳδία. ¶ Ὠιδηκώς, οἰδήσας, πεφυσημένος. ¶ Ὠδίον, φορτίον.
Ὠδῖνες, τοκετοί. ¶ Ὠιδήκας, ἀνοιδαινόμενος(?). ¶ Ὠιδικός, μουσικός. ¶ Ὠδίνει, πάσχει, λυπεῖται, τίκτει, ἢ ἐγκυμονεῖ. ¶ Ὠδίνησεν, ἐγέννησεν. ¶ Ὠδῖνες, πόνοι, ἀλγηδόνες. ¶ Ὠδίνων, κυημάτων τοκετῶν.
Ὠδῶν, ᾠδικῶν. ¶ Ὠιδῆσαι, ἐκ τοῦ ᾠδὴ μέρους. ¶ Ὤιδουν, ὠργιζόμην ἐν ἑαυτῷ, ἠγανάκτουν, ᾤμωζον. ¶ Ὠδύραντο, ἐθρήνησαν. ¶ Ὠδύσατο, ἐχολώθη, ὠργίσθη, ἐμέμψατο, ἤχθετο, ἐμίσησεν, ἐθυμώθη. ¶ Ὠδυσσίη, ὠδύνης, ὀργὴ, μέμψις. ¶ Ὤδυσσα, ἤχθετο. ¶ Ὧδ' ἄφαρ, οὕτω ταχέως. ¶ Ὤζωσε, σέσηπεν ὦζεσεν.
Ὠέται, πολῖται. ¶ Ὠέτο, ὑπελάμβανεν, ἐνόμιζεν.

Ὤϊετο δεῖν, ἐνόμιζε πρέπειν. ¶ Ὤζειν, βοᾶν. ¶ Ὤζεν, ἐβόησεν. ¶ Ὤζοντες, βοῶντες καὶ λέγοντες ὦ ὦ καὶ θαυμάζοντες. ¶ Ὦ ἴδος(?), ὦ φίλος. ¶ Ὠήθη, ἐνόμισεν, ὑπέλαβεν. ¶ Ὠθείχεα, ὠθεινοὶ, ὑπήνεμοι ὠθειμοι.
Ὠθεῖ, ἀναστρέπει. ¶ Ὠθισμός, ὠσμός, ἀναστροπή.
Ὠθήσας, ἀναστρέψας, ὤσας. ¶ Ὠθύλλετο, διενοεῖτο.
Ὢι, ἀντὶ τοῦ δὸ, ἢ ὦ τινι. ¶ Ὦιαι, ἄκραι, ἔσχαται, μηλωταὶ, λάσιαι. ¶ Ὤιγνυτο, ἠνοίγετο, ἀνεῴγνυτο.
Ὠιλάμ, ὠδήν(?). ¶ Ὠίδας, τὰς μικρὰς οἰκίδας.
Ὠιδηκώς, οἰδήσας, φυσήσας. ¶ Ὠίδας, οὐδός.
Ὤιζε, ἐπικάθητο. ¶ Ὠιζύος, ταλαιπωρίας. ¶ Ὠιζυρὰ, μοχθηρά. ¶ Ὤιε, πορεύεται. ¶ Ὠικέτευεν, ᾤκει.
Ὠκοδόμησεν(?), ᾠνοχόουν. ¶ Ὠΐσατο, ᾠήθη. ¶ Ὤιχα, ὠθεινὰ ὑπήνεμα. ¶ Ὤιχετο, ἐπεχέθη. ¶ Ὠίσθη, ὑπέλαβεν, ᾠήθη. ¶ Ὦ ῥᾶ, ὦ ἄρα, ὦ δήποτε.
Ὤιστο, προσεπλήχετο. ¶ Ὠίασαν, ᾤοθη, ἔδοξεν.
Ὦκα, εὐθέως, ταχέως, ὠκέως, ὀξέως. ¶ Ὠκαλέον, ταχὺ, ὀξύ. ¶ Ὠκαχίμενοι, λυπησόμενοι.
Ὠκεανίνης, κούρης [illegible]. ¶ Ὠκεανοῖο, πόρον τὸν ἀέρα εἰς ὃν αἱ ψυχαὶ τῶν τελευτώντων ἀποχωροῦσιν.
Ὠκεανὸς, ἀὴρ, θάλασσα, ἢ ποταμὸς ὑπερμεγέθης, φασὶ δὲ καὶ ὁμώνυμον αὐτῷ ἐν Κρήτῃ. ¶ Ὠκέα, ταχέα. ¶ Ὠκέας, ταχεῖς. ¶ Ὠκέες, στρουθοὶ, ταχεῖς. εὐπρεπεῖς, κοῦφοι. ¶ Ὠκείλαντες, ὁρμήσαντες, προσπελάσαντες, προσπεσόντες. ἐξωκείλαντες, καὶ ὤκειλεν τὰ αὐτά. ¶ Ὤκεον, ᾤκουν.
Ὠκεῶν, ἁμαρτῶν, ἢ ταχέων. ¶ Ὠκέως, ταχέως.
Ὠκίδιος, ἐνώπια. ¶ Ὠκειάων, ταχυτάτων. ¶ Ὠκήεσσα, φθαρεῖσα. ¶ Ὤκιμον, βοτάνη εὐώδης, τὸ λεγόμενον βασιλικόν. ¶ Ὠκίμβαζεν, ἐτάραττεν, ἐθορυβεῖτο, ἐστρατεύετο. ¶ Ὤκιστον, τάχιστον.
Ὤκλαζεν, συνέκαμπτε τὰ γόνατα. ¶ Ὤκλασαν, τὰ αὐτά. τὰ γόνατα ἔκαμψαν. ¶ Ὠκλίνασαι, κλίνασαι. ¶ Ὠκειόωντο, ὠξύνοντο, ἐταχύνοντο.
Ὤκτειρεν, ἠλέησεν. ¶ Ὠκὺ, ὀξὺ, ταχύ. ¶ Ὠκυάλα πέζα, ὠκέα περαγωγούς(?), ὡς ὠκύαλος ναῦς.
Ὠκύαλος, ὠκεῖα, ταχεῖα, ταχύπλους. ¶ Ὠκυαγής ἐπῳδῶν, ὧν ἡ δύναμις ἐπιφανής. ¶ Ὠκυβόαι, ταχυμάχαι. ¶ Ὠκύθοον, πόα τις ἡ τρίφυλλος καλουμένη. ¶ Ὠκύμοροι, ταχυθάνατοι. οἱ ἀώρῳ θνήσκοντες θανάτῳ. ¶ Ὠκύνει, ταχύνει. ὀξύνει.
Ὠκυπέτα, ὀξέως πετόμενα. ¶ Ὠκυπόροι, ταχυπόροι.
Ὠκυπόροισι, ταχέα ῥεύματα ἔχουσι καὶ πλέουσιν.
Ὠκύπορος, ταχέως πορευόμενος. ¶ Ὠκυπόρων, ταχυπόρων. ¶ Ὠκύπτερος, ταχέως πετόμενος, ἢ εἰς ὀξὺ ληγούσας πτέρυγας ἔχων. ¶ Ὠκυρόοι, ταχέα ῥεύματα ἔχουσιν. ¶ Ὠκυρόῳ, ταχέως ῥέοντι.
Ὠκὺς, ταχύς. ¶ Ὠκύσημον, ταχέως φανερόν.
Ὠκύτης, ταχύτης. ¶ Ὠκυτέρας, ταχυτέρας.
Ὠλέθριον, ἐφόνευον. ¶ Ὠλέκρανον, ὁ ἀγκών.
Ὠλέναι, οἱ πήχεις τῶν χειρῶν καὶ βραχίονες, καὶ ὠλέναι ὁμοίως. ¶ Ὠλένας, χεῖρας ἀγκάλας.
Ὠλενίαδε, ὡς ἄγραδε. ¶ Ὠλένιον κακὸν ἢ ἀλινό(?). ¶ Ὤλενος, πόλις ἀχαΐας. ¶ Ὠλέεσον, πῖνος. ¶ Ὠλεσίκαρποι, αἱ ἰτέαι, διὰ τὸ ταχέως ἀποβάλλειν τὸν καρπόν. ἢ ὅτι πινόμενος ὁ καρπὸς ἀγόνους ποιεῖ.

γλωσσον. ¶ Ψηφῖδες, ψῆφοι μικροὶ λίθοι. ¶ Ψηφιζομένων, κρινόντων. ¶ Ψηφίσματα, γνῶμαι ἀρέσκουσαι. ¶ Ψῆφος, λόγος κρίσις ἀπόφασις παρὰ λαλιᾶς.
Ψηφοφορία. ἡ πολλῶν ψῆφος καὶ ἀποδοχή. ¶ Ψηφῶν φροντίζων, ψηφολογικό. ¶ Ψήχει, καταμάσσεται, τρίβει, ξύει, σμήχει. ψύχει, πραΰνει. ¶ Ψόχει, πραΰνει καὶ τὰ ὅμοια. ¶ Ψήχομαι, τὸ διακαστήρ. ¶ Ψηχρὰν, τὴν λεπτήν. ¶ Ψίαι, χαρά, γελοίασμα. παίγνια.
Ψιαδεῖν, παίζειν. ¶ Ψιάδες, ψακάδες, ῥανίδες, σταγόνες. ¶ Ψιάζει, ψακάζει. ¶ Ψίαθια, τὰ ἐν τοῖς ἀκατηνείοις ὑπὸ τῶν καθεδρῶν ἐπιστορνύμενα. ¶ Ψίαθος, ἡ χαμεύνη καὶ τὸ φυτὸν, ἐξ οὗ πλέκεται ψίαθος. ¶ Ψίαι ἀλώπεκες. ¶ Ψίακα, ψακάδα. ¶ Ψιαρόν. εὐώδες.
Ψίγναι, τεῖχος. ¶ Ψίδες, ψιάδες ψακάδες.
Ψιδεῖ, ὑποπιεῖ, βαδεῖ. ¶ Ψιδυνοὶ, διάβολοι, ψίθυροι.
Ψίεσα, εὐδαίμων, μακαρία. ¶ Ψίεντα, τὰ αὐτά.
Ψιζομένη, κλαίουσα. ¶ Ψίης, μακάριος, εὐδαίμων.
Ψῆναι, ψέξαι. ψῆσαι, ψωμίσαι. ¶ Ψιθία. εἶδος ἀμπέλου. καὶ μήλων τινῶν. ¶ Ψιθὴν, τὴν ἀπώλειαν.
Ψιθύρα, ἐξ ὧν τὸ συνώθησις καὶ ἥρωος ἀθήνησιν ὄνομα.
Ψιθυρίζει, εἰς τὸ οὖς ἠρέμα διαλέγεται. ¶ Ψιθωμίαν, λάκωνες τὸν ἀσθενῆ. ¶ Ψιλάς, πέζα κράσπεδον.
Ψιλὰ, τὰ γένεια σπανοπώγων. ¶ Ψιλαῖς, ἀκοσμήτοις.
Ψηλαφῶ, ἐρευνῶ, καὶ τὰ ὅμοια. ¶ Ψίλακα. ψιλόν, λεῖον τάπιδον ἢ πλεκτόν. ¶ Ψιλάκωρ, τὸ ἐγγιστὴς χοροῦ.
Ψιλεῖς, οἱ ὕστατοι χορεύοντες. ¶ Ψιλίοις, πλαγίοις, ἢ στενοῖς. ¶ Ψιλίον, σπάθιον μακρὸν, οἱ δὲ ψέλλιον, ἢ εἶδος ἄνθους. ¶ Ψιλοδιτόρων*. βρώτη. ¶ Ψιλοκόρρης, φαλακρός. ¶ Ψιλὸν, γυμνὸν, ἔρημον, εὐτελές, ἄτριχον καὶ πᾶν ἀποδεδαρμένον. ¶ Ψιλὸς, στέφανος στενός. καὶ ὁ ἱππεύς. ¶ Ψιλοτάπιδες. αἱ καλούμεναι ὑποστρώματα καλά. ¶ Ψιλοῖς, γυμνοῖς, σφενδονισταῖς, τοξόταις. ¶ Ψίλωθρον, στολὴ, ἔνιοι μαδόν. ¶ Ψιμαρὸν, εὐδέων. ¶ Ψιλῶς, κούφως, εὐτελῶς. ¶ Ψὶν, αὐτοῖς, αὐτόν. ¶ Ψινάδες, αἱ ῥυάδες ἄμπελοι. ¶ Ψινάζει, ἀπορρεῖ, τὰ ἀσθενῆ τοῦ καρποῦ φυλλορροεῖ. ¶ Ψίναθος, ἀγρία αἴξ. ¶ Ψινδεσθαι, κλαίειν. ¶ Ψίνθος, τέρψις. ¶ Ψινύθιον. φαῦλον.
Ψίσαι, ψωμίσαι. ¶ Ψίπος, ἀπώλεια. ¶ Ψίττον, ταχέως εὐθέως. ¶ Ψιττάζων, ψιττὰ ἐπιφθεγγόμενος ὅπερ ἐστὶ ποιμενικὸν ἐπίφθεγμα. ¶ Ψιττακίαι, εἶδος ὑποδήματος γυναικείου. ¶ Ψιττία, ψωμία ἀττικοί.
Ψιφά, ἔψητα λεπτά. ¶ Ψιφάριον, ἴσιον, ὅτε δὲ ψίαθος, ἢ μικρὸν ὀρνιθάριον. ¶ Ψίχινα, ψωμία. ¶ Ψίχαι, αἱ ἀποπίπτουσαι τῶν ἄρτων τεμνομένων ψιχίαι.

ΤΟ Ψ ΜΕΤΑ ΤΟΥ Ο.

Ψόαν, ὀχεύτειαν: ¶ Ψόα τὸ μέρος τοῦ σώματος.
Ψόγια, ψοφρὰ καὶ οὐκ ἄξια ἀκοῆς. ¶ Ψοπρὰ, ὡς λίαν μεμπτά. ¶ Ψογερὸν αἰσχρὸν, μεμπτὸν ἐπίψογον. ¶ Ψόγξαι, ἀκοῦσαι. ¶ Ψόγος, κατάγνωσις. μέμψις ὄνειδος. ¶ Ψοδίον, σκολιόν.
Ψοθάλλειν, ψοφεῖν. ¶ Ψοθίον, αἰθαλώδες. ¶ Ψοθὸν, μέλαν, θόρυβος. ¶ Ψόθος, ψώρα, ἀκαθαρσία.
Ψόθωρον, αὐχμηρόν. ¶ Ψοθώα, ψώρα. ¶ Ψόιθησις ἀλαζών. ¶ Ψολοκαμπίαι, ἀλαζόνες, κομπασταί.

Ψολὸς. καπνὸς αἰθάλη. φλὸξ ἀσβόλη. ¶ Ψολῶσαι, ψιλῶσαι ῥινῆσαι. ¶ Ψόμμος, ἀκαθαρσία. καπνός.
Ψοδίαν, ψωλὴν, λάκωνες δὲ τὸ ἐνστόμαχον. ¶ Ψοφεῖ, κτυπεῖ, ῥήσσει. ¶ Ψοφοειδῶς, ταραχωδῶς.
Ψοφοδεὴς. δειλὸς κενοφόβος ὁ καὶ πρὸς ψόφους καὶ τὰ ἐλάχιστα φοβούμενος. ¶ Ψοφοδεῶ, τὸ ὅμοιον αὐτῷ.
Ψόφος, ἦχος κτύπος. ¶ Ψυγεῖα, ἀγγεῖα, ἐν οἷς ὕδωρ ψύχεται καὶ ὁ τόπος αὐτός. ¶ Ψυδνὴ χέρσος, ἀραιά. ὀλίγη. ¶ Ψυδρὰ ψευδῆ. ¶ Ψυδρὸν, ψευδές.
Ψυθιζομένων, τονθρυζόντων. ¶ Ψύθιον, ὀλιγοχρόνιον.
Ψύθος, ἀραιὰ ὀλίγη, ψιθυρίς. ¶ Ψυθυσταὶ. ψιθυρισταί.
Ψυθὸς, ψίθυρος. ψεῦδος. ¶ Ψυθωνίδες, διάβολοι.
Ψύαι, ἀλώπεκες, βασσαρίδες, καὶ αἱ κατὰ τὴν ὀσφὺν σάρκες. ¶ Ψυκτὰ ὁ μὴ πολλῷ ὕδατι πεφυραμένη μάζα. ¶ Ψυκτὴρ ὃν ἡμεῖς ψυγία, καὶ εἶδος ποτηρίου.
Ψυκτηρίαι, οἱ ἀλσώδεις καὶ σύσκιοι τόποι. ¶ Ψυκτήριον, ποτήριον ὃ ἡμεῖς ψυκτῆρα φαμέν. ¶ Ψύλλα, ψύλλαι θηλυκῶς. ἄλλοι δὲ ψύλλοι ἔθνος λιβυκόν. ἔστι δὲ καὶ ὄνομα ζωυφίου μικροῦ ἀρρενικῶς ὡς φησιν ἐπίχαρμος. ¶ Ψύλλακας τὰς ψύλλας. ¶ Ψύλλιον, πόα. ἔστι καὶ τὸ σπέρμα ὁμώνυμον. ¶ Ψυλλικοὶ, εἶδος κυνῶν ὀνομασθέντων οὕτως. ¶ Ψυλλικὸς γόης ὁ τῶν ψύλλων. οἱ δὲ ψύλλοι, ἔθνος λιβύης. ¶ Ψύλλος, τὸ παχὺ τὸ συνέχον τὸ τῆς κάπρου αἰδοῖον. ¶ Ψύξας, ἀμβλύνας τὴν ψυχὴν φυσήσας: ἄνεμον πνεύσας. πνεύσας. ¶ Ψύξασθαι, ῥιπισθῆ, ξηράναι. ¶ Ψύξασαι, πνεύσασαι ῥιπίσασαι. ¶ Ψύξουσι, ξηρανοῦσιν. ¶ Ψύξις, πνοή.
Ψυρίη, νῆσος μικρά. ¶ Ψύριος, ἀκάθαρτος, ἀπὸ ψύρης τῆς νήσου. ¶ Ψυρὶς, γῆ. λυπρὰ χέρσος.
Ψύττα, ἐπὶ τοῦ ταχέως ἀποδραμεῖν λέγεται.
Ψύφαρον, σκαφίον. ¶ Ψύττα, πρόχυμα. ¶ Ψύττει, πτύει. ¶ Ψυττὸν, πτύελον. ¶ Ψυχαγωγεῖ, παραμυθεῖται τὴν ψυχήν. ¶ Ψυχαγωγὸς, ὁ ἀνδραποδιστὴς, καὶ ὁ ἀπατεὼν, ὁ κατάγων τὰς ψυχὰς εἰς ᾅδου. ¶ Ψυχάζει, ἀναψύχει. ¶ Ψύχας, πνεύματα. ¶ Ψύχειν ἀνέμῳ, ξηραίνειν καὶ πνεῖν. ¶ Ψυχέμπορος. ὁ τοὺς ἀνθρώπους ἀγοράζων καὶ πωλῶν. ¶ Ψύχεος ἱμείρων, κατὰ ψύξεως ἐπιθυμῶν. ¶ Ψυχὴ, πνεῦμα καὶ ζωΰφιον πτηνόν. ¶ Ψυχόλεθρος, ἀπώλεια ψυχῶν. ¶ Ψυχορραγεῖ, ἀποθνήσκει. ¶ Ψυχορρόφους, τὰς τὴν ψυχὴν ἐκπινούσας.
Ψυχοῦλκος, πικρός. ¶ Ψυχουλκούμενοι, τὰς ψυχὰς ἑλκόμενοι. ¶ Ψυχρὰ, ἣν ἡμεῖς λεπτὴν λέγομεν.
Ψυχροκομψώματα. ψυχροφαντάσματα. ¶ Ψυχρὸν κακὸν ψύξεως αἴτιον. ¶ Ψυχρολογία, ψευδολογία.
Ψυχρολόγος, μηδὲν χρήσιμον λέγων. ¶ Ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσι. τὸν καταψύχοντα τὰ σώματα τοῦ ἀναιρέσεως. ¶ Ψυχρός. ἀσθενής. ¶ Ψωδαρέον, αὐχμηρόν.
Ψώθιον, τὸ ὑποκάτω τοῦ ἄρτου. ¶ Ψώθια, τὰ τοῦ ἄρτου ἀποθραύσματα καὶ τὰ ὑποκάτω. ¶ Ψώϊζος. ἄφοδος ὑγρὰ, ἡ νόθος δυσωδία. καὶ ἣν καλοῦσι μίνθα, οἱ δὲ αὐχμὸν ἢ μόλυσμα. ¶ Ψωία. σαπρα, δυσωδία. ¶ Ψώθη, γλῶττα. ¶ Ψωκεῖν, ῥάπτειν. ¶ Ψωλήκυθος, ὀνείδους ἄξιος. ¶ Ψωλὸν, τὸν ἀπεσκολυμμένον. ¶ Ψώμιγκες οἱ τοῦ σίτου τὰς ῥίζας ἀπεσθίοντες καὶ ὁ ἔγκαφος*. ὁ σῖτος φησὶ ψωμίσειν ἀπὸ τοῦ ζώου σχηματίζεσθαι. ¶ Ψωμιεῖ τρέφει. ¶ Ψώμιγξ, σφήκωμα. ¶ Ψωμοὶ μέρη.

ΑΡΧΗ ΤΟΥ Ψ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Ψ ΜΕΤΑ ΤΟΥ Α.

Ψαδάς. ψαγδᾶς μύρον ποιόν. ¶ψάγιον ἄγγεῖον. ¶ψάγιον, πλάγιον, λοξὸν ἐπικεκλιμένον. ¶ψάραλλα. ψύγματα. ¶ψάδαλα, ἡ κινάβαρις. ¶ψάδον, κάταντες. ¶ψαδυρὸν, ἀσθενὲς, μαδαρὸν, ψαθυρόν. ¶ψαιέναι, φθάσαι, κτίσαι.
ψ αθάλλειν, κνήθειν, ψηλαφᾶν. ¶ψαθρὰ, εὔθλαστα, σαθρὰ, ξηρὰ ἀσθενῆ, ψαθυρά. ¶ψαθία, ψωμία.
ψ αθύρματα, ἀποκόμματα. ¶ψαθυρὸς, εὔθλαστος καὶ τὰ ὅμοια. ¶ψαιδρὰ, ἀραιότειχα. ¶ψαιδρὸν, φαιδρὸν, ἀραιόν. ¶ψαιθὸν, ὑποφοινίσσον.
ψ αῖμα, ὀλίγον. ¶ψαινούζειν, δὲ ῥιπισμοῦ κατὰ ψύχειν γράφεται δὲ καὶ δραπισμοῦ. ¶ψαινύθιον, ψευδὲς, μάταιον, εὐτελές. φλύαρον. οἰκτρόν.
ψ αινύσαρ, διεσείσαρ. ¶ψαινῶντες, ψωμίζοντες.
ψ αίνυον, ἀχρεῖον. ¶ψαίνυσμα, ὀλίγον. ¶ψαινύσσειν, ῥιπίζειν. ¶ψαίρειν, τινάσσειν, ῥιπίζειν, ἀσθενῶς τι ποιεῖν, ψαίειν, σύρειν. ¶ψαῖσμα, στρυμ ὀλίγον. ¶ψαισὰ, ἄλφιτα ἐλαίῳ δεδευμένα. ¶ψαικάζει, ῥαίνει. ¶ψαίκαλον, ἔμβρυον, βρέφος.
ψ αικὰς, ψακὰς ῥανίς. ¶ψαικάλουχον. ἔμβρυον.
ψ ακαλοῦχοι, ψακάδας ἔχουσαι. εἰσὶ δὲ ἔμβρυα.
ψ ακελον, μέσα. ¶ψάκιον, ἀραιὸν, μακρόν.
ψ ακταν, τὴν ψωκτὴν μάζαν. ¶ψακτὴς, ψήκτρα.
ψ αλάγματα, ψηλαφήματα. ¶ψάλις, κιθαριστής.
ψ αλία, κρίκοι δακτύλιοι. ¶ψαλίδες, ἀψίδες τῶν στύλων. ¶ψαλίξαι, κεῖραι. ¶ψαλίοις ἵππων, χαλινοῖς ἵππων. κωλοτηρίοις. ¶ψαλίον, κωλυτήριον, χαλινός. ¶ψαλίθια, ψύγματα. ¶ψαλακάνθα, ἣν ἀδίαπορον δοκεῖ ποιεῖν. ¶ψαλακοῦν οὐκ αὐδρεύνηον. ¶ψαλάσσει, τινάσσει, ψηλαφᾷ, κινεῖ, ψαύει, ψάλλει, ἀφ' οὗ καὶ ἀψάλακτος, ὁ ἄψαυστος.
ψ αλὶς, ὁ ἀρμόζον, καὶ ἡ καμάρα, καὶ ταχεῖα κίνησις.
ψ άλλειν, ἄδειν ἄσματα. τίλλειν, κινεῖν. ¶ψάλιον, εἶδος χαλινοῦ. ψαλίττεται, ἀμιλλᾶται. ¶ψαλλὸς. ὕλη. ¶ψαλοίμην, βλαβείην. ¶ψάλτης. ὁ αὐλὸς ὁ δὲ γυνὴ ψάλτρια. ¶ψαλτὶς, κιθαριστής.
ψ άλτιγξ, κιθάρα. ¶ψαλύγων. ἔνιοι ψάλυκας τὰς λεγομένας ψυχάς. ἄμεινον δὲ τοὺς ἀσθενεῖς σπινθῆρας
ψ αμαθία αἰγιαλός. ¶ψάμαθος, ψάμμος, ἡ παραθαλάσσιος ἄμμος. ¶ψαμμακοσιογάργαρα πολλὰ ἀναρίθμητα ἀπὸ τῆς ψάμμου καὶ τῶν γαργάρων.
ψ άμματα, σπαράγματα. ¶ψαμματίζουσα, ψωμίζουσα. ¶ψαμμὴν, ἄλφιτα. ¶ψαμμοδύτης ἰχθῦς. ὃν καὶ καλλιώνυμον ὀνομάζουσιν. ¶ψάμμος, ἡ παραθαλάσσιος γῆ ἄμμος. ¶ψαμισμὸς, ναυτιασμός. ¶ψανὸς, ψεδνός. ¶ψάρες, γένος στρουθοῦ.
ψ άρες, εἶδος ὀρνέου. ἄλλοι δὲ φασὶ τὴν λέξιν μηδαμοῦ κεῖσθαι. ¶ψάρες. εἶδος νεὼς τριήρους. ¶ψαρεῖς χοι, ψαροί. ¶ψαροί. ποικίλοι, εἶδος χρώματος.
ψ άρον, ποικίλον. σποδοειδές. ¶ψαστὸς, τὰ ψαιστὰ ῥοδα. ¶ψαταῖσθαι, προκαταλαμβάνειν. ¶ψατίσαι, προλαβεῖν. ¶ψαύειν, θιγγάνειν. ¶ψαύεται, ψηλαφᾶται. ¶ψαυγὲς, θορυβῶδες. ¶ψαυκρόποδα, κουφόποδα, ἄκροις τοῖς ποσὶ ψαύοντα. ¶ψαυκρόν, πάνυ κοῦφον, ἀπὸ τοῦ ἄκρως ψαύειν. ¶ψαυκρὸς καλλωπιστὴς ταχύς. ἐλαφρὸς ἀραιός. ¶ψαλόεντα τὰ ἐν τῷ ψαύειν ἀπολλύντα. ¶ψαῦσαι, ἅψασθαι προσεγγίσαι. ¶ψαύσασθαι, τὰ αὐτά. ¶ψαυστὰ, ψαιστὰ ἀρχαῖα. ¶ψαύελος, κονιορτὸς φορητός, οἱ δὲ ψαυρός. ¶ψάφα, κνέφας. ¶ψαφαρὰ, ψαθυρά.
ψ αφαρόν. ξηρὸν, αὐχμηρόν. ἀσθενὲς, ἐλαφρόν. ¶ψαφαρὰ, νεφέλη σκοτεινή. ¶ψαφορὰ, ψαθορά.
ψ αφέα, ψωμία. ¶ψάφα, λόφοι ὑψηλοί.
ψ αφοτειβέων, πολὺ τοῖς λόγοις τειβομένων.

ΤΟ Ψ ΜΕΤΑ ΤΟΥ Ε.

Ψὲ, ἀυρὶς, αὐτὰς, αὐτόν. αὐτὰ, αὐτῶν, αὐτὴν, αὐτοῦ ¶ψέγει, μέμφεται, ὑβρίζει. ¶ψέγος, τάφος καὶ ἐπιψέγην, ἐπικηδείην. ¶ψέδειν, ἐνδρέπειν φροντίζειν. ¶ψεδνὴ, ἡ θρὶξ, ἡ ἀραιόθριξ. ψεδνὴ δὲ ἐπενήνοθε, μαδαρὰ ἐπήνθει. ¶ψεδῖναι, λόγοι. ¶ψέδυρος, ψίθυρος.
ψ εδνὸς, μαδαρὸς, ἀραιόθριξ. ¶ψειαί, ἀλώπεκες ψῆφοι. ¶ψεάδης*, τῶν ἐλαιῶν τὸ ἀποπίασμα.
ψ ειμάτα, παίγνια. ¶ψέλευει. κραιπαλᾷ. ¶ψεινάζει, ἀπορρεῖ. ¶ψείρει, φθείρει. ¶ψεῖσαι, ψωμίσαι. ¶ψεκάδες, ῥανίδες, σταγόνες. ¶ψεκὰς, σταγών. ¶ψελλίζειν, ἀσήμως λαλεῖν. ¶ψεκτὸν, μεμπτόν. ¶ψελιστὴν, λίχνον. ¶ψελλὸς, ὁ τὸ στόμα παχύτερον λέγων. ¶ψελὸς, αἰθαλός.
ψ ελύναι, σπόνδυλοι. ¶ψευδάγγελος, ψευδῆ ἀγγέλλων. ¶ψέλλια, δακτύλιοι, * λύγαι. ¶ψευδέλμιον, ψευδής. ¶ψευδάμαξις, εἶδος ἀμπέλου ἤγουν εἰς ἀναδενδράδα ἔνθερος ἄμπελος, καὶ ὁ ψευδόπλωρος
ψ ευδοπιστήσειεν, ψευδολογήσειεν. ¶ψευδῆ, ἀπλόκοτα ἀπάται. ¶ψευδηγόροις, ψευδολόγοις. ¶ψευδὴς, ψεύστης. ¶ψευδεπίσταμεν, ψευδολογήσαμεν.
ψ ευδομυθεῖ, ψευδολογεῖ. ¶ψευδοραβδοθίαι. ψευδοραψῳδίαι. ¶ψεῦδος, ἀπάτη πλάνη. ¶ψευδοσελήνιον, ἡ ἀμαυρὰ σελήνη. ¶ψευδόνυμοι, ὄνειροι, ψευδολόγοι. ¶ψευσάμενοι. παραβάντες ἐπιορκήσαντες ἐπιορκήσαντες. ¶ψεύστης ἦς, ψεύστης εἶ.
ψ έφας νυκτὸς σκοτεινῆς. ¶ψεφαυγοῦς, σκοτεινοῦς.
ψ έφαις. σκοτεινοῖς. ¶ψεφάρεον, λυπρὸν, σκοτεινόν.
ψ εφνὰ, σκοτεινά. ¶ψεφὰς, σκότος. ¶ψέφος, καπνός. ¶ψέφει, δολοῖκαι, ἐνδρέπει, λυπεῖ, φροντίζει.
ψ ῆγμα, ξύσμα, ἢ μικρὸν θρύμμα κλάσμα. ¶ψηκεδὼν κονιορτός. ¶ψήκτρα, ξύστρα, σπάθη. ¶ψῆλαι, τίλλαι. ¶ψηλαφηκότιαμοι ψήλικες, τῶν ἀλεκτρυόνων οἱ νοθογενεῖς. ¶ψὴν, εἶδος ζῴου μακροῦ συκοφάγον. ¶ψῆνες, κωνώπια τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα. ¶ψῆνας. τὰ σπέρματα τῶν ἀρρένων φοινίκων. ¶ψηνὸν, ἀραιόν. ¶ψηνὸς, ψεδνὸς ψιλός. ¶ψηνίζων, τοὺς ψῆνας λέγει τοὺς τοῦ μάντηλος. ἔστι δὲ ὁ ψὴν εἶδος ζώου ὅμοιον κώνωπι ὃ εἰσδύεται εἰς τοὺς ὀλύνθους τῶν σύκων καὶ πεπαίνει αὐτούς. ¶ψῆρες, εἶδος ὀρνέων. ¶ψηροπυρίτης, ἀπὸ πυρὸς ἄρτος οἱ δὲ πυρεφθής. οἱ δὲ κακός. ¶ψῆττα. ἰχθύδιον τῶν πλατέων, ἣ ψῆτταν τινὲς σκυδάλιον, ἢ βου

προσπγγίζει καὶ τὰ ὅμοια. ¶ Χειμφθῆναι. ἐμπε
λασθῆναι ἐκεῖ φθῆναι, ἀφορμῆσαι. ¶ Χρέμψαι, πλά
σαι. ¶ Χρόα, ἡ σῶμα, ἢ χρῶτα. ¶ Χροανθὲς, διφεγγέσ
Χ ροΐ, σώματι. ἐπιφανείᾳ. ¶ Χροιά, ἐπιφάνεια.
Χ ροϊζόμενον, λαμπρυνόμενον. ¶ Χρόμαδος, κρότος,
ψόφος. ¶ Χρόμη, φρυαγμός. ὁρμή, θράσος.
Χ ρόμις, εἶδος ἰχθύος. ¶ Χρόμιος. ὄνομα κύριον.
Χ ρόμοις, χρεμετισμοῖς. ¶ Χρόμος, ψύχος, ψόφος
ποιός. οἱ δὲ χρεμετισμός. ¶ Χρονίζει, διατρίβει.
Χ ρόνιον, ἀρχαῖον, ἢ μετὰ πολὺν χρόνον. ¶ Χρονιώτε
ρον, ὑπερχρονίζων. ¶ Χρόος, χρωτός. καὶ ἀπὸ χροὸς ἀπὸ
τοῦ σώματος δῆλον. ¶ Χροοσκεμμένος, τοῦ σώματος κο
ρεσθείς. ¶ Χρὸς ἄσαι, τοῦ χρωτὸς κορέσαι. ¶ Χροιά,
μακρά. ¶ Χιρωνάζει, καλεῖ. ¶ Χρυσαΐζεται, κοσμεῖ
ται. ¶ Χρυσαλλίς. ζῶόν τι. οἱ δὲ τὴν ἀπὸ τοῦ κάμπης γινο
μένην χρυσαλλίδα λέγουσι. ¶ Χρυσαμοιβός, ἀργυρο
γνώμων. ¶ Χρυσάμπυκας, χρυσοχαλίνοις χρυσο
μίτραις. ¶ Χρυσάμπυκες, χρυσόδεσμοι. ¶ Χρυσάμ
πυκος, χρυσοδέσμου χρυσοχαλίνου, οἱ δὲ χρυσοῦς δε
σμοὺς ἔχοντος παρὰ τὴν ἄμπυκα, ὅ ἐστιν ὁ τῶν τριχῶν
εἰς τὸ ἄνω ἀνάληψις. ¶ Χρυσάνθεμον. πόα. ἢ καὶ
χρυσάνθεμον. ¶ Χρυσάορον, χρυσοῦν ξίφος ἔχοντα
Χ ρυσάορος, χρυσοῦν ἄορ ἔχοντος ὅ ἐστι φάσγανον. μάχαι
ραν σπάθην. ¶ Χρυσεπήκεια, τὰ χρεία εἰς ἃ φοιτῶν
τες ἐλάμβανον ἱερεῖα ἐπὶ χρυσοκρούς. ¶ Χρυσαυγοῦν
τα ἀστράπτοντα, ἢ στίλβοντα. ¶ Χρυσέος, χρυσήλιος,
χρυσοκίθαρις, ἢ καλλιόμηλος. ¶ Χρυσότευκτος, ἐκ
χρυσοῦ κατεσκευασμένος. ¶ Χρύσεον σκῆπτρον ἔ
χων. αὐτὶ τοῦ ἀνδρὸς ὁ τειρεσίας περιφραστικῶς. ¶ Χρυσε
όπη, ἡ διὰ χρυσοῦ εἰργασμένη. ¶ Χρυσέῳ, τῷ χρυσῷ ἢ
λαμπρῷ. ¶ Χρυσῆ, ἐπίθετον τῆς ἀφροδίτης. ¶ Χρυση
λάκατος, καλλίτοξος. ἠλακάτη γὰρ ὁ τοξικὸς κάλα
μος. ¶ Χρυσήλατος, χρυσῷ ἐληλασμένος καὶ κατε
σκευασμένος. ¶ Χρυσήνιος, χρυσᾶς ἡνίας ἔχων οἱ
δὲ καλὰς, ἢ καλλίδιφρος. ¶ Χρυσῆς ἀφροδίτης, τῆς κα
λῆς. ¶ Χρυσία, ὁ χρυσός. ¶ Χρυσίδα. τὴν χρυσῆν
φιάλην. ¶ Χρυσοπάνη, τὴν διὰ χρυσοῦ εἰργασμένην.
Χ ρῶ, μολυσμῷ. ¶ Χρυσίς, ποτήριον, οἱ δὲ φιάλη χρυσῆ.
Χ ρυσίον. τὸ τῶν παιδίων αἰδοῖον. ¶ Χρυσίτις, λίθος ἡ κα
λουμένη βάσανος ἢ λυδία. ¶ Χρυσοκόλλα, βρῶμά
τι ἐκ λινοσπέρμου καὶ μέλιτος, καὶ χρῶμά τι χλωρόμ.
Χ ρυσοκόλλητος, σφραγὶς χρυσοδακτύλιος. ¶ Χρυσό
λοφοι, δράκοντες. ¶ Χρυσολεπεῖς. χρυσᾶς λεπίδας
ἔχοντες. ¶ Χρυσοραγής, ἡ χέρνιψ ἀπὸ τοῦ χρυσοῦν ἔχειν
Χ ρυσόθρονος, καλλίθρονος. ¶ Χρυσόρραπις, ὁ ἑρμῆς. ἀ
πὸ τοῦ ῥάβδου καλούμενος. ¶ Χρυσορραπίς, χρυσοβα
φές. ¶ Χρυσορραγές, ἔργον ἀπερρηγμένον ἢ ἀπεσχισμ
μένον ἀπὸ τοῦ σίνδονος. ¶ Χρυσότευκτος, ἐκ χρυσίου κα
τεσκευασθείς. ¶ Χρυσοτόρευτα, χρυσόγλυφα.
Χ ρυσοῦς, πολέμαρχος φησὶ δύνασθαι τὸν χρυσοῦν παρὰ
τοῖς ἀττικοῖς δραχμὰς δύο. τὴν δὲ τοῦ χρυσοῦ δραχμὴν
νομίσματος ἀργυρείου, δραχμὰς δέκα. μνᾶς δὲ λέγεσθαι
τοὺς πέντε χρυσοῦς. ¶ Χρυσῶν δαίμων. ¶ Χρώζει, προ
σάπτει, ψηλαφᾷ. ¶ Χρῶμα, φρυαγμός. ὁρμή, θράσος.
καὶ παρὰ τοῖς μουσικοῖς χροιά. ¶ Χρωματισθείς, δύθεὶς ἐξ
ἀνθοῦς φοινίκων, αὐτὶ τοῦ χρωματισθείς. ¶ Χρῶσαι, χρωματί

σαι, μολῦναι. ¶ Χρώσασθαι σῶμα: μολυνθῶ σῶμα. ¶ Χρω
σθῆναι, μολυνθῆναι. ¶ Χρώσειν, μολύνειν. ¶ Χρὼς ζῶν,
σῶμα ζῶν. ¶ Χρῶμαι, μολύνομαι. ¶ Χρωτός. σώματος.

ΤΟ Χ ΜΕΤΑ ΤΟΥ Υ.

ὑδην, κεχυμένως, ἀθρόως, εἰκῆ, σποράδην, δαψι
Χ λῶς. Χυλὸς, τμημάτων ὑγρῶν ἐκπίεσμα.
Χύμα, ῥεῦμα, πλῆθος. ¶ Χύματα, τὰ ἐπὶ τοῖς
τάφοις χεόμενα. ¶ Χυμοί, χύσεις. ¶ Χυμὸς, σίε
λος, ἢ τάφου χῶμα. ¶ Χυμῶν. τμημάτων ὑγρῶν.
Χ ύνιν, τὴν χεῖρα. ¶ Χύντο, ἐξεχύθησαν. ¶ Χύρρα, οὕ
τως εἰώθασι ταῖς ὑσὶν ἐπιφθέγγεσθαι. ¶ Χυρράβιοι,
δεσμοὶ συῶν. ¶ Χύρραβος, ὄρνις τίς ποιός.
Χ υρρόιδια, τὰ ζῶα τὰ χοιρίδια. ¶ Χύρριον, στεπτόν,
ὃ δεσμεύουσι τοὺς χοίρους. ἔστι δὲ ξύλινον. ¶ Χυρβιάσαι,
σκιρτῆσαι. ¶ Χυτὰ, χυτὰ. ¶ Χυτή, χυτή. ¶ Χυ
τὴ, ἡ ἐστὶ τοῦ τύμβου χωννυμένη γῆ. ¶ Χυτοί, οἱ ἐπὶ δι
κτύῳ τῶν ἰχθύων περιφερόμενοι. ¶ Χυτὸν, χυτὸν καὶ τὸ
χῶμα καὶ ὁ ξεστὸς λίθος. ¶ Χύτλα, τὰ μετ᾽ ἐλαίου ἐκ
ὕδατος ἀλείμματα. ¶ Χυτλάζει, κλυδάζεται.
Χ ύτλα, τὸ ἐφ᾽ ὕδατος ἔλαιον καὶ εἶδός τι μαντείας ὃ δι᾽ ὕ
δατος καὶ ἐλαίου γίνεται. ¶ Χυτλάσαι, ξυφῆσαι διαχέαι
ὑγράναι. ¶ Χύτλασον. ὕγρανον, χύτλος δὲ κρατὸς ὁ κόσ
μος καὶ τὸ περὶ, ἐσπαρμένοις εἰκῆ καὶ οὐκ ἐν τάξει μένουσιν
Χ υτλῶσαι, μετ᾽ ἐλαίου λούσασθαι. ¶ Χυτλῶσαι, τὸ ἀ
λεῖψαι μετὰ τὸ λούσασθαι. ¶ Χύτραι, τὰ χυτρόπολια.
Χ ύτραις λημᾶν, μεγάλαις πισὶ κωλύεσθαι βλέπειν ἐκ
λίαν λημᾶν. ¶ Χυτρᾶιον, ὀστράκινον. ¶ Χύτρια, τὰ
τῶν χυτρῶν ὀστράκια. ¶ Χυτρίδιον, μέτρον τί.
Χ υτρίου. τοῦ κρανίου. ¶ Χυτρίνδα, παιδιᾶς εἶδος πρὸς
αὐτὰς, καθίζεται τὶς ἐν μέσῳ, εἶτα κύκλῳ περιτρέχον
τες οἱ παῖδες, περὶ τὸν καθεζόμενον, ποιοῦσιν ἀνάγκην τὰ
εἰσφέρεσθαι ἕως ἂν ἅψηται τινὸς τύπτοντας αὐτόν. εἶτα
καθίζεται ὁ ληφθείς. ¶ Χυτρίζειν, ἐν χύτρᾳ τιθέναι.
Χ ύτρινοι, τὰ κοῖλα τῆς γῆς δι᾽ ὧν αἱ πηγαὶ ἐνίενται.
Χ υτρισμὸς, ἡ τῶν βρεφῶν ἐν ταῖς χύτραις ἔκθεσις.
Χ ώεσθαι. συγχεῖσθαι, χωλοῦσθαι. ¶ Χώεται, θυ
μοῦται, μέμφεται, ὀνειδίζεται. χωλοῦται καὶ τὰ ὅ
μοια. ¶ Χωΐδα, σοφήν. ¶ Χολαβεῖ, θορυβεῖ.
Χ ωλεύει, νοσεῖ, σκάζει. ¶ Χωλωθεῖσιν, ὀργίλοις.
Χ ολωθείς, ὀργισθείς. ¶ Χώλοθρον, ἡ κοιλασία.
Χ ῶμα, ὕψωμα γῆς ἢ ὄχθη. ¶ Χωματεπάκτης, ῥῖς
χώμασιν ἐπικείμενος. ¶ Χωνευτήριον, χωνεῖον.
Χ ῶμος, χῶμα. σωρός. ¶ Χώνην, τὴν ἰταλίαν οὕτως
πάλαι ἔλεγον ὡς φησὶν αὐτίοχος ὁ ξενοφάνους ἐν τῷ
περὶ ἰταλίας. ¶ Χῶνος, βουνὸς, τόπος, βόθυνος.
Χ ωόμενος, λυπούμενος, ὀργιζόμενος. χωλούμενος, συγ
χεόμενος. ¶ Χώρει, πορεύου. ¶ Χωρεῖν, ἀπελθεῖν.
Χ ώρησαν, ἀνεχώρησαν. ¶ Χωρήσαντα, καταβληθέν
τα ὁρμήσαντα. ¶ Χωριάζεσθαι. λέγειν. ¶ Χωρίον,
ἀρχεῖον, κόπρον, καὶ ὄρνις ποιός. ¶ Χωρισμὸς, κίστη,
χωρὶς δῆλα * ὁ διάζονρος. ¶ Χωρίτης, ἀγρώτης. ἀ
γροικος, ἄλλοι τὸν ὁδηγόν. ¶ Χωροβατεῖ, ἐν τῇ χώρᾳ
περιπατεῖ. ¶ Χωρονομεῖ ὀργίζεται. ¶ Χῶρος. τό
πος, ἀγρός. ἄνθρωπος. ἢ χωρίον. ¶ Χωσάμενος.
χολωσάμενος. ¶ Χώσασθαι, συγχυθῆναι, ὀργισθῆ
ναι, λυπηθῆναι. ¶ Χωσθῆναι, τὰ αὐτά.

Χολάσιντα, αἰθοῦντα. ¶ Χολαργεῖς, δῆμος φυλῆς ἀκαμαντίδος. ¶ Χολὰς, ἑορτὴ Διονύσου. ¶ Χολέρα, ἔκκρισις κάτωθεν διὰ γαστρὸς, καὶ ἄνωθεν διὰ στόματος ἐμετός. ¶ Χολωσόμενον, ὀργισθήσεσθαι.

Χολέρα, σωλὴν, δι᾽ οὗ τὸ ὕδωρ ἀπὸ τῶν κεράμων φέρεται ἐξακοντιζόμενον. ¶ Χολὴ μανία πικρά. ¶ Χόλικες, αἱ παχύτεραι κοιλίαι, οἱ δὲ τὰ τῆς κοιλίας γράμματα. ¶ Χόλικι, κοιλίαις. ¶ Χολόβαφα, τὰ χρυσῷ ἐμφόρως βεβαμμένα. ¶ Χολοβαφίον, τοῦτο λέγεται ἅμα μὲν, ὅτι τὰ φαῦλα βαφέντα χολῇ βάπτεται, ἅμα δὲ τὰ χρυσῷ ἐμφερῶς βεβαμμένα.

Χολόεν, πικρὸν, χολοποιόν. ¶ Χόλος, ὀργή. ἐπιμονὴ, καὶ ἡ τῆς χολῆς διάθεσις. ¶ Χολοῦται, πικραίνεται, θυμοῦται. ¶ Χολωθεὶς, ὀργισθεὶς, εἰς χόλον ἀχθείς. ¶ Χονδρὰς, χορδάς. ¶ Χονδρίον, πίναξ, κέραμος. ¶ Χονδρεύει, σεμίδαλιν ποιεῖ. ¶ Χονδρίλλη, ἀγριόν τι λάχανον. ¶ Χονδρίτης, σεμίδαλις. ¶ Χονδρίτις, παχεῖα σεμίδαλις.

Χονδροκόπια, μύλων ὅπου ὁ χόνδρος κόπτεται.

Χόνδρον, σεμίδαλιν μεμιγμένην ὡς πλακοῦντα.

Χόνδρος βασανὸς, οὕτως ὁ ἄλιξ. ἢ παχὺς, ἢ μωρός.

Χόνδροι ἁλῶν, παχεῖς ἅλες. ¶ Χόνος, τὸ τήκειον χαλκεῖον. ¶ Χοραγείων, διδασκαλείων. ¶ Χοραγὸς, διδάσκαλος ἔξαρχος. ¶ Χορδαψὸς, πάθος ἐντέρων. ¶ Χορδὴ, νευρὰ κιθάρας. ¶ Χορδεῦσαι, κακοποιῆσαι τεμεῖν. ¶ Χορεῖον, διδασκαλεῖον, καὶ βωμός τις. καὶ ἄλλημά τι, μέρος τὸ χορεῖον, καὶ τὸ κάλυμμα τὸ συγγινόμενον ἐκ τῆς κοιλίας. ¶ Χορεύει, μελῳδεῖ. βακχεύει. ὀρχεῖται. ¶ Χορηγία, δόσις.

Χορηγεῖ, παρέχει, δίδωσι. ¶ Χορηγὸν, παιδίον. ¶ Χορηγὸς, διδάσκαλος, καὶ ὁ ἐπιδοὺς τι τῶν ἰδίων τοῦ χοροῦ ἐξάρχων. ¶ Χόρια, τὰ τῶν ἀρνῶν καὶ ἐρίφων ἄγγεια. ἄλλοι τὰ μέλιτος καὶ γάλακτος γινόμενα βρώματα.

Χοίριλον ἐκφάντιδος, κρατῖνος τὸν ἐκφάντιδος οὕτως εἶπεν, αὐτὸν τὸν χοίριλλον. ¶ Χορὸν δίδωμι, παροιμία ἐπὶ τῶν σκώμμασι νικώντων. ¶ Χορὸς κύκλος, στέφανος. ¶ Χοροστασία, χορός. ¶ Χοροστατεῖ, χοροῦ κατάρχων. ¶ Χοροῦ ἡγεῖται, χορὸν στρέφει.

Χορταῖος, δασὺς χιτὼν, οἷος τῶν σειληνῶν.

Χορταιόβαμος, ὁ σειληνός. ¶ Χορταιοβάμων, χορταιὸν τὸ ἔνδυμα τοῦ σειληνοῦ. ¶ Χόρτον, οὐρανοῦ τὸ περιέλισμα. ¶ Χόρτος, ὁ συνήθης, καὶ ὁ περίβολος τῆς αὐλῆς· ὡς τὸ αὐλῆς ἐν χόρτῳ, οἱ δὲ εὐρυχωρίαν. δηλοῖ δὲ καὶ χώραν. καὶ χόρτασμα, καὶ τὸν ὅρον τὸν ἐκ* γραίων ὡς ἐν τῷ συγχορτένναι αἱ παιδιαί. ¶ Χοροκάλη, καλῶς χορεύουσα. ¶ Χοῦαι, αἱ κατὰ ἀγροικίαν, ἐπαγγελίαι. ¶ Χυμὸν, χυλόν. ¶ Χοῦς, ἄνθρωπος, καὶ τὸ ἐπιβαλλόμενον τῷ ὀρόφῳ χῶμα, καὶ μεῖζον κοτυλῶν, καὶ ἐρείπιον. ¶ Χοιόμενος, λυπούμενος, ὀργιζόμενος

ΤΟ Χ ΜΕΤΑ ΤΟΥ Ρ.

Χρᾶ, χρήζει, θεσπίζει. ¶ Χραίει, κελεύει.

Χραίνει, μολύνει. σαίνει. χρίει. ¶ Χρεματίσαι, κράξαι ὡς ἵππος. ¶ Χρεματισμὸς, ἡ τῶν ἵππων φωνή. ¶ Χραίνειν, μολύνειν. σαίνειν. χρίειν, μιαίνειν, ῥυπαίνειν. ¶ Χραισμεῖν, βοηθεῖν. ¶ Χραισμῆσαι, βοηθῆσαι. ¶ Χραισμήσουσι, βοηθήσουσιν.

Χραίσμωσι, βοηθῶσιν. ¶ Χρᾶν, χρήζειν μαντεύεσθαι καὶ τὰ ὅμοια. ¶ Χαραμβαλιαστὴς, γέλως ὁ μετὰ παιδιάν. ¶ Χραμαδεῖλαι, γελῶναι. καὶ αἱ νεοτρόφαι τῶν κυνῶν. οἱ δὲ τὰς κοχλίας. ¶ Χρᾶναι, χρῶσαι καὶ τὰ ὅμοια. ¶ Χράνας, μιάνας.

Χρανθεὶς, μιανθείς. ¶ Χρανεῖσθαι, χρανθήσεσθαι, ἐπικαυθήσεσθαι. ¶ Χραίνεται, μολύνεται καὶ τὰ τοιαῦτα, ἢ χρῖται. ¶ Χραῦσαι, καταξῦσαι. ¶ Χράναι, σκιάσαι γράψαι ἐπιτυχεῖν. ¶ Χραύσῃ, καταξύσῃ, πλήξῃ. ¶ Χραῦσις, ἄγκυρα μονόβολος.

Χρέα δάνεια μαντεύματα. ¶ Χρεῖ, δεῖ. ¶ Χρεῖαι ἔνδειαι. ¶ Χρεαγωγὸς, ὁ ὑπὲρ ἑτέρου τὸν ὀφειλέτην ἄγων. ¶ Χρέος, ὄφλημα, χρεία. ¶ Χρείην τὴν ἔνδειαν, ποτὲ δὲ καὶ τὸ χρέος. ¶ Χρειὼ, χρέα, χρεία. ¶ Χρείων, χρησμῳδῶν. χρησμολογῶν.

Χρεῖος, δίκαιος. ¶ Χρεῖος, ὄφλημα χρέος. ¶ Χρεμέδα, ἡ γῆ ὡς καλλίμαχος. ¶ Χρεμετίζει, κελεύζει ὡς ἵππος. ¶ Χρεμετὶς, ὄνομα ποταμοῦ.

Χρεμετισμὸς ἡ φωνὴ τῶν ἵππων. ¶ Χρεμετᾷ, ἠχεῖ.

Χρεμὶς, χρεμετίς. ¶ Χρεμὴς, ὁ ὀνίσκος ἰχθύς.

Χρεμψιθίασον, οἱ εἰσιόντες εἰς θίασον. ¶ Χρέοντες, προφητεύοντες. ¶ Χρεολυτήσαν, χρεοσώσαν.

Χρεῦμα, ῥεῦμα. ¶ Χρεὼ, χρεία, ἢ τὸ εἱμαρμένον, ἢ τὸ ὀφειλόμενον. ¶ Χρεώμενος, χρώμενος.

Χρεῶν, ὀφειλομένων, ἢ χρησμολογῶν. ¶ Χρεῶν ἀποκοπαὶ, ὅταν τὰ ὑπὸ τῶν πενήτων ὀφειλόμενα τοῖς πλουσίοις ἀκυροῦνται. ¶ Χρέως, χρέος, ὄφλημα.

Χρεωφειλέτης, ὁ τὸ χρῆμα ὀφείλων. ¶ Χρὴ, δεῖ. πρέπει, καθήκει. χρησμῳδεῖ. ¶ Χρήδανα. τὰ ὅπλα τοῦ ἱστοῦ. ¶ Χρῆμα, πρᾶγμα. πλοῦτος, οὐσία. λῆμμα. ¶ Χρήματα, οἷς τις δύναται χρῆσθαι. κτήματα βοσκήματα. ¶ Χρηΐα, πενία, ἢ χρήματα.

Χρηΐζοντα, ἐνδεόμενα χρειώδη χρείαν ἔχοντα.

Χρηῖς, πονηρός. ¶ Χρηματίζει, ποιεῖ. ¶ Χρηματίζει ἀποκρίνεται λαλεῖ, πράττει χρήματα συλλέγει.

Χρηματίσασθαι, πραγματεύσασθαι. ¶ Χρηματισμός. ὁπλασία. νομοθεσία. ¶ Χρίμπτει, ἐγγίζει.

Χρειμφθῆναι. προσπελάσαι ἐγγίσαι ἐνορμῆσαι.

Χρῆναι, δεῖν εἶναι. ¶ Χρῇς, θέλεις, χρήζεις.

Χρῆσαι θεσπίσαι. ¶ Χρῆσθαι, καυχᾶσθαι, πράττειν, προσφέρεσθαι, χρησμοῦ χρῆσθαι. ¶ Χρησθήσεται. χρησμεύσει. ¶ Χρησμὸς, τιμωρία. ¶ Χρῆσις, ἐνέργεια. ¶ Χρησμολογεῖ, προφητεύει. μαντεύεται. ¶ Χρησμὸν, κλύδωνα. ¶ Χρησμὸς, προφητεία πρόρρησις ὁ παρὰ θεοῦ διδόμενος λόγος, ἢ μαντεία

Χρησμῳδήματα. τὰ αὐτά. ¶ Χρησμῳδία, μάντευμα, μαντεία, προλεγόμενον. ¶ Χρησμῳδούμενα, τὰ αὐτά. χρηστὰ ποιεῖν τὸν ὑπὲρ ἑτέρου ὀφειλοῦντα.

Χρήστης, ὀφειλέτης, ὁ μάντις καὶ ὁ δανειστής.

Χρηστήριον, μαντεῖον. ¶ Χρηστοὶ, οἱ κατακεδικασμένοι, χρήσιμοι. ¶ Χρήστης, χρήσιμος. ¶ Χρηστῶν, χρησίμων. ¶ Χρήστωρ, μάντις. ¶ Χρῆται, χρᾶται. ¶ Χρῖ, χρίει. ¶ Χρεία, μυρμήκων κοίτη.

Χρείμπτεσθαι, ἐρείδειν. ἐγγίζειν. ἐκπίπτειν. στηρίζεσθαι, ἐκβαλεῖν, ἀλείφειν, προσπελάζειν. ¶ Χρείμπτεται

τὰ ὅσα εὐώδη σπέρματα. ❡ χίδρα, ὄνομα δειλόν

χ ιδρῶν, νέων καρπῶν καὶ θερμῶν ❡ χιλαάγρα, ζω
ὕφιόν τι ❡ χιλίαρχος, χιλίων ἄρχων. ❡ χιλι
οστὸ, τέλος ἀπὸ τῆς θυσίας ❡ χιλός, ἡ τροφὴ καὶ χι
λὸν τὸ αὐτὸ καὶ χόρτος τῶν βοσκημάτων ❡ χεῖ, χει-
λεύει ❡ χιλοῦσθαι, παχύνεσθαι, σιτίζεσθαι ❡ χιλω
θῦναι, χιλίας δραχμὰς ζημιωθῆναι ❡ χιλωτὴρ
τὸ τοῖς ὑποζυγίοις ἀπὸ κορυφῆς δὲ περιτιθέμενον ἐν ᾧ ἡ τρο
φή ❡ χιμαδίῳ, χειμῶνος ❡ χιμάζειν, τὸ χειμῶ
να διάγειν. ❡ χιμάζω, παραχειμάζω ❡ χίμαιρα,
φοβερὸν θηρίον, ὃ πρόσθεν μὲν λέων, μέσον δὲ χίμαι-
ρα, ὄπισθεν δὲ δράκων. φασὶ δὲ ἐν Λυκίᾳ γίνεσθαι ὡς κε-
φαλὴν μὲν λέοντος ἔμπροσθεν, καὶ ἀπὸ στόματος πῦρ ἀ-
ποπέμπειν, ὄπισθεν δὲ δράκοντος ἔχον κεφαλήν.

χ ιμᾶν, ῥιγοῦν ❡ χιμαιρίδαι, γένος τι ἀθήνησιν.

χ ίμαρροι, αἶγες χειμέριαι ἢ τράγοι ἢ ἔριφοι ἐνιαύσιοι, πο
ταμοὶ ἐξ ὄμβρων ❡ χίμετλον, τὸ ἐν χειμῶνι γενόμε
νον ἕλκος ὑπὸ ψύχους. ❡ χιμαίραν, αἶγα ἀγρίαν

χ ίοις, τὰ ἀπευθὰ εὔχεσθαι. ἀθήνησιν ἱστορεῖ τὸν κήρυκα

χ ιονέαν, λευκὰν ἢ φωτεινήν ❡ χιονίζει, λευκαίνει

χ ῖον, τὸν ἐκ Λακαίνης, ἐκ κύλικος Λακαίνης οἶνον

χ ιονολόφον, τὸ ἀποτεμεῖν περὶ κεφαλῆς τὸ μέσον.

χ ίραι, αἱ ἐν ταῖς πτέρναις ῥαγάδες ❡ χιραλέοις, τοὺς
πόδας κατειργασμένους ❡ χιτών, ἐσθής, θώραξ, ἱμά
τιον ἀνδρικόν. ❡ χιονωθήσονται, λευκανθήσονται,
λαμπρυνθήσονται. ❡ χλαβόν, διραφές. ❡ χλαῖ
να, χλαμύς, ἢ ἱμάτιον χειμερινόν, ἀπὸ τοῦ χλιαίνειν
ὅ ἐστι θερμαίνειν ❡ χλανίαι, περιβολαί. ❡ χλανίσι
δες, αἱ ὅρμοι περιθίνων ❡ χλαμυρίς, πόα. ὁ κυβεί
ας δρόμος ❡ χλαμὺς, πορφύρα ἢ χιτών

χ λαμὸς, χλαῖνα ❡ χλαμυραὶ, τρυφῶσαι γαυριῶ-
σαι ❡ χλανίδες, λεπτὰ ἱμάτια ❡ χλανίδιον,
ἱμάτιον λεπτόν ❡ χλάνος, τὸ περὶ τοὺς τραχήλους
δάσος ❡ χλαρόν, κόλαξ ❡ χλαρά, ψαιστὰ ἐν
ἐλαίῳ ❡ χλαρὸν, ῥυπαρὸν, λεπτὸν, τρυχαλέον, ὠ-
χρόν ❡ χλῆδον, ἐλαιηρὸς κώθων ❡ χλιμερόν, χλια
ρὸν θερμόν ❡ χλεμύραν, χλοανθοῦντα ❡ χλεαί-
νεται, θερμαίνεται ❡ χλευάζει, ἐμπαίζει, γελᾷ

χ λευὴ, γέλως, χλευασμὸς, ἐμπαιγμός. ❡ χλῆδον
χύδην, σωρηδόν, πληθύοντα. ❡ χλῆδος, ὁ σωρὸς
τῶν λίθων. ❡ χλήδης, σπάδων, θλαδίας, εὐνοῦχος

χ λιδᾷ, φικρίζεις τρυφᾷ ❡ χλίμαδαι, ἀγλαΐσματα
τρυφαί ❡ χλιδανὴ, τρυφηλή ❡ χλιδανόν, τρυ-
φερὸν ὁμοίως. ❡ χλιδή, τρυφή, ἱμάτιον χειμερινόν

χ λιδὸς, βεκκοπάθιον ❡ χλιδῶνες, κόσμοι ὧν αἱ γυ
ναῖκες περὶ τοῖς βραχίοσιν εἰώθασι φορεῖν, καὶ τοὺς τρα-
χήλοις. ❡ χλιδωνόπουν, χλιδῶνας περὶ τοὺς πό-
δας ἔχοντα, ποτὲ δὲ περισκελίδας. ❡ χλιδῶσαις
τρυφώσαις. ❡ χλίει, θρύπτει. χλιερὸν τὸ ἔνθερ-
μον. ❡ χλιήνας, χλιάνας. χλιοῦται, χίζεται.

χ λόα, βοτάνη. ❡ χλοάζει, αὐθηρὸς ἐστιν, αὐθηρεύεται.

χ λοάζεσθαι, γαστρίζεσθαι. χλοανθεῖν, χλωρὸν ἀνθεῖν.

χ λοάνοις, τοῖς κοιλώμασιν, ἐν οἷς ἀναχεῖται τὰ χω
νευόμενα. ❡ χλοάσοισιν, βλαστήσοισιν. ❡ χλόη
ἔκλυσις καὶ μαλακία. ❡ χλοερὸν, χλωρόν, χλῆδον

ὠχρὸν, νέον ἁπαλόν. χλόη, βοτάνη φύλλα.

χ λοιά, ἑορτή, ἀπὸ τῶν καλτῶν. ❡ χλοιδᾶν, διέλ-
κεσθαι καὶ τρυφᾶν ❡ χλοιδέσκεισαι, γαστρίζουσαι.

χ λοιδῶσι, θρύπτονται. ❡ χλόος, χλωρίασις, ὠ-
χρότης ❡ χλοασὸς, ἰχθῦς ὑπὸ ἰώνων.

χ λυνάζειν, κινύρεσθαι. ❡ χλοῦναι, λωποδύται
οἱ τῇ χλόῃ εὐναζόμενοι ❡ χλούνην, τὸν τῇ χλό
ῃ εὐναζόμενον ❡ χλυτός, χυτός ❡ χλοῦς,
ὠχρότης. ❡ χλωραὶ σῦκαι. ❡ χλωρός, ὑ
γρός. ❡ χλωρεὺς, ὀρνιθάριον χλωρόν.

χ λωρηὶς, ἀηδών. ἤτοι ἀπὸ τοῦ χρώματος, ἢ χλωρά.
ἢ διὰ τὸ ἐπὶ χλωρῶν καθίζεσθαι δένδρων, ἢ ἀπὸ χλω
ρείδος τὸ γένος ἔχουσα ❡ χλωροί, οἱ φάσηλοι
μήπω δὲ ὠχροὶ γραπτέον. ❡ χλωροκυρτί-
δες, εἶδος καρίδων, χλωρόν, ὑγρόν, δεινόν, χαλε
πόν ❡ χλωρόνδιος, τὸ χλωροπτιόν, ριουτος
ἐστὶ ὁ φόβος, χλαειάσεως ποικίλος

χ λωρόν τε καὶ βλέπειν, αὐτί τοῦ ζῶντα. ❡ χλωρὸν, ὑ
γρὸν, ἁπαλόν ❡ χλωρὸς, ὠχρός. ❡ χλωροπεί-
δῳ, νεαρῷ. ❡ χμαίνη, ἱμείρει. ❡ χλιάσαι, φονεῦ
σαι. ❡ χνάει, λαμβάνει, κνίζει. ❡ χναύεται
περικνίζεται, λαμβάνει. ❡ χναῦμα, τὸ βρῶμα,

χ ναύματα, τὰ βρώματα, καὶ τὰ τῶν κρεῶν ἀπάνθρα
κίσματα ❡ χναύων, περικνίζων, περιτίλλων.

χ νεμύρεται, κισύρεται ❡ χνισμός, νῆστις ❡ χνια
ρωτέρα, χνοωτέρα. ❡ χνίει, ψακάζει, θρύπτει

χ νόαι, αἱ χοινικίδες, αἱ περὶ ἄξονος συνεγγύς

χ νόην, τὸν τῶν πολλῶν ψόφον. ❡ χνόος ὁ χνοῦς τὰ
ρεινειᾶν ἀρξαμένης. ❡ χνόος, ξυσμός, ψόφος, φθόγ
γος. ❡ χνοῦς, τὰ λεπτὰ τῶν ἀχύρων. ❡ χοῦν, χόα,
μέτρον ὑγρῶν. ❡ χοαὶ θυσίαι, καὶ τὸ μελίκρατον καὶ ἔ
λαιον. ❡ χοανεῦσαι, χωνεῦσαι. ❡ χοάνη, χώνη,
τύπος εἰς ὃν μεταχεῖται τὸ χωνευόμενον ❡ χοάνοις
τοῖς φυσητῆρσι. ταῖς χώναις, καὶ κοιλώμασιν εἰς ἃ
ἐγχεῖται τὸ χωνευόμενον ἢ τοῖς πηλίνοις τύποις.

χ οάρβεια, τὰ γράμματα. ❡ χοάς, τὰς σπονδὰς
τῶν νεκρῶν. ❡ χοᾶσθαι, καυχᾶσθαι.

χ οάσομαι, ἐπιξομαι. ❡ χόασπις, ποταμὸς Ἰνδίας

χ οδιτεύειν, ἀποπατεῖν. ❡ χύδανον τὴν ἕδραν.

χ όδε, χόναι ❡ χοῖ, χώματι.

χ οῖνον ποτήριον χαλκοῦν

χ οιᾶς, τὸ ἀθροῖσθαι ❡ χοικὸς, πήλινος, γήινος

χ οινικίδες, αἱ βαθεῖαι πέδαι καὶ αἱ ἀπὸ μέρους στροφαί.

χ οινίκη, τὸ τροχοῦ ἐν ᾧ στρέφεται ὁ ἄξων

χ οῖνιξ, μέτρον τι, καὶ πέδη καὶ νάρθηξ.

χ οιράδες, αἱ ἐγκείμεναι πέτραι καὶ πάθος τι δηλ'

χ οιρίημα. τὸ χοιρίδιον. χοιρίναι, αἱ θαλάσσιαι
ψῆφοι. ❡ χοιρογρύλλιον, ὁ ἐχῖνος

χ οιροκομεῖον, λεπτόν τι πλεκτὸν ὡς ὀρνιθοτροφεῖον

χ οῖροι ὁμοίως, ἢ καὶ αὐτὰ τὰ ζῶα οἱ χοῖροι.

χ οῖρος, χοιρόβοσκα, μηχάνημά τι οὕτως ἐκαλεῖτο.

χ οιροσφάγος, θύτης

χ οιροτροφεῖον, περίζωμα γυναικεῖον καὶ σφαῖρον,

χ οιροφάγημα, χοιρίδιον ❡ χολάδες, τὰ ἔντε
ρα τοῦ κεχαλᾶσθαι. ❡ χολαδία, τὸ χολι

νων μυστηρίων, ὡς βάρβαρα ἢ ἀσύνετα ποιούντων τῶν ξα-
γικῶν. ¶ Χελιδόνεως, εἶδος ἰσχάδων. ¶ Χέλειον,
τὸ ἀπεστρακωμένον ἐπὶ χελώνης δέρμα. ¶ Χέλειος,
νῶτος ὀστρακώδης. ¶ Χελεύειν, ὑφαίνειν καὶ χελεύ-
ειν ὁμοίως. ¶ Χελοῦς, μουσικὸν ὄργανον. ¶ Χελ-
μών, ἰχθῦς ποιός. ¶ Χελὴν, χεῖλος ἢ μέρος τοῦ
ἱερείου. ¶ Χελῶναι, χῆλαι. ¶ Χελωνέοντα, λυ-
ρας χέλυς ἡ κιθάρα. ἀπὸ γὰρ ὀστράκου χελώνης κιθάρα
γίνεται. ¶ Χελωνέων, χηλῶν. ¶ Χελώνη, τὰ χεί-
λη, ἄλλοι τὴν κιθάραν καὶ τὴν χελώνην καὶ λύραν καὶ ὄρ-
γανον πολεμιστήριον. ¶ Χελωνάζειν, χλευάζειν. ¶ Χε-
λώνιον, χελώνιον. ¶ Χέλυς, χελώνη λύρα μηχάνη-
μα. ¶ Χέλυσμα, τὸ προσηλούμενον τῇ τρόπιδι ξύλον,
ἕνεκα τοῦ μὴ τρίβειν τὰ ξύλα ἐν τῷ καθέλκεσθαι τὰ πλοῖ-
α. ¶ Χελύσσεται, ὑφαίνει. ¶ Χελώνη, τὸ ὑποπόδιον καὶ
νόμισμα πελοποννησιακὸν, καὶ ἡ τρόπις τῆς νεὼς διὰ τὸ εἶναι
καμπτές. ¶ Χελωνίας, ἡ ποικίλη κανθαρίς. ¶ Χε-
λωνίδος, οὐδὸς τῆς θύρας τῆς σκηνῆς. ¶ Χελώνα, τὴν
θαλασσίαν χελώνην οὕτω λέγουσί τινές, ὡς τὴν ἀράχ-
νην ἀραχνίην. ¶ Χελωνοφάγοι, ἄγριοί τινές. ¶ Χέν-
νιον, ὀρνιθάριόν τι κατ' Αἴγυπτον ταριχευόμενον, καὶ εἶ-
δος ἰχθύος. ¶ Χέραδος, χάσμα γῆς. ¶ Χεράδες
αἱ τῶν χειμάρρων ποταμῶν λιθώδεις ἀθροίσεις.
Χ έραδος, ἡ μετ' ὀστράκων καὶ λίθων ὕλη. ¶ Χεράς,
τὸ ἀπὸ θαλάσσης καὶ ποταμῶν λιθίδιον, ἢ ὁ σωρὸς τῶν
λίθων. ¶ Χερμάδιον, λίθος πληρῶν τὴν χεῖρα.
Χ ερείω, χείρονα, ἐλάττονα. ¶ Χέρηϊ χείρονι, ἥττονι.
ἢ ἥσσονι. ¶ Χέρμα, ποίημα, χάλιξ. ¶ Χερμάδι-
ος, χειροπληθὴς λίθος, καὶ ὁ ἀκροβολισμός.
Χ ερμαδίῳ, χειροπληθεῖ λίθῳ. ¶ Χερμάδος, λίθος
πληρῶν χεῖρα. ¶ Χερμάς, λίθος χειροπληθής, ὃν
τῇ χειρὶ βαστάσαι καὶ ἀνελέσθαι δύναταί τις. ¶ Χερ-
ματίστης, λίθος χειροπληθής, καὶ δίσκος βακχεῖος.
Χ έρνης, πένης, λάτης, χειροτέχνης ὁ ἀπὸ χειρῶν ζῶν.
Χ ερόβιος, χερνίτης. χέρνα γὰρ ἡ πενία. ¶ Χερνῆτις
ἡ ἀπὸ χειρῶν ζῶσα πενιχρὰ χήρα. ¶ Χέρνιβα, τὸ ἐπι-
χεόμενον ταῖς χερσὶν ὕδωρ. ¶ Χερνίβιον, τὸ ἁγνισθῆ-
ναι δι' ὕδατος ἔχοντος κειθὰς ἢ ἅλας.
Χ έρνιβος, τοῦ προχεομένου ὕδατος. ¶ Χερνιψάμενος
τὰς χεῖρας νιψάμενος. ¶ Χέρρονα, τὴν χέρσον
γῆν λάκωνες. ¶ Χερρονησία, γῆ, ἡ ἐκ δεξιῶν ἢ ἀ-
ριστερῶν ἔχουσα θάλασσαν. ¶ Χερσεύει, σοφοκλῆς
ἴωνι κείμενος μὲν ἐπαύλας αὐλὰς τῆς χέρσου, ἢ διὰ
χειρῶν ἔχει, ἢ οὕτως ἐμβατεύει. ¶ Χερσία, ἐρημί-
α. ¶ Χερσόνησος, γῆ εἰς θάλασσαν ἐκνεύουσα, ἢ
μήτε χέρσος, μήτε θάλασσα. ¶ Χέρσος ἡ ἔρημος
γῆ καὶ τραχεῖα, καὶ πᾶσα γῆ ἄκαρπος καὶ ἀνέργαστος.
Χ ερσωθήσονται, ἐρημωθήσονται. ¶ Χερωΐς εἶδος ἐρω-
ός. ¶ Χεῦαι, ἐπιχέαι, καταχῶσαι ἐπὶ τῶν τελευ-
τώντων. ¶ Χευάμενοι, περιβαλόμενοι. ¶ Χεύει ῥέ-
Χ ευμα ῥεῦμα ὕδωρ. χεύμασι προχοῇ. χεύωσι, χεύ-
σωσι, χώσωσιν.

ΤΟ Χ ΜΕΤΑ ΤΟΥ Η.

ῆ, ἔθος, ἀπειλία. ¶ Χηίασνος, οἶκος. Χηλᾶς,
Χ ῥάπτης, πλέκτης ἢ ῥοφεύς.

Χ ηλεύει, ῥάπτει, πλέκει. ¶ Χηλεύματα, κράνη, τὰ
ῥαπτὰ χηλὰς ἔχοντα ποδός. ¶ Χηλή, ὁπλή, ὄνυξ
βοός. γνάθος. ¶ Χηλεύσεις, πλέξεις, χηλεύματα δὲ
ἐλέγοντο τὰ ὑπότια διὰ τὸ πλέκεσθαι ἢ ῥάπτεσθαι.
Χ ηλινόν, πλεκτόν. ¶ Χηλοδυσεῖν, ἀδολεσχεῖν, αἱ δὲ
τρίβειν. ¶ Χηλός, κιβωτός. ¶ Χηλώτης ὅμοιον
Χ ήλωμα, γλύψις. ¶ Χηλώνη, μηχανὴ πολέμου.
Χ ηλῶζαι, αἱ ῥαφίδες τῶν δικτυοπλόκων. ¶ Χήμη,
χάσμη. ¶ Χηραμβὴς, λεία. χηνέλοπες, ὄρνεα
ποιά. ὅπερ ἔνιοι χηναλώπεκες. ¶ Χῆνα, ὀμνύ-
ειν. ἔθος ἦν τὸ κατὰ τῶν τοιούτων ὀμνύειν τοῖς παλαιοῖς.
Χ ήνημα, καταμώκημα. ¶ Χηνῆσαι, καταμωκήσασθαι.
Χ ηνοβόσια, χηνοβοσκία. ¶ Χηνύστρα, αὐτὴν τὴν χά-
σμην ἢ τὸ στρατεύεσθαι. ¶ Χηνυστρᾶσθαι, χασμᾶσθαι.
Χ ηνυστεῖς, βοᾷς, κέκραγας, ἐνίοτε στραγγεύῃ.
Χ ήπτει, ἐν ᾧ σπανίει ἢ χρεία ἐστίν. ¶ Χήρ, ἐχῖνος.
Χ ήρα, ἡ μετὰ γάμον μὴ συνοικοῦσα ἀνδρί, ἢ τὸν ἄνδρα
στερηθεῖσα γυνή. ¶ Χῆραι, αἱ μὴ ἔχουσαι ἄνδρας.
Χ ηραμβὴς, χηρῶν οἴκημα ¶ Χηραμοί, οἱ φωλεοὶ τῶν
θηρίων ἢ αἱ καταδύσεις, σπήλαια ἢ πέτραι κοῖλαι.
Χ ῆροι ἀνδρῶν, μὴ ἔχοντες γυναῖκας
Χ ηραμύδες, τὰ κοῖλα ἢ ἔχοντα κενώματα
Χ ήρατρον, ἐσχάρα. ¶ Χηρεύει, ἐνδεής ἐστιν ἢ ἔρημος.
Χ ηρήιον οἶκον, παρὰ αὐτῆ μάχῳ τὸν ἄτακτον. ¶ Χῆρον
τὸν ὀρφανὸν ἢ ἐστερημένον ἢ ἔρημον ἢ χρείαν ἔχοντα τι-
νός. ¶ Χειροπλάζουσα, διὰ χειρὸς ἔχουσα. ¶ Χηρωσταί
οἱ μακρόθεν κατὰ γένος προσοικοῦντές εἰσιν, ἢ οἱ χη-
ρευόντων τῶν οἴκων τῶν ἀγχιστέων κληρονομούντων
Χ ηρῶσαι, ἐρημῶσαι. ¶ Χηρώσας, χήραν ἐάσας. ¶ Χή-
ρωσε, ἔξανδρον ἐποίησεν. ¶ Χηρωσταί, οἱ μακρόθεν συγ-
γενεῖς. ¶ Χήτει, στερήσει, ἐνδείᾳ, σπάνει. ¶ Χήτει ἐνευ-
νων, ἐνδείᾳ τῶν ἐγκοιμησομένων ἤτοι περιβολαίων.
Χ ητεία, χρεία. ¶ Χῆτος, ἔνδεια, στέρησις. ¶ Χθα-
μαλός, ταπεινὸς ἴσος, ὁμαλὸς, κοῖλος. ¶ Χθαμα-
λώτερος, κατὰ σύγκρισιν. ¶ Χθές, χθιζόν, ἐχθές
Χ θεσιφρονῶν, κακολογῶν. ¶ Χθιζά, τὰ χθὲς καὶ πρώην
Χ θιζά καὶ πρωϊζά, χθὲς ἢ πρωΐ. ¶ Χθιζοί, χθεσινοί
Χ θιζός, χθεσινός. ¶ Χθόα, σῶμα. ¶ Χθόϊνος, καὶ
χθόνιος, γήϊνος, ἐπίγειος. ¶ Χθόνιος Ζεύς, ὁ ᾅδης.
Χ θόνια, ὑπόγεια κεκρυμμένα, βαρέα, φοβερὰ μεγά-
λα. ¶ Χθονίην, νεκρικήν. ¶ Χθόνια λουτρὰ τὰ τοῖς
νεκροῖς ἐπιφερόμενα, ἐκόμιζον γὰρ ἐπὶ τῶν τάφων λουτρά
Χ θονήρεις, χθονίοις. ¶ Χθονίαν λώβαν, ἀντὶ τοῦ μεγά-
λην ὕβριν, καὶ τὴν χθονὸς λώβην ¶ Χθόνιον μέγα
Χ θονίους, ἰναχίδας, αὐτόχθονας καὶ οὐκ ἐπήλυδας.
Χ θονίων, ἐπιγείων ¶ Χθονόπαιδα ὥραν, καθ' ὃ ἐκ γῆς
αἱ ὧραι τὰ φυόμενα ὡς ἡμέρα ἡλίου καθ' ἱστορίαν ¶ Χθο-
νός, γῆς ¶ Χθών, ἡ γῆ ἀπὸ τῆς χεύσεως ¶ Χιάζειν
σιφνιάζειν ¶ Χῖαι, ὑποδήματα ὡς ἀνδρεῖα εἶδος
Χ ιδὸν, χλιδὸν, θερμόν ¶ Χιασὶ τίλλειν, ὡς τῶν χίων
καταπαγόντων καὶ παραλλομένων. ¶ Χιδὰ, φικτή
Χ ιδαλέον, τυφλὸν, ἄγαμον πτωχικός. ¶ Χίδαδον
τὸ παιδίον. ¶ Χίδαι, ἀντὶ τοῦ κριθῶν ¶ Χιδᾶν
χιμάζεσθαι, δειλιᾶν. ¶ Χίδρα, στάχυες νεογενεῖς,
ἢ τὰ ἐκ ὀσπρίων ἄλευρα, ἢ σῖτος νέος φυτιόμενος, ἢ

Χ αράκια, ὑποσκελίσματα. ¶ Χαρακίζειν ἀναιρεῖν, μὲ πεοιείζειν, διαιρεῖν. ¶ Χαρακτηρίζει σημαίνει διὰ χαρακτῆρας, χαρακτηριστικὸν σημεῖον δηλοῦν διὰ χαρακτῆρας. ¶ Χαρακτὴρ, ὁμοίωσις. ¶ Χαράκισ, τὸ θύμα ἄλλος. ¶ Χαραμὸς, ἡ ἀπὸ γῆς διάστασις ὅιον χηραμός. ¶ Χάρακα, χαράκωμα. περίφαγμα.

Χ άραξι φραγμοῖς ὀξέσι ξύλοις, οἱ δὲ καλάμοις: οἱ δὲ σταυροῖς. ¶ Χάραξ, τὴν ἄμπελον, παροιμία ὅταν ὑπὸ τοῦ στηριζομένου τὸ σῶζον ἀπατηθῇ. ¶ Χαράξαι κόψαι, κοιλᾶναι, τυπῶσαι. ¶ Χαρῆ, χαρά. ¶ Χαρείη, τερφθείη. ¶ Χαρεία, βουνός. ¶ Χαρείδαι, γένος ἐξ οὗ ὁ ἱερεὺς τοῦ κρανκοῦ. ¶ Χαρίεν, καλὸν ἀστεῖον. ἀστεῖον. ὡραῖον. ¶ Χαρίεντα καλὰ κεχαρισμένα

Χ αρίζεσθαι, τὸ δρᾶν τὰ κεχαρισμένα. ¶ Χαρίλα, φίλτρα. ¶ Χάριξον. ἐπισκεύαζον. ¶ Χάρισ, δωρεὰ, χαρὰ, καὶ θῦμα ἐκ τεινῶν πο πάνων συγκείμενον. τινὲς δὲ πλακούντων εἶδη. ἀπὸ ἀρξαμένου χάριτας καλεῖσθαι, καὶ ἀμοιβὴ κατὰ εὐεργεσίαν. ¶ Χάρισμα, δῶρον.

Χ αριστήρια, χαρίεντα δῶρα. ¶ Χαρίσιον, εἶδος πλακούντων. οἱ δὲ ἄρτον ἀπὸ τῶν λημμάτων. ¶ Χαρίεσθαι. πεχαρεῖν. λέγονται γὰρ αἱ γυναῖκες χαρίζεσθαι αἱ πρὸς συνουσίαν ἑαυτὰς ἐκδιδοῦσαι. ¶ Χάρμα ἡδονὴ χαρά. ¶ Χάρματος, χαρᾶς. ¶ Χάρμη, ἡ μετὰ χαρᾶς μάχη. ¶ Χάρμης, μάχης. ¶ Χαρὰ, ὀργὴ, ἢ ὀργίλος. ¶ Χαρμονὴ, χαρὰ συλλογή.

Χ αρμόσυνα, ἑορτὴ ἀθήνησι καὶ χαρμόσυνα.

Χ αρμοσύνη, ὀνομασία. ¶ Χαρμόφρων, ὁ ἐρμῆς.

Χ αρώνη, χαρῖνος ἄμπελος. ¶ Χαροπὸς, περιχαρὴς. γλαυκός. ξανθός φοβερός. ¶ Χαρτὸς. χαρᾶς ἄξιος, ἢ βακτηρία. ¶ Χάρυβδις, χάσμα θαλάσσης, ἢ καταιγίς. ¶ Χάρυβδις, ὠμόβροτος. ἡ ἀναπινομένη θάλασσα. ¶ Χάρων, ὁ λέων, ἀπὸ τοῦ χαροποῦ τῆς

Χ αροπὸν. ξανθὸν, γλαυκὸν, φοβερὸν, περιφοβεῖ. ¶ Χαρώνιον, θύρα μία τοῦ νομοφυλακίου δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θανάτου ἐξήεσαν. ¶ Χαρὰ, ὀργίλον, ἢ ὀργή.

Χ άσις, διάκρισις χώρισις. ¶ Χάσιος, ἀπαθὸς. χρηστός.

Χ άσκοντες, αὐαίνοντες. ¶ Χασκωρεῖν, περιβλέπειν.

Χ άσμα, στόμα, ἢ χάσμα γῆς. ¶ Χάσμα θηρὸς, ὄψις θηρὸς, ἢ θαλάσσης πρόσωπον. ¶ Χασμᾶται, ἀνοίγεται. ¶ Χαστάμενος, ἀναχωρήσας. ¶ Χάσασθαι, ἀναχωρῆσαι, χωρῆσαι. ¶ Χασᾶ, χωρήσει, ἀναχωρήσει. ¶ Χασιὰ, τὸ ἀπὸ δήμου. χασιεῖς τὸ δῆμος.

Χ ασιεῖς, ὄνομα δήμου. ¶ Χαστεία, τῇ ἀνεγερσύσῃ.

Χ ατέων χρείαν ἔχων. ¶ Χατέοντα, δεόμενοι χρήζοντα. ¶ Χατέοντί περ, καίπερ χρήζοντι.

Χ ατεύει, χατίζει ἐπιθυμεῖ. ¶ Χατεύουσα, χρήζουσα, δεομένη. ¶ Χατὶς, ἐπιθυμία, χρῆσις. ¶ Χαυλιόδοντα, τὸν ἐπικεχαλασμένους ἔχοντα τοὺς ὀδόντας ἔξω τῶν ἄλλων ὀδόντων καὶ τοῦ στόματος, οἱ δὲ ἀμφόδοντας.

Χ αυλίξων, ἀλαζόνα. ¶ Χαυνάκων, χαυνοποιῶν, οἱ δὲ χαυνολόγων. ¶ Χαυνιάζει, πλανᾷ. ¶ Χαυνῶσαι τὸ φυσῆσαι. ¶ Χαυνῶνες. ἄρτοι ἐλαίῳ ἀναφυραθέντες.

Χ έδροπα, ὄσπρειόν τι. οἱ δὲ πανσπερμίαν. ¶ Χέδροψ. πᾶν ὄσπρειον σπέρμα. ¶ Χεῖ, * ἐπὶ τῶν χειλῶν δρακόντων ἔσχατον. ¶ Χειὰ, ἡ κατάδυσις τῶν ὄφεων καὶ δρακόντων. ¶ Χειαὶ, ὁμοίως. ¶ Χειδροπῶν ὀσπρείων. ¶ Χιλεύει στραβὸν. στοιβάζει στραβὸν, στρέφει. ¶ Χειλιάκρων, χειλαὶ, αἱ συμπλώσεις τῶν βλεφάρων. ¶ Χιλιαστύες, αἱ φυλαί. ¶ Χιλὸς, τροφὴ, βρῶσις χόρτος, καὶ πᾶν ἄλλο χόρτασμα.

Χ ειλοῦται, μεγαλύνεται, αὔξεται. ¶ Χειλοῦσθαι. παχύνεσθαι, στίζεσθαι. ¶ Χελῶνις, τῶν ἀλεκτρυόνων τινές. ¶ Χειμὰν, χειμῶνα. ¶ Χειμάδιε, ἱμάτιον χειμερινόν. ¶ Χειμάδιον, εἰς τὸ χειμάζειν.

Χ ειμάμινα, ἣν ὅμηρος ἀλεξάνεμον λέγει. ¶ Χείμαρροι οἱ ἐν τῷ χειμῶνι γενόμενοι ῥεῖθροι. καὶ οἱ ποταμοὶ οἱ ῥύακες. ¶ Χειμὰς, χειμών. ¶ Χειμασία, ζάλη ταραχή. ¶ Χείμαστρον, χειμερινὸν ἱμάτιον.

Χ είμεθλον, τὸ ἐν χειμῶνι γενόμενον ἕλκος. ¶ Χειμερὰς, χειμερινάς. ¶ Χειμεριοῦντας, διαχειμάσοντας.

Χ ειμέω, ῥιγῶ. ¶ Χειμήβοτος, χειμερινὴ ὥρα.

Χ ειμὼν, ἡ ὥρα καὶ κίνδυνος, ταραχή. ζάλη. διωγμός.

Χ ειμῶντα, ῥιγοῦντα. ¶ Χεὶρ, ἡ δράξ, καὶ τὸ μέλος καὶ μέρος ¶ Χειράδες, αἱ μετὰ λίθων ἢ ὅπλων βολαί.

Χ ειραδίαι, τῶν χειμάρρων αἱ λιθώδεις ἀθροίσεις.

Χ ειράδας, τὰς ἐν τοῖς ποσὶ ῥαγάδας, ἔνιοι δὲ φωΐδας.

Χ εῖρε, τὰς χεῖρας δυϊκῶς. ¶ Χειραγωγῶ, τῇ χειρὶ ἄγω. ¶ Χειρίον, ὑποχείριον, τιθασόν. ¶ Χειρίζειν, διοικεῖν. ¶ Χείριον, ὑποχείριον χειροήθη. ¶ Χειμβρὼν, ζυγὴ, ἡ ἑταιρεία. ¶ Χείριος, χρήσιμος ὑποχείριος. ¶ Χειρίων, ἐλάττων, χείρων. ¶ Χείριστα, δεινὰ, κάκιστα. ¶ Χειροβοσκὸν, τὸ διὰ χειρῶν ζῶντα. ¶ Χειροβρῶτι δεσμῷ, τοῖς πυκτικοῖς ἱμᾶσι. διὰ τὸ τὰς σάρκας διακόπτειν καὶ ἀναλίσκειν.

Χ ειροβλήματα, δράγματα, οἱ δὲ χειρόβλητα:

Χ ειρογάστορες, οἱ διὰ τῶν χειρῶν ζῶντες. ¶ Χειρονομία ἡ προστφόνη. ¶ Χειρόγραφον, συμβόλαιον γραμματεῖον. ¶ Χειρόδοτον, ἀσχημάτιστον σάνιον. ¶ Χειροέργτης, χειρουργός. ¶ Χειροήθεις, πρᾶοι, ἥμεροι.

Χ ειρόηθες, πρᾶον ἥμερον. ¶ Χειροθετεῖ, χεῖρας ἐπιτίθησι. ¶ Χειρόκμητα, χειροποίητα ἔργα ὑπὸ χειρῶν γιγνόμενα. ¶ Χειρομάντεις, οἱ ἀπὸ χειρῶν μαντευόμενοι. ¶ Χειρόμακτρον. ἢ χειρόμακτρον μανδήλιον

Χ εῖρον, κάκιστον, ἔλαττον. ¶ Χείρονα, ὅμοια.

Χ ειρωνάκτας, χειροτέχνας. ¶ Χειρονόμος, ὀρχηστής.

Χ είρονος, ἐλάττονος. ¶ Χειροπονία, ἑορτὴ ἐν ᾗ τεχνῖται θύουσιν. ¶ Χειροπόδες, ῥαγόποδες. ¶ Χειροτερὴς ἐλάττων. ¶ Χειρότερον, χείρονα. ¶ Χειροτονεῖν. καθιστᾶν ψηφίζειν. ¶ Χειροτονία, ἐκλογή.

Χ ειρουργεῖ, χερσὶν ἐργάζεται. ¶ Χείρων, κρόνου καὶ φιλύρας υἱός. ¶ Χειρονάκτας, χειροτέχνας.

Χ ειρώναξ, λεὼς ὁ χειροτέχνης. ¶ Χειρωσάμενοι, καταγωνισάμενοι. ¶ Χειρώσασθαι, ὑποτάξαι. φονεῦσαι. ¶ Χειρωθῆν, διάλωτον καταγωνίσασθαι.

Χ ιτὼν, ἔνδυμα περιβόλαιον. ¶ Χέισεται, χωρήσει.

Χ ελεὶς χελώνη. ¶ Χελεὶς, κιθάρα. ¶ Χελιδὼν. χελιδὼν. χελιδονίας, καὶ ἰχθύς ποιός. ¶ Χελιδὼν. τὸ κοῖλον ὑπὸ ὁπλαῖς τῶν ἵππων καὶ τοῦ ἀνθρώπου τὸ ἄνωθεν ἀγκῶνος ἢ τὸ κατὰ τὰς καμπάς: ¶ Χελιδονισταί. οἱ τῇ χελιδόνι ἀγείροντες. ¶ Χελιδόσι. τοὺς βαρβάρους χελιδόσιν ἀπεικάζουσι διὰ τὴν ἀσύνθετον λαλιάν. ¶ Χελιδόνιον, φάρμακον. ¶ Χελιδὼ

ῶν ἐφ᾽ ἃ παντὶ ἀγαθὸν ἐστίν. ¶ Χαλεπῆνας, ἀγανακτῆσαι. ¶ Χαλεπὸν, δύστροπον, σκληρὸν, δεινόν.

X αλεπήνη, εἰς χαλεπότητα ἄγει. ¶ Χαλεπεῖ, ἐρεθίζει, ἀπειλεῖ, φοβεῖ. ἀγανακτεῖ, κακίζει, βλάπτει, εἰς χαλεπότητα ἄγει. ¶ Χαλεπῆς, χαλεπότης.

X αλεπῶς, δυσκόλως. ¶ Χαλέσιν, ὄνυξι. ¶ Χαλεψάμενος, χολωθείς. ¶ Χαλέρυπρον, τὸ ῥύμμα τὸ ἀπὸ τοῦ νίτρου γινόμενον, ὃ τινὲς νίτρωμα λέγουσι. ¶ Χαλία, ἡσυχία. ¶ Χαλίδιον, πινάκιον. ¶ Χάλικες, οἱ εἰς τὰς οἰκοδομὰς μικροὶ λίθοι. ¶ Χαλίκρατον, εὔκρατον. ἄκρατον. ¶ Χάλιμος, φαρμακός. ¶ Χαλιμάδες, αἰσχυνται καὶ θρασεῖαι. ¶ Χαλὶς, ὁ ἄκρατος οἶνος, καὶ ὁ μεμηνὼς ἢ κεχαλασμένος τὰς φρένας.

X αλισὸν, σκαιὸν ἢ ἀσεβὲς καὶ ἄδικον. ¶ Χαλίφρονας, ἀλάφρονας, μαινομένας, βέλτιον δὲ τὰς καταφερεῖς καὶ κεχαλασμένας πρὸς συνουσίαν ὑφ᾽ ἡδονῆς.

X αλιφροσύνη, ἡ τῆς ψυχῆς ἄνεσις. ¶ Χαλίφρων, κεχαλασμένας ἔχων τὰς φρένας. ἤγουν ἀσύνετος.

X άλκεα, τὰ ὅπλα συνήθως ἐστὶ τὰ ἐκ σιδήρου. χάλκεα ἐπίσσωτρα τὰ ἔξωθεν τῶν τροχῶν οἱ κανθοί. ¶ Χαλκέγχεων, πολεμιστῶν. ¶ Χαλκεῖα, ὑπομνήματα τῶν τεχνῶν εὑρέσεως. ¶ Χάλκε᾽ ἐπίσσωτρα ὁμοίως.

X άλκεον, ὀχυρόν. σκληρόν. ἄλλοι ὕπνον ἢ θάνατον.

X άλκεος, ἰσχυρός. ¶ Χάλκεος κέραμος. εἱρκτή. πίθος καὶ ὄρος. ¶ Χαλκεόφωνον, ἰσχυρόφωνον. ¶ Χαλκεὺς, πᾶς τεχνίτης, καὶ ὁ ἀργυροκόπος ἢ ὁ χρυσοχόος.

X αλκεῶνα. χαλκεῖον ἐν ᾧ τοὺς κοττάβους ἐποιοῦντο.

X άλκη, πορφύρα. ¶ Χαλκηδὼν, πόλις. ¶ Χαλκῆ μυῖα, εἶδος τιμίας. ¶ Χαλκήρεα, χαλκῷ ἀρηρότα.

X αλκηρέας, χαλκῷ ἡρμοσμένοις. ¶ Χαλκήρη, χαλκῷ ἡρμοσμένα. ¶ Χαλκόστομα, χαλκία κύμβαλα.

X αλκίδης, γένος. ¶ Χαλκιδεὺς, δειλός. ¶ Χαλκιδική, σκυθική, τὰ μέταλλα τοῦ σιδήρου, ἐκεῖ πρῶτον εὑρεθέντα. ¶ Χαλκιδίζειν, ἀπὸ τῶν κατ᾽ εὔβοιαν χαλκιδέων. τίθεται δὲ καὶ ἐπὶ τῶν παιδεραστούντων. ἐπεὶ ἐπλεόναζον παρ᾽ αὐτοῖς οἱ παιδικοὶ ἔρωτες. ¶ Χαλκιδικὸν δίωγμα, διότι εἰς χαλκίδα ἐγίνετο ἡ ἐκδίωξις.

X αλκιδικὸς λιμὼν, οἱ μὲν τὴν κυκλωπίαν κώμην, οἱ δὲ κύκλωπος λίμνην. ¶ Χαλκιδικὸς, εἶδος ἀλεκτρυόνος. ¶ Χαλκίναος, χαλκίνικος. ¶ Χαλκίνδα, τὸ εἰς χαλκὸν κυβεύειν. ¶ Χαλκίον, τὸ χαλκοῦν.

X αλκίον, μακρὸν τὴν ἐλαιηρὰν ἐπίχυσιν. ¶ Χαλκὶς εἶδος ὀρνέου καὶ ἰχθύος, ἢ πόλις τῆς βοιωτίας. ¶ Χαλκοβάρεια, ἰσχυρά, ἢ ἐκ τοῦ χαλκοῦ βαρεῖα. ¶ Χαλκοβαρὴς, ὁ ἐκ τοῦ σιδήρου βαρούμενος. ¶ Χαλκοβατὲς, τὸ ἰσχυρῶς βεβηκός. ¶ Χαλκόβατον, ἰσχυρῶς βεβηκότα.

X αλκογλώχινος, χαλκὴν ἐπιδορατίδα ἐχούσης.

X αλκηδόνη ταύτης ἱερὸν ἐν σπάρτῃ. ¶ Χαλκοδαμάντωρ, χαλκόδερμος, ἐπεὶ ὥπλισται λέγεται δὲ καὶ χαλκηδαμάντωρ. ¶ Χαλκοκορυσταὶ, χαλκῷ καθωπλισμένοι. ¶ Χαλκοκνήμιδες, οἷς σιδηραῖ ἦσαν, ἢ χαλκαῖ αἱ κνῆμαι. ¶ Χαλκοκορυστὸν, χαλκῷ ὡπλισμένον.

X αλκόκρας, τὸ χαλκόκροτον νόμισμα. ¶ Χαλκόκροτος, ἡ ῥέα διὰ τὰ κύμβαλα. ¶ Χαλκολογεῖν, νομίσματα συλλέγειν. ¶ Χαλκόλοφον, ἱπποχαίτην, τὸ ἱππεύματα περικεφαλαίας, ἢ δὲ ἱππείων τριχῶν κεκόσμηται. ¶ Χαλκὸς, ὁ σίδηρος καὶ νόμος ἀκίνητος. ¶ Χαλκοπαρῄους, χαλκᾶς παρειὰς ἐχούσης.

X αλκόπεδας, ἰσχυρόπεδας. ¶ Χαλκοῦν, πινάκιον, ἀθηναῖοι εἶχον ἕκαστος πινάκιον πύξινον ἐπιγεγραμμένον τὸ ὄνομα τοῦ αὐτοῦ καὶ τοῦ δήμου παρ᾽ ὅθεν. ¶ Χαλκοτύποις, χαλκοπλήκτοις. ¶ Χαλκοῦς, ὃ ἦν ἔλαττον τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου ἔλεγον. ¶ Χαλκοχιτώνων χαλκοθωράκων, ἢ ἰσχυροθωράκων. ¶ Χαλκόδοντας στόλοις. χαλκοῦς ὀδόντας ἔχοντας. ὀδόντας δὲ ἔλεγον τὰ ἔμβολα. ἅ τινες ἐμβόλια. ¶ Χαλκόνητος, ἠργυρασμένος. ¶ Χαλκοτῆρα, κέραμός τις.

X άλυβοι, ἔθνος τῆς σκυθίας, ὅπου σίδηρος γίνεται.

X αλυβδική, τῆς σκυθίας, ὅπου σιδήρου μέταλλα.

X αλυβώνιος, εἶδος οἴνου ἀπὸ τόπου τινὸς τῆς συρίας.

X ελωνέννα, λύραις. ¶ Χελώνη κιθάρα, ἀπὸ τῶν ὀστράκων χελώνης ἡ κιθάρα γίνεται. ¶ Χαλωσις, χάσκουσα.

X αμαδύται, κοχλίαι. Χάμαζε, χαμαί, χαμάδις χαμάδις, τὰ αὐτά. ¶ Χαμαιλὶς, χαμαὶ χεῖν καταβάλλειν. ¶ Χαμαιευνάδες, οἱ σύες ἀπὸ τοῦ παρακολουθοῦντος αὐτοῖς. πολλὰ γὰρ τῶν ἄλλων τετραπόδων ὀρθὰ κοιμᾶται καὶ ἑστῶτα. ἄππίων δὲ ὅτι βόθρους ὀρύσσει, ἢ οἱ χαμαὶ κοιτάζοντες. ¶ Χαμῶνας, στίαρ, ἢ τὰ ἐκ στέατος πεπτόμενα. ¶ Χαμαίζηλα, ταπεινὰ γήϊνα.

X αμαίζηλοι εὐτελεῖς. ¶ Χαμαιλέων, ζῶον ὡστίκηρον καὶ πεζόν. ¶ Χαμαιπετεῖ, ταπεινῷ ἢ χαμαὶ κειμένῳ.

X αμαιπετῶς, ὅς τε μὴ εἰς τοὔδαφος ῥίπται. ¶ Χαμερρεπῶς, χαμαιζήλως, ἢ εἰς τὰ γῆια ῥέπων. ¶ Χαμαιτύπη, πόρνη ἄδοξος. ¶ Χαμαιτυπιῶν, τῶν πλαγίων συνουσιῶν, ἤτοι πορνείων. ¶ Χαμερπής. γεωργὸς, ὁ ἐν τῇ γῇ κοιμώμενος. ¶ Χαμετυρὶς, ἡ πόρνη. ¶ Χαμευνὰ, ταπεινά. ¶ Χαμευνεῖ χαμαικοιτεῖ. ¶ Χαμεύνη, στιβὰς, καὶ ἡ ταπεινὴ κλινίς. καὶ χαμεύνης ὁ χαμαὶ κοιμώμενος. ¶ Χαμεύνιον, κλινίδιον πενιχρόν. ¶ Χαμηλὸν, χαμαίζηλον. ¶ Χαμόθεν ἐκ τῶν χαμαί. ¶ Χαμόκοιτος, ὁ εἰς τὴν γῆν κοιμώμενος. ¶ Χαμὸν, καμπύλον. ¶ Χανὰ, κόσμησις.

X ＊αναβὶς, ἅλως. ¶ Χάνοι, ἀνοῖξαι στόμα. ¶ Χαναάμ. στίλος. ¶ Χανακὲς, ἐπιεικές. ¶ Χαυάκτιον, τὸ μωρὸν δόκιμον. ¶ Χαμᾶσθαι, χασμᾶσθαι.

X ανδάνειν χωρεῖν. δέχεσθαι. ¶ Χανδὸν, πολὺν καὶ ὅσον δυνατὸν καὶ ἀθρόως ἀπὸ τοῦ κεχηνέναι πλατύ. ¶ Χανδὸν πιεῖν κεχηνότως καὶ ἀθρόως πιεῖν ὅλῳ στόματι.

X ανεῖ, φυλάσσει, ἀνοίγει. ἀπαγγελεῖ. ¶ Χανηδὸς, τὸ ἐπὶ τὴν ἅμαξαν ἐπιτιθέμενον πλέγμα. ¶ Χάνοι, χάσμα ποιήσοι. ¶ Χάνοι εὐρεῖα χθὼν, εὐρὺ χάσμα ποιήσειεν ἡ γῆ. ¶ Χάνοιμι, εἴποιμι. ¶ Χανὼν, στόμα, ἀνοίγων στόμα. ¶ Χανεῖν, βοᾶν. ¶ Χανίσαι, βίᾳ καλεῖ.

X άος, χώρησις, καὶ τὸ κενὸν ἀπὸ τοῦ κεχύσθαι, ἢ σκότος. ¶ Χαρὰ, ἡδονὴ, ἀγαλλίασις, εὐφροσύνη.

X αράδρα, λάμη σίτου. ¶ Χαράδρα, χείμαρρος ποταμὸς, κατάγει δὲ οὗτος παντοῖα ἐν τῷ ῥεύματι, καὶ κατασύρει. ¶ Χαράδραι, αἱ χαράξεις τοῦ ἐδάφους, καὶ οἱ κοῖλοι τόποι ἀπὸ τῶν καταφερομένων ὀμβρίων ὑδάτων. ¶ Χαραδριὸς, εἶδος ὀρνέου.

X άρακες, τάφροι, καὶ ἀκανθώδη φυτά. καὶ οἱ κάλαμοι.

X αρακίαι. οἱ ἐν τοῖς χάραξι διατρίβοντες.

Φ υρεῖ, μολύνει, ῥυποῖ. ¶ Φύρακες, ἐλαφροί.
Φ ύρσω, μολύνω. ¶ Φυρτήτης, οἶνος. ¶ Φυρτίζεσθαι τὸ παίζειν συνεσφραγισμένοις φυροῖς τοῖς ἱματίοις.
Φ υρτοῖσιν, εἰκαίοις, συμπεφυραμένοις, οἱ δὲ ἄλφιτα οἴνῳ δεδευμένα. συμπεφυρμένοις. ¶ Φὺς, γεννηθεὶς, βλαστήσας. ¶ Φῦσα, φαρέτρα καὶ ἰχθὺς ποιὸς ἐν τῷ νείλῳ γενόμενος. οἱ δὲ τὸ πνεῦμα καὶ ὁ ἀὴρ, ἢ ἀσκός.
Φ ῦσα, ἀποπνεῖται, ἐπαίρεται. ¶ Φυσακτὴρ, ἀργὸς πιὸς τις πεπανώδης. ¶ Φυσαλλίδες, φυσητήρια. αὐλοί.
Φ ύσας, γεννήσας, ἢ τοὺς ἀσκοὺς πληρώσας. ¶ Φύσασθαι, γεννῆσαι. ¶ Φυσεδὸς, συρμὸς, φύσει δὲ σκληρόν.
Φ ύσει, βλαστήσει, ἀληθῶς φύει. ¶ Φυσητὴρ, ὁ τῶν κητώδων ἰχθύων αὐλός. ¶ Φύσιγγες, εἶδος σκορόδου, ἄλλοι δὲ σκορόδων κεφαλίδας, καὶ οἱ πρόβολοι τῶν ὀρνίθων. καὶ τὰ ἐν ταῖς κνήμαις ἐγκαύματα. ¶ Φυσίζωος, πρὸς τὸ ζῆν φύουσα. ¶ Φυσικῇ, ποιότητι.
Φ υσίωσις ἢ παρρησία, ὑψηλοφροσύνη. ¶ Φυσιολογεῖ, περὶ φύσεως διαλέγεται. ¶ Φυσιολογία, λόγοι φύσεως ἐξαγγελτικοί. ¶ Φύσιον, τὸ κανθήλιον. ¶ Φυσιούμεθα, ἐπαιρόμεθα, τυφούμεθα. ¶ Φυσιόων, φυσιῶν, ἀσθμαίνων, πνευστιῶν. ¶ Φύσις, γένος, οὐσία, προαίρεσις. ¶ Φυσίφρονες, πεφυσημένοι τὰς φρένας μάταιοι. ¶ Φυσιῶν, ἀστέρων παχύς. ¶ Φύσκη, κοιλία καὶ τὸ παχὺ ἔντερον. ¶ Φυσημάζα ἄτεχνος.
Φ υταλιαῖς, κήποις, ἢ ταῖς γονίμαις καὶ φυτευτικαῖς.
Φ υταλίδαι, γένος παρὰ ἀθηναίοις. ¶ Φυταλίζειν, φυτεύειν, πλησιάζειν. ¶ Φυταλιῆς. κήπου δενδροφόρου γῆς. ¶ Φυταλίμοις, φυτευτικοῖς γονίμοις.
Φ υτάλμιος Ζεὺς, συγγενὴς, ἢ ζωογόνος. ¶ Φυτεύει, κατασκευάζει, γεννᾷ. ¶ Φυτηκόμος. σύνδενδρος τόπος.
Φ ύτιος. ἥλιος, ἢ Ζεύς. ¶ Φύτλη. γέννα, γένεσις, γένος.
Φ ύτορες, γεννήτορες. ¶ Φυτοσπορῶν, φεύγων. ¶ Φύτου. φύματος. ¶ Φύζα, φύσις οἱ δὲ φυτήρια.
Φ ῦ. χειρί. ἐμπεφυκότως λίξοις * τῇ χειρί. ¶ Φύονται, γεννῶνται. ¶ Φυῶς, φύσει. ¶ Φῶ. εἴπω.
Φ ώγειν, φρύγειν. ¶ Φῶιδες, φωΐδες, τὰ ἀπὸ πυρὸς ἐν σώματι γινόμενα ἐκ φυσήματος. οἱ δὲ τὰς φλυκταίνας. ¶ Φώκη, ζῷον θαλάσσιον. ¶ Φωκαῖς ὄνομα ἔθνους καὶ τὸ κάκιστον χρυσίον. ¶ Φωκίων, ὄρνις ποιός. ¶ Φῶκος. κῆτος θαλάσσιον ὅμοιον δελφῖνι.
Φ ωλάδες, ἐμφωλεύουσαι. ¶ Φωλάδην, ἐμφωλεύουσιν.
Φ ωλάζει, ἐμφωλεύει. ¶ Φωλαΐδες, ὀστράκινα, τινὰ βρωμώδη. ¶ Φωλεὸν, διδασκαλεῖον, ἢ οὗ τὰ θηρία κοιμᾶται ἢ οὗ χορεύουσι καὶ διδάσκουσιν, οἱ δὲ σπήλαιον.
Φ ωλεύει, οἰκουρεῖ, κρύπτει. ¶ Φωλητηρίοις, φωλητήρια καὶ φωλεαὶ τῶν θηρίων καὶ ζῳδίων οἶκοι. ¶ Φωλητὴρ, ὁ ἐν τῷ αὐτῷ τόπῳ καθεζόμενος ἀεί. ¶ Φωλίς, ἰχθὺς ποιός. ¶ Φῶμεν. εἴπωμεν. ¶ Φωνασκεῖ φωνὴν ἀποτελεῖ. ἢ φωνῆς ἐπιτελεῖ. ¶ Φωνεῖ, λέγει. ¶ Φωνὴ, ἡ τοῦ ἀνθρώπου. ¶ Φωνήεις, λαλῆσαι δυνάμενος. ¶ Φωνήσας, εἰπὼν, λέξας.
Φ ωνεῖ λαλεῖ, λέγει. ¶ Φῶντα, λάμποντα. ¶ Φὼρ καὶ φῶρας. κλέπτας λῃστὰς κατασκόπους. ¶ Φωρᾷ, κλοπῇ. ¶ Φωρᾷ, ζητεῖ. ¶ Φωραθεὶς, εὑρεθεὶς φανείς.
Φ ωραθῆναι, γνωσθῆναι. λεχθῆναι. ¶ Φωρᾶν. τὸ τὰ κλέμματα ζητεῖν, καὶ φωρεῖν. φῶρας δὲ τὴν ἔρευναν.

Φ ωράσαντες, εὑρόντες τὰ καλά. ¶ Φωράσας, ἐλέγξας. ¶ Φωρᾶσθαι, ἐλεγχθήσεσθαι. ¶ Φωριαμὸς, κιβωτὸς, καὶ φωριαμῶν. ¶ Φώριον, κλέμμα, καὶ θρόνου εἶδος. ¶ Φώριος, εἶδος μελίσσης. ¶ Φῶρος, κατάσκοπος. ¶ Φωρυτὸν, συρφετὸν, ἢ φρυγάνων σωρὸς ἢ βόρβορος καὶ ἀκαθαρσία. καὶ χόρτος ἐπὶ γῆς.
Φ ῶς, τὸ ὁρώμενον τὸ παρὰ τοῦ θεοῦ δημιουργηθὲν, καὶ τὸ πῦρ καὶ ἡ χαρά. ὀξυτόνως δὲ ὁ ἄνθρωπος. ¶ Φώσαι φῶξαι, φρύξαι, θάλψαι. ¶ Φώσκει, διαφαίνει.
Φ ωστὴρ, θυρίς. ¶ Φωσφορεία, ἑορτή. ¶ Φωσφόρος, φωτοδότης. λαμπρὸς ἀστήρ. ¶ Φώσσων, τὸ λινοῦν ἄρμενον. ¶ Φῶτα, ἀνθρώπων, ἢ ὄμματα καὶ θυρίδες.
Φ ωταγωγὸς, ὁ τὸ φῶς φέρων. ¶ Φῶτας, ἄνδρας ἀνθρώπους. ¶ Φῶτας ἐννέα, ἄνδρας ἐννέα.
Φ ῶτε, ἄνδρε δυϊκῶς. ¶ Φωτὶ, ἀνδρί. ¶ Φῶτες, ἄνθρωποι ἄνδρες. ¶ Φωτεύει. γεννᾷ. ¶ Φωτία, λαμπρία καὶ ὄμματα. ¶ Φῶτιγξ, αὐγὴ, σύριγξ. φλόϊνος αὐλὸς. ὡς εἶδος σάλπιγγος. ¶ Φώτιον, προσφιλὲς ἡδύ.
Φ ωτισμὸς, αὐγὴ, τηλαυγές. καταυγάζομαι. ¶ Φωτολόγιον, τυφλὸν νεκρόν. ¶ Φωτῶν, ἀνδρῶν, φωτὸς, ἀνδρός. ¶ Φωτὸς, ἡμέρας. ¶ Φωΐ, φάος.

ΑΡΧΗ ΤΟΥ Χ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Χ ΜΕΤΑ ΤΟΥ Α.

Χ Αβὸν, καμπύλον, στενόν. ¶ Χαβῶνες, σιτία ὀπτώμενα ἀπὸ ἀλεύρου. ¶ Χαδεῖν χωρῆσαι.
Χ άδην ἐχώρησεν. ¶ Χάζει, προσδεῖται, χαλᾶται.
Χ άζειν, ἀναχωρεῖν, φυλάττεσθαι. ¶ Χάζεο τῆλε, ἀναχώρει μακράν. ¶ Χάζεσθαι, ὑποχωρεῖν.
Χ άζεται, ἀναχωρεῖ. ¶ Χάζεο, ἀναχώρει.
Χ αζόμενον, ἀναχωροῦντα. ¶ Χαιά, ἀγαθή.
Χ αίνας, στίαρς. ¶ Χαίνει: ἀνοίγει τὸ στόμα.
Χ αιὸς, ἀγαθός. ¶ Χαίρετε, θαρρεῖτε. ¶ Χαίρειν, ἐρρῶσθαι, τὸ χαίρειν ταῖς ἐπιστολαῖς προστιθέασιν. ἔστι δὲ καὶ ἀπαλλασσομένων προσαγόρευσις. χαίρειν ἐᾶσαι καταφρονεῖν. ¶ Χαίρειν φράσαντες, ἀποταξάμενοι
Χ αιρέτω λήρων, ἐρρυθμιάτω. ¶ Χαιρηδόνα, τὴν χαράν. ¶ Χαιροσύνη, χαρά. ¶ Χαιρωθῆναι, ἐκπλαγῆναι. ¶ Χαῖται, αἱ κεχυμέναι τρίχες. ¶ Χαιτήεντος, κομήτου. ¶ Χαίτη, ἡ ἐπὶ τοῦ τραχήλου θρίξ.
Χ αλαβεῖν, φοβεῖν, θορυβεῖν. ¶ Χαλᾷ, χαλάσει, καὶ πόρνη. ¶ Χολάδες, τὰ ἔντερα, ἢ λιθώδεις.
Χ αλάδος, λιθώδης ἐξέντερος. ¶ Χάλανδρον, κράββατον. ¶ Χάλαζα, σημεῖον θυτικὸν καὶ πάθος ἐπὶ τὰς σῦς. ¶ Χαλεπαίνει, δυσχεραίνει, ἀγανακτεῖ. ¶ Χαλαίρυπος. ὁ τῶν πλυνομένων ἱματίων ῥύπος.
Χ αλάρα, ἄλυσις. ¶ Χαλάμβειοι, ἵπποι ἀπὸ τόπου τῆς λιβύης. ¶ Χαλαργοὺς, τὰ ἄκρα τῶν ποδῶν τῶν ὀνύχων, οἷον ποδαργοὺς, ἢ ταχύποδας. ¶ Χαλαρῶν, ὡραίων.
Χ αλαστραίων συῶν, πόλις τῆς μακεδονίας καὶ λίμνη, ἔνθα τὸ χαλαστραῖον νίτρον γίνεται. ¶ Χαλδαῖοι, γένος μάγων πάντα γινωσκόντων. ¶ Χαλεπὰ τὰ καλὰ, σόλωνα φασὶ τὰ περὶ τὸν περίανδρον πυθόμενον εἰπεῖν. χαλεπὰ τὰ καλὰ, καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν. ἔνιοι δὲ τὸ χαλεπὸν ἀκούουσιν ἐπὶ τοῦ ἀδυνάτου, ἀδύνατον τῶν

κύματος. ¶ Φρίκες, χάρακες. ¶ Φρίκη, ψύχος τρόμος. ¶ Φρικνόν, φρικαλέον, δεινόν, φοβερόν.

Φ ρικτόν, φρικώδες, φοβερόν, πάνυ δεινόν. ¶ Φρικωδέστερον, φοβερώτερον. ¶ Φριμάσσεται, σκιρτᾷ, ἐπιχείρεται. ¶ Φρυάττω. βεβρυμμένη. ¶ Φρίξ, ἡ ἐπιπολῆς αἰωμαλία τοῦ κύματος. ἢ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρὸς ὅταν ἄρχηται ἄνεμος πνεῖν. ¶ Φρίξασα, ὀρθὸ φωσηκώματι, αὐτὶ τοῦ αὐχμηρὰ ἄρτιος. ¶ Φρίξαν, ἔλιξαν, ὀρθὴν ἔστησαν τὴν τρίχα. ¶ Φριξολόφος, ὀρθοχαίτης. ¶ Φρίσσει, ἐγείρεται, ἐξορθοῦται, δέδοικε, τρέμει.

Φ ρίσσει νῶτον, τὰς τρίχας ὀρθοῖ τοῦ νώτου, ἤγουν ἐγείρει.

Φ ρίσσει, φοβεῖται, δέδοικεν. ¶ Φροίμια. προοίμια, προρρήσεις ἀττικοί. ¶ Φρόκλος, περίπολος. ¶ Φρονεῖν, νοεῖν, διανοεῖσθαι. ¶ Φρονέω. Φρονῶ. διανοοῦμαι.

Φ ρονέων, φρονῶν. διανοούμενος. ¶ Φρόνημα, βούλημα, θέλημα. ¶ Φρόνιμος, σοφὸς, διανοητής. ¶ Φρονηματισθεὶς, ἐπαρθεὶς τῷ φρονήματι. ¶ Φρόνιν, φρόνησιν τὴν καταφρόνησιν, ἐκδοτέον οὐ τὴν λέξιν ὥς τινες.

Φ ρόνις, φρόνησις, βουλὴ, διάνοια. ¶ Φρόνησις ἀκριβὴς, νοῦς πράττων καλῶς. ¶ Φροντίζει, μεριμνᾷ.

Φ ροντὶς, ὄνομα τοῦ κυβερνήτου μενελάου, φόντιν ὀνητορίδην.

Φ ροντισταὶ, φιλόσοφοι. ¶ Φροντιστήριον, διατριβὴ. καὶ τὸ οἴκημα σωκράτους καὶ τὸ σχολεῖον, καὶ μοναστήριον.

Φ ρονῶ, σωφρονῶ. ¶ Φροῦδα, ἀφανῆ. ἄφαντα, φρυγανώδη. ¶ Φροῦδος, πρόοδος ἐξ οὗ τὸ οὐκ ἔρχεσθαι δηλοῦται. ὁ δὲ ἐληλυθὼν, ἔκδημος. ἀφανής. ¶ Φρούδην ἄρδην. παντελῶς ἀφανὲς ὂν κεχωρηκὸς ἔρημον.

Φ ρουρὰ, φυλακὴ, στρατός. ¶ Φρουρεῖ, φυλάττει, ἢ προφυλάττει. ¶ Φρούριον, προφύλαγμα, προφυλακτήριον. ¶ Φρουρὸς, φύλαξ, σωματοφύλαξ.

Φ ρύαγμα, ἔπαρσις, μετεωρισμα, ὑπερηφάνεια.

Φ ρυάσσεται, ἐπεγείρεται, μεγαλοφρονεῖ, κινεῖται. φρυάττεται. ἐπαίρεται. ¶ Φρύγανα, ὕλη λεπτὴ καὶ ξηρά.

Φ ρύγετρον, ξυλίδιον ᾧ κινοῦσι τὰς πεφρυγμένας κριθάς. ¶ Φρυγία, ἡ φρύγουσα. ¶ Φρυγίνδα, παιδιᾶς εἶδος διὰ κυάμων. ¶ Φρύγιον, ξύλον ξηρόν.

Φ ρύγιον, ἰσόρκιον πέπαιχεν ἐπίχαρμος ἐν κωμασταῖς ἐπικεκωμένος. ¶ Φρύγιος, ξηρός.

Φ ρυκτὰ, ξηρὰ ἰχθύδια εὐτελῆ. ¶ Φρυκτὸς, μάντις. κλῆρος σύμβουλος πυρσός. ¶ Φρυκτὸς δελφὶς. κλῆρος, ἐχρῶντο δὲ τοῖς κλήροις μαντευόμενοι ἐν ὀλυμπίᾳ. ¶ Φρυκτωρία, πυρκαϊὰ πυρσεία. λαμπάς. καῦσις. ¶ Φρυνίχου πάλαισμα, ἐκφεύγειν τὰ φρυνίχου κακά. ¶ Φρύνος, βάτραχος ἢ παχύς.

Φ ρυνώνδας, πονηρούς. ¶ Φρὺξ, ἡ ἀπὸ φρυγίας ἐθνικόν. ¶ Φρουρεῖ. στρατεύεται. ¶ Φρυγὰ, ἡ φυγὴ, ἀποστὴ εἰς φυγάς. ¶ Φρῶν. ἡ φρονίμων γυναικῶν.

Φ υ, ἔφυ, ἐφύτευσε. ¶ Φυγὰς, ἐξορίας.

Φ υαῖς, φύσεσι. ¶ Φυγῆν. Φεῦξιν. ¶ Φρυγμὸν, καῦσιν. ¶ Φυγόσκειν, φεύγειν. ¶ Φύει. γεννᾷ.

Φ ύεσθαι, βλαστάνειν. ¶ Φύζα, φυγὴ φόβος, ἀθυμία. δειλία. ¶ Φυζακινὴ, δειλή. ¶ Φυζακινὸς, δειλός. ¶ Φυγὰς, δειλός. ¶ Φυζάνει, φυγεῖν δειλιάζει. ¶ Φύζηλος, δειλὸς φυγάς. ¶ Φυὴ, φύσις σώματος ἡλικία. ¶ Φύημα, κόπρος. ¶ Φυῆς, φύσεως, καὶ ἡ τοῦ σώματος ὑπόστασις. ¶ Φύκαρχέτια, οὐκ ἀνεκτά. ¶ Φυκὶς, εἶδος κομμωτικὸν γυναικεῖον. ¶ Φυκία, θαλάττια βρύα. ¶ Φυκιόεν, φυκία ἔχον, οἱ δὲ πορφύρεον βαθύ. ¶ Φυκιοχαίτην. τὸν φαροχαίτην. ¶ Φυκὸς, τὸ προσβρασσόμενον ἀπὸ τῆς θαλάσσης τῇ γῇ, ὅπερ ἔνιοι καὶ πράσον καλοῦσι, καὶ ἀκρωτήριον λιβύης, ἡ βρύα, ἡ φλακτά. ¶ Φυκτὰ, φευκτά:

Φ υκτῆρες, φύλακες. ¶ Φυλιστείμ, πίπτων πτώματι, ἤγουν μέθη. ¶ Φυκοῦντα, φυκοῦς ἀκρωτήριον περὶ τὴν ἀρχὴν τῆς λιβύης, καὶ πολίχνιον ὁμώνυμον. ¶ Φυλακὴ ἡ ἑκάτη. ¶ Φῦλα, ἔθνη, συγγενικὰ γένη. ¶ Φῦλα θεοῦ ἔθνη θεοῦ. ¶ Φυλακὴ, φρουρὰ εἱρκτή. τήρησις ἐντολῶν. πόλις θεσσαλίας προξυτόνως, ὀξυτόνως δὲ ἀγρυπνία.

Φ ύλαξ, φυλακτήρ. ¶ Φυλακτῆρες, φύλακες.

Φ υλακτηρία, παννυχίς. ¶ Φυλαρχία, τιμὴ τίς.

Φ ύλαρχος, φυλῆς ἄρχων. ¶ Φύλαρχον. χορηγικόν.

Φ υλὰς, τὰς κατοικίας. ἀποχωρήσεις καὶ τὰ τετράποδα.

Φ υλάσιοι, οἱ ἐκ τοῦ δήμου. καλεῖται δὲ οὕτω καὶ φυλήτης.

Φ υλάσσειν, ἐπιτηρεῖν ἄλλοι δῶμα φυλασσέμεναι.

Φ *υλασὼς, ἡ λέξις παρὰ βλαισῷ σημαίνει δὲ ζῶδιον.

Φ υλέτης, ἐκ τῆς φυλῆς ὁ ὢν ὁμόψυχος:

Φ υλείδης, φυλέως παῖς ὁ μέγης. ¶ Φυλίης, φυλία ἐστὶ εἶδος ἀγριελαίας. ἄλλοι συκῆς. οἱ δὲ εἶδος δένδρου ὅμοιον πρίνῳ. ¶ Φυλὴ, τόπος τῆς ἀττικῆς οὕτω λεγόμενος. ¶ Φυλίη, ἀγριελαία. ¶ Φυλὴ, τάγμα μέρος πόλεως. ¶ Φύλλα, τὰ τῶν δένδρων.

Φ υλλάδες, οἱ ξηροὶ κλάδοι καὶ φύλλα ἔχοντες.

Φ υλλὰς, ξηρὰ δάφνη ἔχουσα φύλλα. ¶ Φυλλεῖα, τὰ τῶν λαχάνων ἃ προστιθέασι τοῖς ὠνουμένοις ἅπαντα φαῦλα. ¶ Φυλλιᾶν, τὸ παίζειν. ¶ Φυλλιάς, ἐκ λαχάνων ἀπότεμμά τι σκευαζόμενον, ἐκαλεῖτο δὲ θεία φυλλία δὲ, γένος ἰθακησίων. ¶ Φύλλιον, πέταλον, ἢ τὰ ἐκ τῆς γῆς ἄνθη. ¶ Φυλλεῖν. ἀθλεσχεῖν.

Φ ύλλοι, ἀλώπεκες. ¶ Φυλλίδια, τὰ τῶν ἀνθέων ἅ τινα φύλλα ἐκάλουν: ¶ Φυλλῖναι, ἀγῶνες, ἐν οἷς μὴ ἐτίθετο ἀργύριον, ἀλλὰ στέφανοι μόνοι καὶ εἶδός τι, κικεών.

Φ υλλὶς, ἡ στέμος τὸ πάλαι. ¶ Φυλοβασιλεῖς, ἐκ τῶν φυλῶν αἱρεθέντες, οἱ τὰς θυσίας ἐπιτελοῦντες. ¶ Φυλοκρινεῖν, τὰς φυλὰς διακρίνειν. ¶ Φυλοκρίνομαι, ἐν τῇ φυλῇ διακρίνομαι. ¶ Φῦλον, ἔθνος. γένος.

Φ ύλοπις, πόλεμος, μάχη: ¶ Φῦμα, ψώρα, ἢ ἕτερον φῦμα. ¶ Φύματα, ψυδράκια ψῶραι. ¶ Φύντων. γεννηθέντων. ¶ Φῦξαι, φυξεῖν. φυγεῖν. ¶ Φύξηλιν, φυγάδα, δειλόν, φυγοπόλεμον. ¶ Φυξήλιδας, δειλούς.

Φ υξήλιον, φυγαδικὸν βίον. ¶ Φυξῆ. φυγῆ.

Φ υξίμηλα, δένδρα τὰ διὰ ὕψος ἐκπεφευγότα ἐσθίεσθαι ὑπὸ τῶν βοσκημάτων. ¶ Φύξις, φυγή. ¶ Φυομένας γεννωμένας. ¶ Φυὸς, φύτευμα, γέννημα. ¶ Φύπαξ, ὅπερ ἡμεῖς βόμβαξ. ¶ Φύραμα, ζύμη, σπέρμα, ἡ ζημία.

Φ υρᾶν, ζυμοῦν, ταράσσειν τὰ ἄλευρα. ¶ Φυρατὶς, ὃ ἡμεῖς φύραν. ¶ Φυρδήσκια, σκωλήκια. ¶ Φύρδην, ἀτάκτως, συγκεχυμένως. ἀναμίξ.

Φ ύρει, μολύνει μαλάσσει, μιγνύει.

Φ ύρεσθαι, μίγνυσθαι. ¶ Φυρκηλίται τειχήρεις.

Φ ύρκος. τεῖχος. ¶ Φύρμα, κόπρος, ῥύπος.

Φ υρμᾶται, ῥυπαίνεται.

Φ υρμὸς, μόλυσμος, ῥύπος, μίασμα.

Φ ολύνει, μολύνει, κατὰ περίπλωσιν. ¶ Φονιὰ, οὕτω καλοῦνται, οἱ τόποι ἔνθα τινὲς ἀναιροῦνται. ¶ Φονᾶν, τὸ ἐπὶ φόνον μαίνεσθαι. ¶ Φονίκας, φονοκτόνοις

Φ ονίς, ἰχθὺς ποιός. ¶ Φόνος, ὁ διὰ σφαγῆς θάνατος, καὶ αὐτὸ τὸ φονεύειν, ἢ αἷμα. ¶ Φονώντων, περὶ φόνον θρασυνομένων καὶ λυσσώντων. ¶ Φονῶσαι, φόνου ἐπιθυμοῦσαι. ¶ Φοξός, λιπόδερμος, ὀξυκέφαλος.

Φ ορὰ, πλημμύρα, σύστημα, καὶ ἡ τῶν μοιχικῶν ὀργάνων λαβή. ¶ Φοράδες, αἱ θήλειαι ἵπποι. ¶ Φοράδην, ὁ φερόμενος βασταγμῷ. ¶ Φορὰν, τὸ φέρεσθαι. τὴν ὁρμὴν κίνησιν. ¶ Φορβάδες, νομάδες, φορβάδες βοσκήματα. ¶ Φοράδην, πάντα φερόμενον.

Φ ορβάδων, νομάδων, βοσκημάτων. ¶ Φόρβαντα, ἰατρικὰ φάρμακα. ¶ Φόρβας ἀττικὸς ἥρως.

Φ ορβέα, ἕλκυστρον, περιστόμιον, καπίστριον. ¶ Φορβειά, ἡ αὐλητικὴ στομίς, λέγεται δὲ καὶ ὁ χειλωτήρ.

Φ ορβὴ, βορὰ, τροφὴ, βοτάνη, βρῶσις. ¶ Φορβαίαν, περιστόμιον, καπίστριον. ¶ Φόρβια, φάρμακα, οἱ δὲ φόρβα. ¶ Φορμώμενος, τρεφόμενος. ¶ Φόρβον, ἀπὸ τῶν θρεπτῶν. ¶ Φόρβυτα, οὐλαὶ ἄλφιτοι. ¶ Φορινή, ἡ ἀραιότης. ¶ Φορέεσκον, ἔφερον, ἐβάσταζον ἐφόρουν

Φ ορέεται, οἴσεται. ¶ Φορεῖς, οἱ τὴν μεταλλικὴν ὕλην ἐκκομίζοντες ἔξω πόλεως καὶ οἱ τῶν ἀσπίδων ἱμάντες καὶ οἱ φέροντες. ¶ Φορέεσθαι, φέρεσθαι. ¶ Φορεύμενα, φορούμενα. ¶ Φορεύουσι, φοροῦσιν. ¶ Φορῆες, οἱ βαστάζοντες ἢ φέροντές τι. ¶ Φορητὰ, ἀκτὰ, βαστακτὰ, ἃ δύναταί τις φέρειν. ¶ Φορηγοὺς, ἐνεχθέντας. βαστακτούς. ¶ Φορητὸν ὑπὲρ τοῦ ἀγροῦ σῖτον.

Φ όριμος, λυσιτελής. ¶ Φορίνη, ὁ παρ' ἐνίοις πυρίνη.

Φ όριγγες τὰ ὕλινα. ¶ Φόρκες, χάρακες. ¶ Φορκὶς, μονόφθαλμος. ¶ Φορκὸν, λευκὸν. πολιὸν. ῥυσόν. ¶ Φόρμιγγι, τῇ κιθάρᾳ. ¶ Φορμίζειν, κιθαρίζειν. ¶ Φόρμιγξ, κιθάρα ἡ τοῖς ὤμοις φορουμένη.

Φ όρμιγγα, μύρμηκα. ¶ Φορμὶς, σφυρίς. ¶ Φορμίων οὗτος στρατηγὸς ἐγένετο κροτωνιατῶν. ¶ Φόρμιον, πλέγμα ψιαθῶδες, φορμίδιον. ¶ Φορμός. ἀγγεῖον τι πλεκτὸν ψιάθοις ὡς κόφινος. ¶ Φορμορραφούμεθα, ὡς φορμοὶ καταρραπτόμεθα. ¶ Φορμοσίκων, παχύς. ¶ Φόροι, δημόσιοι ἀπαιτήσεις. ¶ Φορολογῆσαι, φόρους συνάξαι. ¶ Φορολόγοι, ὑποτελεῖς, λειτουργοί. ¶ Φορολόγος, ὁ ἀπαιτῶν τοὺς φόρους. ¶ Φόρος, ἡ τῶν χρημάτων καταβολὴ, ἢ νέον τέλεσμα. ¶ Φορούμενον, ἐγκώμενον βαρύ.

Φ ορτικὰ, τὰ γελοῖα, καὶ τὰ ὑποβολίας σκώμματα.

Φ ορτὶς, φορτηγὸς ναῦς πλοῖον. ¶ Φόρτος, φορτίον

Φ ορύκαια, σίνδρον ποιόν. ¶ Φορύνει, φυρᾷ, μολύνει, συγχεῖ. ¶ Φορύνετο, ἐμολύνετο. ¶ Φορύξαι, συγχέαι, φυράσαι. ¶ Φορύξαντες, συγχέαντες, μολύναντες. ¶ Φόρυς, δακτύλιος ὁ κατὰ τὴν ἕδραν.

Φ ορυτέωσθαι, μολῦναι. ¶ Φορυτὸν ἄχυρα φρύγανα.

Φ ορυτὸς, φρύγανα ἄχυρα, τὰ ἀπὸ γῆς αἰρόμενα ὑπὸ ἀνέμου χόρτος. ¶ Φορυτώδεις, συρφετὸν, βόρβορος, ἀκαθαρσία. ¶ Φορωνεὺς, ὄνος βασιλικός.

Φ ορσὰ, κιθαριστά. ¶ Φοσαλδεῖ, σωμασκεῖ.

* Φοσαέξιον, ἡ ἐπὶ τῆς χώρας σωμασκία τῶν μελλόντων μαστιγοῦσθαι. ¶ Φούιξ, σφύριγξ. ¶ Φουσκας, ὀξύκεφαλος. ¶ Φοῦαι, ἀλώπεκες. ¶ Φουλίδες, παρθένων χορὸς. δωριεῖς. ¶ Φυλλέμενοι, τιλλόμενοι δωριεῖς. ¶ Φύρκος ὀχύρωμα. ¶ Φόως, φῶς, χαρὰ σωτηρία. ¶ Φόως ἐρέουσα, τὴν ἀναβολὴν τοῦ ἡλίου σημαίνουσα.

ΤΟ Φ ΜΕΤΑ ΤΟΥ Ρ.

Φ ράγματα, κατεστιώματα. ¶ Φραγμὸς, θεσμὸς, ἢ καὶ ὁ νόμος. ¶ Φράδεν, ἔλεγεν. ¶ Φραδέων, ἑρμηνεύων. ¶ Φραδίος, συνετοῦ

Φ ραδαῖσι, βουλαῖς. ¶ Φραδύνια, λέξεσιν.

Φ ράδμονες, ἔμπειροι, συνετοί. ¶ Φράδε, φράζε, λέγε

Φ ρονήσει, συνέσει. ¶ Φραδμοσύνη, σκέψις, βούλευσις. ¶ Φραδέως, φραστικῶς, φανερῶς.

Φ ράζει, δεικνύει, σημαίνει, λέγει. διηγεῖται, σκέπτεται, διανοεῖται. ¶ Φράζεο, λέγε καὶ τὰ ὅμοια.

Φ ράζεται, φραζόμενος, φράζουσιν ὁμοίως. ¶ Φρασίζειν, σωφρονίζειν. ¶ Φραξάμενος, κλείσας, ὁπλισάμενος. ¶ Φράσαι, διανοήθητι, σκέψαι. ¶ Φράσαντας, εἰπόντας δείξαντας λέξαντας. ¶ Φρασθῶ λεχθῶ, διεχθῶ καὶ τὰ ὅμοια. ¶ Φρασίζων, διασκεπτόμενον εἰς ζωήν. ¶ Φράσμιον, προσέχων.

Φ ράσασθαι, φρασθῆναι, συνεῖναι. ¶ Φράσις, λέξις: διάλογος, ἑρμηνεία, φράσις δὲ γένος ἀθήνησι.

Φ ρασάμενος, σκεψάμενος, νοήσας, λογισάμενος.

Φ ράσσεται, ἀσφαλίζεται, πληροῦται, ἀντέχεται.

Φ ράσον, εἰπὲ, λέξον. ἑρμήνευσον. ¶ Φρασόμεθα, βουλευόμεθα, εἴπωμεν. ¶ Φραστῆρες, μηνυταί.

Φ ραστὸς, σκέψις, ἔννοια. βουλὴ, φράσις. ¶ Φράτορας τοὺς τοῦ αὐτοῦ μετέχοντας φρατρίας, συγγενεῖς.

Φ ράτρσιν. ἑταίροις συμμάχοις. ¶ Φραχθέντες, ἀσφαλισάμενοι ἑαυτούς. ¶ Φρέαρ, πηγή, λάκκος.

Φ ρεαρορύττειν, σκιοθηρεῖν, οἱ γὰρ ἀπὸ τῶν μαθημάτων εἰώθασι τὰς μεσουρανήσεις λαμβάνειν καὶ σκιοθηρεῖν ἐκ τῶν φρεάτων. ¶ Φρεάρριοι, δῆμος τῆς λεοντίδος φυλῆς

Φ ρεάτεια, τὰ βαθέα ὀρύγματα. ¶ Φρεατύπανα, ὄργανα τινὰ παρὰ πολυβίῳ. ¶ Φρείατα, φρέατα.

Φ ρεναπατᾷ. χλευάζει. ¶ Φρενήρεις, φρενήρεις.

Φ ρένες, ἔννοιαι, φρονήσεις. ¶ Φρένας ἴσας, ἴσας φρένας, οἷον ἡρμοσμένας συμφώνους. ¶ Φρενεῖν, φρονεῖν, διδάσκειν. ¶ Φρεμπάρωσις, βλαψίφρων.

Φ ρένες, μέρος τι τῶν ἐντοσθίων τὸ ὑπὸ τῷ ἥπατι κείμενον, τὸ διάφραγμα τοῖς στήθεσι. ¶ Φρενήρης, ἀρτίφρων.

Φ ρενοβλάβεια, ἡ τῶν φρενῶν βλάβη. ¶ Φρενὶ, διανοίᾳ. ¶ Φρενοκλοπεῖ, ἐξαπατᾷ. ¶ Φρενὸς ἔκστασις, ὁ εἰς ἑαυτὸν μὴ ὤν. ¶ Φρενοῦν, φρονεῖν, διδάσκειν, νουθετεῖν. ¶ Φρενοῦται, νουθετεῖται. ¶ Φρενώσας, παραλογισάμενος ἀπατήσας. ¶ Φρενῶσαι, νουθετῆσαι. ¶ Φρενωτήριον, παραίνεσις. ¶ Φρεσί, διανοίαις. ¶ Φρεσὶν ὁρμαίνοντα, διανοούμενον.

Φ ρεώρυχοι, γένος ἀθήνησιν, ἢ οἱ τὰ φρέατα ὀρύσσοντες.

Φ ριμᾶται, φριμάσσεται. ¶ Φρὴν, φρένα, διάνοιαν γνώμην. ¶ Φρίζει, φοβεῖται. ¶ Φρήτης, ἀδελφός. ¶ Φρητία, στόμα φρέατος. ¶ Φρήτρα καὶ φρήτρη, φρατρία, συγγένεια, πατρικὴ γενεὰ καὶ συστάσεις καὶ συναίτια. ¶ Φρίκα, λεπτοκυμία. ἡ ἀρχὴ τοῦ

Φ λέγος, τὸ φλέγμα. ¶ Φλεγύαι, ἔθνος ὑβριστικὸν καὶ ἀσεβές. ¶ Φλέγμας, ἀετός. ξανθὸς ὀξύς. ¶ Φλεγόμεθα, καιόμεθα, λαμπρυνόμεθα. ¶ Φλεγυρὰ, ὑβριστικὴ λαμπρά. ¶ Φλέγυιον, βλάπτιον. ¶ Φλεγυροῦ, βλαβεροῦ. ¶ Φλεδονεῖ, ἀναισθητεῖ, φλυαρεῖ, καὶ φλεδονεύεσθαι τὰ αὐτά. ¶ Φλεδονώδη, φλύαρα. ληρώδη. ¶ Φλέδων, φλυαρία καὶ ὁ ἀλαζὼν εὐήθης.

Φ λεῖ, γέμει. εὐκαρπεῖ, πολυκαρπεῖ. ¶ Φλέδημα, φλυαρία. ¶ Φλέξαι, κατακαῦσαι. ¶ Φλέοντας. φλαοῦντας, ἢ φλυαροῦντας. ¶ Φλεὸς, βασκανία, φθορὰ, καὶ ὁ αἴλιος φλοιός. ¶ Φλέψ, μώλωψ, καὶ τὸ ἀναλοιοῦν ἐν τῷ σώματι. ¶ Φλέω. Διονύσου ἱερόν

Φ ληδῶντα, ληροῦντα. ¶ Φλιναφᾶ, φλυαρεῖ, μωρολογεῖ. ¶ Φλήναφοι, μωρολόγοι. ¶ Φλήναφος, φλύδος, λῆρος, μωρολόγος. ¶ Φληναφῶντα, φλυδοῦντα

Φ λῆφος, φλύδος. ¶ Φλιδᾶ, χλιαρά. ¶ Φλιᾶς, τῆς θύρας παραστάδος. ¶ Φλιδᾶν, σήπεσθαι.

Φ λιδάνει, διαπίπτει διαχεῖ. ¶ Φλιδόωντα, δίεπον τὸ ἔτεμνον. ¶ Φλιδόνες, τὰ ἐν τοῖς ἱματίοις σπάσματα, ἢ ῥυτίδες τινὲς δὲ σφυγμοί. ¶ Φλιδῶσα ῥηγνυμένη. ¶ Φλίεθος, καρποφόρος. ¶ Φλιὴ, πρόθυρον ἢ παραστὰς τῆς θύρας. ¶ Φλιοῦς, ὁ τῶν καρπῶν ἐκχύσης. ¶ Φλίψεται, ἀποθλιβήσεται.

Φ λίψις, θλίψις. ¶ Φλόια, φλογερόν. ¶ Φλογερὸν, θερμὸν, λαμπρόν. ¶ Φλόγεα, λαμπρά. φλογώδη. ¶ Φλοιίδες. κρέα ὀπτά. διὰ τὸ φλοιίζεσθαι.

Φ λεγμονὴ, ὄγκος πυρώδης συῤῥυέντων ἐπὶ τὸ ἀσθενέστερον μέρος τῶν ὑγρῶν, καὶ τὴν παρὰ φύσιν θέρμασίαν φλεγόν τὸ πεπονθός. ¶ Φλοιίδια, αἱ κεγχρίδες δι᾽ ἐλαίου σκευαζόμεναι. ¶ Φλογίνη, καυστική. ¶ Φλογίσει, καύσει. ¶ Φλογμὸς. καῦσος, βρασμὸς, καύσων, φλογισμός. ¶ Φλογμῷ, κατακαύσει, καταφλέξει

Φ λογόδερποι, ἄνθρακες. ¶ Φλογώδες, καυστικόν.

Φ λογόλευκον, ἐρυθρόλευκον. ¶ Φλογώματα, τῶν ἄρτων τὰ ἐπικεκαυμένα. ¶ Φλοιὰν τὴν κόρην τὴν θεὸν οὕτω καλοῦσι Λάκωνες. ¶ Φλοιδιᾶν, πεπρῆσθαι.

Φ λοιδούμενος, ταραττόμενος. ¶ Φλοινὸν, φλοιόν.

Φ λοιὸν, τὸ λέπος τοῦ ξύλου. ¶ Φλοῖσβος, τάραχος, ἀφρὸς, ταραχή. ¶ Φλόμος, πόα τίς. ἣ καὶ ἀντὶ ἐλλυχνίου χρῶνται, ἡ αὐτὴ δὲ καὶ θρυαλλίς. ¶ Φλονίδες, λεπίδες. ¶ Φλὸξ, ἡ τοῦ πυρὸς, καὶ ἄνθος τί.

Φ λουάζει, φλυαρεῖ, ληρεῖ. ¶ Φλοῦκτος, εἶδος ῥόφημα τος. ¶ Φλοῦς, φλοιὸς, λεπύχανον, λεπυρόν.

Φ λυάκια, τὰ ψυδράκια. ¶ Φλύαξ, μέθυσος, μεθυστὴς, γελοιαστής. ¶ Φλύαρος, φαῦλος, εὐήθης.

Φ λυάσει, φλυαρεῖ. φλύει. ¶ Φλυδᾶν, διαχεῖσθαι.

Φ λύεις, δῆμος τῆς πτολεμαΐδος φυλῆς. ¶ Φλύζει, ἀναζεῖ. ¶ Φλύζειν, ἀναζεῖν, φλύζεσθαι. ¶ Φλυήσιος, ὁ ἑρμῆς, καὶ μήν τις. ¶ Φλυκτὰ κακὰ σχέτλια.

Φ λύκταινα, τὸ ἀπὸ πυρὸς φύσημα γενόμενον ἐν τῷ σώματι. ¶ Φλύον. βιβλίον καθαρόν. ¶ Φλύσει, ἀποβαλεῖ, ἐμέσει, ζέσει. ¶ Φλυσὸς, στοιβὴ, οἱ δὲ φλοιός. ¶ Φλυάσει, ἐρυγγάνει. ¶ Φλυσειδὼς, μαινομένη

Φ οβεῖται. φεύγει, κνίζεται. ¶ Φόα, ἐξανθήματα. ἐν τῷ σώματι. ¶ Φοβεῖ, κνίζει διώκει. ¶ Φοβερὸν, δειλὸν, ἔμφοβον. ¶ Φοβδρὸν, δηλητήριον.

Φ οιβόμενος, διωκόμενος. ¶ Φόβη, κόμη, χαίτη, θρὶξ, οἱ δὲ ἐκτενισμένη ἀπὸ τοῦ φοίβου, ὅ ἐστι καθαροῦ.

Φ οβῆσαι, ῥῖψαι. ¶ Φόβος, φυγή. ¶ Φοβήζεσθε, ἔνθεν ποιῆσαι. ¶ Φοβηθεὶς, εἰς φυγὴν τραπείς. ¶ Φοίβα, ἀγὼν δρόμου. ¶ Φοιβάζει, μαντεύεται.

Φ οιβαζόντων, προλεγόντων. ¶ Φοιβάναι, λαμπρῦναι, μαντεύσασθαι, κοσμῆσαι, καθᾶραι, ἁγνίσαι καὶ φοιβάσαι ὁμοίως. ¶ Φοιβᾶσθαι, καθαρεῖσθαι.

Φ οιβητεύειν, χρησμῳδεῖν. ¶ Φοιβήτεια, καθάρσια.

Φ οῖβοι, ἀττικοὶ ἐπὶ τῶν δυσαδλῶν. οἱ δὲ καθαρούς.

Φ οῖβος, καθαρὸς, λαμπρός. ἁγνὸς, ἀμίαντος.

Φ οίνια, ἐρυσίβη. ¶ Φοίνια, πυῤῥά. ¶ Φοίνικι, ἐρυθρῷ βάμματι. ¶ Φοινικελίκτην καὶ λόγον ἀλαζόνα ἀπατηλὸν καὶ κάπηλον. ¶ Φοινικίοις, γράμμασι, σοφοκλῆς ποιμέσιν, ἐπεὶ δοκεῖ κάδμος αὐτὰ ἐκ φοίνικος κεκομικέναι. ¶ Φοινικήϊα, γράμματα, ἀπὸ φοίνικος διὰ ἀκταίωνος φασὶν ὀνομασθῆναι αὐτά.

Φ οινήεντα. λεπιδωτὸν ὁ ἀπολλώνιος φασὶ, οἱ δὲ φόνιον, ἢ ἐρυθρὸν τῷ χρώματι, ἢ καταπληκτικὸν, ἢ φονευτικόν. ¶ Φοινικάδες αἱ ῥάφανοι ὑπὸ εὐβοέων.

Φ οίνικες. γένος τι ἀθήνησιν. ¶ Φοινίκια, λυδοὶ καὶ ἴωνες τὰ γράμματα ἀπὸ φοίνικος τινός. ¶ Φοινικέλικτον, ἀπατηλόν. ¶ Φοινικήϊον, πυῤῥόν.

Φ οινικίδες, αἱ ἀνεμῶναι ἢ πόα, οἱ δὲ τὰ φοινικᾶ ἐνδύματα. ¶ Φοινικιστὴς, παρὰ ξενοφῶντι ἐν πρώτω ἀναβάσεως, ἀπέκτεινεν ἄνδρα πέρσην μεταφέρων φοινικιστὴν βασίλειον. ¶ Φοίνια, κύναρος πυῤῥά.

Φ οινικιφαεινὸν. φοινικίνῳ χρώματι λελαμπρυσμένον.

Φ οινικολόφοιο, ξανθοῦ λόφου. ¶ Φοίνικος ἔρνος, περιφραστικῶς τὸν φοίνικα. ¶ Φοινίκης, ὅπλον ἐρυθρόν. ¶ Φοινικοβάλανα, τὸ τράγημα, καὶ εἶδος ἀμπέλου. ¶ Φοινικόεσσα, πυῤῥὰ τῷ χρώματι, ἐρυθρά.

Φ οινικόλεπνον, ἴσον τὸ ἐν πανέλοπα, τὸ ὄρνεον, τὸ τὰ παράχηλον ἐπίπαν φοινικοῦν, ἡ δὲ λέγνη πέλαγει.

Φ οινικοῦν, πυῤῥὸν, κόκκινον αἱματῶδες. ¶ Φοινίκουρος, ὄρνις ποιὸς ὁ ἐρίθακος. ¶ Φοινίκοις μάστιξι διὰ τὸ τὰ νῶτα φοινίσσειν. ¶ Φοινικόχλοις, ξανθόχλοις.

Φ οῖνιξ, τὸ δένδρον, φοίνικος, νέον ἔρνος, καὶ ὁ καρπὸς καὶ ὁ πυῤῥὸς τῷ χρώματι. ¶ Φοινίξαι, αἱμάξαι, βάψαι.

Φ οίνιον, φονὸν, δανὸν ἐρυθρόν. ¶ Φοινίασα, εἶδος ἀμπέλου. ¶ Φοινίασων, βάπτων. ἐρυθρῶν.

Φ οίνικες, γλύφαι. ¶ Φοινιχθέντων, αἱμαχθέντων, αἱματωθέντων. ¶ Φοινὸν, πυῤῥόν. ¶ Φοιτᾶ, ἔρχεται. βαδίζει, μαίνεται, περίεισιν, ἀφικνεῖται, διέρχεται, παραγίνεται. ¶ Φοιταλέος, παράκοπος, μανιώδης. ¶ Φοίτης, ὁ κήρυξ. παρὰ τὸ φοιτᾶν πανταχοῦ. ¶ Φοιτήσας, παραγενόμενος. ¶ Φοιτητὴς, μαθητής. ¶ Φοῖτος. μανία λύσσα. ¶ Φοιτῶν, ἀναστρεφόμενος. ¶ Φοιτῶντα, ἄνδρα μανιάσι λύσσαις. λυσσήμασι. τὴν ἑβραίαν μανίαν. φοῖτον ἔλεγον τουτέστι τὸν μεθ᾽ ὁρμῆς μεμηνότα. ¶ Φλέπανδρος. νῆσος ἐρήμη. ¶ Φολιὰ πόα, χρύσιππος δὲ καὶ τὸ σέλινον οὕτω καλεῖ. ¶ Φολίδες. αἱ λεπίδες τοῦ ὄφεως. ¶ Φολὶς, λεπὶς ἡ σύριγξ πολυκάλαμος.

Φ ολκὸς, στρακὸς, οἱ δὲ λιπόδερμον. ¶ Φόλυνδες, κύνες, οἱ πυῤῥοὶ ὄντες μέλανα σώματα εἶχον, οἱ δὲ φυλακάς.

Φ θονερὸς, ζηλωτὸς, ζηλότυπος. ¶ Φθόνος, πάθος ἐπὶ τῇ τοῦ πέλας εὐπραγίᾳ. ¶ Φθορὰ, ὄλεθρος.

Φ θόης, φθίσις. ¶ Φθίνον, ὀλιγοχρόνιον, ὀλίγον.

Φ θείρεται, ὀδύρεται. ¶ Φία, πιονία. ¶ Φιαρὸν, λαμπρὸν καθαρόν. ¶ Φιαρύνει, λαμπρύνει.

Φ ιβαλέα. εἶδος σύκων, καὶ ἡ συκῆ ὁμωνύμως. τινὲς δὲ ἰσχάδας. ¶ Φίβλα, πόρπη ῥωμαϊκόν. περόνη.

Φ ίκα, φίκα, σφίγγα. ¶ Φισαλία, ἀπὸ ἑνὸς τῶν λυκάονος παίδων. ¶ Φιδάκνη, πιθάριον μικρὸν στενόν.

Φ ιδίτια, συσσίτια. ¶ Φειδίαι. λιθοξόοι. ¶ Φίδωλος. ἐπιθυμητός. ¶ Φίλνα, ῥίζα, ἡ ἀχίλλειος καλουμένη. ¶ Φιαρὸν, καθαρὸν λαμπρὸν, ἁγνὸν ἱλαρόν

Φ ικιῶν, προσθηβῶν. ¶ Φίλα, προσφιλέστατα.

Φ ίλαι, φίλησον. ¶ Φιλαίμων, φιλῶν τὸ αἷμα.

Φ ιλαίταρος, φίλος σφόδρα. ¶ Φιλαίτεροι, μεμψίμοιροι

Φ ιλαίτιος, μεμψίμοιρος. ¶ Φιλακριβοῦντες μετ' ἀκριβείας διαχωρίζοντες. φιλακροάμονας. ¶ Φιλαλήθης, ὁ τὴν ἀλήθειαν φιλῶν. ¶ Φιλαλληλίαν, οἱ φιλοῦντες ἀλλήλους. ¶ Φίλαξ, δρῦς, μέσος ἡλίου.

Φ ιλαπεχθημόνως, φιλομίσως. φιλοῦντα μισεῖσθαι.

Φ ιλαργυρία, φιλοχρηματία. ¶ Φίλαζε, ἐφίλησεν. ἠγάπησεν. ¶ Φιλαῦρα, τὰ κακὰ τὰ ἄτοπα.

Φ ιλαυτία, τὸ πάντα πρὸς τὰ ἑαυτῷ ἀρέσκοντα πράττειν. ¶ Φίλαυτοι, οἱ ἑαυτοὺς φιλοῦντες. ¶ Φιλεῖ, εἴωθεν, ξενίζει, ἢ κατὰ ψυχὴν ἀσπάζει. ¶ Φιλέσκον, ἐξένισεν. ¶ Φιλεκδίκων, κηδεμονικόν. ¶ Φιλένηλος ἐλεήμων. ¶ Φιλεόντων, φιλείτωσαν. ὡς τὸ ἔστων ἔστωσαν.

Φ ιλέουσι. φιλοῦσι. ¶ Φιλεργήσασι, φιλεργοὶ οἱ τὸ ἔργον φιλοῦντες. ¶ Φιλέρημοι, οἱ ἀσπάζοντες ἐρημίαν.

Φ ιλέταιρος, περιφιλημένος. ¶ Φιλέθιος, φιλοπαίγμων. φιλοπάλαιστρος. ¶ Φίληχίνε, περιλαφνάς.

Φ ίληθεν, ἐφιλήθησαν. ¶ Φιλήμης, φιλίας. ¶ Φίλην, φιλίαν, ἢ τὴν προσφιλεστάτην. ¶ Φιλόρετμοι, φιλόκωποι, φιλοναῦται. ¶ Φίλησα, ἐξένισα. ἠσπασάμην.

Φ ιλήσια, φιλοτήσια, προσφιλῆ. ¶ Φιλησίαις, κλεπτοσύναις. ¶ Φιλήτης κλέπτης λῃστής. ¶ Φιλήτωρ, ἐραστής. ¶ Φιλητῶν, γένος κλεπτῶν. ¶ Φίλια. προσφιλέστατα. ¶ Φιλιάζεσθαι. ἐγχειρίζεσθαι αὐτῷ. ¶ Φιλίδια σύριγγα. ¶ Φίλιος, ὁ ἀπὸ ξένου αἴσιος κατ' εὐφημισμὸν.

Φ ίλιππαι, μοιχοί. ¶ Φιλιστίδιον. νόμισμάτι. ¶ Φιλίων, ἀντὶ τοῦ φίλτερος προσφιλέστερος. ἐσχημάτισται δὲ τὸ μέζον. ὡς τὸ καλλίων, ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα. ¶ Φιλόδικος, φιλοπράγμων.

Φ ολιδωτῷ, λεπίδας ἔχοντι. ¶ Φιλόθακης ἀρχή

Φ ιλοθεάμων. φιλοθεωρητής. ¶ Φιλοθεάμοσι, φιλοθεωρηταῖς. ¶ Φιλοθερσίδης, φιλοθέρσου παῖς.

Φ ίλοιφος, παχυτής. ¶ Φίλοι, προσφιλέστατοι.

Φ ιλοκαλία, φιλοῦσα τὰ ὡραῖα. ¶ Φιλοΐστωρ, φιλῶν ἱστορεῖν. ¶ Φιλόκαλος. φιλόκοσμος. ¶ Φιλοκέρτομε. φιλῶν σκώπτειν. ¶ Φιλοκηδής, ὁ κηδεμονικός. ¶ Φιλοκνήμιδες, φιλόπλοι. ¶ Φιλοκεινεῖν, διαιρεῖν. ¶ Φιλοκτέανος. φιλοκτήμων φιλοχρήματος. ¶ Φιλοκτεανώτατε, φιλοχρηματώτατε.

Φ ιλοκτήμων, φιλοχρήματος. ¶ Φιλολάμπεδος, ἡ ἄρτεμις. ¶ Φιλολόγος, ἀσκητὸς, πολυλάλος.

Φ ιλολόγος. λαλιὸς, λάλος. ¶ Φιλομειδὴς. φιλόγελως.

φιλῶν τὰ μειδιάματα ἱλαρά. ¶ Φιομηλίδης. οἱ μὲν, κύριον ὄνομα. πολλάκις δὲ παρωνυμικῷ τύπῳ κυρίως δηλοῦται ὡς εὐριπίδης ἡρακλείδης. ¶ Φιλομύθῳ πεπλασμένῳ λόγῳ. ¶ Φίλον, προσφιλές.

Φ ιλόνεικος, μάχιμος, φίλερις, φιλονεικία γὰρ ἡ μάχη.

Φ ιλοπευστεῖν, ἀκούειν μανθάνειν, ἐρωτᾶν. ¶ Φιλοπευστοῦντα, ἡδέως ἀκούοντα, ἢ ἐρωτῶντα. ¶ Φιλοεργός, φιλεργός. ¶ Φιλοπονία, σπουδαῖα ἔργα. ¶ Φιλόπονος, φιλεργὸς σπουδαῖος. ¶ Φιλόπυστος, φιλοπράγμων. ¶ Φιλόσοφος, ὁ πάντων πειραθεὶς φιλομαθὴς φιλόστοργος. φιλότεκνος. φιλοσόφους δὲ φασὶ λυδοὺς, τοὺς κιθαριστὰς καὶ μουσικούς. οἱ ἀρχαῖοι σοφοὺς καὶ φιλοσόφους καὶ σοφιστὰς ἔλεγον. ¶ Φιλόστροφος, εὐμετάβολος. ¶ Φιλοσύμμαχος, φιλολοίδορος, μάχιμος.

Φ ίλος, ὁ προσφιλής. ¶ Φιλότης, φιλία ἡ συνουσία.

Φ ιλοτησία, πρόποσις ἡ μετὰ τὸ δεῖπνον ὑπὲρ φιλίας

Φ ιλοτήσια ἔργα ἀφροδίσια τὰ συνουσιαστικά. ¶ Φιλοτιμεῖται, μεγάλα φρονεῖ, ἐπαίρεται, πλουτεῖ.

Φ ιλοτιμία, δωρεὰ κενοδοξία. πλοῦτος μεγαλοφροσύνη.

Φ ιλότιμος, ὁ φιλῶν τιμᾶν μεγάλως ἢ θέλων ἀνδρὸς δοξάζεσθαι. ¶ Φιλοτιμούμενοι, δαψιλῶς τιμῶντες.

Φ ιλοτίμως, φιλοδόξως πλουσίως, μεγαλοψύχως δαψιλῶς. ¶ Φιλοφρονοῦμαι, δεξιῶς καὶ προθύμως εἰσδέχομαι, ἢ ἀποδέχομαι. ¶ Φιλοφροσύνη. προθυμία. διάθεσις, σπουδὴ, ἀγάπη. παρὰ τὸ φίλα ἢ φίλια φρονεῖν. ¶ Φιλοχωρῶν. τὴν χώραν ἀσπάζων. ¶ Φιλοψευδής, ὁ τὸ ψεῦδος φιλῶν. ¶ Φιλοψυχεῖν, εὐψυχεῖν.

Φ ίλτατα. τὰ ὄμματα καὶ προσφιλέστατα. ¶ Φίλτατοι, φιλικώτατοι. ¶ Φίλτρον, φιλία. ¶ Φιλυδρία. φιλεῖ τὸ ὕδωρ. ¶ Φιλύρινον, ἀσθενές. ¶ Φιλυρόν, ξύλον ἐλαφρόν. ¶ Φιλωνίδης, ὑποκοριστικῶς ἀντὶ τοῦ φιλωνίδης. ¶ Φίλως, ἡδέως. ¶ Φίλως χ' ὁρόωτε, ἡδέως ἂν βλέποιτε. ¶ Φιλωψ, κρήνη, ὁ φίλος.

Φ ιλοτερὶς, κασιγνήτη. ¶ Φιλώτατα. φίλτατα.

Φ ιλώτατος, φίλταρος. ¶ Φίμα, κημός, περιστόμιον φιμός. ¶ Φιμοῖ, δεσμεύει ἐμφράττει, ἄγχει, ἐπιστομίζει. ¶ Φιμοὶ, δεσμοί. ¶ Φιμοῦν. δεσμεύειν τὰ ὅμοια. ¶ Φὶν, αὖθις. ἢ αὐτοῖς. ¶ Φίνακα, δρῦν.

Φ ίνυται, συντίθει. ¶ Φίσκος, δημόσιον ταμεῖον πολύχρημον. ¶ Φισκοσυνήγορος, ὁ ταμιείων συνήγορος.

Φ ίτρον, μέτρον, μάταιον, ῥᾴδιον, καὶ τὸ μέσον τοῦ ῥινίου τὸ κοῖλον, καὶ ὁ κορμὸς τοῦ ξύλου παρὰ τὸ φύεσθαι.

Φ ίτυ, φυτὸν, φύτευμα. ¶ Φίτυμα, τέκνον, γέννημα.

Φ ιτύσατο, ἐγέννησεν. ¶ Φλᾶ, θλᾶ, μαλάττει, συντρίβει. ¶ Φλαδᾶν, θλαδᾶν, μαλάττειν, τύπτειν.

Φ λᾶν, μαλάσσειν πληγαῖς. ¶ Φλανύαρεῖ, φλυαρεῖ, ληρεῖ. ¶ Φλασμός, τύφος. ¶ Φλασμένος. τετυφωμένος. ¶ Φλάσαι, θλάσαι. ¶ Φαυλικῶς, ἁπλῶς.

Φ αῦρα, φαῦλα. κακά. πονηρά. κοῦφα ἀσθενῆ.

Φ λέβαι, νεῦρα τινὰ αἱμαρροδικτικά. ¶ Φίλιππος, στόμα χειρῶν ἢ λαμπάδος. ¶ Φλέγει, καίει, λαμπρύνει.

Φ λέγλα, ἡ νῦν πελλήνη. ¶ Φλέγεται, καίεται, λαμπρύνεται. ¶ Φλέγμα, φλὸξ. καῦσος. παρὰ τὸ φλέγειν. ¶ Φλεγμαίνει, ὀγκοῦται, φυσοῦται.

Φ λέγματι, ἢ φλέγματα ἔχουσι. ¶ Φλεγματώδη, ἔκρημα ἀπὸ φλοιός. ¶ Φλεγμός, τὸ αἷμα.

Φ εισῶν. ποταμὸς περὶ Λίσσου, ὃ ἑρμηνεύεται στόμα κόρης παρὰ δὲ ἕλλησι γάζης. ¶ Φεῖσαι. ῥῦσαι. σῶσαι.

Φ ελγύνει, ἀσυνετεῖ, ληρεῖ. ¶ Φελλάντας, λίθους σκληρὸς ἀπὸ τόπου. ¶ Φελλεῦον, ἐπιπολέον. ¶ Φελλεῖς, τὰ δυσεργὲς χωρίον. ¶ Φελλίνιοι, ὀροβάκχαι.

Φ ελλίνας, κοῦφος ἀπὸ τοῦ φελλοῦ. ¶ Φελλὸς, σκληρὸς τόπος καὶ δυσεργὸς, καὶ ὁ ἐπιπολῆς τεφρώδης. ¶ φλοιὸς δένδρου, καὶ ξύλον ἐλαφρὸν, τὸ δὲ αὐτὸ καὶ φελλεὺς καὶ τὸ τῶν βιβλίων ἔξωθεν σκέπασμα. καὶ ἀλαζών.

Φ ενάκας, ἀπατεῶνας. ¶ Φενάξ, χλευαστὴς ἀπατεὼν, ψεύστης, πλάνος. ¶ Φενεὸς, φονέα πόλις ἀρκαδίας. ¶ Φεννίδα, παιδιὰν σφαίρας. ¶ Φεννίον, ἡ μηδικὴ ὁδός. παμφύλιοι. ¶ Φεννὶς, εἶδος παιδιᾶς μετὰ σφαίρας. ¶ Φενῶος, θάνατος. ἐνιαυτός.

Φ ερὰ, πόλις θεσσαλίας. ¶ Φερεὰ, ἀθήνησι ξενικὴ θεός. οἱ δὲ τὴν ἑκάτην. ¶ Φεραυγὲς, κατάλαμπρον.

Φ έρβειν τρέφειν βόσκειν. ¶ Φέρβεται, τρέφεται.

Φ έρβηται, νομεῖς. ¶ Φερβόμενος, τρεφόμενος.

Φ ερέγγυα, φέρων τὸ βιβλίον, ἢ τῷ βιβλίῳ ἐμφερομένοις.

Φ ερέγγυος, ἀξιόπιστος. ἐγγυητὴς καὶ βεβαιωτής. ἔγγυος, βέβαιος. ¶ Φερέγγυον, βέβαιον, δυνατόν.

Φ έρειν, λαμβάνειν. βαστάζειν ὑπομένειν. ¶ Φερεκλέα, τὸν ἄδωνιν. ¶ Φερέοικος, ὁ κοχλίας, ἔνιοι ζῶον ὅμοιον τῷ ὑπὸ δρυσὶ ἢ ἐλαίαις γινόμενον. οἱ δὲ ζῶον σφηκὸς μεῖζον. ¶ Φερέσβιος. ὁ τὰ πρὸς τὸν βίον φέρων καὶ σώζων, ἢ ζωοποιός. ¶ Φέρεσκον, ἔφερον.

Φ έριστος, ὄνομα κύειον. ¶ Φέριστε, βέλτιστε κράτιστε, ἐξοχώτατε ἀγαθέ. ¶ Φέρμια, ἃς ἔνιοι ἀστύλας τὰς ἐκ σχοίνων πλεκομένας, καὶ ἰχθυηρὰ ἀγγεῖα οἷον σπυρίδια. ¶ Φερνὰς, προῖκας, δῶρα νυμφικὰ, ἀπὸ τοῦ φέρειν φερνὰς καὶ πάντα τὰ φερόμενα. ¶ Φερνὴ, προὶξ, δῶρα νυμφικά. ¶ Φέρονται. προσφέρονται.

Φ έρρευσει. ἀποφέρει. ¶ Φερεφάττιον, τόπος ἐν ἀγορᾷ.

Φ ερσεφόνεια, ἡ τῆς δήμητρος θυγάτηρ, ἡ φέρουσα τὸ ἄφενος, τουτέστι τὸν πλοῦτον. διὰ τὸν καρπὸν ἀπὸ τοῦ φέρειν ὄνησιν.

Φ ερτάζει, φέρει. ¶ Φέρτατος, ἀγαθώτατος.

Φ έρτε, φέρετε, κατὰ συγκοπήν. ¶ Φέρτατον, κράτιστον, ἀγαθώτατον. ¶ Φέριστον, βέλτιστον.

Φ έρτερον, κρεῖσσον. ἀπὸ τοῦ φέρειν βέλτιον. ¶ Φέρτρον, φορεῖον, καὶ ἡ τῶν νεκρῶν κλίνη. ¶ Φέρσφυς, ἆθλος, θούειοι. ¶ Φέρων, λαμβάνων. ¶ Φερώνυμος, ἀληθινὸν τὸ ὄνομα τι. ¶ Φετμαῖς, ἐντολαῖς παραγγελίαις. ¶ Φεῦ, σχετλιασμοῦ ἐπίρρημα.

Φ εύγει ἀποδιδράσκει, ἀντὶ τοῦ εὐθύνεσθαι ὡς καὶ φεύγειν κλοπῆς, ἢ μοιχείας φαμέν. ¶ Φευκτὰ φεύξιμα. ¶ Φευκταῖοι, ἀποτρόπαιοι. ¶ Φεύξεσθαι, φεύγεσθαι. ¶ Φεῦ φεῦ, ἴσον τῷ οἴμοι. ¶ Φέψαλυξ, φέψελος, σπινθὴρ. ἄνθραξ. ¶ Φηγαπεὺς, δῆμος αἰγηίδος. ¶ Φήγινος, δρύϊνος. ¶ Φηγὸς, ἡ δρῦς.

Φ ηδανὸς, ἄφρων. ¶ Φηλῶσαι, ἀπατῆσαι, φθεῖραι ἀπολέσαι. ¶ Φηλημόθρεπτον, ὑπὸ ὄλυνθον ἐπὶ συκῆς τεθραμμένον. ¶ Φῆλιξ, ὄλυνθος, τὸ μὴ πεπεμμένον σῦκον. ¶ Φῆ, εἶπεν, ἔλεγεν.

Φ ηλήτης, ληστής. ¶ Φῆλον, ἀπατηλὸν, λιθαργὸν κακοῦργον, ἐπίβουλον. ¶ Φηλωθεὶς, ἀπατηθείς.

Φ ηλωθεῖσαι, ἀπατηθεῖσαι. ¶ Φηλώσομεν, ἀντὶ τοῦ βοήσομεν. ¶ Φήματα, ῥήματα. φάσματα.

Φ ημάσομεν, βοήσομεν. ¶ Φήμη, ἀκοὴ ὀνομασία.

Φ ημὶ, λέγω, ὑπολαμβάνω. ¶ Φημίζεται, μαντεύεται. λέγει. ¶ Φῆμις, φήμη, κληδὼν, φωνὴ, λόγος.

Φ ῆν. εἶπεν. λέγων. ¶ Φήνας, δείξας, φηνάσης, δειξάσης. ¶ Φήνη, ἀετοῦ εἶδος. ¶ Φανὸν, λαμπρόν,

Φ ήνωσι, δείξωσι. ¶ Φῆρα, θῆρα εἶπεν. ¶ Φῆρες, οἱ κένταυροι αἰολικῶς. ¶ Φηρεία, θηρεία αἰολεῖς.

Φ ῆρος, ἡ τῶν ἀρχαίων θεῶν τροφή. ¶ Φὴς λέγεις ὑπολαμβάνεις. ¶ Φῆσθα, λέγεις, ἔφησθα. ¶ Φήσομαι, λέξομαι, βοήσομαι. ¶ Φητὼ, στρόφιγξ.

Φ θαίημεν, φθάσομεν. ¶ Φθὰν. ἔφθασαν δὲ πολλῷ τοὺς ἱππέας οἱ πεζοί. ¶ Φθάνει, καταλαμβάνει, προλαμβάνει. ¶ Φθατήσῃ, φθάσῃ. ¶ Φθεῖ, θνήσκει.

Φ θαρτὸν, θνητόν. ¶ Φθιάδος, θετταλικῆς.

Φ θιμένων. ἀποθανόντων. ¶ Φθάνει, ἀναλίσκει.

Φ θινόπωρον, ὥρα ἡ μετὰ τὸ θέρος ἢ νόσος. ¶ Φθεὶρ, ὁ τῆς πίτυος καρπὸς, καὶ μέρη τῆς νεὼς πρὸς τῇ πρύμνῃ καὶ ἰχθύς τις. ¶ Φθεῖρα φθείρασιν. ¶ Φθείρεται, πλανᾶται ἀπόλλυται. ¶ Φθειροκομίδης φθειρῶν γέμων.

Φ θείνης, φθαρείης. ¶ Φθειρῶν ὄρος πιτυῶδες ὄρος διὰ τὸ πληθύνειν ἐν αὐτῷ πίτυσι. τῶν γὰρ στροβίλων τὰ ἔνδον φθεῖρας καλεῖσθαι. ¶ Φηρσί: κενταύροις.

Φ θήσονται, διαφθαρήσονται. ¶ Φθῆ, ἔφθασεν.

Φ θίη, φθάσῃ πρότερος. ¶ Φθῆναι, φθάσαι, προλαβεῖν. δεῖξαι. ¶ Φθίεται, καταλείπεται, φθάσῃ, καὶ φθία πόλις θεσσαλίας. ¶ Φθιακὸν, τμητικόν.

Φ θίῃ, φθίσει. ¶ Φθίμενοι, θανόντες. ¶ Φθίμενος, φθαρεὶς, θανείς. ¶ Φθίνα, ἡ ἐρυσίβη καὶ εἶδος ἐλαίας. ¶ Φθινὰς ἁμέρα, τὴν ἱσταμένην τρίτην τετράμηνον λέγει. ¶ Φθινάσμασι, φθίσεσι: ¶ Φθίνοντος, λήγοντος παυομένου, ἀναλισκομένου. ¶ Φθίνοντος μηνὸς, λήγοντος τοῦ μηνός. φθίνων δὲ μὴν καλεῖται ὁ ἀπὸ εἰκάδος ἕως τριακάδος μέσος δὲ μὴν ὁ ἀπὸ δεκάδος ἕως εἰκάδος. ἱστάμενος δὲ μὴν, ὁ ἀπὸ πρώτης ἕως πέμπτης. ¶ Φθινόντων, φθειρομένων. ¶ Φθινόπωρον, ὁ ἀπὸ τῆς πεντεκαιδεκάτης αὐγούστου μηνὸς, ἕως τῆς πεντεκαιδεκάτης δεκεμβρίου, οἱ δὲ ἀπὸ τῆς εἰκοστῆς δευτέρας αὐγούστου, ἕως πάλιν εἰκοστῆς δευτέρας δεκεμβρίου.

Φ θινύθειν, φθείρεσθαι, τήκεσθαι. ¶ Φθινύθουσιν, εἰς φθίσιν ἄγουσιν. ¶ Φθινύουσι, φθείρονται.

Φ θίνουσαν. ἐλαττουμένην. ¶ Φθίοι, οἱ ὑπὸ πρωτεσιλάῳ τεταγμένοι. ¶ Φθεὶρ, ὁ τῆς πίτυος καρπός.

Φ θίσις, ἡ λεπτὴ ἀπὸ φθίσεως. ¶ Φθίσασθαι, θανεῖν.

Φ θισήνορα, ἡ τοὺς ἄνδρας διαφθείρουσα, ἢ τὴν ἀνδρείαν

Φ θισκὸς, φθισικός. ¶ Φθίσει, ἀπολέσει.

Φ θίσθαι, ὀλέσαι. ¶ Φθισίμβροτος. ἀνθρωποκτόνος διαφθείρων τοὺς ἄνδρας. ¶ Φθίσιν, εἰς φθίσιν ἄξων καὶ φθείρων καὶ φθερῶν. ¶ Φθίνοιτο θάνοιτο, ἢ ἔθανεν. ¶ Φθιτοὶ, φθαρτοὶ θνητοὶ, νεκροί. ἢ εἴδωλα

Φ θιῶται, θετταλικήν. ¶ Φθογγὴ, φθέγμα. ἢ φωνή.

Φ θόγγος, φθογγὴ φωνὴ καὶ τὰ ὅμοια.

Φ θόη, φθίσις, φθορὰ, λύμη. ¶ Φθοατῆσαι. φθάσαι κτήσασθαι. ¶ Φθοῖς. πλακοῦς, καὶ τὰ πρὸς λεπτὸν ἀληλεσμένα. καὶ τὸ ἀπορρέων ψῆγμα τοῦ χρυσίου.

Φ θονεῖς, ζηλοῖς, βασκαίνεις.

Φ άλλα, ἄκρα τῆς εὐβοίας. ¶ Φάλλη, ἡ πεπωμένη ψυχή. ¶ Φάλικα, ᾠδὲ πεποιημέναι εἰς τὸν διόνυσον, τοῦ φαλλοῦ ᾀδομένου. ¶ Φαλλικὸν, ὄρχημά τι, οἱ δὲ μέλος, ἄλλοι ᾠδὴν αὐτοσχέδιον ἐπὶ τῷ φαλλῷ ᾀδομένην. ¶ Φαλλὸς, λευκὸς, ἢ βόλος ἐπὶ τὸν φάλλον τὰ ἐμμανθάνον. ¶ Φαλὸν, τὸ στερεὸν κύκλωμα τῆς στέρνης οἱ δὲ τὸν μωρόν. ¶ Φαλὸς, ὁ λόφος τῆς περικεφαλαίας, καὶ τετράφαλεια ἡ τέσσαρας κεφαλὰς ἔχουσα, ἔνιοι λευκὸς ὅλος, ἄλλοι ψελλὸς, ἄλλοι κωφός. ¶ Φαλύγματα, ὑγράσματα. ¶ Φαλύνει, λαμπρύνει.

Φ αλύσσει, καταρρέασει, περιέρχεται. ¶ Φαλωθεὶς, ταραχθείς. ¶ Φάμην, φήμην. ¶ Φαμάξεις, φύσεις. ¶ Φθιμένων. τετελευτηκότων. ¶ Φαμὲν, λέγομεν. ¶ Φάμενος, εἰπών. ¶ Φάμην, εἶπον.

Φ άμμη, ἄλφιτα. ¶ Φαμμάστρια, τὰ ψαιστὰ καὶ ἑορτή τις. ¶ Φὰμ, ὑπέλαβον λέγειν. ¶ Φάναι, εἰπεῖν.

Φ αναῖος ἀπόλλων. ἀγχιὸς ὀμφαλη. παρὰ χίοις οὕτω λέγεται. ¶ Φαναῖν, θάλλειν. ¶ Φάναοι, ἄρνες.

Φ ανας, ἐκλάμψας, ἢ τὰς ἐκλάμψεις. ¶ Φανὸν, τὸ φαινόμενον. φωτεινὸν καὶ λαμπρόν. ἀττικοὶ δὲ λυχνοῦχον ἐκάλουν. ὃ ἡμεῖς νῦν φανόν. ¶ Φαίνοντα, λάμποντα. ¶ Φαντάζομαι, συκοφαντοῦμαι. ¶ Φαντάζου δήμῳ, φαίνου. ¶ Φαντάσας, δείξας. ¶ Φαντασία, τὸ μὴ ὂν ἀληθὲς, ἀλλὰ σχήματι. ¶ Φαίνῃ, εἰπόντι. ¶ Φαντίζοιτο, φαίνοιτο. ¶ Φαίνηρος, εἰπόντος, ἢ πλάτανος φανωτάτη, περιφανὴς λαμπρά.

Φ ανοτάτη, φωτεινοτάτη. ¶ Φαοσχὶς, ζυγίς. ¶ Φάος φῶς, ὄρθρου ἀνατολή. ¶ Φάος ἠελίοιο. ἡ αὐγή.

Φ άπιν, τὸν πάφιην. ¶ Φαραζοῖον, τὸ φαρέξας τὸ κάλυμμα. ¶ Φάραγξ, τάφρος κοίλωμα. ¶ Φαράγξι, κοιλάσι. ¶ Φάρμα, ὑφαίνειν. πλέκειν. ¶ Φαρκιδέκη(?). μυθείκη. ¶ Φάραγμα, φραγμός. ¶ Φαρέτρα, βελοθήκη. ¶ Φαρετρεὼν, τοξότης. ¶ Φάρη, ἱμάτια νεφέλαι. ¶ Φάρικον, φάρμακον σύνθετον θανάσιμον.

Φ αρινὸν, τὸ ἐρεοῦν. ¶ Φάρις, ὄνομα πόλεως. ¶ Φαρκάζει, κλέπτει. ¶ Φαρκιδούμενοι, συνάζοντες.

Φ αρκὶς, ῥυτὶς ἡ ἐκ τοῦ γήρως γινομένη, ἢ ῥίζα πρὸς ῥυτίδας ποιοῦσα, ἢ στολίς. ¶ Φαρκίδων, ῥυτίδων, ἢ πτολίς.

Φ άρκες, νεοσσοί. ¶ Φάρκτου, φυλακὴν σκεύαζε.

Φ άρμακα, βοτάναι, χρώματα, καὶ πᾶσι ταῦτα. ¶ Φαρμακεύεται, σκευάζεται, ἀρτύεται. ¶ Φαρμακίτης, ἀλδοφάτος. ¶ Φαρμακὶς, ἡ γυναικὸς φαρμακίδος, καὶ εἶδος φαρμάκου ἢ ἀκεῖς. ¶ Φάρμακοι, καθαρτήριοι περικαθαίροντες τὰς πόλεις. ἀνὴρ καὶ γυνή. ¶ Φαρμακὴ, ἡ χύτρα, ἣν ἡτοίμαζον τοῖς καθαίρουσι τὰς πόλεις.

Φ άρμακον, ἡ ὑπόσταθμη: ἄλλοι σύνθεσις ἢ κεδρύουσι τὰ ἱδρὰ τῶν ζώων. ¶ Φαρμακῶνες, τὰ βαφεῖα, διὸ τὰ βάμματα φάρμακα καλεῖσθαι. ¶ Φαρμάξαι, ὀξῦναι. βάψαι. ¶ Φαρμάξασα, ἀπατήσασα. ¶ Φαρμάσσει, φαρμακεύεται, θεραπεύει, φαρμακεύει. ¶ Φαρμάσσων, βάπτων στομῶν, στομοποιῶν, φαρμακεύων. ¶ Φαρματτόμενος, κολακευόμενος ἀλειφόμενος. ¶ Φάρος, ἱμάτιον, περιβόλαιον. ἀκρωτήριον. καὶ νῆσος ἐν αἰγύπτῳ.

Φ άρος στολὼν, τὸ περιβόλαιον στολῶν. ἢ τὸ ἄρμενον.

Φ αροῦν, ἀροτρεύειν. ¶ Φάρσος, ζόφος, κλάσμα, τρύφιον ἀκρωτήριον. ¶ Φαρύναθρον, ὁ κατὰ τὰ τραχήλια τόπος. ¶ Φαρυγγίδα, ἀντὶ τοῦ γαστριμαργίαν.

Φ άρυγξ, λάρυγξ, βρόγχος, στόμα. ¶ Φαρσομὸς, τολμηρὸς, θρασύς. ¶ Φαρῶδο, ὁμοίως. ¶ Φαρύνει, λαμπρύνει. ¶ Φαρῶσαι, ἀρόσαι, νεῶσαι, λαμπρυνθῆναι.

Φ ας, εἰπών. ¶ Φάσακες, συκοφάνται. ¶ Φάσγανον, ξίφος, παρὰ τὸ φάσαι ὅ ἐστιν ἀνελεῖν. ¶ Φασγάνεται, ξίφει ἀναιρεῖσθαι. ¶ Φασγανιῶσαν, ἐξιφισμένην.

Φ ασγανίων, ἐξιφισμένων. ¶ Φάσεις, ἐγκλήματα, συκοφαντίαι, ἢ ἐνυπνίων ὄψεις, λόγοι φῆμαι. ¶ Φάσθαι, λέγειν. ¶ Φασιανοὶ, ὄρνις ποιοί. οἱ δὲ, τοὺς ποντικοὺς φασίν. ¶ Φάσις, ποταμὸς κόλχων. ¶ Φασκάδες, ὄρνεις ποιοί. ¶ Φασὶ, λέγουσι. ¶ Φάσκει λέγει. ¶ Φάσκοντα, λέγοντα. ¶ Φάσκος, τὸ ἐπὶ τῶν δένδρων γινόμενον. ¶ Φασκώλιον, βαλάντιον, φάσκωλος δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται. ¶ Φάσκω, λέγω. ¶ Φάσμα, φάντασμα, σημεῖον, τέρας.

Φ ασσοφόνῳ, παρὰ τὰς φάσσας φονεύοντι. ἔστι δὲ εἶδος περιστερᾶς ὑπὸ τὴν ζυγόνα. ¶ Φάτε, εἴπατε. ¶ Φατὲ λέγετε. ¶ Φατίζει, λέγει, χωρίζει. ¶ Φατηρὶς, εἶδος ὀρχήσεως. ¶ Φάτης, ψεύστης. ¶ Φάτις, φήμη, δόξα, λόγος. κληδών. ¶ Φάτνη, καὶ ἡ τράπεζα, ἢ τῶν κτηνῶν, καὶ εἴ τι τῶν τοιούτων. ¶ Φατνώματα, σανιδώματα. ¶ Φατνωτοῦ, σανιδωτοῦ. ¶ Φὰρ, εἶπε, ἐνόησεν, ὑπέλαβεν. ¶ Φαρὶ, τεθνεῶτες, ἐκτοί.

Φ ατὸς, ὁμοίως. ¶ Φατὸν, τεθνηκὸς ῥητόν. ¶ Φατὸς στιβή, φήμη. ¶ Φάζαι, σύστημα. ¶ Φατρεία, σύνταγμα, σύστημα. ¶ Φάτνην, τὸ ἐν τῷ πλαίθρῳ ἐρείπιον φάτνα. ¶ *Φατῶσαν, γνῶθι. ¶ Φαῦδαι, γένη σκυθῶν.

Φ αύειν, ποιεῖν. ¶ Φαύζειν, φρύγειν. ¶ Φαῦλα, κακὰ δόλια εὐτελῆ. ¶ Φαυλία, εἶδος ἐλαίας, οἱ δὲ τὰς λευκάς. ¶ Φαύλια, μῆλα τὰ μικρά. ¶ Φαυλίον, ἁδρὸν καλόν. ¶ Φαυλίζ, ὀρθός, φαύλιος, σπαλικὸς θεός.

Φ αυλίστρια, ἡ καταπλῶσα. ¶ Φαῦλον, ἁδρὸν καλόν. εὐτελὲς, μέσα. μοχθηρὸν ἀραιόν. ¶ Φαῦλος, κακός, δόλιος, χαλεπός. εὐτελής. ἁπλοῦς καταγέλαστος.

Φ αύλως, ὁλοσχερῶς καὶ τὰ ὅμοια. ¶ Φαῦνος, φύνων χυτόν. ¶ Φαυὸν, ἀκανθῶδες φυτόν. ¶ Φαυσφόροι, αἰολεῖς ἱέρειαι. ¶ Φαῦρος, κοῦφος.

Φ αυσίγγες, αἱ ἐν ταῖς πτέρναις γινόμεναι ῥαγάδες, ἔνιοι τὰς ἀπὸ τοῦ πυρὸς ἐν ταῖς κνήμαις καὶ τοῖς σκέλεσι γινομένας φλυκταίνας. δηλοῦσι δὲ καὶ αὐγὰς καὶ ἀκτῖνας. ἄλλοι δὲ αἱμορροΐδας καὶ φλυκταίνας ἢ λαμπηδόνας. ¶ Φαῦσις, φῶς, φέγγος, φωταυγία.

Φ αῦσμα, σπλάγχνα ἐκ σίτου πεποιημένα. καὶ αἱ ἀπαρχαὶ τῶν πεμμάτων. ¶ Φαύων τῶν εὐμόρφων. ἐγίνετο* ἐρέσθαι. ¶ Φέβεσθαι, φεύγειν. ¶ Φέβομαι, φεύγω, φοβοῦμαι. ¶ Φέβοντο, ἐφοβοῦντο, ἔφευγον.

Φ οβεῖ. διώκει, φεύγει. ¶ Φεγγὶς, λαμπρὸν φαίνουσα.

Φ έγγουσαν, λαμπρύνουσαν. ¶ Φέγγος, φῶς, ἡμέρας φέγγος, σελήνης. ¶ Φειά. πόλις θεσσαλίας.

Φ ειδαλφιτοῦσαι, φειδωλὸν περὶ τὰ ἄλφιτα γενέσθαι.

Φ είδεσθαι, ἐλεεῖν. ¶ Φειδικόμισος, ὁ διὰ μαρτύρων πίστις. ¶ Φειδὸς, φειδωλός. ¶ Φειδοῦς, φειδωλίας. ¶ Φειδῶ, τὸ φείδεσθαι. ¶ Φειδώλιον, δίφος σφέλας, χόρτος. ¶ Φειδωλὸς, φειδόμενος δαπανῶν, σκνιφός. ¶ Φείδων, ὄνομα κυρίου.

Ὑψηλόν, μέγα. ¶ Ὑψηλῆς, ὑψηλῆς μεγάλης.
Ὑψηχέες, ἵπποι, ἀπὸ τοῦ εἰς ὕψος ἔχειν τοὺς τραχήλους, οἱ ὀν ὑψαύχενες ἢ μεγαλόφωνοι. ¶ Ὑψι μετέωρον, ἄνω ὑψηλοῦ. ¶ Ὑψιβάμονος, ἐν ὕψει βαίνοντος.
Ὑψίζυγος, ὑψηλὴν ἔχων τὴν καθέδραν. ¶ Ὑψι δ' ἐπ' εὐνάων ὁρμίσσαμεν, μετέωρον αὐτὴν ἀπὸ τῶν ἀγκυρῶν ὁρμίσαμεν. ¶ Ὑψικέραυνος, ὁ διὰ τῆς πυρὸς πληγῆς.
Ὑψικόλωνον, τραχεῖαν ὑψηλήν. ¶ Ὑψίκομος. φοῖνιξ, καὶ ὁ ἄνω τὰς τρίχας ἔχων. ¶ Ὑψιμέδων, ἐν ὕψει βασιλεύων. ¶ Ὑψι, μεῖζον, μετέωρον.
Ὑψιπέτηλον, ὑψηλόν, μακρόν. ¶ Ὑψιπέτης, εἰς ὕψος πετόμενος. ¶ Ὑψιπόροις, δι' ὕψους βρέχοντας
Ὑψίπυλον, ὑψηλὰς πύλας ἔχον. ¶ Ὑψιρεφὲς ὑψηλὴν ὀροφὴν ἔχον. ¶ Ὑψίροφον, ὁμοίως.
Ὑψίστολοι, οἱ ἄνω ἐσταλμένοι τοὺς χιτῶνας. ¶ Ὑψιτελέες τε χιτῶνες. ¶ Ὑψιστον, ὑψηλότατον.
Ὑψιτένων, ὑψαύχην, ὑψηλὸς τῷ φρονήματι.
Ὑψιφοίτης, ὑψηλοπόρος. ¶ Ὑψαυχέες, ὑψαύχενες
Ὑψόθι, ἄνωθεν. ¶ Ὑψόσε, εἰς ὕψος. ¶ Ὑψόροφον, ὑψηλὸν μέσα. ¶ Ὑψοῦ, ἄνω ἐν ὕψει. ¶ Ὑψοῦ δ' αυτεῖ, εἰς ὕψος ὁρμᾷ. ¶ Ὕω, βρέχω. ¶ Ὑωλυνέων, μολύνων. ¶ Ὑαλλία, ἀηδία, φυρμὸς ἐν βορβόρῳ. ¶ Ὑωδύνων, φύρων, βορβόρῳ μολύνων.
Ὕων, βρέχων, ὑγραίνων. ¶ Ὑψιστάτειος αἵρεσις ὥς φασι τῶν τὸν ὕψιστον σεβομένων.

ΑΡΧΗ ΤΟΥ Φ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Φ ΜΕΤΑ ΤΟΥ Α.

Φάθι εἰπὲ λέγε. ¶ Φάναι, λέγειν. ¶ Φάανθεν, ἐφάνησαν. ¶ Φαάνθη, ἐφάνη. ¶ Φαάντερον, λαμπρότερον. ¶ Φάβα, μέσος φόβος. καὶ τὸ συνήθως ὄσπριον. ¶ Φαβοτύπος εἶδος ἱέρακος, καὶ περιστερᾶς ἀγρίας σπερμοφάγου. ¶ Φαβοκτόνος, ἱερακοκτόνος. ¶ Φαβρὶς, νησίδιον πρὸς τῇ ἀττικῇ.
Φαγεδαινῶν, ἀκαθάρτων. ¶ Φάγαινα, φαγέδαινα, νόσος ἑλκώδης νεμομένη. ¶ Φαγησίειον, πολυφάγον. ¶ Φαγιλὸς, ἀμνός. ¶ Φαγλαὸς, χείμαρρος.
Φαγόνες, σιαγόνες, γνάθοι. ¶ Φάγιλλοι, μαστοὶ, μάρσιπποι. ¶ Φάγρος, ἰχθῦς ποιός. ¶ Φαγέσαι, γνάψαι. ¶ Φάεα, ὀφθαλμοί. ¶ Φαέθει, καίει, λάμπει, φαίνει. ¶ Φαέθοντα, ἐπιφανῆ λάμποντα.
Φαέθοντα, τόκον ἐπιφανῆ ἢ καταπληκτικὸν τῇ προσόψει. ¶ Φαέθων, φαίνων, λάμπων. ¶ Φαεινὴ, λαμπρὰ φαιδρά. ¶ Φάνεν, ἐπέστειλεν. ¶ Φαεινὸν, λαμπρὸν, φαιδρὸν ὡραῖον. ¶ Φαέσσεσθαι, ἰδεῖν μαθεῖν.
Φαεσίμβροτος, ὁ τὸ φῶς τοῖς ἀνθρώποις παρεχόμενος ἥλιος. ¶ Φαεσφόρος, γνωσιφωτίζων ὁ τὸ φῶς παρέχων. ¶ Φαζακλωσίας, δειλίας. ¶ Φαζάλη, πάθος στομαχικὸν, ὃ γίνεται τοῖς ἐρυθρὰν θάλασσαν πλέουσιν. ¶ Φάκκες, ὀφθαλμοί. ¶ Φαῖ, δῆμος. ¶ Φαίακες, ἔθνος. ¶ Φαίδει, ὄψει.
Φαίδιμος, ὄνομα κύριον, ἢ λαμπρός. κατὰ ψυχὴν ἰσχυρὸς ἐπίσημος ἔνδοξος. ¶ Φαιδρὸς, καθαρός. γεγηθώς, φανερός. ¶ Φαιδρωτὴς, ὁ τὸ εἶδος τοῦ θεοῦ θεραπεύων. ¶ Φαιδρῶσαι, χάειεν τὸ πρόσωπον.

Φαῖεν ἄν. φαῖεν ἄν, εἴποι ἄν. ¶ Φαίη, εἴποι.
Φαίην, εἴποιμι. ¶ Φαίην, ἄν, εἴποιμι ἄν. ¶ Φαίκανον, πίνακον. ¶ Φαικάσιον, ὑπόδημα τὸ εἶδος γεωργικοῦ. ¶ Φαίκελον, φορτίον. ¶ Φαικὸν, ἐλαφρὸν, ἰταμὸν. κοῦφον. λαμπρόν. ¶ Φαικῷ, ἐνεργῷ, ἀκμάζοντι ἀπὸ τοῦ φαίνεσθαι λαμπρόν. ¶ Φαικῶς. λαμπρῶς, ἢ λίαν καὶ τὰ ὅμοια. ¶ Φαιλόνης, ἢ λινοῦν μεμβράϊνον, ἢ γλωσσόκομον. ¶ Φαῖμεν, εἴποιμεν, ὑπολάβοιμεν. ¶ Φαινακίζει, πλανᾷ, ἀπατᾷ, χλευάζει. ¶ Φαινακισθεὶς, ἀπατηθείς. ¶ Φαινακισμὸς, τὰ ὅμοια. ¶ Φαίνει, λάμπει, φαντάζει. ¶ Φαίνεται, δοκεῖ, καὶ ὅμοια. ¶ Φαινόλα, τὸ ὕφασμα οὕτως ἔχουσι καινὰν φαινόλαν. ¶ Φαινολὶς, λαμπρὰ φωσφόρος. ¶ Φαινὸν, φωτεινόν. ¶ Φαινύλιος, ὄνομα ἥρωος. ¶ Φαίνων, δεικνύων, δηλῶν.
Φαιὸν, μέλαν. ¶ Φαιοὺς, ἄρτους ῥυπαρούς. ¶ Φαιρίλλειν, σφαιρίζειν. ¶ Φαιρωτὴρ, κυτός. ¶ Φαιστὸς πόλις κρήτης. ¶ Φάκελον, φορτίον ξυλάλογον.
Φακέλοις, φόρτοις. ¶ Φάκελοι, ὁμοίως. ¶ Φακὸς, βρύον τὸ ἐν τῇ λίμνῃ, καὶ μέλασμά τι ἐν τῇ ὄψει, καὶ μέρος τοῦ χαλινοῦ, καὶ ἡ λεπὶς τοῦ μεταλλικοῦ λίθου. καὶ ἰατρικὸν σκεῦος. ¶ Φάκται λιμοὶ, σηπύαι, πίελοι
Φακεὲ, διάνοιξις. ¶ Φρακτεῖν. φράττειν. φρακτὸς γὰρ ὁ φραγμὸς καὶ τὸ μέσον φάκτον. ¶ Φάλαγγες, πολεμικαὶ τάξεις, ἀπὸ τοῦ πέλας ἀλλήλων εἶναι. ἢ τὰ τῶν δακτύλων ἄρθρα καὶ νεῶν ὑπερείσματα. ¶ Φαλάγγια, στρογγύλα ξύλα καὶ σύμμετρα. ἀττικοὶ δὲ κόρακας
Φαλαγγηδὸν, κατὰ τάξεις. ¶ Φάλαγξ, ζῶον παραπλήσιον ἀράχνῃ. ὃ δὴ καὶ αὐτὸ ὑφαίνειν δοκεῖ. ¶ Φαλάγγωμα, πομπή τις ἐν τοῖς διονυσίοις. ¶ Φαλαγγωθεῖσα, τεθηριωμένη, ἠρεθισμένη. ¶ Φάλαγξ, πολεμιστῶν παράταξις. ¶ Φάλαι, ὅρα σκόπει. ¶ Φάλαγγος τορύναι, ὄργανα πολεμικά. ¶ Φαλάκραι, τόπος περὶ ἴδης καὶ νύμφαι. ¶ Φαλάκρας, ἄκρας τῆς εὐβοίας.
Φαλακρὸν, ἀκρωτήριον ἴδης. ¶ Φαλακτένοιο, εἶδος ἱέρακος. ¶ Φαλάνθη, ἐριουργός. ¶ Φαλανθὸν, πολιόν. ἢ ἡ νέστορος κάρα. οἱ δὲ φαλακρόν. ¶ Φάλαι ἡ μικρὰ κάρα. ¶ Φάλανδα, ἀστραγαλίσκος ὁ ἐπὶ περικεφαλαίας. καὶ παραγναθίδες χαλινοί, ἢ ἱπποκόσμια. ¶ Φαλαρεῖς, δῆμος περὶ αἰαντίδος φυλῆς.
Φαλάρικα, εἶδος λόγχης. ¶ Φαλαρὸν, λευκόν.
Φαλαρὸς, φαλιὸς, φαλακρὸς, λευκομέτωπος, λευκὸς ἢ φαλέον. ¶ Φαληριάω, πέφρικα. ¶ Φάληρα λευκά. ἀφρίζοντα φρίσσοντα. ¶ Φαληρεὺς, πολίτης. ¶ Φαληρικαὶ, αἱ ῥάφανοι ἀπὸ τῆς ἀττικῆς.
Φαληριόωντα, λευκανθίζοντα ἢ λευκαινόμενα.
Φαληρὶς. ὄρνις λιμναῖος. καὶ τὸ φάλης δερμάτινον ἢ αἰδοῖον. ¶ Φαλίζει, θλᾷ. ¶ Φαλικρὸν, ἄκρατον. ¶ Φαλιὸν, λαμπρόν. ¶ Φαλὶς, κάνναβις.
Φαλιόποι, λευκόποδες, φαλαιοὶ γὰρ οἱ λευκομέτωποι.
Φαλίπτει. μωραίνει. ¶ Φαλίσσεται, λευκαίνεται, ἀφρίζει. ¶ Φάλκη, ὁ τῆς κόμης αὐχμὸς, ἢ νυκτερίς.
Φάλλαι, φάλαινα. ¶ Φαλλισαῖος, ἀφωρισμένος. μεμερισμένος καθαρός. ¶ Φαλλὸς, τὸ ξύλινον αἰδοῖον ἀνδρικὸν. ¶ Φαλάδα, διασκευασμὸς ἢ νόσος. ¶ Φάλαινα ἡ ἐν τῇ κεφαλῇ θρὶξ, καὶ ἰχθῦς κητώδης.

ὑπέρτατος, ἐξαποστροφῆς. ¶ ὕπουλος ὑπέπιλος, δόλιος, ὑποκριτής, ὀλέθριος, ἀσυμφανής, ὕπουλα δὲ λέγεται, τὰ μὴ φανερὰ τῶν ὀφθαλμῶν ἕλκη.
ὑποργεῖ, ὑπηρετεῖ. ¶ ὕπουρα, ὑπὸ τὰ ὄρη.
ὑποφαίνει, φανεροῖ δεικνύει. ¶ ὑποφαύσεις, εἰς θυρίας. ¶ ὑποφέρει, ὑπομένει. ¶ ὑποφέρονται, ὑποβάλλονται. ¶ ὑποφῆται, μάντεις. προφῆται ἱερεῖς, διερμηνευταί, χρησμολόγοι. ¶ ὑποφήτορες, ὑποτεταγμένοι. ¶ ὑποφθάς, προφθάσας, ὑποφθαμένη, προφθάσασα. ¶ ὑπόφορος, ὑπὸ τέλος. ὑπεύθυνος. ¶ ὑποφωνῆσαι, ὑποδεῖξαι.
ὑποχαλκίς, ἡ ὑπὸ ὁμήρου χαλκὶς δὲ ἢ κεῖσθαι ὑπὸ τὸ ὄρος. ¶ ὑπώπια, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς οἰδήματα. ἀπὸ μέρους δὲ ὅλην τὴν ὄψιν δηλοῖ καὶ τὰ πελιώματα. ¶ ὑπωπίς, ἡ θαψία. ¶ ὑπώρεια, τὸ κάτω μέρος τοῦ ὄρους. ¶ ὑπωρόφιον, ὑπόστεγον.
ὑπτῶς, ἀρτίως.

ΤΟΥ ΜΕΤΑ ΤΟΥ Ρ.

Ῥεῖ, φοβεῖται. ¶ ὕραξ, μίγδην αὐχμίξ.
ὑ ¶ ὑρογαλέον, διερωπός. ¶ ὑρία, πόλις βοιωτίας. ¶ ὑριατόμος, ὁ τὰ κηρία τέμνων τῶν μελισσῶν. ¶ ὕριγγα, πλοῖον σαλαμίνιοι.
ὑρισίδα, συφεῖδιον, συφεός. ¶ ὑρισσός, φορμός.
ὑρμίνη, πόλις. ¶ ὕρον, σμῆνος, κηρῆτες. ἥσυχον.
ὑρράδιος, ἀπό τινος τῶν προγόνων, ἄδοξος, ἢ εἰκαῖος. ὕρρα, πταῖον. ¶ ὕρραχα, πρίχη. ¶ ὑρρώφθαι, φλυαφᾶν. ¶ ὑρτακός, ὄρειον. ¶ ὑρτάναι, πῶμα χύζας. ¶ ὑρτήρ, πλυνεύς.
ὕρχας, ἀμφότερον κεράμιον, καὶ βικῶδες πιθίδιον.
ὑρχή, ἐφ' ἧς τὰ φορτία φέρουσιν οἱ ναῦται.

ΤΟΥ ΜΕΤΑ ΤΟΥ Σ.

Σ, χοῖρος, ἢ σῦς καὶ ἰχθύς. ¶ ὕς, ἀλειφαρβοῦς. οἱ γὰρ σκύθαι ἀλείμματι χρῶνται ὑείῳ καὶ μοσχείῳ στέατι. ¶ ὕσας, βρέξας.
ὑσγινόν, βάμμα τι. ¶ ὕσδοι, ὄζοι κλάδοι.
ὕσαι, βρέξαι. ¶ ὕσειμι, ἐκεῖ βαδίζω. ¶ ὗς ἐκώμαζε. παροιμία ἐπὶ τῶν ἀκόσμως τι ποιούντων.
ὑσθλός, σκλὸς φλύαρος. ¶ ὕσκλοι, ἀγκύλαι βρόχοι οἷς ἱμᾶς ὕσκλοις τῶν ὑποδημάτων ἐπὶ τὰς λαγνὰς τῶν ἱματίων. ¶ ὕσκυθα, ὗος ἀφόδευμα. ¶ ὑσκίνιοι, ὑσκάνινοι. ¶ ὑσμῆθεσι, ὀυσίαι. ¶ ὑσμίνας, μάχας. ¶ ὑσμίνη, μάχη, παράταξις, ταραχή, σύνοδος. ¶ * ὑσσόν, τὸ ὅσον βοὸς καὶ ἀρότρου καὶ ἀναστροφῇ.
ὕσπληξ, βαλβίς, μύωψ, ὁ πλήσσων τοὺς βόας, καὶ παγὶς λύκων. ¶ ὕσπληγγα, τὸ ῥόπτρον τῆς σφραγῖδος.
ὕσπληγξ, ἄφεσις, ἀφετηρία τῆς γῆς, πάσσαλος, καὶ ὁ κεράτινος κρίκος. ¶ ὑσπολεῖν, συβωτεῖν.
ὕστακος, ὕστακος ὕσταξ πάσσαλος κεράτινος.
ὑσσέλινον, τὸ νῦν ἀραχναῖον ὄρος ἐν ἄργει καλούμενον.
ὕσσωπος, βοτάνη σμήχουσα. ¶ ὑστάς, ἡ ἐσχατιὰ ἀμπέλου. ¶ ὑστακητεῖ, φενακίζει. ¶ ὑσταλωπιᾷ, νυστάζει. ¶ ὑστάς, πλαστὰς ἀμπέλων. ¶ ὑστάτα ἔσχατα. ¶ ὕσταρον, ἐσχάτιον, τελευταῖον.
ὑστέρα. μήτρα. ¶ ὑστεροβουλία, μετάνοια μεταμέλος ἡ ἐσχάτη βουλή. ¶ ὕστερον, ἥσσον, ἧττον, ἔσχατον. ¶ ὑστερόπους, ὕστερον ἐρχόμενος.
ὑστερόποτμος, ᾧ ζῶντι ὁ τάφος οὐ τεθνηκότι γέγονεν, ἄλλοι δὲ δεύτερον πότμον. ¶ ὑστιακκός, ποτήριον ποιὸν ἰταλιῶται. ¶ ὑστρία, κωλεός.
ὕστριξ, ζῶον. ὀστρακόδερμον, ἐνάλιον, βρώσιμον.
ὑστριχίς, μάστιξ πεπλεγμένη διὰ ὑείων τριχῶν.
ὕστρος, οἶστρος. ¶ ὗς, ὑπὸ ῥόπαλον δραμεῖται. παροιμία ἐπὶ τῶν ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλλόντων.
ὑσωπίς, ἡ σάμψυχος. ¶ ὑτθόν, τὸ πυρέφθιον.
ὕφαιμον, αἱματῶδες. ¶ ὑφαίνει, κατασκευάζει.
ὕφαρ, τὸ ἐπιφυόμενον ταῖς πύκαις καὶ ἐλαίαις.
ὑφαίρεσις, μείωσις, στέρησις. ¶ ὑφαγορεῖ, μεγαλητόρως.
ὑφή. ἡ ὤα, σῶμα, φυλακή. ¶ ὑφαιρέτεια, μαῖα.
ὑφάλοις, τοῖς ὑπὸ κάτω τῆς θαλάσσης.
ὑφαλοστρατίς, ἡ κρυφαία. ¶ ὑφαιρῶ, μειῶ.
ὕφασμα, ἱστός τις. ¶ ὑψαύχην, μεγαλαύχην.
ὑφειείς, ὑπενδύς. ¶ ὑφίενται, παρομολογοῦσιν.
ὑφειμένος, ἐνδεδομένος κεχαλασμένος, ἠλαττωμένος. ¶ ὑφαίνειν. ἐμπρῆσαι, ὑφάπτειν ἀμεβείας.
ὑφεῖρ. ὑπεβάλλετο. ¶ ὕφεκρον, ὁ λέβης.
ὑφέλκεται, προσέπεται. ¶ ὑφέν, ἅμα ὁμοῦ. καὶ πάθος προσῳδιῶν. ¶ ὑφέντων, χαλασάντων, ὑφελόντων. ¶ ὑφείλαρ, ἑταῖρον, ἑκούσιον.
ὑπεξαίρειν, ὑφαιρεῖν, ἐπαίρειν. ¶ ὑπεξαιρομένου, ἐπαιρομένου. ¶ ὑφέξει, παρασχήσει.
ὑπέξελε, ἐπᾶρον. ¶ ὑφέξω, δώσω. ¶ ὑφέξει, ὑποκαταβαλεῖ. ¶ ὕφεσις, ὑπένδοσις, ταπείνωσις. ἐλάττωσις, χάλασις. ¶ ὑφεσμούς, συμπολισμούς. ¶ ὑφεστάναι, εἶναι, ὑπάρχειν.
ὑφεστώς, ὀχετός. ¶ ὑφεστώς, ἐνυπόστατος, ὑποκείμενος. ¶ ὑφεττόν, ὑπομονητόν. ¶ ὑφήγησις, διήγησις. ¶ ὑφειμένος, καθειμένος, ταπεινός.
ὑφῆναι, κατασκευάσαι. ¶ ὑφηνίοχος. ἡνίοχος.
ὑφειμένον, ἐνδεδομένον, τεταπεινωμένον.
ὑφιζάνει, ἐλαττοῦται, ὑποκάθηται, ὑφίεται.
ὑφιζάνοντι, ὑποκαθημένῳ. ¶ ὑφιέναι, ὑποχαλᾶν, ἐλαττοῦν, μειοῦν. ¶ ὑφιστάς, ὑποτιθείς.
ὑφίσταται, ὑπομένει. ¶ ὑφειμένως, ἐνδεδομένως.
ὑφορᾷ, φοβεῖται. ¶ ὑφόρειον, ὕποπτον.
ὑφόλμιον. μέρος τι τοῦ αὐλοῦ πρὸς τῷ στόματι. ἢ γλωττίδος, καὶ ὑπόθεμά τι. ¶ ὑφόρ, χρυσοῦν κοσμάριον. ¶ ὑφορώμενος. ὑποβλεπόμενος, φοβούμενος, ὑπονοῶν. ¶ ὑφόωσιν, ὑφαίνουσιν.
ὑφύδρινον, ὑποβρύχιον. ¶ ὑφ' οὗ. παρ' οὗ.
ὑφ' ᾧ, ἐν ᾧ. ¶ ὑφ' ὧν, ὑπὸ τῶν.
ὑφορατικήν, φοβητικήν. ¶ ὑφορᾶσθαι, διανοεῖσθαι.
ὑφορώμενον, τὰ αὐτά. ¶ ὕχιος, νύξ.
ὑψαγορεῖ, μεγαληγορεῖ. ¶ ὑψαύχενες, ταῦροι, ἢ ὑπερήφανοι. ¶ ὑψαυχεῖν, μεγαλαυχεῖν.
ὑψεῖται, βαπτίζεται ἀργυρείου. ¶ ὑψιβρεμέτης, ὁ ἐν ὕψει βροντῶν. ¶ ὑψηγορία, ὑπερηφανία.
ὑψερεφής, ἐν ὕψει τὸν ὄροφον ἔχων, ὁ ὑψηλὴν ὀροφὴν, διὰ τὸ μέγα καὶ ὑψηλὸν δηλοῖ.

ὑποζύγια, κτήνη τὰ ὑπὸ τὸν ζυγὸν καὶ τὰ ὑποζώνια πάντα τὰ ἐζευγμένα. ¶ ὑποθέσθαι, συμβουλεῦσαι.
ὑποθέσεις, καταβολαί, πράγματα. αἰτίαι προφάσεις.
ὑπόθου, ὑπόθου συμβούλευσον. ¶ ὑπόθυρον, στῦλοι ἐπὶ θυσίας. ¶ ὑποθήκη, παραίνεσις, διδασκαλία, ἢ ἐνέχυρον, ἢ συμβουλή. ¶ ὑποθημοσύνη. τὰ αὐτά.
ὑποθίμεον, ὑποθέσεις κακογράφων. ¶ ὑποθήσομαι διδάξω, καὶ ὑπόθου ὁμοίως. ¶ ὑποθύμιος, στέφανος ὑποτράχηλος. ¶ ὑποιαπηθείς, ὑποστρατευθείς.
ὑποΐζεσθαι, ὑπονοεῖν. ¶ ὑποικουρεῖ, ἀντὶ τοῦ συνέστηκε καὶ γικάμυται. ¶ ὑποικουροῦσι, εἰς βάθος οἰκοῦσι.
ὑποίσει, ὑφέξει, βαστάσει. ¶ ὑποιστά, φορητά, βαστακτά. ¶ ὑποίσω, ὑπενέγκω, ὑπομενῶ καὶ τὰ ὅμοια.
ὑποκαθῆσθαι, ἐνεδρεύειν. ¶ ὑποκάλυκα, ὑπὸ τὴν κλεῖδα τοῦ πυρός. ¶ ὑπὸ κρασὶν ὑπὸ ταῖς κεφαλαῖς.
ὑποκείσεται, ὑποβληθήσεται. ¶ ὑποκεντά, ὑπομνηστικά. ¶ ὑποκέοιτο, ὑποκείσεται. ¶ ὑποκεύθεια, ὑποκοίλια. ¶ ὑποκυασαμένη, ἐγκύουσα.
ὑποκόλπιον, τοῦ χοροῦ τῆς στάσεως, χῶραι αἱ ἄτιμοι.
ὑποκομψίας, τὸ κομψὸν ὑποφαίνων. ¶ ὑποκορίζεσθαι, ὑποκοριστικοῖς λόγοις χρῆσθαι, ἤγουν κολακεύειν.
ὑποκοριζόμενος, ὁμοίως. ¶ ὑποκρέκειν, ἐπὶ τῶν ἵππων πορεία. τις στάσις. βῆμα. ¶ ὑποκράτεσφιν, ὑπὸ τῇ κεφαλῇ. ¶ ὑποκριθῆναι, ἀποκριθῆναι. ¶ ὑποκρίναιμι, ὑποκρίσαι τι ποιῶν.
ὑποκρίνοιτο. ἀποκρίνοιτο, ἔνθεν καὶ ὑποκριτὴς ὁ ἀποκρινόμενος πρὸς τὸν χορόν. ¶ ὑπόκρισις. εἰρωνεία. ὑπουλότης. δόλος. ¶ ὑποκριτής, μάντις καὶ ὁ ἐν τῇ σκηνῇ ἀποκρινόμενος. ¶ ὑποκρούει, ἀντιλέγει.
ὑποκρουνιδία, θυσία τις, παρὰ κνιδίοις. ¶ ὑποκρουσταλίς, εἶδος τοῦ λίνου σπέρματος. ¶ ὑποκυδίς. ὑποφρύδιον. ¶ ὑπόκυκλα. τοῖς ἀστραγάλοις τοῖς ὑποτιθεμένοις ἐπὶ πυθμένι τῶν τριπόδων. ¶ ὑποκυνουμένη, ὑπὸ γαστρὸς ἔχουσα ἐγκοίλιον. ¶ ὑπόκυκλον, ὑπότροχον, ἢ κάτωθεν σπεῖραν ἔχοντα.
ὑποκυσαμένη, ἔγκυος γενομένη ἐγκύμων. ¶ ὑπολαβών, ὑπονοήσας, νομίσας, ἀποκριθείς. ¶ ὑπολαΐς, ὄρνις τις τῶν σκωληκοφάγων. ¶ ὑπολαλεῖ, ψιθυρίζει. ¶ ὑπολάμβανε, νόμιζε, ἀντιτίθει. ¶ ὑπολαμπτήρα, ἑκάτη ἐν μιλήτῳ. ¶ ὑποληνίον, νομίστιον. ¶ ὑπόληψις, ὑπόνοια καὶ τὰ ὅμοια.
ὑπολαΐς, εἶδος ὄρνιθος, ἢ λαΐς. ¶ ὑποληκᾶν, ὑποκρούειν. ¶ ὑπολαπάξας, ὑποκενώσας. ¶ ὑπολίζοντες, μεγέθει ἐλάσσοντες ὀλιγώτεροι. ¶ ὑποβολιμαῖος, οὐχ ὁ γνήσιος. ¶ ὑπολείπει, ἐκλείπει.
ὑπόλινον, τὸ ὅρμινον. ¶ ὑπολιπεῖσι, συντραφέντι.
ὑπολισφόν, ὀλισθηρόν. ¶ ὑπολαιόν, ὑποδυτόν.
ὑπολύξας, ἐκκλίνας. ¶ ὑπομάζιον. θηλάζον παιδίον. ¶ ὑπομαλανδριῶδες, εἶδός τι ταρίχου.
ὑπομέλαθρα, ἀρτέμιδος ἐπίθετον ὡς ὁμώνυμος.
ὑπομειδιῶντι, γελῶντι. ¶ ὑπομήνιθμον, ὑπὸ τὴν ὀργήν. ¶ ὑπομηλαφῆσαι, ψηλαφῆσαι. ¶ ὑπομονή, καρτερία. ¶ ὑπομνηματιστής, ὁ ὑπομνήματα λέγων. ¶ ὑπονέμεσθαι, διαπετᾶν. ¶ ὑπονήϊον, τὸ ὑπὸ δένδρον ἔχων, ἐν οἷς ἐδέσμευον τὰς ναῦς.
ὑπονοεῖ, ὑποπτεύει. ¶ ὑπονοθεῦσαι, ὑποφθεῖραι.

ὑπόνοια, ὑποφηνία θράσος. ¶ ὑπονόμαι, κλοπαὶ ὀχετοί. ¶ ὑπονοστήσας, ἐπανελθών. ὑποστρέψας.
ὑπονύσσεται, κατακεντεῖται. ¶ ὑποοργός, ὑπουργός.
ὑποπαθών, ἠρέμα παθών. ¶ ὑποπαραβράτωσις, τελείωσις. ¶ ὑποπεζία, ταπείνωσις. ¶ ὑποπερκάζουσι, καταβάλλουσι ἐκ τοῦ ὄμφακος καὶ ὑπομελαίνονται. ¶ ὑπὸ παντὶ λίθῳ, παροιμία τὸ ὑπὸ παντὶ λίθῳ σκορπίος εὕδει. ¶ ὑποπιαζόμεθα, ταπεινούμεθα, μακρύνομεν, ὑπωπιασμὸς γὰρ ταπείνωσις ἐστὶ σώματος. ¶ ὑποπίσαι, ὑποποτίσαι. ¶ ὑποπλάκῳ, ὑπὸ τῷ πλάκῳ ὄρει κιλικίας. ¶ ὑπόπλεως, μεστὸς ἐμπλέως. ¶ ὑποπνεῖται, προσπνεῖται. ¶ ὑποπραπίδων, ὑπὸ τῶν φρενῶν. ¶ ὑπόπτερος, κοῦφος, καὶ ὑπόπτερος ὁ ταχύς. ¶ ὑποπτέρου ταχείας. ¶ ὑποπτεύει, ὑπονοεῖ, ὑπολαμβάνει.
ὕποπτος, ἐχθρός. ¶ ὑπόπτως. ἐχθροειδῶς.
ὑπόπτωσις, κατάπτωσις. ¶ ὑπόπτωτον, ὑποπίπτον.
ὑπώρεια, τὰ ὑπὸ τὰ ὄρη. ¶ ὑπορίνοις, τοῖς ὑπὸ ῥινὶ φθεγγομένοις. ¶ ὑπεργηθεῖσα, ὑποχειρωθεῖσα.
ὑπὸ ῥιπῆς, ὑπὸ τῆς ὁρμῆς. ¶ ὑπορρόφιοι, ὑπόστεγοι.
ὑπορράπτεις λόγοις. συντίθης. ¶ ὑποσακκίζειν. ὑποτιθεῖν ἐπὶ σάκκῳ. καὶ τὸ προσσήθειν. ¶ ὑποσκελίσαι, ἀπατῆσαι. χλευάσαι. ¶ ὑπόσκοπον χεῖρα αἰγίλος, ὥσπερ οἱ ἀποσκοποῦντες, οὕτω κελεύει σχηματίσαι τὴν χεῖρα, καθάπερ τοὺς πᾶνας ποιοῦσι σχῆμα δὲ ἐστὶν ὀρχηστικὸν ὁ σκοπός. ¶ ὑποσκήπτρῳ, ὑπὸ τῇ βασιλείᾳ. ¶ ὕποσμος, ὀσφραινόμενος.
ὑποσμύγει. θλίβει, ἀνιᾷ, καταπονεῖ, ἐκ μεταφορᾶς τῶν καυμάτων. ¶ ὑποσμύχεται, ὑποκαίεται.
ὑποσμύχουσα, ἔνδον ἐρεθίζουσα. ¶ ὑποσπόνδους. σπονδὰς αἰτήσαντας. ¶ ὑποσπῶσιν, κάτωθεν ἕλκουσιν.
ὑπόστα, ὑπόμενε. ¶ ὑποστάθμη, τρυγία. τρύξ.
ὑποσταίη, ὑπόσχοιτο. ¶ ὑπόστασις, πρόσωπον.
ὑποσταχύοιτο, ὑπαύξοιτο ἀπὸ τοῦ στάχυος. ¶ ὑποστειλάμενος, ὑποκρυψάμενος, φοβηθείς. ¶ ὑποστέλλεσθαι, ἀναδύεσθαι, δολιεύεσθαι, ὑποκρίνεσθαι.
ὑποστέλλεται. φοβεῖται καὶ τὰ ὅμοια. ¶ ὑπόστερνον, ὑπογάστριον. ¶ ὑπόστημα, πλῆθος. ¶ ὑποστῆσαι ὅταν τις ἐγκάθετον στήσῃ ἐπὶ τὸ ὀμνύσασθαί τι.
ὑποστήσεται, ὑπομενεῖ. ¶ ὑποστήτω, ὑποταγήτω. εἰξάτω, παραχωρησάτω. ¶ ὑποστολή, δειλία φυγή.
ὑποστρέψαι, ἀποφυγεῖν δόλος. ¶ ὑπόστροφον, ἀψίμενον ὑποστρέφοντα. ¶ ὑπόστρωμα, περίστρωμα.
ὑπόσχεο, ὑπόσχου ἐπαγγέλλου. ¶ ὑποσχεῖν, ὑπολαβεῖν δοῦναι. ¶ ὑποσχέσεις; ἐπαγγελίαι. ¶ ὑπόσχωμαι, ὑποβάλλωμαι, ἐπαγγέλλωμαι. ¶ ὑποσχών, τὰ αὐτά. ¶ ὑποτέτροφεν, ὑπέτροφεν.
ὑποτίθεται, συμβουλεύει. ¶ ὑποτιμήσεως, προφάσεως. ¶ ὑποτίτθια, θηλάζοντα, γαλουχούμενα παιδία. ¶ ὑποτονθορύζει, γογγύζει. ¶ ὑποτοπάσαι, ὑπολαβεῖν, ὑπονοεῖν. ¶ ὑποτοπήσομεν, ὑπονοήσομεν. ¶ ὑποτρέχοντες, ὑπεισερχόμενοι, σκύζοντες. ¶ ὑπότριμμα, ἐκ φοίνικος καὶ μέλιτος καὶ κυμίνου καὶ ἄλλων τινῶν ἀρτυμάτων, ἔργον.
ὑποτρύζει, ὑποβάλλει. ¶ ὑποψιθυρίζει, γογγύζει.
ὑπότροπον, ὑποστροφότα ἐπανελθόντα ἐκ δευτέρου.

νος. ¶ Ὑπερβάλλει, ὑπερνικᾷ, ὑπερτίθεται, παραβαίνει, ἢ ἐπαναφέρει εἰς συμβουλίαν. ¶ Ὑπέρβαν, ὑπερῷον. ¶ Ὑπέρβασις, ὕβρις, ἀδικία. κόρος, μωρία, ὑπερηφανία. παράβασις ὅρκων. ¶ Ὑπερβασίης, ἀδικίας, ὑπερηφανίας. ¶ Ὑπερβατὸν, ὑπερβαινόμενον. ¶ Ὑπέρβιον, ὑπεράγαν τῇ βίᾳ.

Ὑπὲρ δύναμιν, πάνυ βιαίως. ¶ Ὑπερβλήδην, ὑπεράγαν, ὑπερβλύζει. ¶ Ὑπερβολὴ. πολύ. ¶ Ὑπερβολία, ὕβρις, κόρος. ¶ Ὑπεργημένων, διελθόντων προελθόντων. ¶ Ὑπεργύιον, ὑπερμήκης, μέγα. ¶ Ὑπερδεᾶ, ὑπεραιρόντως ἐνδεᾶ ἢ ἐλάσσονα κατὰ δύναμιν.

Ὑπερδεᾶ, δῆμον ἔχοντα. ¶ Ὑπερδεσμα, ἐνέχυρα ὑποδήματα. ¶ Ὑπέρδικοι. συνήγοροι. οἱ τὸ δίκαιον ὑπερβαίνοντες. ¶ Ὑπερδεδιπνεῖ, ὑπερτρυφᾷ.

Ὑπερδείδει, στείχει. ¶ Ὑπερείδει, καταφρονεῖ.

Ὑπερειδεύσης, στηριζούσης ¶ Ὑπέρειπε, κατέβαλον ἀπὸ τοῦ ἐρείπιον. ¶ Ὑπερείσατε. στείξατε.

Ὑπερεκστήξει, ὑπερσταθήσεται. ¶ Ὑπερέκπτισις, ὑπεραπότισις. ¶ Ὑπερένεγκαν, ὑψώθησαν. ¶ Ὑπερέλασις, ὑπέρθεσις, ὑπερβολή. ¶ Ὑπερένδοξος, ἄγαν ἔνδοξος.

Ὑπερέξουσι, μείζονες ἔσονται. ¶ Ὑπερέπλατο, ὑπερείπετο. ¶ Ὑπερέσχαμεν, ὑπερεπήδησεν. ¶ Ὑπερεπλη-ρώθη ... ¶ Ὑπερεσίδου, ὑπῄσυρεν. ¶ Ὑπέρευγε, ὑπερκαλῶς. ¶ Ὑπερεφόρει, μετεωροφόρον.

Ὑπερέσχεθε, γῆραν. ¶ Ὑπέρεσχεν, ἀνέτειλεν. ¶ Ὑπερέσεται, περιέσται, κρατήσει. ¶ Ὑπερέχει, ἄνωθεν, ἐπιβάλλει, βοηθεῖ, διαφέρει, ὑπερβάλλει, ὑπεράνω ἔχει. ¶ Ὑπερέχοντι, ὑπερισχύοντι. ¶ Ὑπερζέσας, ἀναφλεχθείς. ¶ Ὑπερηγάσθη, ὑπερεθαυμάσθη. ¶ Ὑπερηκόντισεν, ὑπερέδραμεν. ¶ Ὑπερήκεισας ὑπεράγαν ἐπήδησας. ¶ Ὑπερήμεροι, οἱ ἐν ταῖς καταδίκαις πρὸς ἔκτισιν ἡμέρας λαβόντες καὶ μὴ διαλυσάμενοι. ¶ Ὑπερήμερος, ἐκπρόθεσμος. ¶ Ὑπερηνορεόντων, ὑπερηφάνων.

Ὑπερήνωρ, εὐτυχέας, ἀνδρεῖος ὑβριστής, ὑπερέχων, ὑπερήφανος, παράνομος, ἢ ὁ ὑπερέχων κατὰ τὴν ἀνδρείαν.

Ὑπὲρ ῥιπῆς, ὑπὸ τοῦ ὁρμῆς. ¶ Ὑπερῆρε, κατεξανίσταρ. ¶ Ὑπερέσει, ὑπερβαλεῖ ¶ Ὑπερησία, πέλισ.

Ὑπερείσμασι. στηρίσμασι. ¶ Ὑπερήφανος, ὑπεράφρων ἀγνώμων. ¶ Ὑπερθεῖ, ὑπερέχει. ὑπερέχει. ἤγουν θέει.

Ὑπέρθεν, ὑπεράνωθεν. ¶ Ὑπέρθεον, ὑπὲρ τὸ θεῖον ἢ τὴν τοῦ θεοῦ γνώμην. ¶ Ὑπερθέντας, ὑπερβέχοντας. ¶ Ὑπερθέσεις, ἀναβολαί, ὑπερβάσεις.

Ὑπερθορέονται. ὑπερπηδῶσιν. ¶ Ὑπέρθυρον, ὑπέρτονον. ὑπερηλάκην. ¶ Ὑπέρθυμοι, πρόθυμοι, μεγαλόψυχοι. ¶ Ὑπερθύρειος, ὁ ἐπάνω τῶν θυρῶν τόπος.

Ὑπέρ ... ὁ τῶν φυλάκων πόλις καὶ κρήνη. ¶ Ὑπερίονα, ὑπὲρ ἡμᾶς ἰόντα. ὁ ἥλιος, ἀπὸ τοῦ ὑπὲρ ἡμᾶς ἰέναι.

Ὑπερίδη, καταφρονεῖ. ¶ Ὑπερίκνουν. ἐνικ. ὑπὲρ δύναμιν ἵκνουν, ὑπερέκνουν τὸ διὰ τὴν χαρὰν, ὅ ἐστιν διατεί-νουν. ¶ Ὑπερίπλεια, ἀγών τις παρθένων.

Ὑπερίπλειν, κατέσπευσεν. ¶ Ὑπερισχύουσαν, ὑπερβάλλουσαν. ¶ Ὑπερίονα. ὃν ἐπεὶ ἀεὶ, ἢ ὁ ἥλιος ἀπὸ τοῦ ὑπὲρ ἡμᾶς ἰέναι. ¶ Ὑπερκαταβαπτίσομαι, ἀντὶ τοῦ ὑπερηφάνοις λόγοις ποιουμένην. ¶ Ὑπερκακεῖν, ὁ νῦν ἐκκακεῖν. ¶ Ὑπὲρ κάρα φοιτῶντα, ὑπὲρ κεφαλῆς διοχούμενον. ¶ Ὑπερκείμενον, ἀνακείμενον.

Ὑπερκείσῃ, ἀναβάλλεις. ¶ Ὑπερκείσθω, ὑπερτεθείσθω. ¶ Ὑπερκεφαλῆς, ὑπεράνω τῆς κεφαλῆς.

Ὑπέρκομπος, ὑπερήφανος. ¶ Ὑπερκαύστρα, ὁ τῆς ἀθηνᾶς ἱέρεια. ¶ Ὑπερκόσμια, ὡς ἄγγελοι καὶ τὰ μέλλοντα ὑπὲρ τὸν κόσμον. ¶ Ὑπερκυάνεον, λίαν κυάνεον. ¶ Ὑπερκυδάντας, ὑπερέχοντας τῇ δόξῃ, ὑπερενδόξους γενομένους. ¶ Ὑπερκυδέοντας, λίαν ἐνδόξους. ¶ Ὑπερμαζᾷ, ὑπερτρυφᾷ. ¶ Ὑπερμενεῖ, τῷ ὑπεράγαν τι κατὰ τὸ μένος, τουτέστι τῇ ἰσχύϊ ὑπερκρατεῖ. ¶ Ὑπερμενὴς, μεγάλην ἔχων ἰσχύν. ¶ Ὑπερμενέον, ὑπερηφανοῦντα. ὑπερέχοντα τῇ δυνάμει. ¶ Ὑπέρμορα, ὑπὲρ τὸ δέον ὑπὲρ τὸ καθῆκον. ¶ Ὑπέρμορον, ὁμοίως.

Ὑπερνεμεῖς, ὑπερορᾷς. ¶ Ὑπερνέχεται, ὑπερέχει, ὑπερβαίνει. ¶ Ὑπερνικᾷ, ἀντιμάχεται.

Ὑπέρογκον, μέγα, ὑψηλὸν ὑπέρμετρον.

Ὑπεροιζομένου, ὑπερηφανευομένου.

Ὑπεροικοσάμενοι, ὑπερηφανοῦντες. ¶ Ὑπερόλβη κόρος, ὕβρις. ¶ Ὑπεροπτεύει, ψεύδεται.

Ὑπεροπτὴς, ψεύστης ὑπερόπτης ἢ διάκτορ.

Ὑπεροπλίαις, ὑπερηφανίαις, ὑπερφροσύναις.

Ὑπεροπλίσσαι. ὑπερβῆναι, ὑπερπηδῆσαι.

Ὑπεροπλίσσαιτο, νικήσειεν, ἢ ὑπερηφανήσειεν.

Ὑπέροπλον, ὑπὲρ τὸ δέον, ὑπερήφανον, ψευδές.

Ὑπέροπλον, μέγα καὶ ὑπὲρ τὸ μέτρον καὶ τὰ ὅμοια.

Ὑπερορᾷ, καταφρονεῖ παραβλέπει. ¶ Ὑπερόριος, ἐκ τῶν ὁρίων. ¶ Ὑπέρου περιστροφὴν, παροιμία. λέγεται δὲ ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων καὶ μηδὲν περαινόντων. ¶ Ὑπερούσιος, ἀγαπητὸς περιλημμένος. ¶ Ὑπερορόφοις, ὑπερηφάνοις.

Ὑπερόφρυς. ὑπέροπλος. ¶ Ὑπεροχὴ, ἐξοχὴ ὑπερβολή.

Ὑπεροχὴν, περιττὸν, δεινὸν, μεῖζον. ¶ Ὑπεροψία, ὑπερηφανία, παρὰ τὸ τὰ ὑπὲρ αὐτῶν θεωρεῖν.

Ὑπερπαθήσας, πάνυ λυπηθείς. ¶ Ὑπερπηδῶν, ὑπερορῶν. ¶ Ὑπερράγη, διερράγη. ¶ Ὑπερσχεῖν, ἀνατέλλειν. ¶ Ὑπερμαχῆσαι, βοηθῆσαι, σκεπάσαι.

Ὑπερμάχησον, σκέπασον, καὶ τὰ ὅμοια.

Ὑπερταέτην, ὑψηλὴν, ὑπερβαίνουσαν. ¶ Ὑπέρτατος μέγιστος, πρεσβύτατος, ἀνώτατος, ὑψηλότατος, ὑψηλότερος. ¶ Ὑπέρτεγος, ὑπεράνω τῆς στέγης.

Ὑπερτεῖς, κριτικῶν τελέων ἐπίθετα. ¶ Ὑπερτελὴς ὑπὲρ τὸ τέλος ἀφικομένη. ¶ Ὑπερτέλλοντες, ἀνατέλλοντες. ¶ Ὑπερτέλλων, ὑπερανατέλλων ὑπερφαινόμενος τῶν ἄλλων ἀστέρων.

Ὑπερτενὴς ὑπερανατείνουσα, ὑψηλή. ¶ Ὑπερτέρα ὑψηλοτέρα. οἱ δὲ, νεωτέρα ἢ πρεσβυτέρα, ἢ ἀρότρων.

Ὑπερτερία, τὸ ἄνωθεν τῆς ἁμάξης ἐπιτιθέμενον.

Ὑπερτερίησι, νεωτερισμοῖς. ὑπερηφανίαις.

Ὑπερτερώτερος, νεώτερος. ¶ Ὑπέρτερον, ἔσχατον, ὕστερον, νεώτερον, θῆλυ. ¶ Ὑπερτερίη, τὸ πῆγμα τῆς ἁμάξης. ¶ Ὑπέρτερα, κρέατα ἐκτὸς τῶν σώματος πρὸς τὴν σύγκρισιν τῶν ἐντός. ¶ Ὑπερτεροῦν, διαπόζον. ¶ Ὑπερτέρα, τὸ ἐπὶ ἁμάξης πῆγμα.

Ὑπέρτεχνον, σπουδαῖον.

Ὑπὲρ τῶν νεῶν, ὑπὲρ τῶν ἄνω συνδεδεμένων καὶ δαπανωμένων. ¶ Ὑπέρυθρος, πυρακτής.

Ὑ ανία. τύρβη. μάχη ὕβρις. ἀγερωχία. ¶ Ὕαξ ἢ οἴαξ πηδάλιον ὀλκός. ¶ Ὑαρπίδες, αἱ συνεισιοῦσαι βάκχαι αἱ ἀργεῖαι. ¶ Ὑᾶσιν, ὑοῖς. ¶ Ὑββάλει, ἀποβρίθεται, ἀποβάλλει. ¶ Ὑββαλής, καταφορής. λάγνος. ¶ Ὕβλα, πόλις σικελίας. ¶ Ὑβλίτης, μάντις. ¶ Ὑβλιόν, τὸν κυρτόν, καμπύλον, γυρόν, οἱ δὲ ὑβὸς κυρτός, ὑβριστής. ¶ Ὕβρεις, θαύματα, ὀνείδη. ¶ Ὑβρίς, ὄρνεον νυκτερινόν. ¶ Ὕβρεως, διὰ ὕβρεως. ¶ Ὑβριστής, ὑπερήφανος ἀγνώμων.

Ὑ βριστοδίκαι, οἱ μὴ θέλοντες εἰσάγειν τὰς δίκας παρὰ ἀττικοῖς. ¶ Ὑβώματα, κυρτώματα. ¶ Ὕγγεμος, συλλαβή. σαλαμίνιοι. ¶ Ὑγυλόν, ὑγιές.

Ὑ γρόν, μαλακόν. ¶ Ὑγιᾶ. σῶον νεαρὸν κρότον.

Ὑ γίεια, ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ πεφυραμένα. καὶ πᾶν τὸ ἐκ θεοῦ φερόμενον. εἴτε μύρον, εἴτε θαλλός. ἢ ὑγίεια

Ὑ γιής, τέλειος, σῶος. ¶ Ὑγιοῦν, τὸ σαροῦν καὶ τὸ θεραπεύεσθαι. ¶ Ὑγιῶς, ὀρθῶς, σώως, ὁλοκλήρως, ἐρρωμένως, καὶ εἴ τι ὅμοιον. ¶ Ὑγιαίνουσι, φυσῶσι.

Ὑ γρὰ κέλευθα, θαλασσία ὁδός, καὶ ἡ παρὰ τὴν θάλασσαν. ¶ Ὑγρίων, τὸν οὖρον, διονύσιος. ¶ Ὑγρὸν ἀέντων, μαλακῶς πνεόντων. ¶ Ὑγρὸν ἔλαιον, διὰ τὸ εἰς ἄνεσιν ἄγειν τὸ σῶμα, ἢ ὅτι πάντων τῶν ὑγρῶν ὑγρότατόν ἐστι τὸ ἔλαιον. πᾶσι γὰρ τοῖς ὑγροῖς ἐπιπολάζει βαλλόμενον τὸ ἔλαιον. ¶ Ὑγρός, ὁ εὐκαταφορής εἰς ἡδονάς. ¶ Ὑδαλίς, ὑδροπισίων. ¶* Ὑδάν, ἀεὶ ῥαθυμεῖ. ¶ Ὑδαρεία, ὑδρωπία. ¶ Ὑδατίδες, σταγόνες. ¶ Ὑδατοτρεφέων, ὑπὸ ὕδατος αὐξομένων ἢ τρεφομένων. ¶ Ὑδείουσιν, ὑμνοῦσιν. ¶ Ὕδερον, τὸν ὕδρωπα. ¶ Ὑδερές, τὸ ὑδαρόν. ¶ Ὑδερῶν, ὑδρωπικῶν. ¶ Ὕδη, πόλις τῆς λυδίας. ¶ Ὑδεῖν ὑμνεῖν, ᾄδειν, λέγειν. ¶ Ὕδης, συνετός, ἢ ποιητής.

Ὑ δναι, ἔγγονοι. σύνσοφοι. ¶ Ὑδνεῖν, τρέφειν. κρύβειν, αὔξειν. ¶ Ὕδνης, εἰδὼς ἔμπειρος. ¶ Ὑδνόφυλλον. ἡ ἐπὶ τοῖς ὕδνοις φυομένη πόα. ¶ Ὕδρα, νῆσος εὐτελὴς δηλίων, καὶ θηρίον πολλὰς ἔχον ὄφεων ὄψεις. πολυκέφαλον. ¶ Ὕδος, ὕδωρ. ¶ Ὑδραλής, μετάβολος. ¶ Ὕδρα. ὁ ὕδρος ὄφις, ἢ τὸν χέρσυδρον. ¶ Ὑδράνα, εἰς θυσίαν ἀκραιφνές. ῥεῖθρον. ¶ Ὑδράνη, τὸ ἀκραιφνὲς καὶ καθαρόν.

Ὑ δρανός, ὁ ἁγνιστὴς τῶν ἐλευσινίων. ¶ Ὑδραλής, ὁ πλεὶς ὕδατος. ¶ Ὑδρεύειν. τετίζειν αὐτλεῖν.

Ὑ δρευσάμενος, αὐτλήσας. ¶ Ὑδρεύουσαν, ὕδωρ φέρουσαν, ἤτοι ὑδρευομένην. ¶ Ὕδρος, ὁ ἔχις.

Ὑ δρήϊον, ὑδρεία. ¶ Ὑδρηλά, ὑδατώδη. ¶ Ὑδρηλοί, κάθυδροι. μαλακοί. ἔνυδροι, ὑδατώδεις.

Ὑ δρηλός, τὸ αὐτό. ¶ Ὑδριωμένη, λουσαμένη. ἢ περιρραμμένη, ἢ ὕδατι προσχαμένη. ¶ Ὑδρέναθαι, λούσασθαι, προσχέασθαι. ¶ Ὑδρηχύες, ἰχθύες.

Ὑ δριαφόροι, μέρικοι. ¶ Ὑδρίσκη, ὑδρεία. ¶ Ὑδροδόκοι, λάκκοι. ¶ Ὑδρόμυλοι, ὑδραλετία ἀπὸ ὕδατος. ¶ Ὕδρος, ὄφις. ¶ Ὕδρα, ὄφεως εἶδος.

Ὑ δροῦσα. ἡ κέως οὕτως ἐκαλεῖτο. ¶ Ὑδροχόας, ἀμάρας. ¶ Ὑδροφορία, ἑορτὴ πένθιμος ἀθήνησιν.

Ὑ δροφόροις. ὑδρορρόοις. ¶ Ὕδωρ καὶ γαῖα γένοισθε. διαλυθείητε καὶ ἀποθάνοιτε. ¶ Ὕεν, ἔβρεχεν. ¶ Ὕει, βρέχει, χειμάζει. ¶ Ὕελος, ὕαλος. ¶ Ὕες, χοῖροι.

Ὑ εσις, σολὴ πάτριοι. ¶ Ὑελέψης, ὑελοτέχναι.

Ὑ εσίκα, ἱματισμός. ¶ Ὑετής, ὁ αὐλητὴς μαρσύας.

Ὑ ετίς, ὑδρείς. ταραντῖνοι. ¶ Ὑετός, ὄμβρος, δρόσος, ὕδωρ. ¶ Ὑεύς, σεβάζιος. ¶ Ὑὴ, ἡ σεμέλη ἀπὸ τοῦ ὕσεως καὶ ὑεδείλε. ¶ Ὕης, ζεὺς ὄμβριος.

Ὑ ησον, σαλευσον ὕητα, ὕστις ταραντῖνοι. ¶ Ὑθλεῖν, ληρεῖν, μωραίνειν. ¶ Ὕθλος, φλυαρία. μωρία, ληρότης, φλυαρία. ¶ Ὕθλοις, φλυάροις, μωροῖς λόγοις. ¶ Ὑια, υἱὸν τέκνον. ¶ Ὑιας, τέκνα υἱούς.

Ὑ ιδῖς, υἱῶν υἱοὶ ἔγγονοι. ¶ Ὑιδεῖς, θυγατέρες, ἢ υἱῶν θυγατέρες. ¶ Ὑιδῆν, υἱοῦ θυγατέρα. ¶ Ὑιδός, ὁ τοῦ υἱοῦ υἱός. ¶ Ὑιδοῦς, ἢ υἱδεῖς υἱῶν υἱοίς.

Ὑ ιεῖς, υἱοί. ¶ Ὑιέος, υἱοῦ τέκνου. ¶ Ὑιες ἀχαιῶν, οἱ ἕλληνες περιφραστικῶς. ¶ Ὑικήν. τὴν ἄμπελον ὁ ὑῆν. ¶ Ὑινός, ποιὰ βοτάνη. ¶ Ὕιλη, ὁμιλίας.

Ὑ ιόν, ἀναδενδράδα. ¶ Ὑιοθεσία, ὅταν τις θετὸν υἱὸν λαμβάνῃ, καὶ τὸ ἅγιον βάπτισμα. ¶ Ὑιοθετεῖ, υἱοποιεῖ, οὐ φύσει, ἀλλὰ θέσει. ¶ Ὑιωνεῖς, υἱῶν υἱέες.

Ὑ ιωνοί, υἱῶν υἱοί. ¶ Ὑιωνός, ὁ υἱὸς τοῦ υἱοῦ, ἔγγονος.

Ὑ κελόν, ὑγιές. ¶ Ὑλαγμός, βοή. ¶ Ὕκος, ἐρυθρῖνος. ¶ Ὑλάει, θρυλλεῖ. ¶ Ὑλακτεῖ, λέγει θρηνεῖ

Ὑ λάζεσθαι, ξυλίζεσθαι. ¶ Ὑλακή, ὑλαγμὸς βοή.

Ὑ λακίδης, ὑλακοῦ υἱός. ¶ Ὑλακόμωροι, οἱ περὶ τὸ ὑλακτεῖν μεμορημένοι, ὅπερ ἐστὶν ἴσον τῷ πεπονημένοι. οἱ βαρύφωνοι, ὀξύφωνοι. ¶ Ὑλατιθέντων, φλυαρηθέντων. ¶ Ὑλακτῶν, μετὰ μανίας κράζων

Ὑ λαον, ὑλάκτων. ¶ Ὑλαλοῦν, ὑλακτοῦν. ¶ Ὕλας κρόνας, οἱ ἄνθρωποι. καλοῦνται δὲ καὶ βαρβάρων γένος οὕτως. ¶ Ὑλάσασθαι, ξύλα συναγαγεῖν. ¶ Ὕλασμα ἡ ξυλεία, καὶ φρυγανισμός. ¶ Ὑλᾶται, ἐστερήθη ἀπέθανεν. ¶ Ὕλη, πόλις δηλοῖ δὲ καὶ τὸ σύνηθες, καὶ ξύλα τὰ ἤδη κεκομμένα ὁ σύμφυτος τόπος, ἐξ οὗ ἀποτελεῖται τὸ ἔργον. ¶ Ὑλῆεν, δασύ. ξυλῶδες.

Ὑ λήεσσης, συμφύτου, ἢ ὕλας ἐχούσης. ¶ Ὕλην, κισσίαν τὸν στέφανον. ¶ Ὑληωρεῖς, νομεῖς, ἐν ὕλῃ φυλάττων. ¶ Ὕλης μητέρα, εἶδος σκώληκος, ὁ καλεῖται ὑλομήτρα. ἄλλοι δὲ βόμβυκα. ¶ Ὕλιγγος, λόγχαι. ¶ Ὑλίμη, μάχη τίς. ¶ Ὑλικωροί, τέκτονες. ¶ Ὑλίτης, οἴνου εἶδος. ¶ Ὑλλεῖ, θρυλλεῖ λέγει. ¶ Ὑλίαι, τὰ προσκαγλύμασι δέρματα.

Ὑ λέες, οἱ ἐν κρήτῃ κυδώνιοι. ¶ Ὑλίας, τοὺς κατὰ πατρίμους τέμνεις. ¶ Ὕλλος, ποταμὸς λυδίας. ¶ Ὕλοργος, στρατὸς περγαῖοι. ¶ Ὕλοι, σπόνδυλοι.

Ὑ λῳ ἰχθυόεντι, ὄνομα ποταμοῦ ἰχθύας ἔχοντι.

Ὑ λομανής, ὁ ταῖς ὕλαις χαίρων. ¶ Ὑλομήτρα, εἶδος σκώληκος. ¶ Ὑλοτόμος, ξυλοτόμος. ¶ Ὑλωρός, ὕλην φυλάσσων. ¶ Ὑμά, ὑμέτερα. ¶ Ὑμεδαπῶν, τῶν ὑμετέρων ἐδάφοις. ¶ Ὑμέναιος, γάμος, ἢ ᾠδὴ ἐπιγάμιος. ¶ Ὑμεναίων, γαμικῶν ᾀσμάτων μέλος ᾠδῆς. ¶ Ὑμένιον. λεπτόν. ¶ Ὑμενώδης λεπτὸν ἀθροειδές. ¶ Ὕμι, εἶδος ἐνδύματος.

Ὑ μέναιος, ἐπίπλοις, καὶ τὸ διαφανές, ἢ τὸ τοῖς γάμοις ἐπαυλούμενον ὑμέναιος, ἀπὸ τοῦ ὁμοῦ ναίειν.

Ὑ μῆς, ὑμετέρας. ¶ Ὑμέττιος, ἀπόλλων ὁ ἐν ὑμηττῷ τιμώμενος. ¶ Ὑμήττιος, ζεὺς παρὰ ἀττικοῖς. ¶ Ὕμμε, ὑμᾶς, ὑμεῖς, αἰολικῶς. ¶ Ὕμμες, ὑμεῖς, καὶ τὰ ὅμοια.

Τ υννοῦν, τὸ μικρόν. ¶ Τυντλάζει ἀνθ' καὶ ἀνθ' λέγε, ἢ πατάττει ἐπιβαίνει πηλοῦ. οἱ δὲ σκάπτειν ἀμπέλους.

Τ υντλὸν, πηλόν. ¶ Τυφλώδης, ὑλώδης. ¶ Τύξιν, τεῦξιν, παρασκευήν. ¶ Τυπάς, σφύρα.

Τ υπάζειν, κόπτειν. τύπαι ἑορτή τις. ¶ Τύπαις, πληγαῖς. ¶ Τύμπανον, ξύλον τι ἐν ᾧ τυμπανίζουσιν.

Τ υμπανίζειον, τὸ τῶν ἁλιέων συμνίον. ¶ Τύπτει, ψοφεῖ, κτυπεῖ, κροτεῖ, πλήσσει. ¶ Τυπείς, πληγεὶς ἐκ χειρὸς ἢ πεσὼν, ἢ τρωθείς. ¶ Τυπῆσαι. πλῆξαι.

Τ ύπης, πλήκτης. ¶ Τυπῆσι, πληγαῖς. ¶ Τυπίας οὕτω καλεῖται τῶν τοῦ χαλκοῦ τις τροχῶν.

Τ υποῖ. πλάττει, γλύφει. ¶ Τύπος, χαρακτὴρ, εἰκών.

Τ υποῦται, πλάσσεται, ἰοῦται, μιμεῖται, ἢ πλάττεται.

Τ υπῶντες, χοροί τινες. ¶ Τυραννοδαίμονα, ἣν οὐκ ἄν τις τύραννον μόνην εἴποι, ἀλλὰ καὶ δαίμονα.

Τ ύραννος, παράνομος βασιλεὺς, ἢ ἄρχων ἀπηνὴς καὶ ἀπάνθρωπος. ¶ Τυρβασία, χορῶν ἀγωγή τις ἢ διθυραμβικῶν. ¶ Τύρβη, θόρυβος ἀγωγὴ ταραχος.

Τ υρβηνός, ἐπίθετον τοῦ ἀπόλλωνος.

Τ ύρβησιν, ἀλέσαι τὸν ἀέρα. ¶ Τυρὴν, τόπος τὶς κλαζομενίων. ¶ Τυρεύεται ταράττει, κυκᾷ.

Τ υρεῦσαι, τὰ αὐτὰ καὶ τυρεύω.

Τ υρικίλοι, αὐλοὶ καλάμινοι. ¶ Τύρις, ὁ περσικὸς χιτὼν, ἢ ποταμὸς ἐκδιδοὺς εἰς τὴν βορυσθένη.

Τ υρόοντα, πλακοῦντα. ¶ Τοροκνῆστις, χῆμα τῶν ἀκολάστων, οἱ δὲ μάχαιραν. ¶ Τυροκομεῖον, τάλαρος ἐν ᾧ ὁ τυρὸς διὰ ἐπιμελείας τυγχάνει.

Τ υρρηνικὰ σανδάλια. κάττυμά τι ὑψηλὸν οὕτω καλεῖται. ¶ Τυρίς, ὁ περίβολος τοῦ τείχους.

Τ υρρηνοί, δεσμοί, οἱ λῃστρικοὶ καὶ χαλεποί.

Τ ύρσις, πύργος, ἔπαλξις, προμαχών. ¶ Τύρσις, τὰ αὐτά. ¶ Τύρσος, τὸ ἐνύψει οἰκοδόμημα.

Τ υρωθέντα. ταραχθέντα, κινηθέντα. ¶ Τύσσει, ἱκετεύει. ¶ Τυτάρυ, ὄργανόν τι, ᾧ χρῶνται εἰς τὴν ἀλοητὸν τοῦ σίτου. ¶ Τύτη, τὸ αὐτόθι. ¶ Τυτθὸν, ὀλίγον, μικράν. ¶ Τυτθὸν, ὀλίγον βραχὺ καὶ μικρόν.

Τ υτώ, ἡ γλαῦξ. ¶ Τυφεδανός, τετυφωμένος.

Τ ύφεται, καίεται, καπνίζεται, φλέγεται, τυφόμενον.

Τ υφόμενον, τὰ αὐτά.

Τ υφείσας, μεμαραμμένας. ¶ Τύφεσθαι. μαραίνεσθαι, ἡσυχῆ ἐκκαίεσθαι. χωρὶς φλογὸς καπνὸν ἐκπέμπειν.

Τ υφίον, ὄρος βοιωτίας.

Τ υφλῖνος, ἰχθὺς νειλώδης καὶ ὄφεως εἶδος.

Τ υφλός, τίθεται καὶ ἀντὶ τοῦ κωφός. ¶ Τυφλότερος ἀσπάλακος. ἔστι τὸ ζῶον οὐκ ἔχει ὀφθαλμούς. ἔχει δὲ ὀδόντας μιαρωτάτους καὶ ῥύγχος ὡς γαλῆς, καὶ πόδας ἄρκου. ¶ Τυφλώνδης, εἶδος ὄφεων.

Τ ύφλων, ὁ ἥρων. ¶ Τύφοι, σφῆνες. ¶ Τύφος, ἀλαζονία, ἔπαρσις, κενοδοξία. ¶ Τυφῶ, ἀντὶ τοῦ τυφῶνος σοφοκλῆς. ¶ Τυφωνεῖ τυφῶνι ἐνὶ τῶν γιγάντων. ¶ Τυφωεὺς, θεός τις γηγενὴς ἐναντιωθεὶς τῷ βασιλεῖ τῶν θεῶν. ¶ Τυφωθείς, ἐπαρθεὶς ὑπερηφανεύσας. ¶ Τυφὼν, ὁ μέγας ἄνεμος, τινὲς δὲ τὰ ἐκ γῆς ἀναθυμιάσεως. ¶ Τύφωνος, πυρώδους δαίμονος. ¶ Τυφῶσαι, πνῖξαι, ἀπολέσαι.

Τ υχάζεσθαι, στοχάζεσθαι. ¶ Τυχεῖν, ἀξιωθῆναι.

Τ ύχη, εὐτυχία. ¶ Τύχε, κατέτυχεν. ¶ Τυχῆσαι, ἐπιτυχεῖν. ¶ Τυχήσας, ἐπιτυχών. ¶ Τυχθείς, κατασκευασθείς. ¶ Τυχθῆναι, γενέσθαι, ἐπιτυχεῖν.

Τ ύχιος, ὄνομα τοῦ κατασκευάσαντος τὴν αἴαντος ἀσπίδα σκυτοτόμου. ¶ Τύχοι, λιθοξοϊκὰ ἐργαλεῖα.

Τ υχὸν, ὡς φθάσει, ὡς λάχοι, ἢ πολλάκις.

Τ υχῶν, ἔνιοι τὸν ἑρμῆν. ἄλλοι δὲ τὸν περὶ τὴν ἀφροδίτην. ¶ Τύχοισιν, τεύχοισιν. ¶ Τύχων πυλῶνα, τὸν ἐσφηνωμένον, τύχους γὰρ καὶ τοὺς σφῆνας καλοῦσιν.

Τ ύψαι, τὸ διὰ χειρὸς πατάξαι, ἢ τρῶσαι.

Τ υψέλη, ὁ ἐν τοῖς ὠσὶ ῥύπος.

Τ ύψον, ἔκχεε, ἐκκένωσον. τρῶσον, δάμασον.

Τ ῶ, οὕτω δωρικῶς, καὶ τούτους, ἢ διατοῦτο ἢ τινί.

Τ ώγε, οὕτω γε. τῶν γῆς, ἐκ τῶν πέρι. ¶ Τωθάζει, χλευάζει, μετὰ κενολογίας σκώπτει, ἐρεθίζει, καταπεκαυχᾶται λοιδορεῖ, θωπεύει. κακολογεῖ. ¶ Τῶκεν, πῶς ἄν.

Τ ῷ κε, τῷ, οὕτω γὰρ ἄν. ¶ Τῷ κε λάχεν, οὕτω γὰρ ἂν ἔλαχον. ¶ Τῶν, τούτων. ¶ Τώνα, ζώνη.

Τ ῶν ἀκραίων, τῶν ἡσύχων. ¶ Τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς, σὺ τὴν ἱκετείαν τούτων μὴ ἀπειθήσῃς ποιήσῃς. ¶ Τῶν δὲ πάροιθε, τῶν πρὸ τούτων. ¶ Τῶν ἐν τέλει, τῶν ἀρχόντων ἐν τῷ δήμῳ. ¶ Τῶν ἀπὸ σκηνῆς, τῶν θεατρικῶν. ¶ Τῶν μοι, ἐκ τῶν μοι.

Τ ῶν οἰνάρων, τῶν ἀπὸ ἀμπέλου φύλλων. ¶ Τῶ νήλιβιον, τὸ κακόδαιμον. ¶ Τῶν ὄπισθεν, ἀντὶ τοῦ ὑπὲρ τούτων. ¶ Τῶν οὔτιων, οὐδαμῶς. ¶ Τῶν ἐκτὸς, τῶν ἔξωθεν. ¶ Τῷ πέλας, τῷ πλησίον. ¶ Τῶν πλωτήρων, τῶν πλεόντων τῶν ναυτῶν. ¶ Τῶν πλέθρων, τῶν πλέθρων. ¶ Τῶν τειχῶν ἐν. θηραμένης ἐψηφίσατο τρεῖς τιμωρίας κατὰ τῶν παρανομούντων. ¶ Τῶπιν, μέτρον δεκαχοίνικον. ¶ Τῷ ῥα. διὸ δή. ¶ Τῶς, οὕτως, ὁμοίως. ¶ Τῷ φύσαντι τῷ γεννήσαντι. ¶ Τῶν χόρτων, τῶν σίτων ὑποστολῶν.

ΑΡΧΗ ΤΟΥ Υ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Υ ΜΕΤΑ ΤΟΥ Α.

Υάδες, τὰ ἐπὶ τοῦ μετώπου κέρατα τοῦ ταύρου τοῦ ἐν οὐρανῷ ἄστρου. εἰσὶ δὲ ἀστέρες ἑπτά, ὧν κατὰ τὴν ἀνατολὴν ὑετὸς γίνεται. ¶ Ὕαινα, τετράπουν ζῶον καὶ ἰχθύς. ¶* Ὑακίζει, οἱ εἰς τὰ αὐχένια.

Υ ακίζει, βρέχει, ἢ ὑετίζει, ὕει. ¶ Ὑακίνθινον, ὑπομελανίζον πορφυρίζον. ¶ Ὑακίνθια, ἑορτὴ ἐν λακεδαίμονι. ¶ Ὑακινθίδες, ἐπώνυμοι ἀπόλλωνος ἀπὸ ὑακίνθου. ¶ Ὑάκινθος, παῖς εἶδος τὸ ὑακινθόχρωμον τὰ ὑακίνθια, εἴρηται δὲ ἀπὸ τοῦ ὑακίνθου.

Υ ακινθίνῳ, τῷ ὑακίνθῳ. ἔστι δὲ ἄνθος μέλαν καὶ μαλακόν. ¶ Ὑαλοῦν, λαμπρὸν ὑαλίζον. ¶ Ὑάλεται σκωληκιᾷ. ¶ Ὑάλη, ὕαλος, βόμβυξ, σκώληξ.

Υ αλῖνος, ἡ ὑαλικός. εἰκαῖος, βλοσυρός. ¶ Ὑάλικος κῶμος, διονύσιος. ¶ Ὑαλκάδαι. χορὸς παίδων λακώνων. ¶ Ὑαλόεν, διαφανὲς, λαμπρόν.

Υ αλὸν. λαμπρὸν, πρᾶον, ἠλίθιον τίμιον. ¶ Ὕελος ὕαλος, βόρβορος. ¶ Ὕαμα, βάθος. ¶ Ὑάμπολις, πόλις φωκίδος. ¶ Ὑάνεος, εἰκαῖος, βλοσυρός: χαλεπὸς, ὕπτιος. ¶ Ὑανέως, τὰ αὐτά.

τιμον. ¶ Τρόστιμον, ὃν ἡμεῖς διεστόσιμον, καὶ τρόστι
μον αὐδρὸς δακτύλιον. ¶ Τροφόεντα, εὐτραφῆ καὶ
μεγάλως αὐξόμενα. ¶ Τρόφις. εὖ τεθραμμένος.
Τ ροφιοῦται, παχύνεται. ¶ Τροφοὶ, ἀντὶ τοῦ θρέμματα.
Τ ροφὸς, νεώτερος διεσπότης, ἡ μήτηρ. ¶ Τροχάδε
σαι, σανδάλια ἀπὸ αἰγείου δέρματος. ¶ Τροχαῖα,
μέσα ἐν κύβοις, ἡ ὁδὸς ὡς ῥινθῶν. ¶ Τρόχαλοι, οἱ ἢ
δὲ περιιόντες. ¶ Τροχαλὸν, τροχαῖον, ταχὺ, ἢ περι
τρέχον. ¶ Τροχαντῆρες, πρὸς τὰ σανδάλια. καλεῖ
ται τὸ πρύμνης μέρος. ¶ Τροχαντὴρ, τὸ τοῦ μηροῦ
κεφαλῆς ἡ ἔξω ἔκφυσις. ¶ Τροχάσας σπεύσας, δρα
μὼν, προλαβών. ¶ Τροχηματεῖ, ἐλαύνει.
Τ ροχιαὶ, αἱ τῶν τροχῶν χαράξεις. ¶ Τροχιάς. περεί
ας ἄγγελος ἀκόλουθος. ¶ Τροχμαλὸν, τὸ πλῆθος
τῶν λίθων, καὶ τὸ ν σωρόν. ¶ Τροχόεν, τροχοειδὲς
στρογγύλον. ¶ Τροχὸς, περιβόλαιον, τεῖχος, ἢ κύ
κλος, ἢ δρόμος. ¶ Τροχόωσαι, τρέχουσαι.
Τ ρόχων, δρόμων καὶ τὰ ὅμοια. ¶ Τρυβλίον, ὀξυβάφιον,
ἢ ποτήριον μυστηρίου. ¶ Τρύγα, οἶνον ἀδιήθητον ἀπὸ
ληνοῦ. ¶ Τρυγαβόλιας εἰς ἃ κάρπους ξηροὺς ἀπὸ τῆ
θύρᾳ. ¶ Τρυγεῖ, ξηραίνει. ¶ Τρύγητος, ὁ καιρός, τρυ
γητής, ὁ τρύγος. ¶ Τρυγέρανος, φάσματι ἐοικώς τι.
Τ ρυγηροὺς, τρυγώδεις, ὀξεῖς. ¶ Τρύγη, ὁ πυρὸς καὶ ἡ κριθὴ
καὶ πᾶς ἄλλος καρπὸς. καὶ ποιὰ βοτάνη. ¶ Τρυγήλα,
τρώγλη. ¶ Τρύγηλος, οἰκοδόμημα μεταλλικὸν
κατασκευαζόμενον. ¶ Τρύγιος, τρυγία οἴνου ἢ ἐλαίου.
Τ ρύγμα, δίπλωμα: ¶ Τρυγοποτάλλειν, παροιμία
ἐπὶ τῶν φαύλως πραττόντων ἀπὸ τοῦ τρύζειν.
Τ ρυγητὴς, ὑλιστήρ. ¶ Τρυγῳδεῖν, κωμωδεῖν.
Τ ρυγὼν, ἰχθὺς θαλάσσιος ἢ τὸ κέντρον δηλητήριον, καὶ
ὄρνις. καὶ ἡ τῶν γυναικῶν μίξις, καὶ σώφροσος.
Τ ρυγῶς, τὰς τρυγῶνας. ¶ Τρύειν, κατατρίβειν, κα
ταπονεῖν. ¶ Τρύζει, γογγύζει. ψιθυρίζει.
Τ ρύζεται, ψιθυρίζεται, λογοποιεῖται, γογγύζεται.
Τ ρυηλὶς, ζῶον, ῥύσις. ¶ Τρυμαλιαὶ, τρύπαι.
Τ ρυμαλιτὶς, ἀφροδίτη. ¶ Τρύνης, ἐφίππιον, σήμεον.
Τ ρὺξ, ὁ νέος οἶνος παρὰ τὴν τρύγην, καὶ γλεῦκος ἀδιήθη
τον. ¶ Τρύζοντα, καταπονήσοντα, ἀνιάσοντα.
Τ ρυπᾶν, τρίβειν. ¶ Τρυπάνη, ἐργαλεῖον τεκτο
νικόν. ¶ Τρυπανίζεται, τρυπάνῳ πλήσσεται.
Τ ρυπίλα, τορύνη. ¶ Τρυσίππιον, τὸν χαρακτῆρα τὸν
ἀπὸ τῆς βουλῆς ἐν ταῖς δοκιμασίαις τοῖς ἀδυνάτοις τοῖς
τετρυμμένοις, ἵνα μηκέτι στρατεύωνται τὸ παλαιὸν
ἐκάλουν τρυσίππιον. τροχὸς δὲ ἦν ὁ ἐπιβαλλόμενος χα
ρακτὴρ τῇ γνάθῳ τῶν ἵππων. ¶ Τρύσκει, τρύχει,
ξηραίνει. ¶ Τρύσις, νόσος πόνος. ¶ Τρυσμὸς, γογ
γυσμός. ¶ Τρυσσὸν, νοσερὸν, λεπτὸν, ἀσθενές.
Τ ρυτάνη, ὁ ζυγός. ¶ Τρύφακτος, ἔνιοι διὰ τοῦ δ. δρύφα
κτος τὸ ξύλον. ¶ Τρυφάλη, περικεφαλαία, τρεῖς ἔχου
σα λαμπροὺς ἀστέρας, ἢ ἥλους. ¶ Τρυφαλίδες ἢ τρυ
φαλλίδες τὰ τμήματα τοῦ ἁπαλοῦ τυροῦ. ¶ Τρυ
φερὸς νέος ἁπαλὸς. ἢ ψιλός. ¶ Τρυφέν. κλασθέν.
Τ ρυφηλοῖς, ἐπιθυμητοῖς. ¶ Τρύφος καλασιρὶς, ἔν
δυμα γυναικεῖον. ¶ Τρύφος κλάσμα ἄρτου, ἢ ξύλον
καταδεδαπανημένον. ¶ Τρυφὴ, γαστριμαργία, πο
λυφαγία ξενικοφαγία: ¶ Τρυφώματα, θρέμματα

ἁπαλοί. ¶ Τρύχειν, φθείρειν, τήκειν καταπονεῖν, κα
κοποιεῖν, κακοπαθεῖν. ¶ Τρυχηρὰ, ῥακώδη.
Τ ρυχίνοις, ῥακίοις. ¶ Τρυχόμενος. καταπονούμενος
ἀνιώμενος, δαπανώμενος. ¶ Τρύχουσι, τρύχουσι
ἐπιτρίβουσι. ¶ Τρώα, ἀρπεδόνη.
Τ ρωγάλια, τὰ τραγήματα λάκωνες. ¶ Τρωγάλι
ον δέρμα, τὰς μελικηρίδας. ¶ Τρῶγας, τρώγλας.
Τ ρώγλας, τρύπας. ¶ Τρωγλοδύται, οἱ εἰς τὰς τρώ
γλας οἰκοῦντες. ¶ Τρωγμὸς, τὸ ἐπιθέσθαι τὴν ὕ
λην τρωγμόν. ¶ Τρώει, τιτρώσκει, δαπανᾷ.
Τ ρῶες, οἱ τὴν ἴλιον οἰκοῦντες καὶ οἱ τὴν τρωάδα χώραν
Τ ρώεσθαι, τραυματίζεσθαι. ¶ Τρωΐζειν, ψιθυρίζειν,
συνουσιάζειν. ¶ Τρωθεὶς, πληγείς.
Τ ρώιοι, ἵπποι ἀπὸ τρωὸς τοῦ ἥρωος, ἢ ἀπὸ τροίας.
Τ ρῶκται, κακοῦργοι. ¶ Τρώκτης, φάγος, ὁ ἀπὸ
πάντων ἐσθίειν καὶ κερδαίνειν βουλόμενος. πανοῦργος
ἀπατεών. ¶ Τρώματα, τραύματα. ¶ Τρω
πάσθαι, περιτρέπεσθαι. ¶ Τρωπάσκετο, ἐτρέπε
το, μετεβάλλετο. ¶ Τρωπασκέσθω, μεταβαλλέ
σθω, ἐπιστρεφέσθω. ¶ Τρωπᾶν, τρέπεσθαι, πείθειν.
στρέφεσθαι, μεταβάλλεσθαι. ¶ Τρωπῶντο, ἐτρέπον
το μετεβάλλοντο: ¶ Τρωπῶσα τρέπουσα τὴν φωνήν.
Τ ρώσας, πλήξας, τοξεύσας. ¶ Τρωτὸς, παθητός.
Τ ρωχῶσι, τρέχουσι. ¶ Τρώχων, ἔτρεχε, ἐκρούνιζον.
ἐστάλαζον. ¶ Τοῦ, σοῦ.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Υ.

Υἱ, ὥσπερ κρῆτες. ¶ Τυβηκτὶς, κακοχόλος.
Τ Τύδε, ἐνταῦθα, αἰολεῖς. ¶ Τυδᾶν, κολω
νᾶν, τυνδαρειδᾶν, κολωνᾶν. ¶ Τυΐγγα, ὀρνιθά
ριόν τι. ¶ Τυκτὸν, κατεσκευασμένον. ¶ Τυκτὸν
κακὸν. τουτέστι μέγα κακόν. ¶ Τυτθὸν, ὀλίγον.
Τ υκτῷ δαπέδῳ. εὖ κατεσκευασμένῳ. ¶ Τύκω. ἐτοι
μάζω. ¶ Τύλαι, αἱ ἐν ταῖς χερσὶ φλύκταιναι, ὡς
περιστά τινα καὶ τοῖς ὤμοις. ¶ Τύλη, ἡ καμήλη
ἀπὸ τοῦ ῥάχεως τὸ ἄκρον δέρμα. ¶ Τύλοι, αἱ ὀχεώ
δεις ἐπαναστάσεις. καὶ τὰ τῶν ἀχθοφόρων ἐπὶ τῶν ὤ
μων τυλώματα. ¶ Τύλον, τὸ αἰδοῖον, οἱ δὲ ξύλον.
Τ ύλος. νενεκρωμένη σάρξ. ¶ Τύλωμα, τύμμα.
Τ ύλαρος, μάνδαλος. ¶ Τυλαρώσας, μανδαλώ
σας. ¶ Τυμβὰς γυνή. τυμβάδας ἔλεγον τὰς φαρ
μακίδας ἀπὸ τοῦ περὶ τοὺς τύμβους διατρίβειν. καὶ τοὺς
νεκροὺς ἀκρωτηριάζειν. ¶ Τυμβογέρων, ἐσχατό
γηρως, καὶ παρηγμένος τῇ διανοίᾳ. ¶ Τύμβος, τά
φος. μνημεῖον. ¶ Τυμβωρύχος, λωποδύτης νεκρῶν.
Τ υμβοχοῆσαι, περιχῶσαι θάψαι.
Τ υμβοχόης, τύμβου καὶ χώσεως. οἷον ταφῆς.
Τ ύμμα. πληγή. ¶ Τύμπανα, τὰ δερμάτινα περι
κτήρια κόσκινα, τὰ ἐν ταῖς βάκχαις κρουόμενα.
Τ υμπανίζεται, πλήσσεται, ἐκδέρεται, ἰσχυρῶς τύπτε
ται. ¶ Τύμπανον, ᾧ αἱ βάκχαι κρούουσιν. ἦν εἶδος
τιμωρίας. ¶ Τυμφαῖον ἔθνος, ἀθηναίων ἔθνος. λέ
γει δὲ καὶ τοὺς ἠπειρώτας. ¶ Τύνη. ἐντυπὰς, πε
σὼν πληγείς. δωρικῶς ἐστὶ σύ. ¶ Τύνη δὲ ἐπίτασις,
σὺ δέ. ¶ Τυννὸς, μικρὸς τηλικοῦτος.

ματίζων. πέμμα ἐν γάμοις γινόμενον καὶ ἐν θιασικοῖς ἀγῶσιν. ¶ Τρίογδον, μέτρον τι παρὰ ταραντίνοις.

Τρίοδος καὶ τρίοδοι πληθυντικῶς. ἰδίως τὰς τρεῖς ὁδοὺς καὶ τρίαινα. ¶ Τριολύμπιον ἅρμα, τὸ ἐκ τριῶν ὀλυμπιάδων ἐζευγμένον. ¶ Τριόπην, τριόφθαλμον. ¶ Τριοπηλὶς. δέσμη σκορόδων. ¶ Τριόπιον ἡ κνίδος, καὶ ἱερὸν ἔνθα ἑορτάζουσιν. ¶ Τριόπιος, τριόφθαλμος. ἔνιοι ζῷον ὅμοιον ἀκρίδι καὶ παρὰ τραχήλιον τρεῖς ἔχον ὀφθαλμοὺς ὑαλοῦς. ¶ Τριόροφα, τρίστεγα. ¶ Τρίορχος εἶδος ἱέρακος. ¶ Τρίοψ, ὁ ὑπὸ τῶν πυθαγορικῶν ἐν δελφοῖς τρίπους. ¶ Τριπαξεῖς, οἱ πρῶτοι γεννώμενοι. ¶ Τρίπεζαν, τὴν τράπεζαν βοιωτοί. ¶ Τρίπλακα, προσεπιπτυχθῆναι δυναμένην, ἐξ οὗ τὴν μεγάλην δηλοῖ δίπτυχον τριπλῆν.

Τριπλῆ τετραπλῆ τε, τριπλασίονα, καὶ τετραπλάσια.

Τρίποδα. λέβητα. ¶ Τρισκελῆ, χαλκία.

Τρίπολον, τὴν τρὶς ἢ πολλάκις μεταβεβλημένην διὰ τὸ ὀροξιάσκως γῆν. ¶ Τρίπολις, εἶδος πέμματος καὶ πόλις. ¶ Τριπονῆται, ἑορτή τις.

Τρίπος, τρίπους. ¶ Τρίπους, λέβης. κρατήρ. ἐχρῶντο δὲ αὐτῷ εἰς τὸ θερμαίνειν ὕδωρ, ὁ δὲ ἐμπυριβήτης ἐστὶν ὁ ἐξ ἑαυτοῦ πόδας ἔχων εἰς τὸ ὑποκαίεσθαι.

Τρίπτηρ, ᾧ τὴν σταφυλὴν τρίβουσιν. ὑπὸ δὲ σικελῶν ὁ δίδυξ. ¶ Τρίπτυχος, τριπλῆ, ἢ πολύπτυχος ἢ τρεῖς ἐπιπτυχὰς ἔχουσα. ¶ Τρὶς ἀντὶ τοῦ πολλάκις. ¶ Τρισαλιτήριος, ἁμαρτωλός.

Τρὶς ἕξ, νικητήριος βόλος, καὶ παροιμία τρὶς ἕξ. ἢ τρεῖς κύβοι. ἐλέγετο δὲ ἀντὶ τοῦ ὑπερόχου ἀπὸ τῶν κυβευτῶν.

Τρισευδαίμων, τρισμακάριστος.

Τρισόλβιος, τρισμακάριστος. ¶ Τριπόλιον, βοτάνη τις. ¶ Τριασὸς, εἶδος ὄφεως. ¶ Τριστάται, οἱ παρὰ χεῖρα τοῦ βασιλέως ἔχοντες ἀνὰ τρεῖς λόγχας.

Τριστοιχεί. ἀντὶ τρεῖς τάξεις. ¶ Τρίττα, οὕτως ἡ κνωσσὸς ὠνομάζετο. ¶ Τριτάτη, τρίτη. ¶ Τριταία παρὰ σόλωνι μὲν πλείστη ἐστὶν τριτύας τὴν κρίσιν. τριτεὺς γὰρ χοίνικος αὐτός. ¶ Τριτηΐδα γενεάν, οἱ ἀπὸ τῆς τριτέων πόλεως κύνοι, ἢ τῆς πλησίον φωκίδος.

Τρίτη θεσμοφορίων, ζητεῖται πῶς ἅμα μὲν λέγει τρίτην θεσμοφορίων εἶναι, ἅμα δὲ μέσην τεττάρων οὐσῶν ἡμερῶν. ¶ Τριτημόριον, οἱ ἓξ χαλκοί.

Τριτημόριον, ἐλέγετο, καὶ ἀντὶ τῶν μοίρας καὶ ἐπὶ νομίσματος ἀργυρίου. ¶ Τριτογένεια, ἡ τὸ τρεῖν ἐγγεννῶσα τοῖς ἐναντίοις.

Τριτογενὴς, ἐπιθετικῶς ἡ ἀθηνᾶ. ἀπὸ τοῦ τρεῖν ἐγγεννᾶν τοῖς πολεμίοις, ἢ διὰ τὸ παρὰ τρίτωνι τῷ ποταμῷ λιβύης ἐμφανισθῆναι. ¶ Τριτοκούρη, ἡ πάντα συντέλεσαι τὰ εἰς τοὺς γάμους. τινὲς δὲ γνήσια παρθένος.

Τριτομηνίς, ἡ τρίτη τοῦ μηνός. ¶ Τρίτη. ἡμιόδραχμον αἱ δύο δραχμαὶ καὶ τριόβολον.

Τριτοπάτορας, ἀνέμους ἐξ οὐρανοῦ καὶ γῆς γενομένους καὶ γενέσεως ἀρχηγούς, οἱ δὲ τοὺς προπατέρας.

Τριτοπηλίς, σκορόδων δέσμη ἀπὸ τοῦ πεπιλῆσθαι καὶ τρὶς ἐστράφθαι. ¶ Τρίτος κρατὴρ, σοφοκλῆς ναυπλίῳ καταπλέοντι, ἐν ταῖς συνουσίαις ἐκιρνῶντο κρατῆρες τρεῖς, καὶ τὸν μὲν πρῶτον διὸς ὀλυμπίου καὶ θεῶν ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον, ἡρώων τὸν δὲ τρί-

τον σωτῆρος. ¶ Τριτοστάτης, ἀριστοφάνης ἐν σκηναῖς, τριττύς. τριάς. ¶ Τριτώ. ῥεῦμα, τρόμος φόβος.

Τριτώ, νίκανδρος ὁ κολοφώνιος φησὶ τὴν κεφαλὴν καλεῖν ἀθαμάνας. ¶ Τριφάσιοι, τριπλάσιοι τρίφωνοι.

Τρίφυλλα, πολύφυλλα, καὶ πόα δέ τις μηδικὴ οὕτω καλουμένη. ¶ Τρίφυλλοι, οἱ καύκωνες. ¶ Τριφυὸν, τριπλοῦν. ¶ Τριχὰ, τριχῶς: ¶ Τριχάϊκες, τριχόθεν ἐλθόντες ἀπὸ βίας. ¶ Τριχάνη, ἡ τρίτη φυλακή. ¶ Τριχαπτὸν, τὸ βαμβύκινον ὕφασμα ὑπὲρ τῶν τριχῶν τῆς κεφαλῆς ἁπτόμενον, ἢ πολύτιμον.

Τριχῆ, εἰς τρία μέρη. ¶ Τρίχηνον τρικόροφον.

Τριχῆ τὸ δὲ αὐτὸ καὶ τὸ τρίχα ἢ τὸ τρίτον μέρος.

Τριχθάδες, αἱ χαλκίδες ἡρακλέων μεμβράδες.

Τρίχοβρος. θηρίδιον, κατεσθίον τοὺς λόφους τῶν περικεφαλαιῶν. ¶ Τρίχορδον, ὄργανον.

Τριχοκόμος, τειχῶν ἐπιμελούμενος. ¶ Τριχοτρῶκται, ζωΰφια. τὰ τὰς τρίχας κατεσθίοντα.

Τριχώδη, ὄργανα πολιορκητικὰ πρὸς χώρησιν ἐπιτήδεια.

Τριχῶς, τριττῶς, ὑπομονητικῶς. ¶ Τριχῶσαι, θάψαι. ¶ Τριψημερεῖν, στρατεύεσθαι καὶ παρέλκειν τὰς ὥρας. ¶ Τριώβελον, τριῶν ἡμιμναίων σταθμός.

Τριώροφα, τρίστεγα. ¶ Τριώλαξ, ἀγὼν παρθένων δρόμου. ¶ Τροία, πόλις τρωΐκη τοῦ ἰλίου.

Τροιζὴν πόλις, ἢ χωρίον ἐν ἄργει.

Τρομέοντο. ἔτρεμον. ¶ Τρόμος, εὐλάβεια, δέος, φυγή.

Τρόνα, ἢ θρόνα ἀγάλματα, ἢ ῥάμματα ἄνθινα.

Τρόνοι, στύππιοι, στήμων, ἀρπεδόνη, ἄτρακτος.

Τρόπα, εἶδος παιδιᾶς καθ' ἣν στρέφουσι τοὺς ἀστραγάλους εἰς τὸ ὕστερον μέρος. ¶ Τροπαγὸς, ὁ ἀπητημασμένος. ¶ Τρόπαια, νικητήρια σύμβολα νίκης.

Τροπαὶ, αἱ δύσεις καὶ αἱ μεταβολαὶ, αἱ φυγαὶ αἱ διώξεις. νομίσματα τινὰ, αἱ μεταβεβλημέναι φροντίδες.

Τροπαλίζει, στρέφει.

Τροπαλισμὸς, μεταβολὴ, καὶ τὸ ἐκ συμβόλων ὑποδέχεσθαι. ¶ Τροπαλὸν, τραχύ. ¶ Τροπίοντο, ἐπάτουν, ἀπὸ τούτου καὶ ὁ οἶνος λέγεται τραπητός.

Τρόπικος, μερὶς τῆς κώπης ὁ τρόπηξ, οὗ ἐπιλαμβάνονται οἱ ἐρέσσοντες, ὥστε ἀπὸ μέρους τὴν κώπην.

Τροπικώτερον, θεωρητικώτερον ἀλληγορικῶς, μεταφορικῶς οὐκ ἀληθῶς. ¶ Τροπῆς ἀποσκίασμα, ἀλλοιώσεως καὶ φαντασίας ὁμοίωμα. ¶ Τροπίας, οἶνος μεταβεβληκὼς καὶ ἔκλυτος. ¶ Τροπὴ, ἀλλοίωσις. ¶ Τρόπις, τὸ κατώτατον τῆς νεώς.

Τρόποι, οἱ ἱμάντες τῶν κωπῶν, ἢ οἱ κατέχοντες τὰς κώπας δεσμοὶ δερμάτινοι, ὅταν ἐλαύνωσιν οἱ τροπωτῆρες. ¶ Τρόποιο τιμὰ, ἀντὶ τοῦ τὸν τρόπον.

Τρόπος, ἦθος, γνώμη. προαίρεσις. ¶ Τροποῦσθαι, ἁρμόζεσθαι, μεταβάλλεσθαι, τρέπεσθαι.

Τροπώσασθαι, τὸ τὴν κώπην πρὸς τὸν σκαλμὸν δῆσαι τῷ τροπωτῆρι, ἢ διὰ μηχανῆς νικῆσαι. ¶ Τροπώσομαι. νικήσω, πλήξω. ¶ Τρούεται, ἰσχναίνεται, τήκεται. ¶ Τροῦροι, δρόμοι, στάδιοι. ¶ Τρουφωνίδαι, εἶδος κροκωτοῦ. ¶ Τροφαλλὶς, τυρὸς μακρός. ¶ Τροφίμη, δέσποινα, ἡ μήτηρ. ¶ Τροφὶς χάραξ, σκώληξ. ¶ Τρόφι, τεθραμμένον, μέγα πολλόν τε. τρόφι κῦμα. γέγονε δὲ κατὰ ἀποκοπὴν τοῦ τρό-

τῶν τὰς κατευφημίζουσιν. ¶ Τράφαλλος, ὁ χλωρὸς τυρός, οἱ δὲ τραφαλλίδα καὶ τροφαλλίδα.

Τ ράφον, ἔτραφησαν. ¶ Τραφερὰν. ξηρὰν, τὸ ἐπὶ τὸ πῆξαι, θρέψαι λέγεται. ¶ Τραφερόν, πηκτόν, τρόφιμον, λευκόν, ξηρόν, πεπηγμένον. ¶ Τράφεται, πήγνυται.

Τ ράφηξ, χάραξ, σκόλοψ ἔνιοι δὲ τὸ δόρυ ἄλλοι τὸ ἐπὶ νεὼς χεῖλος. ¶ Τραφερά, ξηρά. ¶ Τράφος, τάφρος. ¶ Τράχε, πορεύου. ¶ Τραχὶν, ὁ νῦν ἡράκλεια καλουμένη. ¶ Τραχηλιάσας, ἐναυτιωθεὶς ἀπειθήσας. ¶ Τραχηλιῶ, ὑψῶ αὐχένα.

Τ ράχηλος, αὐχήν. ¶ Τραχὺς, σκληρός.

Τ ραχήλοις, τὰς πορφύρας. ἔνιοι τοὺς σπονδύλους τῶν κογχυλίων. ¶ Τρεῖς, οἱ κριταί. ¶ Τρεῖν, φοβεῖσθαι φεύγειν. ¶ Τρεῖς ἕκαστον ἀΰσας. τρεῖς ἕκαστον φωνήσας καὶ ἀνακαλεσάμενος. ἔθος γὰρ ἦν τῶν ἐπὶ τὸ ἄλλο δαπανῶν τεθνηκότων τὰς ψυχὰς μετακαλεῖσθαι καὶ τὰ ἐν ἀπόπλοιοιν. ¶ Τρεῖς θεοί, παρὰ σόλωνι ἐν τοῖς ἄξοσιν ὅρκῳ τέτακται, ἔνιοι κατὰ τὸ ὁμοειδόν. ¶ Τρέμενα, ἡλικία. ¶ Τρέπει, μεταστρέφει. ¶ Τρέπεται, ἀλλάσσεται μεταβάλλεται. ¶ Τρεπόντων, ἐπιστρεφόντων. ¶ Τρεπτότηρος, ζοπῆς. ¶ Τρέπω, διώκω ἢ φεύγω. ¶ Τρέσαι, φυγεῖν φοβηθῆναι. ¶ Τρεσάντων, φοβηθέντων. ἢ διὰ σιγῆς φθεγγομένων. καὶ τρέσαντες ὁμοίως. ¶ Τρέστης, δειλός. ¶ Τρέφειν. ἔχειν τὰ γύναια. καὶ τρέφεται ὁμοίως. ¶ Τρέχειν, ἀγωνίζεσθαι. ¶ Τρέχνος, στέλεχος. κλάδος φυτόν. βλάστημα. ¶ Τρέψαν, μετέβαλλον. ¶ Τρέψειαν, νικήσειαν. κατατάξειαν. ¶ Τρέψομαι, ἔξω πορεύσομαι δι' ἀόξεω. ¶ Τρογαλέον, διερρωγότα. ¶ Τρήματα, τρυπήματα. ¶ Τρηματικτάς. κυβευτάς. ἀπὸ τῶν ἐν τοῖς κύβοις τρημάτων. ¶ Τρηρὸν ἐλαφρὸν δειλόν, ταχύ πλοῖον μικρόν. ¶ Τρήρων δειλὴ περιστερά, ἀπὸ τοῦ τρεῖν, ὅ ἐστι φοβεῖσθαι. δειλὸν γὰρ τὸ ζῶον καὶ ταχύ. ¶ Τρηρώνων, περιστερῶν.

Τ ρήρωσι, περιστεραῖς. ¶ Τρήρωνα. δειλὴν ἀπὸ τοῦ τρέμειν. ¶ Τρητοὶ λόβοι, τὰ ἄλοβα. τὰ γὰρ ἐνώτια ἐλλόβια διὰ τὸ ἐν τοῖς λοβοῖς ἐνίεσθαι. ¶ Τρητοῖο λίθοιο, εἰώθασιν ἐπὶ τῶν λιμένων τρυπᾶν λίθους ἵνα δι' αὐτῶν τὰ ἀπόγεια σχοινία διαπλέωσιν οἱ ναῦται.

Τ ρητοῖς ἐν λεχέεσσι. τοῖς κατὰ τὰς ἁρμογὰς τετρημένοις, ἢ ἱμάντα. τοῖς ἱμᾶσι γὰρ ἐνετείνοντο αἱ κλῖναι ὡς καὶ τὰ βάθρα. ¶ Τρητοκουρίτας, γνησίας γυναῖκας, οἱ δὲ παρθένους. ¶ Τρητὸν ἔλαιον, διὰ τὸ κοίλωμα ἔχειν τὸ μὴ ἄγριον ἔλαιον. ¶ Τραχαλέω, τραχεῖ

Τ ρηχεῖα, τραχεῖα, πολλὰς ἐξοχὰς ἔχουσα. ¶ Τρηχεῖαν, τραχεῖαν, καὶ τὰ ὅμοια. ¶ Τρηχὺ νόημα. σκληρὸν νοῦν. ¶ Τρία, κατὰ τοῦ πολλοῦ ἐστι προστίθεται.

Τ ρία θηραμένοις, ἄντικρυς τὰ τοῦ θηραμένοις ἐπιζήμια ἐκτέθηκεν. ¶ Τρίαινα, δόρυ, τρεῖς ἔχον ἀκμάς.

Τ ριακατίηρον, ἀντὶ τοῦ ἀροφιοῦντες.

Τ ρία καὶ δύο, ἐπὶ κράσεως ποτοῦ. δύο δὲ εἰσὶ κράσεις, τρεῖς μὲν ὕδατος πρὸς ἕνα, οἴνου δὲ μία καὶ πέντε ὕδατος πρὸς δύο. ¶ Τριακάς, ἡ τριακοστὴ τοῦ μηνός, καὶ σύστημά τι τῶν πολιτῶν.

Τ ριακάτιοι. οἱ εὔφημοι καὶ τὸ σύστημα αὐτῶν.

Τ ριάκις, ἀντὶ τοῦ τρὶς λάκωνες.

Τ ριάκοντα, οὕτως ἐχειροτονοῦντο δικασταὶ ἀθήνησιν, οἵτινες ἐζημίουν τοὺς μὴ παραγινομένους τῶν πολιτῶν εἰς τὴν ἐκκλησίαν. ¶ Τριακόντοροι, πλοῖα ὑπὸ τριάκοντα κωπηλατούμενα.

Τ ριάντες, πόρνη λαμβάνουσα τριάκοντα. ὅ ἐστι λεπτὰ εἴκοσι. ¶ Τριάξ, τριακάς. ¶ Τριάς, στιχόρου, ἔθος ἦν πολλοὺς ποτὲ ᾄδεσθαι ὡς καὶ τὰ ὁμήρου.

Τ ρίβακον, ἱμάτιον. ¶ Τρίβαλλοι, συκοφάνται, οἱ δὲ τοὺς θωπευτικῶς ἐν τοῖς βαλανείοις διατρίβοντας καὶ ἐπὶ τὰ λίπη ἑαυτοὺς καλοῦντας.

Τ ρίβανον, λήκυθον. ¶ Τριβή, διατριβὴ ἢ βραδυτής.

Τ ρίβολα, στρεπτά, στωμύλα.

Τ ρίβολοι, ἀκάνθης εἶδος ὅθεν καὶ τὸ τοῖς ἵπποις ἐν τοῖς χαλινοῖς ἐντιθέμενον. ¶ Τρίβολον, ἄκοντα τριαιναν. ¶ Τρίβοντες, λειοῦντες, ἢ φανερὰν ποιοῦντες, ἢ λείαν. ¶ Τρίβος, ἀτραπός. ὁδός.

Τ ριβοῦνος, ἔμπειρος. ¶ Τρίβος, ὁδός. ¶ Τρίβων στολὴ ἔχουσα σημεῖα ὡς γάμμα. ¶ Τρίβωνα, στολισμόν. ¶ Τριβώνιον, πάλλιον, περιβόλαιον.

Τ ριβωνοφόρος, ὁ φορῶν στολήν.

Τ ρίγανον, εἶδος μέτρου παρὰ τοῖς γεωμέτραις.

Τ ρίγλα, ἰχθὺς θαλάσσιος καὶ τόπος τίς. ¶ Τριγλήνα, πολυθεάματα, γλῆναι γὰρ οἱ ὀφθαλμοί.

Τ ρίκοκκα, τριόφθαλμα πολυειδῆ. ¶ Τριγλίζειν, κατὰ μίμησιν ἐπὶ τῶν γελώντων. ¶ Τριγλήνας, διμόρφους ὀφθαλμούς. ¶ Τριγκῶσαι ἢ θριγκῶσαι φράξαι. ¶ Τριγλώχινι, τριγώνῳ, τρεῖς γωνίας ἔχοντι. ¶ Τρίγονοι, τρίτην γενεὰν ἐπιδόντες ἢ οἱ τρεῖς. ¶ Τρίγωνον, εἶδος ὀργάνου ψαλτηρίου, ἢ φυτὸν ἐν αἰγύπτῳ. ¶ Τριγός, τρυγών. ¶ Τρίζει, φωνεῖ. Τριγχός, περίφραγμα. στεφάνη. τειχίον.

Τ ρίζουσα, φωνοῦσα λεπτόν τι. ¶ Τρίζωος, τρεῖς γενεὰς διήγαγε. ¶ Τριήμβρος, θεσμοφόρεια ὑπὸ λακώνων. ¶ Τριημιολία, ναῦς μακρὰ ἀνθ' κατασκευάσματος. ¶ Τριήραρχος, τριήρους ἄρχων ἤτοι πλοίων πολεμικῶν. ¶ Τριήρεις, πλοῖα πολεμικά.

Τ ριήρης, ἔξω ἐπὶ νεὼς καὶ ῥοτόν τι ἔκπαμα.

Τ ρίηρον, πλοῖον μικρόν. ¶ Τριήρ. ὁ νόμος τριήραρχος. ¶ Τριθαλλίαι, μεγάλως τοῦ θάλλειν αἰτίαι.

Τ ρικαρπον, τριετῆ. ¶ Τρίκκη, πόλις θετταλίας.

Τ ρίκκος, ὀρνιθάριον καὶ βασιλεὺς ὑπὸ ἠλείων.

Τ ρικόλυβον, νομισμάτιόν τι. ¶ Τρικόνητος, ὁ πολλάκις ἀπολέσθαι ἄξιος καὶ καταχωσθῆναι.

Τ ρικόρινθος, ἀνδρεῖος ἔρως. ¶ Τρικότυλος οἶνος, οὗ τρεῖς κοτύλαι ὀβολοῦ πωλοῦνται. ¶ Τρίκορος, ὁ ἐπὶ τρία ἔτη κεκαθαρμένος χειός, ὁμοίως καὶ ὁ μὴ κεκαθαρμένος. ¶ Τρίκτειρα ἢ τριττύα θυσία ἐνυαλίῳ. θύεται δὲ πάντα τρία καὶ ἐνόρχα.

Τ ρικτύα, τριάδα, ἔνιοι θυσία κάπρου χειροῦ ταύρου.

Τ ριττύς. μέρος φυλῆς. ¶ Τρίκυζα, πολλῆς διόρθωσι λιτανείας. ¶ Τρικυμία, ζάλη. ¶ Τρίλλιστος, πολυλιτάνευτος. ¶ Τρίμηνοι, πυροί, οἱ καὶ σητάνιοι λεγόμενοι. ¶ Τρίμιον, τὸ ἀνάπαυστον ἱμάτιον.

Τ ριμίσκον ἱμάτιον ἀσύνθετοι. ¶ Τριταγωνιστής, ὁ τρίς ἀγωνιζόμενος. ¶ Τριμίτινα, ὑφάσματα τρίμιτα.

Τ ρεμέ, φοβεῖταί με. ¶ Τρίμμα, ὁ ἄργος

Τ ὁ προμηθεὺς, τὸ προνοητικόν. ¶ Τὸ προσηχὲς, τὸ ἐγ-
γύς. ¶ Τὸ πρῶτον, τὸ πρεσβύτατον. ¶ Τὸ πυργί-
οις ἐμπνευσμοῖς. ¶ Τὸ ῥᾶ, ὅπερ δή. ¶ Τόρβη-
λος, μεμψίμοιρος. ¶ Τόργιον, ὄρος ἐν σικελίᾳ, ὅπου
νεοττεύουσιν οἱ γῦπες, ἀφ' οὗ καὶ αὐτοὶ τόργοι.

Τ ὄργος, εἶδος γυπὸς αἱμαρρόφου, ἔστι δὲ καὶ ὁ γὺψ πα-
ρὰ σικελιώταις. ¶ Τορεῖν, τρῆσαι, τρῶσαι, τεμεῖν.

Τ ορελλὴ, ἐπιφώνημα θρηνητικὸν, ἐν αὐλῷ θρακικόν.

Τ ορκιμὸν, τὸ βαρὺ καὶ μισητόν. ¶ Τόρμη, εὐθὺς δρό-
μος κατὰ τέχνην καὶ τροφὴ ἐν συμποσ. ¶ Τορμὶς
ἡ δέσποινα. ¶ Τόρμος, ἡ τρύπη τοῦ τροχοῦ εἰς ἣν ὁ ἄ-
ξων. ¶ Τορνεύει, γλύφει. ¶ Τορνεύεται, γλύφεται.

Τ όρνος, ἐργαλεῖον τεκτονικὸν ᾧ τὰ στρογγύλα σχήματα πε-
ριγράφεται. ¶ Τορνῶσαι, περιγράψαι κυκλῶσαι.

Τ ορνώσας, περὶ κύκλῳ περιγράψας. ¶ Τορνώσομαι δὲ
πρὸς μέτρον, ἀντὶ τοῦ περιγράψομαι. ¶ Τὸ ῥόθιον,
τὸ κῦμα. ¶ Τορὸν, λιθικὸν σκεῦος ἢ μεγαλόφωνον.

Τ ορόνος, τέρνος ταραντῖνοι. ¶ Τόρος, ἐργαλεῖον φρέ-
ωρυχικόν. καὶ εἰς ὃ ὁ στυλεὸς ἐμβάλλεται.

Τ ορόν τι, ὀξύ. ¶ Τορῷ, ἐργαλείῳ. ὀξεῖ. ἀκριβεῖ τρα-
νῷ ἰσχυρῷ μεγάλῳ. ¶ Τόῤῥα, ὅπερ δή.

Τ όρτορα, τῶν κεραμέων περιμήκης πυθμήν.

Τ ορτυρόμενον, νιφόμενον. ¶ Τορύνη, στρωτῆρές τι.

Τ όσα καὶ τόσα, ἢ τοσαῦτα. ¶ Τὸ σέλας, ἡ ἔκλαμψις.

Τ ὸ σίνεσθαι, τὸ βλάπτεσθαι. ¶ Τὸ σκάφος, τὸ πλοῖον

Τ όσον, τοσοῦτον, τηλικοῦτον. λέγεται καὶ ἐπὶ θαυμα-
σμοῦ. ¶ Τὸ σὸν μένος, τὴν σὴν ὀργήν.

Τ οσοῦτον, ὅλον ἐστί. ¶ Τὸ σκῖς, τὸ ἄλευρον.

Τ όσῳ μᾶλλον, ὅσῳ πλέον. ¶ Τὸ τάχος, συντόμως.

Τ ότε μοι χάνοι εὐρεῖα χθὼν, εὐρὺ καὶ μέγα μοι χάσμα
γῆς γένοιτο, ἵνα με δέξηται. ὅπερ ἐστὶν ἀποθάνοιμι.

Τ ὸ τεῦχος, τὸ σκεῦος. ¶ Τὸ τηνικαῦτα, τὸ τότε.

Τ ὅ τι, διατί. ¶ Τοῦ, ἄρθρον προτακτικόν.

Τ οῦ δὲ πολλοὶ ἀπὸ συνθῆρες ἵενται, τοῦ καλουμένου κομή-
του ἀστέρος. ¶ Τοῦμα, στόμα. ¶ Τοὐμοῦ, τοῦ ἐμοῦ.

Τ οῦ μὲν φανὲς, φανερόν. ¶ Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ
δ' ἱσταμένοιο, τὴν τριακάδα λέγει. ὃν μῆνα ἔχειν
φησὶ ἡμέρας εἰκοσιεννέα. ὥστε τὴν τριακάδα μέρος
ἔχειν καὶ τοῦ παρῳχηκότος, καὶ τοῦ ἐπιόντος μηνός.

Τ οὔμπαλιν, τὸ ἐναντίον, ἀνάπαλιν, ἔπειτα πάλιν.

Τ οὕνεκα. τοῦ τούτου χάριν τούτου ἕνεκεν. ¶ Τονὴ, σὺ
λακωνικῶς. ¶ Τοῦ παντὸς ἀξιόλογον, τοῦ παντὸς τί-
μιον. ¶ Τοὔργον, τὸ ἔργον κατὰ συναίρεσιν τῶν φωνη-
έντων. ¶ Τοὔρθρον, τὸ ἄρθρον. ¶ Τοὺς, ἄρ-
θρον προτακτικὸν, καὶ ἀντὶ τοῦ οὓς καὶ ἀντὶ τοῦ τούτους.

Τ ουσοὶρ, φύσκη πλέρης κρημνῶν στέατος αἵματος.

Τ οὺς ἐμβόλους, τὰ ἔμβολα τῶν νεῶν καὶ ἐπὶ τῶν θηλει-
ῶν. ¶ Τοὺς ἐν τέλει. τοὺς ἐν τιμῇ καὶ ἀρχῇ.

Τ οὔσχατον, τὸ ἔσχατον καὶ μέγιστον.

Τ οσάκις, τοσαυτάκις, ὅσπερ ἐστίν.

Τ ουτὶ, τοῦτο. ¶ Τοῦτις, ὁ κόσσυφος.

Τ οῦτο μὲν, ποτὲ μέν. ¶ Τοὔπίσιον, τὸ πρότερον καὶ
ἔσχατον. ¶ Τούτῳ, ἐντεῦθεν λακωνικῶς.

Τ οῦφος, τάφος. ¶ Τόφρα. ἐν τοσούτῳ. ἕως τούτου καὶ
αὐταποδοτικὸν τοῦ χρόνου, ἢ ἄχρι, ἢ ἕως, ἢ ἵνα.

Τ όφρα δὲ, τηνικαῦτα δέ.

ραγαλέον διεῤῥωγότα. ¶ Τραγᾶν, οὕτω τὸ
Τ ἀκαρπεῖν τινὰς τῶν γεωργικῶν. οἱ δὲ μεθ' ὧν νό-
σον καὶ τῆς φωνῆς τὸ πάθος. ¶ Τράγαι αἰολεῖς
οὕτω λέγονται ἀπὸ λίμνης, ἢ καλεῖται τράγη. ¶ Τραγέ-
σαι, οἱ ἅλες οἱ ἀπὸ λέσβου. ¶ Τραγεῖον, πόας εἶδος

Τ ράγη, πεπληγμένη, πήγνυμι, σφραγιδοφόροι αἱ κόραι διὰ
νόσου ὀργάζουσαι τραγᾶν περιέπουσι. ¶ Τραγίζειν, τὸ
τραγᾶν τῇ φωνῇ τοὺς ἀκμάζοντας τῶν παίδων.

Τ ραγικὰ, τραγῳδῶν ᾄσματα. ¶ Τραγικὸν πάθος, με-
στὸν συμφορᾶς. ¶ Τραγικὸς πίθηκος, παροιμία ἐπὶ
τῶν παρ' ἀξίαν σεμνυνομένων. ¶ Τραγισταὶ, οἱ τὰ
ἱερεῖα κλέπτοντες. ¶ Τραγοπώγων, πόας εἶδος.

Τ ράγοις, σατύροις, διὰ τὸ τράγων ὦτα ἔχειν. ¶ Τρα-
γῳδεῖν, χορεύειν. ¶ Τραγῳδία, χορεία κωμῳδία.

Τ ραγῳδὸς, χορευτὴς κωμῳδός. μιμητής. ¶ Τράλ-
λεις, οὕτως ἐκαλοῦντο μισθοφόροι θρᾷκες τοῖς βασι-
λεῦσιν, οἱ τὰς φονικὰς χρείας πληροῦντες.

Τ ραλλὸν, πικρόν. ¶ Τράμις, τὸ ῥῆμα τῆς ἕδρας ὁ ὄρος
τινὰς ἔντερον, οἱ δὲ ἰσχίον. ¶ Τράμπις, ναῦς ἄκα-
τος, πορθμίς. τινὰς πλοῖα βαρβαρικά. ¶ Τρανὲς,
σαφές. ἀληθές. ¶ Τρανίαν, αὐλὴν ἐν ᾗ ὁ μενέλαος

Τ ρανιψοὶ, ἔθνος θρᾴκιον. ¶ Τρανὸς, σοφὸς ἀληθής.

Τ ρανὸν, ἑξαμηνιαῖον πρόβατον. ¶ Τράπε, ἔτρεψεν.

Τ ραπέζεες, οἱ περὶ τὰς τραπέζας λιχνεύοντες. καὶ οἱ
ἐπιτραπέζιοι καὶ οἰκουροὶ, λύσις ἐστὶ τοῦ στόματος συνε-
χείας κατὰ μικρόν τι μέρος τῆς συναφείας διακο-
πείσης. ¶ Τραπεζίας, περὶ τῇ τραπέ-
ζῃ τρεφομένοις. ¶ Τραπέζιον, περὶ τοῖς γεωμέ-
τραις, σχῆμα, τὸ τὰς μὲν δύο πλευρὰς ἀπεναντίας
πρὸς ἀλλήλας ἔχον ἀνίσους, τὰς δὲ ταύτας ἐπιζευ-
γνυούσας ἴσας. ¶ Τραπεζεὺς, παράσιτος ἄκλητος.

Τ ραπεζίτης, κολλυβιστὴς, κερματιστὴς, δανειστής.

Τ ραπεζοποιὸς, οὐχ ὁ μάγειρος, ἀλλ' ὁ ἐπὶ πάσης περὶ
τὰ συμπόσια παρασκευῆς ἐπιμελούμενος.

Τ ραπεζὼν. ἱέρειά τις ἀθήνησιν. ¶ Τραπεζίτην πα-
ρὰ, τὸν παραβάντα τὴν τράπεζαν, καὶ ἀτιμάσαντα τὸν
μενελάου. ¶ Τραπείομεν. τέρφθωμεν. ¶ Τραπε-
λιζόμενος ἢ τροπαλιζόμενος συνεχῶς ἀναστρεφόμενος

Τ ραπένου πάλιν, ἐνηλλαγμένως, ἢ παρηλλαγμένως.

Τ ραπέοντο, ἐπατοῦντο παρὰ τὸ τροπὸν λαμβάνειν τὸν βό-
τρυν πατηθέντα. ¶ Τραπέουσι, πατοῦσιν ἐπὶ τῶν
ληνῶν. ¶ Τράπηκι, δέρατι. ¶ Τραπεῖν, λιμοπα-
τεῖν. ¶ Τραπῆναι, στραφῆναι, πεισθῆναι.

Τ ραπητὸς, ὁ οἶνος. ¶ Τραπημένοις, τετραμμένοις.

Τ ράποντο, εἰς φυγὴν ἐτράποντο. ¶ Τραπῶ, ἀπέλ-
θω. ¶ Τραυρὸν, τραχύ. ¶ Τρασιὰ, ἡ τῶν σύκων
ψύκτρα παρὰ τὸ τερσαίνειν, ἤγουν τόπος ἔνθα ξηραίνου-
σιν αὐτά. ¶ Τραγικόν. θρηνητικὸν, λυπηρόν.

Τ ραυλίζει, ψελλίζει. ¶ Τραυλὸν, ἡδὺ λεπτόν.

Τ ραυλὸς, ψελλὸς, τὴν γλῶτταν βεβλαμμένος.

Τ ραῦμα, πληγὴ, ἕλκος, μώλωψ.

Τ ραυματίαι, σφαγαὶ τετρωμένοι. ¶ Τραυσάνον,
ξηρὸν πᾶν, ὁ φρύγανον. ¶ Τραυσὸς, ἔθνος σκυθι-
κόν. οἳ τοὺς μὲν γεννωμένους ἀτιμάζουσι, τοὺς δὲ τελευ-

ΤΟ Τ ΜΕΤΑ ΤΩΝ Λ ΚΑΙ Μ.

λᾶθι, ὑπόμεινον. ¶ Τλαπαθὲς, ταλαίπωρε.
τ λὰς, ὑπομείνας, ὁ τολμήσας. ¶ Τλασίφρονα ὑπομονητικόν. ¶ Τλῆθα, ὡραῖα κορμῶσαι.
Τλήθυμος, ἰσχυροκάρδιος. ¶ Τλήμων, ὑπομονητικός. ¶ Τλημαθεῖν, ταλαιπωρεῖν. πονεῖν. ¶ Τλημόνως, ἐλεεινῶς. ¶ Τλῆναι, ὑπομεῖναι, τολμῆσαι, παθεῖν. ¶ Τληπάθεια, ὑπομονὴ, ταλαιπωρία.
Τληπαθὴς, ὑπομονητικός, ¶ Τλῆσις, τόλμα θράσος
Τλησίπονος, τολμηρὸς, καρτερικός. ¶ Τλῆτε, ὑπομείνατε. ¶ Τλητικῶς, ὑπομονητικῶς. ¶ Τλητῶν, ὑπομονητικῶν. ¶ Τμάγεν, διεχωρίσθησαν. διέστησαν, ἐτμήθησαν, ἐσχίσθησαν. ¶ Τμάριον, ὄρος ἀρκαδίας. ¶ Τμάριος, Ζεὺς ἐν Δωδώνῃ.
Τμήγας, γατόμος ἀροτήρ. ¶ Τμῆγος ἀρότρου, βοῦ τμῆμα. ¶ Τμήδην, τμητικῶς, τομῶς, ταχέως, ἀποκεχωρισμένως. βέλτιον δὲ ὅσον ἐπιτεμεῖν καὶ οὐκ εἰς βάθος δῶσαι. τμήδην αὐχέν' ἐπῆλθεν.
Τμηθῆσαι, κοπῆσαι, ¶ Τμηθῆναι, κοπῆναι. ¶ Τμῆξαι, τεμεῖν λαβεῖν, ¶ Τμῆξαι, τὰ αὐτά.
Τμηδὸς, τμῆμα. ¶ Τμῶλος, ὄρος καὶ ποταμός.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Ο.

ὸ, τὸ ἄρθρον, οὐδέτερον προτακτικόν, ἢ τὸ μὲν
τ ἥμισυ οἰνοπέδιο. καὶ ἀντὶ τοῦ τοῦτο. τὸ μὲν οὐ ποτὲ φύλλα καὶ ὄζους φύσει. ¶ Τοάκης, χιτὼν χιτός. ¶ Τόβλικος, κρουματίου μίμησις. ¶ Τόγε ἧκον, ὅσον δυνατόν. ¶ Τοιέρα, μοιχός, λαλαχός.
Τὸ δ' αὐτό. τὸ ἀνὰ δὲ ὁμοίως δέ. ¶ Τὸ δῖν, τὸ δῖον.
Τὸ δήϊον, τὸ πολέμιον. ¶ Τέδ' ἱκάνεις, ἔνθαδε ἥκεις.
Τὸ ἐνστόματον, τὸ μετὰ στόματος. ¶ Τὸ ἠλύσιον, ὁ παράδεισος. ¶ Τὸ ἤνυστρον, μέρος τῆς κοιλίας τῶν μηρυκωμένων. ¶ Τόθε, πρασιάς. ¶ Τοί, οὔτοι. καὶ σύνδεσμος παραπληρωματικός. ¶ Τοῖα, τοιαῦτα, τοιάδε.
Τοιγὰρ, τοιγαροῦν σύνδεσμος. ¶ Τοιγαροῦν, ὅθεν δὴ, ἢ οὐκοῦν. ¶ Τοιγάρτοι. καὶ δὲ, τοιγάρτοι. ¶ Τοιδέγε ἐκεῖνοι δὲ ἢ αὐτοί γε, ¶ Τοιθορύκτεια, ἡ τοὺς σεισμοὺς ποιοῦσα. ¶ Τοιθορύσσειν, σείειν. ¶ Τὸ ἱερὸν, τὸ θεῖον.
Τοικέν, οἵ τινες ἄν. ¶ Τοῖν, τί ποτε κρυπτόν.
Τοίνυν, λοιπόν. ¶ Τοινισαφράσαι, ἀγγεῖλαι, εἰπεῖν.
Τοῖν, τούτοιν ἢ αὐτοῖν. ¶ Τοῖον, τοιοῦτον, οὕτως ἀπαθόν· τοῦτο. τάσσεται δὲ ἐπὶ θαυμασμοῦ. ¶ Τοιοῖς δὲ, τοιούτοις δέ. ¶ Τοίγαρ. οἵ τινες δή. ¶ Τοῖς. τούτοις.
Τοῖσι. τοῖς σοῖς, ἢ ἑαυτοῖς, ἢ ἐν τούτοις. ¶ Τοῖς τῆδε, τοῖς ἐνθάδε. ¶ Τοῖς τυχοῦσι, τοῖς ἐντυγχάνουσι.
Τοιχοδιφήτωρ, τοιχωρύχος. ¶ Τοῖχος, τῶν πλοίων ἡ πλευρά. ¶ Τοιχωρύχος, λῃστὴς κλέπτης. ¶ Τοίως, ἰσχυρῶς, καλῶς, ἀκριβῶς. ¶ Τοκάδες, ἔγκυοι.
Τή, κεῦ, δόκευ. ¶ Τὸ κατὰ γᾶς, ξίφος, θηρίδιον, σκηλητένδρῳ ὅμοιον. ¶ Τοκέες, πατέρες. γονεῖς.
Τοκεῦσι, γονεῦσιν, ἐγγόνοις. ¶ Τοκέων, γονέων.
Τόκος, γένεσις. ¶ Τὸ κρήγυον, τὸ ἀληθές.
Τὸ κῦρος, ἡ ἐξουσία ἡ δεσποτεία. ¶ Τόκα, τότε.
Τὸ λαιὸν, τὸ ἀριστερόν. ¶ Τολέασσευσεν, εἰργάζετο.
Τολμῆσαι, καρτερῆσαι. ¶ Τολμητίας, προπετὴς, αὐθάδης, ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν ἐπιχειρῶν.

Τόλυξ, αἰδοῖον. ¶ Τὸ λοβὸν, τὴν ἀρχὴν τοῦ ὠτός.
Τολύπαι, τὸ κατασκευασόμενον ἔριον. ¶ Τολυπεύειν, ταλαιπωρεῖν, μοχθεῖν στρέφειν, μηχανᾶσθαι, ἐργάζεσθαι.
Τολύπευμα, τὸ κατασκευαστὸν ἔριον. ¶ Τολυπεύσας, κατορθωσάμενος. ¶ Τολύπευσεν, ἐξειργάσατο.
Τολυπευτικώτατος, ἐργαστικώτατος, ἐπιτελεστικώτατος
Τολύπη, τὰ προφυράματα τῶν μαζῶν ἃ καὶ βύεικας καλοῦσιν, καὶ ἀπαθίδιον στήμονος, ἢ ῥοδάνης.
Τόμαρος, τὸ ἐν Δωδώνῃ ὄρος καὶ προφήτης καὶ ἱερεὺς καὶ θύτης καὶ μάντις. ¶ Τομεταξὺ, τηνικάδε.
Τὸ μελάνδρυον, τὸ μέσον τοῦ ξύλου διὰ τὸ εἶναι εὔτονον τοῦτο τὸ μέρος. ἄλλοι δὲ δασπίλαντες τὸ μέλαν δρυὸς εἰς δύο μέρη λέγουσιν ἀποδεδώκασι τὸ μέλαν ἐπὶ δρυὸς μέρος μέλαν εἶναι καὶ ἄσηπτον διαμένειν. ¶ Τομεύουσι, τέμνουσι. ¶ Τομεὺς, τμήτης, ἤγουν ὁ τέμνων.
Τομὴ, ἡ ῥίζα ὅθεν ἐτμήθη καὶ ἡ πληγὴ τοῦ ξίφους.
Τομία, τὰ ἀποτμήματα καὶ ἀκρωτηριάσματα τοῦ νεκροῦ. οἱ δὲ τὰ ἱερὰ ἃ σφάζοντες ὀμνύουσιν.
Τόμοι, ῥυτόμοι. ¶ Τόμος, χάρτης, ἢ ὁ τέμνων.
Τόμουροι, προφῆται, ἱερεῖς. οἰωνοσκόποι, διάκονοι.
Τομώτερος, ὀξύτερος, δυνάμενος τέμνειν.
Τὸν, ἄρθρον ἀρσενικὸν προτακτικὸν πτώσεως αἰτιατικῆς, ἢ τοῦτον, ἢ ὅν τινα. ¶ Τοναία, φωνὴ στάσις.
Τὸν ἀφ' ἱερᾶς. γραμμή τις ἐν τῇ παιδιᾷ τῶν πεττῶν ἱερὰ καλουμένη. ¶ Τόν δ' ἄρ, πρὸς τοῦτον δέ.
Τὸν εὐθυτενῆ τὸν ὀρθόν. ¶ Τονθορύζει, ἀτάκτως λαλεῖ γογγύζει. ψιθυρίζει. καὶ τονθορύζει τὰ αὐτά.
Τονθρὶς, φωνή. ¶ Τόνθων, παρὰ κρατίνῳ ἐπὶ νωτιαίου κρέως τὸ ὄνομα. ¶ Τόνος, ἔντασις, ἰσχὺς ῥώμη δύναμις. ¶ Τόνους, τὰς κειρίας, ἀπὸ τοῦ τετάσθαι.
Τὸν ὀπισθότερον, τὸν ὀπίσω, τὸν τελευταῖον τὸν ἔσχατον. ¶ Τὸν πύλον, τὸν βατῆρα, ὁδοιπόν.
Τὸν ῥᾶ, τὸν δή. ¶ Τὸν σὸν, τὸν ἴδιον τέρμονα, τὸ τέλος
Τόνυ γὰρ κατεάξαμεν, ἀντὶ τοῦ γὰρ τὸ δόρυ κατεάξαμεν.
Τόνω, λίαν τέρατι. Τοξεύομαι, ἀποστεροῦμαι.
Τοξεύοντα, τόξα ἔτεινον. ¶ Τοξίου βουνὸς, τοῦ ἀπόλλωνος, τοῦ ἐν σικυῶνι, βέλτιον δὲ ἀκούειν τὴν ἐν δελφοῖς νάπην λεγομένην, ἐκεῖ γὰρ καὶ ὁ δράκων κατετοξεύθη. καὶ ὁ ὀμφαλὸς ἐπὶ γῆς τάφος ἐστὶ τοῦ πύθωνος.
Τόξον, κυρίως αὐτὸ τόξον, δηλοῖ δὲ καὶ τὴν τοξικὴν ἐμπειρίαν καὶ αὐτὰ τὰ βέλη. ¶ Τοξοποιεῖν, τὰς ὀφρῦς συστρέφειν αὐτάς. ¶ Τοξόται, οἱ δημόσιοι ὑπηρέται. ¶ Τοξότα, λωβητὴρ διὰ τόξων λωβώμενε καὶ βλάπτων ἀφ' οὗ τὸν δειλὸν λέγει. ¶ Τοξότης, πολεμιστής. ¶ Τόξου πῆχυν τὸ ὅλον τόξον κατὰ αὐτὴν τὴν τάσιν τῆς νευρᾶς. ¶ Τόοι, ὅσοι αὐτοῦ,
Τὸ ὄντως, τὸ ἀληθῶς. ¶ Τόσσα μέμηλε, τοσαῦτα φροντίζει. ¶ Τὸ ὅσον ἐπ' ἐμοὶ, τὸ κατὰ δύναμιν τὴν ἐμήν. ¶ Τοπάζει, εἰκάζει, ἰθεύει, ὑποπτεύει, στοχάζεται, ἢ ἐθάζει. ¶ Τὸ παράπαν, παντελῶς.
Τὸ πάροιθεν, τὸ πρὸ τούτου. ¶ Τὸ πρὸν εὐτίθεσο, πόλις μία ἧς καὶ πλάτων ἐν πολιτείᾳ μνημονεύει. ¶ Τοπάσαι, ὑπονοῆσαι, ὑπολαβεῖν. ¶ Τοπαστέον, ὑποληπτέον, ὑπονοητέον. ¶ Τὸ πλεῖον, πλῆθος. ¶ Τοπεῖα, ὅπλα νεώς. σχοινία. τοπεῖα, κάλοι.
Τὸ πρὸς ἀκτῖνα, τὸ πρὸς ἀνατολήν.

Τιάρη, τὸ ὀξὺ περσικόν. ¶ Τιμωρεῖν, τιμωρεῖσθαι.

Τίθαι, τιθασαί, τέλειαι, ἐξάρτισθ πρᾶξαι.

Τιθασβώσσειν, βόσκειν. ἐργάζεσθαι, τρέφειν, ἐθίζειν, θησαυρίζειν, ἀπασπᾶν, θορυβεῖν, τιθέναι τὴν βάσιν, τουτέστι τὴν τροφήν. ¶ Τιθασβώσσουσιν, ἐνα ποτίζουσιν ἀπο θησαυρίζουσι τὴν τροφὴν αἱ μέλιτται τὸ λεγόμενον μελίκηρον. ¶ Τιθασβώσσωσι, τιθέασι, φυλάσσουσι.

Τίθει, ἐνετίθει, ἐδίδου. ¶ Τιτθίον, μαστός. ¶ Τίθεσθαι, ποιεῖς. ¶ Τιθέντες, ποιοῦντες. ¶ Τίθεντο, προσκευάζοντο. ¶ Τίθιον, ἰσόθεον. ¶ Τιθή, τροφός. ¶ Τιθήνας, τροφοὺς τίτθας. ¶ Τιθασσεύει, ἡμεροῖ, τεχνεύει. ¶ Τιθηνεῖ. τρέφει, τιθηνεύεται ὅμοιον. ¶ Τιθηνούμενος, τρεφόμενος ἀσκῶν.

Τιθηνός, τροφός, μοσχοτρόφος, ἢ ὁ τὰ τιθηνούμενα τημελῶν παιδία, οἱ δὲ τὸν τιθηνὸν ἐράσμιον. ¶ Τιθήμενον, παρατιθέμενον, ὅ ἐστι καθυπαλιζόμενον. ¶ Τιθωνοκόμων γένος, τοὺς αἰθίοπας ἐπὶ μέλανες καὶ κομῶσι. ¶ Τιθηνούμενος, τρέφων. τιθηνὸς γὰρ ἡ τροφός, καὶ τιθηνοὶ οἱ μαστοί. ¶ Τίθησι, τιθεῖ. ¶ Τιθιᾶσθαι τιμᾶν. ¶ Τίθρασι, χαλεπὰ τραχέα. ¶ Τιθωνοκόμον, ἔθνος, μέλαν μὲν τὸ ὅλον σῶμα λευκὸν δὲ τὰς κόμας. ¶ Τί ἱκανόν, τί ὄφελος. ¶ Τίκον, τί ἄν.

Τίκτειν καὶ ἐπὶ ἀρρένων, τίκτειν ἀνὴρ ἀνάσσων μυρμιδόνεσσι. ¶ Τιλίαι, αἴγειροι. ¶ Τιλλά, πτερά.

Τίλλει, ἀνιαρῶς μέμφεται, διαβάλλει, ἀποκόπτει.

Τιλλομένη, λοιδορουμένη. ¶ Τίλμος, παιδιά.

Τίλτον. εἶδος ταριχίου. ¶ Τιμαδία, μικρὰ τιμή.

Τί μαθών, τί βουλόμενος. ¶ Τιμαλφεῖν, τιμᾶν.

Τιμαλφής, ἔντιμος, τιμὴν ἀλφάνουσα δηλ. Ζεμῆς ἀγαμένη ἰῶν φοίνικι διυτέρῳ, τινὲς μὲν τὴν ἰώνιον. αἰσχύλος δὲ ἐν ἐπιγόνοις ἐπὶ τοῦ ἐντίμου. ¶ Τιμαλφοῦνα, τιμήματα. ¶ Τιμαλφέστατα, τιμιώτατα, πολύτιμα, ἢ ὁσιώτατα. ¶ *Τιμάναξ, ὁ προκτής. ὁ δὲ αὐτὸς ὁ θεόδωρος. ¶ Τιμᾶσι, τιοῦν. ¶ Τιμάω, τιμήσω. ¶ Τιμή, δόξα, ποτὲ δὲ καὶ τιμωρία, ἢ αὐτέκτισις ἢ κυρία. ¶ Τί μέλλει, τί βραδύνει.

Τιμήεις, εὐλαβές. ¶ Τιμήεντος, ἐντίμου.

Τιμήορος, τιμωρός, βοηθός. ¶ Τιμηρεύειν, τιμωρεῖν λέγειν. ¶ Τιμῆς, τίσεως. ¶ Τιμήσεως, ζημίας.

Τιμηταί, οἱ τιμώμενοι τὴν ἑκάστου οὐσίαν. ¶ Τίμιος ἔντιμος ἔνδοξος. ¶ Τιμουλκῶν, τιμὴν αἰτῶν, ἢ ἕλκων τὴν τιμήν. ¶ Τιμουλκῶν, αἰτῶν ἢ ἀπαιτῶν.

Τιμοῦντας, τιμίους ὄντας. ¶ Τιμοῦχος, ἔντιμος, ἀξιόλογος, καὶ ἄρχων ἰσχυρότατος μέγιστος. ¶ Τιμῶμαι, καταδικάζω. ¶ Τιμώμενος, εὐθυνόμενος, καὶ ἐπιτίμιον ὑπέχων. οἱ δὲ ἐπιτιμία παρ' ὅσ.

Τιμωρεῖσθαι. κολάζεσθαι. ¶ Τιμωρία, πρός τιμὴν αὐτανταπόδοσις κόλασις, ἢ ζημία παρὰ λυσία. ¶ Τιμωροῦσι, καταπονοῦσιν ἐκδικοῦσιν. ¶ Τίν, σοὶ ἢ τινά.

Τινακροπαλιξ, σεισολόφος. ¶ Τινθαλέῳ, περὶ διαθέρμῳ. ¶ Τινόλεον, διάπυρον, διάφορον, διεφθαρμένον, διαφανές. ¶ Τίνειν, ἀποδοῦναι. ¶ Τίνω βίομαι, τί δὴ μέλλω βιοῦν ὅ ἐστι ζῆν. ¶ Τιννύμενον ἐπαιρόμενον, ἀποδιδόμενον. ¶ Τίννυνται, τιμωροῦνται. ¶ Τιννύων, ἀποδιδῶν. ¶ Τινθρακέφθιν.

Τίξον. δεῖξον. ¶ Τιοίμην, τίμιος εἴην.

Τίοιτο, τιμηθείη. ¶ Τίον, μέσον ἡμέρας ἐτίμων.

Τί ὄνησα, τί ὠφέλησα. ¶ Τίπτε, τί δή ποτε, ἢ κατὰ συγκοπὴν τί ποτε, ἢ διατί, ἢ ἱνατί. ¶ Τίπτε δέ σε χρεώ, τίς δέ σε χρεία καταλαμβάνει.

Τίπτεμε, διατί με. ¶ Τί πράττεις, τί ποιεῖς.

Τίρεα, ἄστρα. ¶ Τί ῥέζεις, τί πράττεις. ¶ Τίρετη καταμολύνεται, καταποιεῖται. ¶ Τίρεος, θηρευτῶν. ¶ Τίρυνθα, πόλις ἐν ἄργει. ¶ Τιρύνθιον ἄργος τὰς μυκήνας. ¶ Τιρύνθιον πλίνθευμα, αὐτὸ τὸ τεῖχος ὑπὸ κυκλώπων δὲ κατεσκεύασται.

Τισόμενον, καταπονούμενον. ¶ Τίσασθαι, τιμωρίας λαβεῖν. ¶ Τίσατο, ἐτιμωρήσατο. ¶ Τίσαι, ἀποδοῦναι. ¶ Τίς γάρ, τίς δή. ¶ Τίς δ' αὖ οἱ, τίς δέ σοι. ¶ Τίσι, ποίοις. ¶ Τίσειεν, τιμωρίαν δοίη.

Τίσις, αὐτέκτισις. ἀτιμία, ποινή, τιμωρία.

Τίσκεν, τίς ἄν. ¶ Τίσον. τίμησον. ¶ Τίσομαι, τιμωρήσομαι. ¶ Τίσουσι, τιμωρήσονται.

Τίς τρόπος, παροιμία ἐπὶ τῶν ἀλλοκότων.

Τίσω, ἀποδώσω, τιμήσω. ¶ Τίται, εὔποροι, ἢ κατήγοροι τῶν ἀρχόντων. ¶ Τιταινόμενος, τρέχων ἢ ἕλκων τεινόμενος. ¶ Τίταινον, ἕλκουσι, τείνουσι.

Τιταίνειν, σκύλλειν, τείνειν. κραδαίνειν, ἕλκειν, τίσιν λαμβάνειν, τιμωρεῖν. ¶ Τιταινομένω, ἐκτεταμένω. ¶ Τιτάν, παιδεράστης, καὶ τὸ τοῦ αὐτοχθονίστου ὄνομα. ¶ Τιτανίδα, τὴν εὔβοιαν παρὰ τὸν βριάρεως θυγατέρα ἦν. ἔνιοι δὲ τὴν ἀσσυρίου φασί. ¶ Τιτᾶνες, τιμωροὶ ἀπὸ τοῦ τιταίνειν. ἄλλοι δὲ οἱ μὴ ἔχοντες ἀποτίσαι ἀτίτανες ὠνομάζοντο, οἱ δὲ ἔχοντες τιτᾶνες.

Τιτανίς, γῆ. ἤγουν πᾶσα ἡ γῆ ἢ ἡ ἀπὸ τῶν κατεχόντων.

Τίτανος, ὄρος θεσσαλίας. καὶ κονία ἄσβεστος. οἱ δὲ ἐπὶ γύψου χρίσμα. ¶ Τιτανωμένας, γεγυψωμένας.

Τιτανωτή, χρόα γυψωτή. ἢ λευκόχροος.

Τιταρήσιος, ποταμὸς ἠπείρου.

Τίταξ, ἔντιμος, ἢ δυνάστης, οἱ δὲ βασιλεύς.

Τιτᾶσθαι, στερήσασθαι. ¶ Τιταίνων, τείνων, πέμπων, ἕλκων. ¶ Τιτῆνες, οὐρανοῦ παῖδες.

Τιτήναι, βασίλιδι ἢ ἔκγονος λύτροις.

Τίτθαι, τροφοί. ¶ Τίτθην, τίκτειν. ¶ Τιτθίον.

Τιτθή. τιτθός, μαστός. ἢ τροφός. ¶ Τιτίει. τιμᾶ.

Τιρ, τίς λάκωνες. ¶ Τίτλος, πτυχίον ἐπίγραμμα ἔχων. ¶ Τιτόρμος, οὗτος αἰπόλος ἀνὴρ διαβεβοημένος ἐπὶ ἀνδρείᾳ καὶ μεγέθει. ¶ Τιτράται, συμπᾶται, διανοίγεται. ¶ Τιτυβίζει, ὡς χελιδὼν φωνεῖ. ¶ Τιτύπαι, αἱ ἐμπύλαι, αἱ πλάναι.

Τιτύρας, ὄρνις ποιὸς ἢ τιτυρώδης. ¶ Τίτυρος, σάτυρος, κάλαμος, ἢ ὄρνις. ¶ Τιτυρῖνος, μόναυλος. ἢ αὐλὸς καλάμινος. ¶ Τιτύσκετο, ἡρμάζετο, παρεσκευάζετο, κατεστοχάζετο. ¶ Τιτυσκόμενοι, ὡς στοχοῦντες. στοχαζόμενοι. ¶ Τιτυσκόμενος, τὰ αὐτά. ¶ Τί ἐστι, πῶς. ἢ ἄνευεν, ἢ τινί.

Τί ὑμῖν διαφέρει, τί ὑμῖν μέλει. ¶ Τίφαι, αἱ ὀλύραι καὶ τίφες μὲν τοῖς ἕλεσι. ¶ Τιφαίας, τὰς τῶν θηρῶν καταδύσεις. ¶ Τίφια, ὄρνεα, τὰ ἐν τοῖς ἕλεσι γινόμενα. ¶ Τῖφος, ἕλος. ¶ Τῖφυς, ὁ ἐφιάλτης νεάλεις καὶ ὁ τῆς ἀργοῦς κυβερνήτης.

Τίφω, τί εἴπω. ¶ Τιχίζομαι, σκέπτομαι.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Η.

Η ἄρθρον προτακτικὸν θηλυκόν. καὶ ἀντὶ ὑπο
Τ τακτικοῦ, ἢ λάβε. ἢ σὺ, ἢ ταύτη, ἢ σὴ, χωρὶς τοῦ
ι προστακτικὸν ἀνάλογον. τὸ, λάβε κύκλωψ.
τῆ πίε οἶνον, λάβε τῆ δέξαι. ¶ Τῇ ἀδρότητι. τῇ
ὑψηλότητι. ¶ Τῇ ἀλέθη. τῇ ἁμάξῃ. ¶ Τῇ ἅλ
λως, τῇ ματαίως. ¶ Τήβεννος, εἶδος περιβολαίου
παρὰ ῥωμαίοις. ¶ Τήβυν, πρίπος μήν. ¶ Τηγα
νίτης, ἄρτος ἀπὸ τηγάνου γεγονὼς καὶ μετὰ τυροῦ ὀ
πτώμενος. ¶ Τῇδε, ὧδε. ἐνταῦθα. ¶ Τηθαλλα
δοῦς ἢ τηθαμμαδοῦς ὁ γυναικοτραφὴς, ἄλλοι δὲ ὑπὸ
τίτθῃ γενόμενον καὶ τεθραμμένον. ἄλλοι δὲ μαμμό
θρεπτον καὶ ἀνάπαλον. ¶ Τήθεα, ὄστρεα. ¶ Τηθεα
δέφων. τὰ ἄρρενα, ἢ ὄστρεα ζητῶν. ¶ Τήθη, τηθὶς,
ἡ τοῦ μητρὸς καὶ πατρὸς ἡ καὶ μάμμη καὶ ἡ τῶν γονέων ἀ
δελφή. ¶ Τηθηνὸν, ἐράσμιον. ¶ Τηθύα, τενάγη
ἃ προχέουσιν οἱ ποταμοὶ καὶ εἶδος ὀστρέων.
Τ ηθὺς ἡ γῆ. ¶ Τῇ ῥινῷ ἴσχειν, ἐν τῇ βύρσῃ ἐπεχέθη, ὃ
ἐστιν ἐν τῷ ὅπλῳ, ὃ ἐν τῇ βελένῃ. ¶ Τηκεδανοῖο, τη
κομένου. τήκοντος. ¶ Τήκει, φθίρει. δαπανᾷ, λε
πτύνει. ¶ Τηκεδὼν, φθίσις, τῆξις. ¶ Τηκόμενος
φθειρόμενος, λεπτυνόμενος, δαπανώμενος. ¶ Τηλαυ
γὲς, τηλεσκόπον καθαρόν. ¶ Τῆλε, μακράν.
πόῤῥω. ¶ Τηλαύγημα, ἀρχὴ λαμπρά. ¶ Τηλαυ
γέστερος, λαμπρότερος. ¶ Τηλαυγῶς, λαμπρῶς.
Τ ηλεδανοὶ, οἱ πόῤῥωθεν καὶ ἀπὸ τοῦ ἄλλου δαπέδου. ξένος
ἀλλοδαπός. καὶ τηλεδαπὸς ὅμοιον. ¶ Τῆλε δὲ, μα
κρὰν δέ. ¶ Τηλεβόαι, οἱ τάφιοι. ¶ Τηλεθάον,
θάλλον, ἀκμάζον εὐανθές. ¶ Τηλεθόωσαν, θάλλου
σαν, θάλπουσαν. ¶ Τηλύθροον, ὀξύφωνον, μεγαλό
φωνον. ¶ Τηλεκλειτοὶ, πόῤῥω ἔνδοξοι. ¶ Τηλε
κλειτὰ, ἔνδοξα καὶ μέχρι πολλοῦ ἀκουόμενα.
Τ ηλεμάχῳ καὶ ἐμοὶ διαπέμπω, πρός με καὶ τηλέμαχον
ἔστω ὁ λόγος. ¶ Τηλέπυλον, μακρὰν ἀπ᾽ ἀλλήλων
ἔχουσαν διεστώσας τὰς πύλας. ἐξ οὗ τὴν μεγάλην
δηλοῖ, ἢ σύλλοις πυλῶν. ¶ Τηλεσκόπος, πόῤῥω ὁρῶν
Τ ηλεφανὴς, μακρόθεν φαινομένη. ¶ Τηλεφανὲς, φαι
νόμενον μακρόθεν. ¶ Τηλεφίδιον, τηλέφιον.
Τ ηλέφιλον, φυτόν τι. τινὲς δὲ ἀείζωον ἄγριον.
Τ ηλία σηλία, ἐν ᾗ διαμάττεται τὰ ἄλευρα, ἡ περιφέ
ρεια κοσκίνου. ¶ Τηλίδα; οὕτως ἐκάλουν τὴν συ
νηρμοσμένην. ¶ Τηλικαῦτα, τοιαῦτα. ¶ Τηλί
κος, τηλικοῦτος, ἢ νήπιος. ¶ Τηλικώτερον,
πρεσβύτατον, πρρώτερον. ¶ Τηλόθεν, πόῤῥωθεν.
Τ ηλόθεν, ὁμοίως. ¶ Τήλουρον, πόῤῥω ἀφωρισμένην,
τινὲς μὲν ὡς πανοῦργον. τινὲς δὲ ὡς κηπουρὸν τῶν τόνω
Τ ηλουρὸς, μακρόθεν ἀπελθὼν. ¶ Τηλυγέτην, μονογενῆ.
Τ ηλύγετος, ὁ τηλοῦ τῆς ἡλικίας τοῖς γονεῦσι γεγονὼς τὸ
γῆρας παῖς μονογενής. ¶ Τηλυγέτων ἀποικιῶν
τῶν μακρὰν ἀπεχουσῶν. ¶ Τηλωπὸν, μακρόθεν
φαινόμενον. ¶ Τημελεία, θεραπεία, ἐπιμέλεια,
Τ ημελὲς, ἐπιμελὲς, σπουδαῖον. ¶ Τημελητὴς, ἐπι
μελητής. ¶ Τημελίσαι, θάλψαι, φιλοκαλῆσαι.
σπουδάσαι, καὶ τημελήσαντες καὶ τημελούμενοι ὁμοί
ως. ¶ Τήμερον, ἀττικοὶ τήμερος, τὸ τημέρα λέγουσιν.

Τ ῇ μῇ, τῇ ἐμῇ ἐπιθέσθαι. ¶ Τῆμος, τηνικαῦτα. τότε.
Τ ήν, ὅτε μὲν ἄρθρον προτακτικὸν θηλυκόν. τὴν γε φοί
νικὸς δὲ ἀντὶ τοῦ ταύτην ἄλλως τὴν μάτην. ¶ Τὴν
τήνδε ταύτην. ¶ Τήνεβλος, ἐφύμνιον, ἀφ᾽ οὗ ὁ νι
κῶν τήνεβλος. ¶ Τήνεβλα τὰ ἐφύμνια ᾀδόμενα
τοῖς νικῶσι. ¶ Τὴν ἐπιδεξιάν. περιέφερον ἐν τοῖς
συμποσίοις ἀπὸ δεξιᾶς τὸ πάλαι κιθάραν, εἶτα μυῤῥί
νην πρὸς ἣν ᾖδον. ¶ Τηνεσμὸς, νόσημα περὶ τὰ ἔν
τερα. ¶ Τὴν δυσπείστατον, τὴν εὔκολον.
Τ ήν, ἤϊόνα, τὸν αἰγιαλόν. ¶ Τήνης, ἕως ταραντῖνοι.
Τ ηνία, ἔχιδνα, ἄλλοι δὲ τὴν στηθοδέσμην. ¶ Τηνι
κάδε, τότε δέ. ¶ Τηνικαῦτα, πότε ὁ τότε.
Τ ὴν κύλικα, τὴν φιάλην, τὸ ποτήριον, τὴν παῖδα τὴν
παρθένον. ¶ Τὴν προσήκουσαν, τὴν ὀφειλομένην.
Τ ὴν φειδώ, τὸ φείδεσθαι. ¶ Τῆξις, φθίσις, νόσος, παρὰ
τὸ τήκεσθαι. ¶ Τῇ ὀρέξει, τῇ ἐπιθυμίᾳ. ¶ Τέποδα,
λέβητα. τρισκελὲς χαλκίον. ¶ Τῇ πρὸς ἀκτῖνα, τῇ
ἀνατολῇ. ¶ Τί πῇ δὲ στερεσώ. πῶς δὲ στερεῖαι κα
ταλαβεῖν. ¶ Τηρεῖ, φυλάσσει, φρουρεῖ. ¶ Τήρεια,
ὄρος τρῳάδος. ¶ Τηρίας, ποταμὸς σικελίας.
Τ ῇσί τε θαλάσσια ἔργα μέμηλε, ταῖς ἐν θαλάσσῃ κορώ
ναις. προσημαίνουσι δὲ αὗται τοὺς χειμῶνας. ¶ Τῆς
ἄλης, τῆς πλάνης. ¶ Τῆς δεῦρο, τῆς παρούσης.
Τ ῆς δὲ φύσεως, ταύτης τῆς φύσεως. ¶ Τῆς ὑπερῴας,
τοῦ οὐρανίσκου. ¶ Τητεῖ, σπανίζει. ¶ Τῆτες, ἐν τῷδε
τῷ ἔτει. οἱ δωριεῖς σατὲς φασίν. ὅθεν σατανίοις πυ
ροῖς τοῖς μὴ τελεσφοροῦντας ἀλλὰ πρὸ ὥρας θερίζο
μένοις. ¶ Τήτη, ἀπορία, ἔνδεια, στέρησις.
Τ ητωμένη, στερομένη. ¶ Τητθὴ, μάμμη θεία.
Τ ητύμα, ἀληθῆ. ¶ Τητωμένου, στερομένου.
Τ ητώμενον, στερισκόμενον. ¶ Τηΰγετον, ὄρθρος.
Τ ηΰσιον, ματαίαν, σὺ δὲ τηΰσιαν ὁδὸν ἔλθῃς τινὲς ὀ ρ
γίαν, ἄλλοι βλαβεράν. ἢ περιβόητον. ¶ Τηΰσιον, μά
ταιον. ¶ Τιάλλακτον, σίδηρος παρὰ ἐπαινετῷ
ἐμβάμματι. ¶ Τηαλέθην, τὴν ἅμαξαν.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Ι.

Τιάρα, ἡ λεγομένη κυρβασία. ταύτην δὲ οἱ πέρσαι
Τ βασιλεῖς μόνοι ἐχρῶντο ὀρθῇ. οἱ δὲ στρατηγοὶ
ὑποκεκλιμένῃ. ἐρόδοτος δὲ ἕνα ἀῤῥενικῶς.
Τ ιάρις, λόφος τῆς περικεφαλαίας περιθέμενος κεφα
λῇ καμελαύκιον. ¶ Τιβοθῶν τιμώμενος.
Τ ίασα, κρήνη ἐν λακεδαιμονίᾳ, τινὲς δὲ ποταμόν.
Τ ιβδηνον, φίλον. ¶ Τιβδεῖ, φοβεῖται. ¶ Τίβλωος,
λέβης τρίπους. ¶ Τιγὰς, εἶδος ἀμπέλου.
Τ ίγγα, διοκλῆς ἐν μελίτταις. ἡρακλέων δὲ οὐ δηλῶν
ὅτι βαρὺ τὸ κιννάβαρι λέγει. ¶ Τιγόνιον ὁ τεττιγό
νιον. εἶδος τι τεττίγων ἀριστοτέλης. ¶ Τίγρις. ποτα
μὸς περσῶν. καὶ ὁ τοῦ ποταμοῦ ῥοῖζος, καὶ ζῶον, παρὰ μὲν
ἰνδοῖς φοράδι, παρὰ δὲ ἄλλοις τίγρεις. ¶ Τί δαὶ, τί
δ᾽ ἄλλο, ἢ τί γοῦν κρεῖττον, βοιωτοὶ δὲ ἐνθάδε. ἀττικοὶ,
διατὶ δή. ¶ Τί δήποτε, διατί. ¶ Τί δὴ ποτέ σοι, διατί
σοι. ¶ Τί δῶσω, τί ποιεῖτε ταραντῖνοι. ¶ Τίει, τιμᾷ,
σέβεται. αἰδεῖται. ¶ Τίεσκε μύθοις, ἐτίμα λόγοις.
Τ ιέσκεν, ἐτίμα. ¶ Τίεσκον, ἐτίμων. ¶ Τίεσθε, ἐτι
μᾶτε. ¶ Τίη. διατί, ἵνα τί. ¶ Τιάνη, ἡ βασίλισσα.

μεμένῳ, τιμωρουμένῳ. ¶Τεθημμένος. τὴν ψυχὴν τετιμωρημένος, ἐκπεπληγμένος, ἢ συγκεχυμένος.
T ἔτλα, ὑπόμεινον, ἀνέχου. ¶Τέτλαθι, ὑπόμεινον.
T ετληότι, ὑπομεμενηκότι. ¶Τέτμης, εὕρῃς καταλάβῃς. ¶Τέτροφεν, ἔτρωσεν. ¶Τετόρη, τρώσῃ.
T ετραβάμονος, τετράποδος. ¶Τετραβαρῆ πλίνθων κ' τάγματα ἀλκαῖος. ¶Τετράγκων, ὄργανον πολεμικόν. ¶Τετράγωνον, τεσσάρων ὀργυιῶν. γῆς δὲ μέτρον ἐκτὸν σταδίου καὶ ἐν τῷ ἀρότρῳ τὸ κύρτωμα τοῦ ἰσοβοέως γῆς, ἔνιοι γῆν, τὸ ὀργυιῶν μέτρον. ¶Τετραδάμονος, τετράποδος. ¶Τετράδι μὲν τ' οἴκου. τετράδι μὲν φασὶ γενέσθαι ἡρακλέα καὶ πρῶτον ἔνδοξον ὄντα ἀλλ' ὡς ταλαιπωρεῖν ἔστιν ὧν ἡ παροιμία ἐπὶ τῶν ἄλλοις πονούντων. ¶Τετραδισταί. σύνολος νέων συνήθων κατὰ τετράδα γινομένη. ¶Τετράδιον, ὀρνεόν τι ἀλκαῖος. ¶Τετράδυσιν, ἀηδόνα. ¶Τετραέλικρον, ἄλμαν. ἤγουν τρικυμίαν. ¶Τετραελίκωπες, τέσσαρας ὀφθαλμοὺς ἔχουσαι ναῦς. ¶Τετραέλιξ, τετράκις περιειλημμένος, ἢ πολυέλιξ, ἢ φυτόν τι. ¶Τετραέτηρον. τετραετῆ ἢ τετράενον. ¶Τετραθέλυμνον, τετράπτυχον, ἐκ τεσσάρων πτυχῶν τεθειμένον, ὃ ἔχει ἐπιθήματα ἔχειν τέσσαρα ἐπάλληλα, ἐκ τεσσάρων δερμάτων συνεστώς. ¶Τετραῖον, ὀρνιθάριον ὑπὸ λακώνων.
T ετρακίνη. ἡ ἀγρία θρίδαξ. ¶Τετράκολος, τετράπεια.
T ετρακτὺς, πυθαγορικὸς ὅρκος. ἤτοι τῶν τεσσάρων στοιχείων σημαίνων. ¶Τετράκωμος, μέλος τι πρὸς ὄρχησιν πεποιημένον εἰς ἡρακλέα ἐπινίκιον, ἐκαλεῖτο δὲ τέσσαρες κῶμοι. ¶Τετρεμαίνει. τρέμει φοβεῖται.
T ετραμμέναι, ἀπεστραμμέναι πρὸς αὐτοὺς τὰς ὄψεις ἔχουσαι. ¶Τετρανθίας, τετράχρονος καὶ ἰσχυρός.
T ετράνθα, τετράγωνόν τι σχῆμα, δηλοῖ δὲ καὶ τοὺς τέσσαρας χαλκοῦς. ¶Τετράζων, εἶδος χαλινοῦ.
T ετράοροι, τέσσαρες ἐπὶ τῷ τεθρίππῳ ὑποζευγμένοι.
T ετράρχαι, οἱ βασιλεῖς. ¶Τέτραπλαι. ἔτρα πλαι.
T ετραστήριον, τὴν τετράμηνον. ¶Τετραφάληρον, τέσσαρας φάλους ἔχουσαν. καὶ ἐξοχάς, οἱ εἰσὶν ἧλοι λαμπροὶ περὶ τὸ μέτωπον τῆς περικεφαλαίας κατακρουόμενοι. ¶Τετράφυον, τετραπλάσιον.
T ετράφθω, ἀναχωρείτω. ¶Τετραχίζειν, τὸ ἐπὶ τετάρτῳ μέρει ποιεῖν τι. ¶Τετραχηλισμένα, πεφανερωμένα. ¶Τέτραχμα, τετράδραχμα. ¶Τετράψομαι, εἰς ἐκεῖνο τραπήσομαι. ¶Τετράων, ὄρνις ποιός.
T ετρίγυια, ἐξυπνῆσαι. ¶Τετρῆναι, τρῆσαι. ¶Τετρήχει τετράχυνται, πεπύκνωται, τετάρακται, ἢ θορύβου πλήρης ἦν. ¶Τετρυτινός. ¶Τετρείγει, ἔτριζεν.
T ετρειγε, τρίζει. ¶Τετριγότας, τρίζοντας.
T ετριγυῖα, τετρωμένη, τρίζουσα.
T ετριμμένη, πεπατημένη ὁδός. ¶Τέτρομος, τρόμος.
T ετροπωμένους, νενικημένους. ¶Τετρόφασιν, ἀπενηνόχασι. ¶Τέτροφε, πέπηγε, πέφυκε, μετεώρισται.
T ετρυκόσι, κεκυηκόσι. Τετριμμένον, λεπτόν. καταπεπονημένον, διεφθαρμένον. ¶Τετρυωμένος. τετρυχωμένος διαπεπονημένος ἐν κακοῖς.
T ετρῦσθαι, καταδεδαπανῆσθαι, καταπεπονῆσθαι.
T ετρυφάλεια, περικεφαλαία. ¶Τετρυχωμένος, καταπεπονημένος. ¶Τέτραλον, τετράϊππον.

T ετρωμένη, πληγεῖσα. ¶Τετρωμένος, πεπληγμένος.
T ετρωρον, τετράϊππον ἅρμα. ¶Τέττα, νεωτέρου πρὸς πρεσβύτερον τιμητικὴ προσφώνησις.
T έτταρα ξύλα, ἐπὶ τοῦ οὐρανοῦ οὕτω λέγουσιν ἀττικοί.
T έττιγος ἔδρανον, ἡ τκίναρος. τέττιξ γὰρ ὁ κρὸς τκίναρον ἔκτισεν. ¶Τεττιγοφόροι, ἀττικοὶ ἀπὸ τοῦ ἐπὶ τῆς κεφαλῆς τριχῶν ἠρημένων χρυσοῦς τέττιγας
T έττιξ, ἔξω τοῦ συνήθους ζῴου παρὰ ἀττικοῖς οἱ τῶν μαγείρων ὑπηρέται. ξένοι οἱ δὲ ἐντόπιοι μαίσωνες.
T ετυγμένα, συνθέτως πεποιημένα. πεφροντισμένα.
T ετύκοντο, ἡτοιμάζοντο.
T έτυκται, κατεσκεύασται.
T ετύλωται, ἐμπέφρακται. ¶Τετυρωμένον. συγκείμενον ἀπὸ τοῦ πηγνυμένου γάλακτος. ¶Τετύσκετο, κατεσκευάζετο. ¶Τιτύσκων, ἐμφανίζων.
T ετύφωται, ἀπόλωλεν. ἐμπέπρησται. ἐμβεβρόντηται. ἐπύρωθη. ¶Τετυφῶσθαι, μεμηνέναι.
T ετύχηκε, τύχη περιτύχη. ¶Τετώμεναι, ὑστερούμεναι ἔνδειαν ἔχοντες. ¶Τευτάζοντες, πλανώμενοι.
T ευθίδες, σηπίαι, θρίσσαι. ¶Τευθίς. πέμμα πλακουντῶδες, καὶ εἶδος ἰχθύος θαλαττίου.
T εύκροι, οἱ τρῶες καὶ οἱ ποιηταί. ¶Τεῦκρον ἢ τευκτῆρα ποιητήν. ¶Τευκτῆρος, ποιητοῦ.
T ευκτοῖς, κατασκευαστοῖς. ¶Τευκτόν. χειροποίητον κατασκευαστόν. ¶Τευμᾶται, τεχνάζει τιμᾶται.
T εύμησσος, ποταμὸς θηβῶν. ¶Τευμησία, περὶ τῆς τευμησίας ἀλώπεκος, οἱ τὰ θηβαϊκὰ γεγραφότες, ἱκανὰ εἰρήκασιν. ¶Τευμησσός, ὄρος βοιωτίας.
T εῦξαι, ποιῆσαι κατασκευάσαι.
T εῦξαν. κατεσκεύασαν. ¶Τεῦξε κατεσκεύασε.
T εῦξις, κατασκευή, ποίησις.
T ευξομένη, τευξομένη. ¶Τευξόμεθα, τυχώμεθα.
T ευτάζει, σκευωρεῖ, ἡσυχάζει διατρίβει, οἱ δὲ φροντίζει.
T ετεύξεται, τευχνάζει, τέμνεται.
T ευτάζοντες. πλανώμενοι.
T ευτασμόν, στρατηγίαν. ¶Τευτᾶ, τεχνᾶται.
T εύχεα, ὅπλα οὐ μόνον τὰ πολεμικά, ἀλλὰ καὶ νεὼς καὶ τὰ σκεύη καὶ τὰ χαλκευτικὰ ἐργαλεῖα. ἦλθε δὲ χαλκεὺς ὅπλ' ἐν χερσὶν ἔχων χαλκήϊα πείρατα τέχνης. ¶Τεῦχε. κατεσκεύασε. ¶Τεύχει ποιεῖ, τεύχη ὅπλα. ¶Τευχηστάς, ὁπλίται. ¶Τεῦχος, βιβλίον ὅπλον, ἄγγος, σκεῦος. ¶Τεύχοντες, κατασκευάζοντες. ¶Τεῦκρος, ἀδελφὸς νόθος.
T εύχω, κατασκευάζω. ¶Τεύχονται, σάττονται, ὁπλίζονται. ¶Τέφρα, σποδός. ¶Τεφρόν, σποδόν, φαιόν, πολιόν. ¶Τέφρα, σποδός. κονία.
T έφρη καὶ τεφρόν, ὁμοίως. ¶Τεφρώσας, σποδώσας.
T εχνάζω, τεχνάζομαι. ¶Τέχνη, ἐπιστήμη, ἢ δόλος καὶ ἀτεχνέως ἀδόλως. ¶Τεχνήματα. κατασκευάσματα. ¶Τεχνήσομαι, ἐπινοήσω, τεχνάσομαι, τέχνης γὰρ οὐχ ἥμαρτες.
T έω, τίνι, ἢ τοῦ σοῦ δυϊκῶς. τεῷ. ¶Τέων δέ, ποίων δέ, ἢ τῶν σῶν δέ. ¶Τεωρεῖς; δραπέται. κακοῦργοι, λησταί. ¶Τέωρος, συκοφάντης, καὶ τὰ ὅμοια.
T έως, ἕως, μέχρι, ἢ πρὸς τὸ παρόν. ἢ ὅμως, ἢ τότε, ἢ ἐν τοιούτῳ. τηνικαῦτα, ἢ ἀντὶ τοῦ πρότερον.

Τ ελώμεθα, ποιώμεθα. ¶Τέλεωρ, πελώριον, μακρὸν μέγα. ¶Τελώριος, μέγας πελώριος. ¶Τέλβεσθαι, μεμψιμοιρεῖν ἐπικαλεῖν. ¶Τέλβει, ῥήγνυται, ὀδυνᾶται, χέζει, ἢ πέρδει. ¶Τεμένη, ναοὶ ἄλση, ἢ τὰ ἀφωρισμένα κατὰ τιμὴν χωρία. ¶Τέμενος, πᾶς ὁ μεμερισμένος τόπος τινὶ εἰς τιμήν, ἢ ἱερὸν καὶ βωμός, ἢ ἀπονεμηθεὶς θεῷ ἢ βασιλεῖ. ¶Τεμενίωρον, τεμένους φύλακα. ¶Τέμματα. στεφανώματα.

Τ έμνηξ. πόῤῥω. ¶Τεμμέν, πείθειν, τιμᾶν.

Τ ἑίθεσθαι, ἡγεῖσθαι. ¶Τέμνοντα, ἀμέλγοντα.

Τ έμπη, τὰ σύνδενδρα χωρία. τινὲς δὲ τὰ στενὰ τῶν ὀρῶν

Τ εμπουροι, ἀρχὴ ἐπιμελουμένη τῆς τῶν γυναικῶν εὐκοσμίας. ¶Τενάγη, κάθυγροι τόποι, ἢ ποταμὸς πηλός.

Τ εναγώδεσι, τόποις ἔνθα ὀλίγον ὕδωρ. ¶Τέναγος, νῆσος βοίας. ¶Τένναι, ζῶναι. ¶Τενέα, κόρυζα.

Τ ένθαρος, κακοῦργος συκοφάντης. ¶Τενθεύει, ἐσθίει, ἢ λιχνεύει. τένθαι γὰρ οἱ λίχνοι. ¶Τενέδιον βέλος, αὐτὶ τοῦ τενέδιος πέλεκυς, παροιμία δέ ἐστιν. ἐπὶ τῶν ἀποτόμως τι πραττόντων. ἔτι ἄρα τὸ πρᾶγμα τενέδιῳ πελέκει συνέκοψαν. ¶Τενέδιος, ξυνήγορος ὁ ἀπότομος καὶ σκληρός. ¶Τένεδος, πόλις βοωτικὴ ἢ νῆσος.

Τ ενεκοῦντι. ἐνοικοῦντι αἰολεῖς. ¶Τένθαι, λεωποδύται μοιχοί. ¶Τενθρηδών, ζῶον τῶν ἐντόμων ἢ κηροφόρων, παραπλήσιον σφηκί. ἔνιοι ἀγρίαν μέλισσαν.

Τ ενθρήνιον, κηρίον. ¶Τενθρηνιώδης, πολὺ καὶ κενὸν κηρίον, καὶ ἀραιόν. ¶Τένθινοι, λίθοι πλατεῖς.

Τ ενίαι, ζῶναι, στέφανοι, ἢ δεσμοί, διαδήματα. ¶Τένει, στένει, βρύχεται. ¶Τέννος, στέφανος ἐλάϊνος ἐρίω πεπλεγμένος. ¶Τένοντες, τὰ διατεταμένα νεῦρα ἀπὸ κεφαλῆς ἕως τῶν πολῶν, καὶ ἡ συνάφεια τῶν νεύρων

Τ ενοντωστεῖς, νωτοκοπεῖς ἀποκτενεῖς. ¶Τένων, τὸ ἐν τῷ τραχήλῳ νεῦρον. ¶Τέο, τίνος. ¶Τέο μέχρις ὀδυρόμενος καὶ ἀχνύων. ¶Τεοῖο, σοῦ. ¶Τεόν, σόν.

Τ εοί. σοί. ¶Τέορ, σοῦ κρῆτες. ¶Τεὸς φθόγγος, ἢ σὴ φωνή. ¶Τεοῖς σούς. ¶Τεπλά, ἐπλά.

Τ έρα, τέρεα σημεῖα. ¶Τεράτεσι, σημείοις. τεράζει, τερατεύει. ¶Τέραμνοι. στέγανοι, σκιαί. σκηνώματα.

Τ έραμνος, κοψέλη. ¶Τερασκόποι, ὀνειροκρίται.

Τ εράστια, θαύματα, σημεῖα. ¶Τεράστιοι, θεοί, ἐπὶ σημείων τεταγμένοι. ¶Τερατεύεται, διαλιεύεται.

Τ ερατευόμενον, διαλιευόμενον. ψευδόμενον, ἢ σημεῖον ποιῶν. ¶Τερατεῖαι, ψευδολογίαι. ¶Τερετίσματα ἢ τερετίματα, ᾠδαὶ ἀπατηλαὶ ἢ χηλικαὶ ἢ μωρολογίαι ἠχημέναι. ¶Τερατοσκόπος, μάντις, σημειωτικός.

Τ ερατουργεῖ, παράδοξα ποιεῖ. ἢ τέρατα ἐργάζεται.

Τ έρεν, ἁπαλόν. ¶Τέρεμνα, οἰκήματα.

Τ έρεμνος, ἰσχυρὸς ἢ στέρεμνος. ¶Τέρενα χρόα ἁπαλὸν χρῶτα. ¶Τέρενα, ἁπαλά. τρυφερά.

Τ έρεφα. τύμπανα. ¶Τέρεσαν, ἔτρωσεν, ἐτόρνωσε.

Τ ερετίζοντα, λαλοῦντα ἐκ μεταφορᾶς τοῦ χελιδόνος.

Τ ερετίσματα, ᾠδαὶ ἀπατηλαί. τὰ τῆς κιθάρας κρούματα καὶ τὰ τῶν τεττίγων ᾄσματα. ¶Τερηδών, σκώληξ οἰκῶν ἐν ξύλῳ. ¶Τέρθεται, ξηραίνεται καίεται. ¶Τερθρεία, λογομαχία ἀπάτη, φλυαρία. φλυναφία. ¶Τερθρεύειν τηρεῖν. σκοπεῖν λιπαρεῖν.

Τ ερθρεύμασι, φλυαρίαις. ¶Τερθρεύονται, ἀπατῶνται. ¶Τερθροί. οἱ ἐξ ἑκατέρου τοῦ κέρως τῆς ἱστίου ἑκατέρωθεν δεδεμένοι· ἐν οἷς τὸ ἄρμενον ἕλκουσι. ¶Τέρθρον, ὁ λεγόμενος ἀρτέμων, ἔνιοι δὲ τὸ ἄκρον τοῦ κέρως, καὶ στέγη οἰκίας, τινὲς δὲ τὸ ἔσχατον καὶ ὑψηλόν.

Τ ερθρωτής, ὅπου ὁ πρωρεὺς προορᾷ τὰ ἐν τῇ θαλάσσῃ.

Τ ερίκαρπον, μεγαλόκαρπον. ¶Τερίμη, τάφρος.

Τ ερίνη, τετριμμένη, οἱ δὲ τερπωλή. ¶Τερινός, τηρῶν, δάνιον λυπῶν. ¶Τέρμα, σημεῖον. τέλος ζωῆς, καμπτήρ. ἔσχατον. ¶Τερματίζει, τελειοῖ, ὁρίζει.

Τ ερμάτων, τελευταίων. ¶Τερμέρεια κακά, τὰ μεγάλα. ¶Τέρμιοι, ἄστατοι. ¶Τέρμινθος, φυτὸν ἐμφερὲς τῷ λίνῳ, ἐξ οὗ πλέκουσιν ἀθηναῖοι παροιμίας. ¶Τερμιόεντα, ποδήρη καὶ ἔμμετρον. τὸν μέχρι τῶν πολῶν τερματιζόμενον. ¶Τερμιόεσσα ἐν ποδῶν ἀποτερματιζομένη. ¶Τερμιόειν, ἁρμοστὸν τέλειον.

Τ έρμιον, ἔσχατον, ἁρμόζον πρέπον. ¶Τέρμις, πούς.

Τ έρμονα, φραγμὸν τέλος. ¶Τέρμονες, τέλη, φραγμοὶ ὅρια, τέρματα. ¶Τέρνακα, τὸν κάκτου τοῦ φυτοῦ καυλόν. ¶Τερπιάδης, τερπιῆς υἱὸς ὁ φήμιος, πατρωνυμικός. ¶Τέρπεται, ἥδεται. ¶Τερπικέραυνος, ὁ τερπόμενος ἢ τέρπων πᾶσι κεραυνοῖς. ¶Τερπνά, ἡδέα. ¶Τερπωλή, τέρψις. ¶Τερπωλῆς τέρψεως.

Τ ερπώμεθα, ζεπώμεθα. ¶Τέρρατον, ἔσχατον. ἢ δὲ τερπνόν. ¶Τερρηθύ, τειρήνος. ¶Τέρσεται, ξηραίνεται ὑπὸ ἡλίου. ¶Τερσαίνειν, ξηραίνειν.

Τ έρσει, τέργει ξηραίνει, καίεται, οἱ δὲ πίνονται.

Τ έρτα, ἡ τρίτη. ¶Τέρυ, ἀσθενὲς λεπτόν.

Τ έρυας, ἵπποις. οὕτω λέγονται ὅσοι ἀδελφάγοι εἰσίν, ἔνιοι τοὺς ἀσθενεῖς. ¶Τερύνης, τετριμμένος ὄνος καὶ γέρων, ἢ δυσανάληπτος γέρων. ¶Τερύσκετε, νοσεῖ φωνεῖ. ¶Τερύσκετο, ἐτείρετο. ¶Τέρφη, λέπυρα.

Τ έρχνεα, φυτὰ νέα, ἢ ἐντάφια. ¶Τερψιμβρότους, τοὺς ἀνθρώποις ἥγουν τοὺς βροτοὺς τέρποντας.

Τ έρψις. τερπνότης. ¶Τέρψωμαι, τερφθῶ.

Τ εσίχον τὸ μικρόν. ¶Τεσκλῆί τε τύμβῳ. στήλη ἐν τῷ τάφῳ. ¶Τέτα, λίαν κάρτα. ¶Τεταγών, διατείνας τινάξας. ¶Τετακώς, τετηκώς.

Τ εταμένον, ἠπλωμένον. ¶Τέτανος, κονία χρίσμα, ἄσβεστος. ¶Τετάνυσο, ἐκτέταρ, ἐπέκειτο. ¶Τεταργανωμέναι ἐμπεπλεγμέναι. ¶Τετάργησο, ἐκορέσθη, ἐκπλήσθη. ¶Τετάργη, φασιάνων εἴδη. ¶Τεταρπέσθαι, ἐμπλησθῆναι. τερφθῆναι. τετάρπετο, ἐτρέπετο.

Τ ετρπώμεθα. ἐμπλησθῶμεν. ¶Τεταρτημόριον, οἱ δύο χαλκοῖ. ¶Τετάρτῳ, μέτρῳ τῶν ὑγρῶν.

Τ έταρτον ἥμισυ, τὸ τέταρτον ἡμιστάτηρον. ¶Τέτατα, τέτη. ¶Τέταχας, ἐτύπωσας ἔταξας ἐτύφωσας.

Τ εὴν κεφαλήν. τὴν σήν. ¶Τετέλεσται, γεγένηται, οἱ δὲ γεγάμηκεν. ¶Τερέβινθος, πόλις ἰώβ.

Τ ετελεσμένον. τὸ ὅσιον πρᾶγμα τελεσθῆναι ἤτοι πληρωθῆναι, ἢ τὸ μεμιασμένον. ¶Τετελεσμένος, τελισκόμενος ἀνδρόγυνος. ¶Τέτευκται, κατεσκεύασται.

Τ ετεύξεται, κατασκευασθήσεται γενήσεται. ¶Τετεῦχθαι, καθωπλίσθαι. ¶Τετιηότι, λυπουμένῳ, ὀργιζομένῳ. ¶Τετύφωται, ἐκπέπληκται, ἐκπλήττεται. ¶Τετιημένοι, τετιμωρημένοι. ¶Τετιηκότες, ὁμοίως λελυπημένοι. ¶Τετιηότι, λύπου

λακὴν, περὶ τῶν ἐν τοῖς λέων ἐργασίας. ¶Τάπις, περι
σκεφάλαιον. ¶Τά, πρὸ, ἅ. τινα. ¶Τάπησι, ποι
κίλοις στρώμασιν. ¶Τὰ πρόσω, τὰ ἔμπροσθεν.
Τ ἀ πρῶτα, ἀντὶ τοῦ ἅπαξ, ἢ τὸ πρῶτον καὶ ἐξ ἀρχῆς.
Τ ἀρ, σύνδεσμος. δέ, δὴ, ἄρα καὶ δὴ ταχέως.
Τ ἄρα, ἄρα ἵνα δή. ¶Ταρβήσαντες, φοβηθέντες εὐλα
βηθέντες. ¶Ταρακίναι, ἔθνος ἢ πόλις.
Τ ἄρανδος. ζῶον ἐλάφῳ παραπλήσιον· οὗ τὰς δορὰς εἰς
χιτῶνας χρῶνται σκύθαι. ¶Ταραντῖναι, ἅμματι
βαφαί, τινὲς δὲ τὰς πορφυρᾶς. ἐσώλιμοι γὰρ καὶ ἐξ
αὐτῶν ψαχήλια. ¶Ταραντῖνοι, ἱππεῖς τινὲς ὀνο
μάζονται. οἱ δὲ ψιλοὶ ἀκοντισταί, ἢ τοῖς ὑψηλοῖς ἱππεῖς
ὡς καὶ ἵππαρχος. ¶Ταραντινόν, ἱμάτιον γυναικεῖον
λεπτὸν κρωσσοὺς ἔχον ἐκ τοῦ ἑνὸς μέρους. ¶Ταράξιπ
πος, οὕτως ὑπὸ ἐνίων ὁ πέλοψ ἱστορεῖται οὗ τάφος ἐν
ὀλυμπίᾳ. ¶Τ' ἆρα οἱ, ἃ δὴ αὐτῷ. ¶Τάρα, τἄλ
λα. καὶ τὰ ἄλλα δέ. ¶Τάρας, πόλις ἰταλίας, ἀπὸ
τάραντος τοῦ ποσειδῶνος. ἔστι δὲ λακώνων ἄποικος.
Τ αρβεῖ, φοβεῖται. ¶Τάρβει, φοβοῦ. ¶Ταρβήσαιμι,
εὐλαβηθείην. Ταρβαλέον, δεινόν, φοβερόν.
Τ άρβος, φόβος. ¶Ταργαίνην, ταράσσειν. ¶Ταργά
ναι, πλοκαί, συνδέσεις, πέδαι. ¶Τάργανον, ὄξος.
λυδοί, ἢ τὸ ταράττον. ἢ τὸ ἀπὸ στεμφύλων πόμα καὶ πόα,
ἢ ἡ σκορπίουρος. ¶Ταρίφη, κόφινος μέγας. οἱ δὲ
νεκροφορικὸν ἀγγεῖον. ¶Τεθμός, νόμος. ¶Τεθεῖα
ἀκριμαρσία πολλή. ¶Τεθηλεωμένον, μεμυελισμένον.
Τ εθολώς. ἀνάπλεως, ἀμεθίας. ¶Τεθοωμένον. ὀξυμ
μένον καὶ ἐθόωσε, ὄξυνε. ¶Τεθράνθαι, συγκέκλα
σθαι ἀπὸ τοῦ θραύω. ¶Τέθραπται, πέπηγεν. ¶Τεθο
ρεῖν, ἀναπηδῆσαι. ¶Τεθράφθαι, ὀχεῦσθαι. ¶Τε
θραυσμένος πεπληγμένος: ¶Τεθρηλεών, πρωρεύς.
Τ εθριππόβαμον, ἡ σολοστικὴ ὁρμὴ τοῦ ἅρματος. ¶Τέ
θριππον, τετράϊππον ἅρμα. ¶Τεθυλλιαμμένον, τε
ταραγμένον ἀπὸ τοῦ θυέλλης. ¶Τεθυμένον, τὸ κεκαυ
μένον ὑπὸ πυρός. ¶Τεθυηκώς, εὐχαριστήσας.
Τ αριχεύουσι, τήκουσι. ¶Ταριχευτὸν, τηκτὸν, ξηρόν.
Τ αρκούει, ἀκούει. ¶Ταρμύξασθαι, φοβηθῆναι.
Τ αρνόν, κολοβὸν κολοβόουρον. ¶Τάρνη, πόλις ἐν λυ
δίᾳ. οἱ δὲ ἐν μυσίᾳ ὅθεν ἦν ἑρμείας ὁ ἀριστοτέλους τοῦ
φιλοσόφου γνώριμος. ¶Τάρπη, συρακούσιοι. σύνηθες
τινὲς σπορόν. ¶Ταρπὸν. ταχύ. ¶Ταρπώμεθα, ἐκορέ
σθημεν. ¶Ταρπημένα, τερφθηνά, τερπνά.
Τ άρπησαν, τέρψιν ἔλαβον. ¶Ταρροθοι, παρορμηταὶ
βοηθοί. ¶Ταρροθος, βοηθός, ἀρωγός. ¶Ταρροί,
τὰ ἀγγεῖα τῶν τυρῶν. ¶Ταρρός, κώπη καὶ πλέγμα
καλάμινον ἐφ' οὗ τοὺς τυροὺς ξηραίνουσιν, ἔνιοι ταρσοὺς
κρεμαστούς, καὶ λίθος ὁ κάτω τιθέμενος ἐν τῷ ὑπονῷ ἐμ
τοῖς μεταλλεῦσιν. ¶Ταρσοῦται, ἀγγεῖα ἐν οἷς οἱ τυ
ροὶ ψύχονται. ¶Ταρσιὰν, τὴν ταρσίαν.
Τ αρσοῖς, πλατεῖς ἄκροις. ¶Ταρσοί, πόλις συρίας.
καὶ τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν. καὶ τὸ ἐπάνω τοῦ
πέλματος, καὶ τῆς κώπης τὸ ἄκρον. ¶Ταρσοὺς καλά
μων. πλέγματα καλάμων. ¶Τάρταρος, ὁ ὑπὸ
τὴν γῆν κατώτατος τόπος. ¶*Ταρτημόριον, τὸ τρι
τημόριον, ἢ τὸ δίχαλκον. ¶Ταρτησίους, γαλέας.
Τ αρτησσός, πόλις περὶ τὰς ἡρακλείους στήλας.

Τ αρφέα συνεχῆ, ξηρά, ὀξέα, ταχέα. ταρφέσι πυκνοῖς.
Τ αρφεῖς, θεωροί, θαυμαστοί. ¶Τάρφη, πόλις λοκρί
δος, οἱ δὲ σποδὸς τέφρα, ἢ βλαστός. ¶Ταρφίεντα,
ἐντάφια, τεφρώδη. ¶Ταρφεῖδες, κτερισταί, ἀγχιστεῖς.
Τ αρφίαι, πυκναί, συνεχεῖς. ¶Ταρφῦα, ἐντάφια.
Τ άρφθεν. ἐτέρφθησαν. ¶Ταρφθείημεν, τερφθῆναι.
Τ αρφύς, στίχος. ¶Τάρχη, τάραξις. ¶Ταρχάνιον,
ἐντάφιον. ¶Τέρχανον, πένθος. κῆδος. ¶Ταρχύ
ειν. θάπτειν, ἐνταφιάζειν. ¶Ταρχύσαι. θάψαι, ἐν
ταφιάσαι. ¶Ταρχύσωσι, τὰ αὐτά. ¶Τάσις, ὤ
θησις, σεισμός. ¶Τᾶς οὐ πλατᾶς, τῆς οὐχ ὑπομο
νητῆς. ¶Τᾶς οὐ φορτᾶς, τῆς οὐ φορητῆς. ¶Τὰς
σφετέρας, τὰς αὐτῶν. ¶Τὰ στίγη, τὰς στίγας.
Τ ἀ στίγματα, τὰ παθήματα, τὰ ἕλκη. ¶Τὰς ὠτει
λάς, τὰ τραύματα. ¶Τάτ' ἐόντα, τὰ νῦν ὄντα.
Τ ἄτες, κατ' ἔτος. ¶Τάτ' ἐσόμενα, τάτε μέλλοντα.
Τ ατύρας, ὁ φασιανὸς ὄρνις. ¶Τατώμενα, στερούμενα.
Τ αυγέταις, πύλαις ταῖς μεγάλαις. ¶Ταυληρόν
τα, ἱμάντα. ἡρακλέων. ¶Ταυρείην, ἐκ ταυρείου
δέρματος κατεσκευασμένην περικεφαλαίαν.
Τ αύρειον πόμα, ἀπὸ αἰγειταύρου ποταμοῦ σοφοκλῆς
τροιζῆνα πέρα καὶ κτήνη ὑόεσα. ¶Ταυρεία, ἑορτὴ
τις ἀγομένη ποσειδῶνος. ¶Ταυρεία δὲ, κεφαλὴ,
ἢ παιδιά παρὰ ταραντίνοις. ¶Ταῦροι, οἱ παρὰ ἐφε
σίοις οἰνοχόοι, καὶ οἱ τέλειοι ἐδῶν. ¶Ταυροπόλια,
ἃ εἰς ἑορτὴν ἄγουσιν ἀρτέμιδι. ¶Ταυροπόλαι, ἡ
ἄρτεμις καὶ ἡ ἀθηνᾶ. ¶Ταῦρος, ταύρειος, ὁ ποσει
δῶν. φανόδημος δὲ τὰς κριθὰς προσαγορεύεσθαι
ταῦρον, ὅτι κέρας ἔχουσιν. ἄλλοι δὲ τὴν παιδεραστὴν
καὶ τὸ γυναικεῖον. ¶Ταυροφάγος, ὁ διόνυσος.
Τ αυροφθόγγοι, παραπλήσια βουσὶ φθεγγόμενοι.
Τ αυροχολία, ἑορτὴ ἐν κυζίκῳ. ¶Ταυρώ, ἡ ἐν ταυ
ροις ἄρτεμις. ¶Ταύρωσον, ταῦρον ποίησον.
Τ αῦς, μέγας πολύς. ¶Ταύσας, μεγαλύνας πλεο
νάσας. ¶Ταύσιμον, μάταιον. ¶Ταυτά, τὰ ἴσα
τὰ ὅμοια. ¶Ταύτακος, ὄρνις ποιός.
Τ αυτέας, αὐλὰς μεγάλας. ¶Ταύτῃ, οὕτως. τοῦ
τῳ τῷ τρόπῳ. ¶Ταυτί, ταῦτα ἢ τοῦτο.
Τ αυτί. ταῦτα, τοῦτο ὁμοιότης. ¶Ταύτῃ τοι, οὕτω δή.
Τ αυτὸ ταυτὸν, τὸ αὐτό. ¶Ταυτοέπεια, ταυτολο
γία. ¶Ταυτοεπεῖν, τὸ αὐτὸ λέγειν.
Τ αυτότητος, ἀπαραλλάκτου καὶ φυσικῆς κοινωνίας.
Τ αφεῖς, θεωροί, θαυμαστοὶ ἢ οἱ νεκροτάφοι.
Τ αφεύς, θεωρὸς καὶ τὰ ὅμοια. ¶Ταφεῖδες, κτερισταί,
ἀγχιστεῖς. ¶Ταφήϊα, ἐντάφια. εἰς ταφὴν εὔθετα
ἱμάτια. ¶Τάφιοι, οἱ τηλεβόαι λεγόμενοι, οἱ
τὰς ἐχινάδας νήσους κατοικοῦντες.
Τ άφος, τὸ γινόμενον περὶ δεῖπνον ἐπὶ τῇ τῶν κατοιχο
μένων τιμῇ, ἢ τύμβος ἢ σημεῖον. ¶Τάφρος, ἐστί
μακρὸν ὄρυγμα ἔξωθεν τοῦ τείχους γινόμενον πρὸς ἔκπλη
ξιν πολεμίων. ¶Ταφρεῦσαι, διορύξαι.
Τ αφὼν ἐκπλαγείς, θαμβηθείς. ¶Τάχα, ταχέως,
ὡς σάφα σαφῶς. ἢ ἴσως, καὶ ταχεῖα ὁμοίως.
Τ αχινοί, γοργοί. ¶Ταχὺ βῆ. ¶Ταχίνας, λαγω
ὸς καὶ ἔλαφος. ¶Τάχιστα, γοργόν, ταχύ. λεπτόν.
Τ αχυβάμονας ὄρκους, ἀντὶ τοῦ βραδεῖς. βέλτιον δὲ

Τ αινιοῦντες, κοσμοῦντες. διασμοῦντες. στεφανοῦντων.
Τ ἀκέρατα, τὰ ἄκρα. ¶ Τακερὸν, τηκτὸν, σίκχρόν.
Τ ακτικοῖς, στρατιωτικοῖς, πολεμικοῖς. ¶ Τακτὸν, ὁμοίως. ¶ Τακτηνίζου, τὰ τῶν μαγείρων ξηρὰ ἀρτύματα διὰ τὸ ἐνταῦθα καὶ τὸ νίτρον πωλεῖσθαι.
Τ ακωνδων, ζωχίσκοι στέατος κεκομμένου μετ' ἀλῶν καὶ ξηρῶν καὶ ἀρτυμάτων. ¶ Τάλα, μέγα. ¶ Ταλαεργοὶ, οἱ ὑπομένοντες τὰ ἔργα τλητικοὶ, ταλαίπωροι, δυσπαθεῖς. ¶ Ταλαεργὸν, τὰ αὐτά.
Τ αλαίνης, ἀθλίας, ταλαιπώρου. ¶ Ταλαιπωρία, μοχθηρία. ¶ Ταλαίπωρος, ἐπίπονος, τλητικός.
Τ αλακάρδιος, τλητικὸς ὑπομονητικὸς κατὰ τὴν καρδίαν. ¶ Ταλαίφρων, καρτερικός. ¶ Ταλανίζει, θρηνεῖ. ¶ Τάλαντα, ζυγὰ σταθμοί. ¶ Τάλαντον, λίτραι ἑκατὸν εἰκοσιπέντε κατὰ τὸν μέγαν ἐπιφάνιον. ¶ Ταλαντέων, μεδίμνων ἢ σταθμίων.
Τ άλαντα, τὰ ἀτυχέστατα. ¶ Ταλαντεύει, σταθμίζει, ζυγοστατεῖ. ¶ Ταλαντιαῖον, βαρύ. ¶ Ταλάντιον τόπος ἀρτεμιδώρου. ¶ Τάλαντον, σταθμὸς, ζυγός. ὁλκὴ λιτρῶν ἑκατὸν, ἢ ἑκατὸν εἰκοσιπέντε, ἢ ἑκατὸν ἑξηκονταπέντε. ἢ τετρακοσίων. ἢ χιλίων ἑκατὸν πεντηκονταδύο. ¶ Τάλαντος, ταλαίπωρος.
Τ αλαντώσει, σταθμήσει, στήσει. ¶ Ταλαὸν ὑποστατικὸν, ἰσχυρόν. βίαιον. ¶ Ταλαπείριος, τλητικὸς κατὰ τὴν πεῖραν, ἢ τηλόθεν διαπεπραγμένος, οἱ δὲ ἀδημένος. ¶ Ταλαρίς. ἐξ οὗ βάλλουσι τὰ ἄστραγάλους. ¶ Ταλαπενθέα, ὑπομένοντα τὰ πένθη.
Τ άλαροι, κάλαθοι ἱερείων, καὶ ἐν οἷς οἱ τυροὶ πήγνυνται, ἀλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
Τ άλας, ἄθλιος, ταλαίπωρος. ¶ Ταλάσια, τὰ ἔρια. ¶ Ταλασιεία, ὑπομένη. ¶ Ταλασία, ἐριουργία ἐργασία. ¶ Ταλασιουργία, τῶν ἐρίων τὰ ἔργα. ¶ Ταλασιουργός. ἐριουργὸς, καὶ ἡ ἐν τοῖς ταλάροις ἐργαζομένη κρόκη, ἢ ἔρια.
Τ αλασίφρων, ταλακάρδιος, ἰσχυρὸς, τολμηρός. θρασὺς, ὑπομονητικὸς, ἰσχυρόφρων. ¶ Ταλάσσεις, ὑπομείνῃς, τολμήσεις. ¶ Ταλάσσαι, ὑπομεῖναι καὶ τὰ ὅμοια. ¶ Ταλαύρινον, ὑπομονητικὸν, τολμηρὴν, πολεμιστήν. ¶ Ταλάφρονα, τλητικὸν κατὰ τὰς φρένας, οἱ δὲ. ἰσχυρογνώμονα. ¶ Ταλαόρεα, ῥεύματα. ¶ Ταλαιὸς, ὁ ζεὺς ἐν κρήτῃ. ¶ Ταλαιώτης, ἀγὼν γυμνικός. ¶ Ταλικὴς, αὐθάδης.
Τ αλικήν. τηλικαύτην. ¶ Ταλικῶς, τηλικαύτην.
Τ άλιξ, ὁ ἔρως, ¶ Ταλίων, ἀθλίων. ¶ Τάλις, ἡ μελλόγαμος παρθένος καὶ κατωνομασμένη τινί. οἱ δὲ, γυναῖκα γαμετήν. οἱ δὲ νύμφην. ¶ Ταλθύβιος, ἱερεύς. ¶ Τάλως, ὁ ἥλιος. ¶ Τἀμὰ, τὰ ἐμά.
Τ αμᾶς, γαμβρός. ¶ Τάμε, ἔταμον. ¶ Ταμέει, τέμνει. ¶ Ταμεῖν, τεμεῖν. ¶ Ταμέσθαι, ἀπομερίσαι, ἐπιτιμῆσαι. ¶ Ταμεῖα, ἀπόκρυφα οἰκήματα.
Τ αμεσίχροα, τέμνοντα τὸν χρῶτα. ἀπὸ μέρους δὲ λέγει τὴν σάρκα. ¶ * Ταμετάξαι; μετὰ ταῦτα διαιρέσεις,
Τ αμετάζει, τηνικάδε. ¶ Ταμίαι, οἱ τῶν δημοσίων χρημάτων καὶ πάντων τῶν κοινῶν προστάται καὶ φύλακες ταμιοῦχοι. ¶ Ταμίαν, ζημίαν. ¶ Ταμίας, φύλαξ χρημάτων προστάτης, διοικητής. οἰκονόμος διοικητής. ¶ Ταμιεῖον, κοιτῶνα. ¶ Ταμιεύεται, διοικεῖται ἀποκρύβει. ¶ Ταμίη, ἡ προστάτις τοῦ οἴκου. διοικήτρια. ἢ καλλαρία πιστή. καὶ ἀρχὴ ἀθηνησιν. ¶ Ταμίην, δέσποιναν τὴν τοῦ οἴκου προεστῶσαν, ¶ Ταμεῖον, θάλαμος. ¶ Ταμιοῦχος, οἰκονόμος. ¶ Ταμιράδαι, ἱερεῖς τινὲς ἐν κύπρῳ.
Τ άμισος, ἡ πιτύα. ¶ Τάμνειν, διατέμνειν.
Τ άμνεν, ἐνέκοψεν. ¶ Τάμνοντες, διατέμνοντες ποιοῦντες. τέμνοντ' ἀμφὶ, περιαλλαννον.
Τ άμοις, τέμοις, ποιήσαις. ¶ Τάμονθν, διακόπτοντων.
Τ αμόντες, ποιήσαντων, συνθέμενοι. ¶ Τάμωμεν, ποιήσωμεν. ¶ Τανάγρα, ἀγγεῖον χαλκοῦν ἐν ᾧ ἥψουν τὰ κρέα. ¶ Ταμαγρίδαι, οἱ ταναγρεῖς.
Τ αναγραίων φυὴν, κατὰ ὁμοιότητα. ἔφορος λέγει τινὰ ἐν τανάγρᾳ παχύτητα. ὃς ἐλέγετο κητεύς.
Τ ανακέα, δι' ὅλου ἠκονημένα. ὀξέα ἀποτεταμένην τὴν ἀκμὴν ἔχοντα. ¶ Ταναηκεῖ, τὰ αὐτά. ¶ Ταναηκέος, μακροῦ, τοῦ μακρὰν λαβὴν ἔχοντος. ¶ Ταναηκὲς, εὐμηκῶν. ¶ Ταναηκτεῖ, χαλκῷ τῷ ἐκτεταμένῳ σιδήρῳ. ¶ Ταναῆς, ἐκτεταμένης. ¶ Τανακιδὲς. ὀξὺ μακρὸν, δι' ὅλου ἠκονημένον. ¶ Ταναοῖς, ἐπιμήκοις μακροῦ, πάνυ ἐκτεταμένου. ¶ Ταναὸν ἰσχυρόν. ὀξύ. λεπτόν. σκληρόν. μέγα. ὑγρόν. μακρόν
Τ αναὰς, ἐκτείνουσας ἀπὸ τοῦ εἰς μῆκος τετανύσθαι
Τ ανάποδα, ὀρθόποδα, τεταμένοις τοῖς ποσὶ κατὰ τὴν ὁδοιπορείαν. ¶ Τάνδον, τὰ ἔνδον. ¶ Ταναῇ, ἀποτεταμένη. ¶ Ταναηκῆ. ἐκτεταμένην ἔχοντα τὴν ἀκμήν. ¶ Τανηλεγέος, παρατεταμένην ἔχοντος τὴν ἀλγηδόνα μακροκοιμήτου τανηλεγέος θανάτοιο.
Τ ανθαλύζει. τρέμει συνεχῶς. οἱ δὲ, σπαίρει. ¶ Τανθάρεον, ἐρύθημα. ¶ Τανίφυλλος, μακρόφυλλος.
Τ ανίσφυρος, ὀρθόσφυρος, εὔσφυρος, λεπτόσφυρος.
Τ ανόδρυστος, ὁ ζῶμος παρασκευαστικός. ¶ Τανυοῦφῆ; λεπτοϋφῆ. ¶ Ταντάλεσθαι δάκρυα. στάζει δάκρυα. ¶ Τανύγλωσσοι, μακρόφωνοι. ἢ τεταμένην ἔχοντες τὴν γλῶτταν. ¶ Ταντ αλίζεται, σαλεύεται. ¶ Τανυγλώχινος, τεταμένας τὰς γωνίας ἐχόντων. ¶ Τανύει. ἐκτείνει. ἕλκει. τείνει. ¶ Τανυηκὲς, τὴν ἀκὴν ἔχον παρατεταμένην. ¶ Τανυηκέας, ἐκτεταμένοις ὄζοις. ¶ Τανύοντο, ἐξετείνοντο, ἔτρεχον, ¶ Τανύποδα. μονύχια πώλοι. ¶ Τανύοντο ὑπὸ τῶν οὐρῶν ἐξετείνοντο διὰ τὴν λιπαρείαν. τανύοντο διὰ φλογὸς ἡφαίστοιο. ¶ Τανύπεπλος, μακρόπεπλος. ¶ Τανύποδας ἐρινῦς. ταχύποδας ἐν τάχει τιμωρουμένας. ¶ Τανύπτερος, μακρόπτερος, τεταμένα ἔχων πτερά. ¶ Τανυπτερύγοις, τὰς καλύπτρας, διὰ τὸ ὑπὸ τὸ πρόσωπον ἀποτείνεσθαι.
Τ ανυσίφυλλος, ἐκταθείς. ¶ Τάνυσσα, ἐνέτεινα.
Τ άνυσσεν. ἐνέτεινον. ¶ Τανύσσας, ἁπλώσας, ἐκτείνας, κρεμάσας: ¶ Τανύτειχα, διασύτειχα, λεπτότειχα, ¶ Τὰ νῶτα, τὰ ὀπίσθια.
Τ αξάμενοι, ὁρίσαντων. ¶ Τάξις, ἡ ὑπὸ ὀφειλομένοις χρήμασι καταβολὴ, ἢ ἀκολουθία καὶ εἱρμός.
Τ άξος, δένδρον τι ὀρεινόν. ¶ Τάξω, συντάξω. θήσω. ¶ Ταπεινὸν, χθαμαλόν.
Τ άπιδας, τάπητες. ¶ Τὰ ὅπλα τοῦ φωτὸς τὴν φυ

Σ χιστὸν, προσκεφάλαιον. ¶ Σχιδὸς, χιτών τις ποιὸς γυναικεῖος, κατὰ τὸ στῆθος πόρπῃ συνεχόμενος.
Σ χοίαρ, παύσαιντο, ἐπίσχοιεν. ¶ Σχοίητε, νομίσητε, ὑπολάβητε. ¶ Σχοίνικος, ὁ ἀμφιαράου ἡνίοχος, καὶ ὄρνις τίς. καὶ φυτόν. ¶ Σχοινίνην, φωνὴν τὴν σαθρὰν καὶ διερρωγυῖαν. ¶ Σχοίνινος, ἠθμὸς, δι' οὗ τὰς ψήφους οἱ δικασταὶ εἰς τὰς ὑδρείας καθιᾶσιν. ¶ Σχοινίον τὸ μεμιλτωμένον ἔρραινεν, ὑπὲρ τοῦ σοβοῦσαι τὴν ἀγορὰν ὁπόταν βραδύνοιεν ἐπὶ τὴν ἐκκλησίαν. καὶ ἐν τῇ νηὶ ὁ σχοινοδρόμος. καὶ ὄρνις τίς.
Σ χοίνισμα, μέτρον ὁδοῦ, ἢ μέρος. ¶ Σχοῖνος, πόλις βοιωτίας καὶ τὸ τοῦ σχοίνου φυτόν. σχοίνῳ ὑπεκλίνθη.
Σ χοινοτενὲς, ὀρθὸν μακρόν. ¶ Σχοίνιον, τῶν αὐλητικῶν νόμων τίς. ¶ Σχολάσατε, ἠρεμίσατε.
Σ χολαῖον, ἡσύχιον, βραδύ. ¶ Σχολαιότερον, ἠρεμώτερον, βραδύτερον. ¶ Σχολαίων, ἀργῶν.
Σ χολὴ, οὐ μόνον ἡ μηδὲν δρᾶν, ἀλλὰ καὶ τὸ περί τι σχολάζειν, καὶ ἡ διατριβή. ¶ Σχόλια, σημειολογήματα. ¶ Σχομένη, κατασχεθεῖσα, ἀνατείνασα τὰς χεῖρας, καλύψασα τὸ πρόσωπον. ¶ Σχόμενος ὑπὸ δυεῖ. κατασχεθεὶς καὶ συλληφθεὶς ὑπὸ τοῦ δόρατος. ¶ Σχόντες, εἰληφότες, προσχόντες.
Σ χῖρος, ἐχῖνος. ¶ Σχώμεθα, κατασχεθῶμεν.
Σ χῶνται, ἀπόσχωνται.

ΤΟ Σ ΜΕΤΑ ΤΟΥ Ω.

εδ, στόμα. ¶ Σωαλεῖ, παραληρεῖ.
Σ ¶ Σωβεῖς, ναῦς, πορθμὶς, ἔνιοι τὴν παλαιάν.
¶ Σωγάσαι, σιδῶσαι. ¶ Σώεσκον, ἔσωζον.
Σ ώζει, διασώζει. βουλεύεται. ¶ Σώκει, ἰσχύει, βοηθεῖ. ¶ Σῶκες, σωσίοικος, σώοικος ἰσχυρός.
Σ ῶκον, ἀλιάστρον. ¶ Σωκόνδας, ὁ σεμικὸς οἶκος.
Σ ωκόον, σῶα ἀκούοντα τὸν ἑρμῆν καὶ σωσίοικον.
Σ ωλῆνες, οἱ στιασταί ρες. καὶ τῶν ὀστρακοδέρμων τὶ γένος κογχυλίων. τάσσεται δὲ καὶ ἐπὶ τῶν μορίων.
Σ ωλῖνξαι, δραμεῖν. ¶ Σωλοιὸ, ὡς σῶμα, πτῶμα, δέμας. ¶ Σῶμαι, ἔρπω διαειεῖς. ¶ Σωμαλόφος, ὁ κατειλημμένος σώματι τὰ σκύτινα αἰδοῖα.
Σ ωματοφύλαξ, δορυφόρος, νωτοφόρος, καὶ ὁ βασιλικὸς φύλαξ. ¶ Σῶν, σῶον, ἡ βλάστησις ἀπὸ τῶν σιβύσθαι ἀττικοὶ δὲ σωζόμενοι. ¶ Σῶον, ὁλόκληρον, ὑγιαῖνον. ¶ Σώοντες, σώζοντες κρύπτοντες.
Σ ώοιντο, ὡρμῶντο, ἔρχοντο. ¶ Σωπιαίνουσι, οἱ κύνες παρὰ ξενοφῶντι. ¶ Σώρακον, ἀγγεῖον εἰς ὃ σῦκα ἐμβάλλεται, ἢ ξυλακανθάλια. ¶ Σωρεύει, βουνίζει
Σ ωρηδὸν, κατὰ σύστημα σεσωρευμένον. λέγεται δὲ ἐναριθμητόν. ¶ Σωρεία, πλῆθος. ¶ Σωρωνὶς, ἐλάτη καὶ πόλις. ¶ Σωρὸς, συναγωγὴ ἢ θεσμοῦ διαφέρει. ¶ Σῶς, ὁ ὁλόκληρος καὶ τέλειος ὁ σωζόμενος καὶ σῶος ὑπάρχων. ¶ Σώσικες, οἱ ἰφθοὶ κύαμοι. ¶ Σωσίβιοι, οἱ κωβιοί. ¶ Σωσίοικος, ὁ τοὺς οἴκους σώζων. ¶ Σωσόλεθρος, ὁ πρόδηλος καὶ φανερὸς καὶ μέγας καὶ τέλειος. ¶ Σωρὴχ, ἐκλεκτή.
Σ ώστεος, σωθῆναι ἄξιος. ¶ Σῶστρα, σωτήρια, μήνυτρα, λύτρα, ὕμνος, ᾠδή. ¶ Σωστεύματα, τὰ τοῦ ζυγοῦ ξύλα, καὶ ὁ ἐπὶ τοῦ ῥυμοῦ σίδηρος. ἐπίσωστρον.
Σ ῶται, ὁρμᾶται, ἔρχεται, πορεύεται. ¶ Σωτεύματα, σωζεύματα. ¶ Σώτειρα, ἡ ἀθηνᾶ παρὰ τοῖς ἕλλησιν, κατὰ καλλίμαχον. αὐτίδοτός τις.
Σ ωτέος, σωθῆναι ἄξιος. ¶ Σωτὴρ, ὁ τοῦ ἀλὸς χόνδρος, καὶ ὁ ζεὺς, καὶ ὁ ἐλευθέριος, ὁ λυτρωτής.
Σ ωτηριακὸν, τὸ εἰς ἐκφορὰν νεκροῦ διδόμενον.
Σ ωτήριος, ὁ οὔριος ἄνεμος. ¶ Σωτηρίου ἐξιλασμοῦ
Σ ωτῆρος διὸς, οὕτω τὸν τρίτον κρατῆρα καλούμενον.
Σ ωφράγγες, σωφρονέστεροι. ¶ Σωφρονιστῆρες, τῶν ὀδόντων τινὰς οὕτω λέγουσιν. ¶ Σώφρων, φρόνιμος καθαρὸς ἁγνός. ¶ Σωφρονίζεται, σεμνύνεται
Σ ωφρονιστὴς, νουθετητής. ¶ Σωφροσύνη, σοφία, ἐπιστήμη. ¶ Σωχεῖν, τρίβειν. ¶ Σωχὶς εἶδος ἀμπέλου. ¶ Σωχομένοις, τριβομένοις. ¶ Σωχὸς, ὁ τῶν κορίτων πατήρ. ¶ Σώοντες, κρύπτοντες.

ΑΡΧΗ ΤΟΥ Τ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Α.

Τ ὰ, ταῦτα, ἅ τινα αὐτὰ, ἀναφορικῶς, ἀλλὰ τὰ μὲν προτετύχεαι, ἐάσομεν. ¶ Τάα. ἅ τινα, ἢ τοιαῦτα
Τ ὰ ἁνδάνοντα, τὰ ἀρέσκοντα. ¶ Τὰ αἰσχίω, τὰ χείρω. ¶ Τὰ ἀμείνω, τὰ κρείττονα.
Τ ὰ ἀπὸ τρίποδος. παροιμία ἐπὶ τῶν ἀληθῶς λεγομένων, ἤγουν ἀπὸ τοῦ δελφικοῦ τρίποδος. ἢ ἀπὸ τοῦ πυθαγορικοῦ. ¶ Τὰ βάθη, τὰ ἀχώρητα, τὰ ἀκατάληπτα.
Τ αβιὴλ, ἀγαθοῦ θεοῦ. ¶ Ταβάλα, ταβῦλα ὑπὸ πάρθων οὕτω καλεῖται ὄργανον κιβάνῳ ἐμφερὲς, ᾧ χρῶνται ἐν τοῖς πολέμοις ἀντὶ σάλπιγγος.
Τ αγαῖος, ὁ ἐξ ἐπιταγῆς τι ποιῶν. ¶ Ταγαῖς, ἀρχαῖς, ἡγεμονίαις. ¶ Τάγανα, ταῦτα κρατοῦν.
Τ αγατίζων, κιχλίζων. ¶ Ταγὴ, βασιλικὴ δωρεὰ καὶ ἡ σύναξις τῶν πρὸς τὸ ζῆν ἀναγκαίων.
Τ αγηνία, πέμματά τινα τηγάνων οἱ δὲ τὸ ὑγρὸν ἐπιχεόμενον τηγάνῳ, ᾧ προσβάλλεται μέλι. σησάμη. τυρός. ¶ Τάγηνον, τήγανον. ¶ Τάπλος, φλοιῶλός.
Τ άγιος, κῆρυξ. πρεσβύτης, ὀξὺς, ταχὺς, βάσιμος.
Τ αγοὶ, προστάται, ἄρχοντες, ἡγεμόνες. ¶ Ταγεῖα τὰ ἐλάχιστα. τὰ τυχόντα. ¶ Ταγόνατε, μακεδονική τις ἀρχή. ¶ Ταδ' ἄποινα. τὰ δὲ λύτρα.
Τ ὰ δὲ, ταῦτα. ¶ Τὰ δ' ἔρημα φοβεῖται, τὰ δὲ πρόβατα ἔρημα γενόμενα τῇ τοῦ ποιμένος φυγῇ.
Τ ὰ διάβουλα, τοὺς διαλογισμούς.
Τ αθὶς, ἁπλωθείς. ¶ Τατθίον, μαστὸς, τιτθίον.
Τ ὰ ἴκος*, διοικητής. προστάτης.
Τ αιναρίας. παρὰ λακεδαιμονίοις, ἑορτὴ ποσειδῶνος, ὁ ἐν αὐτῇ ταιναρισταὶ, ταίναρον γὰρ πεδίον λακωνικόν. ¶ Ταῖς θεαῖν, ταῖς θεαῖς. ¶ Ταινία, στέμματα τῶν ἱερέων. διαδήματα ἀρχιερατικά. ἢ ζῶναι ἢ στέφανοι, κόσμοι. ἢ δεσμοὶ ἱεροί.

ῥάχεως ὅ ἐστι καὶ τῶν σκορπίων αἱ ἐπὶ τῶν κέντρων περιγραφαί. ¶ Σφοργᾶν, λιμᾶν. ¶ Σφοῦ, τοῦ αὐτοῦ τοῦ ἰδίου, ἢ ἀπ' αὐτοῦ. ¶ Σφραγῖδες, αἱ ἐπὶ τῶν δακτυλίων καὶ τὰ τῶν ἱματίων σημεῖα.

Σ Σφραγιδονυχαργοκομήτας, τοὺς ἔχοντας σφραγῖδας ἐν τοῖς δακτυλίοις ὄνυχας λευκοὺς καὶ κομῶντας.

Σ Σφραγὶς, χελώνη, καὶ ὁ ἐν τῷ δακτυλίῳ λίθος, ἢ σμάραγδον. ¶ Σφηρὸς τὸ τοῦ ἱματίου σημεῖον.

Σ Σφριγαί, ἀπειλαὶ ὀργαί. ¶ Σφριγᾶ, περισπᾶται, περιτείνει, ἄλλοι σφύζει, πλήρης τυγχάνει, μάλιστα δὲ ἐπὶ θηλείας, εὐσωματεῖ, ἀκμάζει, νεάζει, κοπριᾶ.

Σ Σφριγανὸν, ἀκμαῖον δαψιλὲς σφοδρόν.

Σ Σφριγῶν, ἀκμάζων, νεάζων, αὔξων. ¶ Σφριγῶντα, ἐπηρμένον ἰσχύοντα. ¶ Σφριγῶσα, πεπυκνωμένη, συνεστηκυῖα, ἰσχύουσα. ¶ Σφυγμὸς, φλεγμονή, κυρίως δὲ ὁ παλμὸς τῶν ἀρτηριῶν.

Σ Σφυρὰ, ἡ περιφέρεια τῶν πολῶν. ¶ Σφυλῶν, ἰσχυρὸς εὔρωστος σκληρός. ¶ Σφύζει, πηδᾷ φλεγμαίνει, καίεται, στέλλεται ἡ φλέψ. ¶ Σφύρα, ἐργαλεῖον, τεχνικὸν ἢ χαλκευτικόν. ¶ Σφυρὰ, τὰ περὶ τοὺς ἀστραγάλους. αἱ περιφέρειαι τῶν ποδῶν, ἢ τῶν ὀρῶν τὰ ἐπίπεδα καὶ κατώτατα, ἢ ἡ παρά τισι λεγομένη κέστρα ἰχθὺς θαλάσσιος.

Σ Σφυράδες, τὰ διαχωρήματα τῶν αἰγῶν καὶ προβάτων οἱ δὲ, σπυρίας. ¶ Σφυρήλατος, σφύραις ἐληλασμένος οὐ χωνευτός. ¶ Σφυρήματα, τὰ σιδήρεα ὅπου χεῖται σφυροῦται. ἡ λέξις περὶ τοῖς τὰ ἰατρικὰ γεγραφόσι. ¶ Σφυρὸν, σφοδρόν. ἢ τὸ ἐπάνω τῶν ἀστραγάλων. ¶ Σφύρωσις, διάρασις. ἢ ἐν κύκλῳ τὰ πέλματα. ¶ Σφῶ, ὑμεῖς ἢ ὑμᾶς. ¶ Σφῶε, ἑαυτούς. ἔστι δὲ τοῦ τρίτου προσώπου. ¶ Σφῶϊν, ὑμῖν καὶ ὑμῶν καὶ αὐτοῖς.

Σ Σφωΐτερον, ὑμέτερον, ὑμῶν τῶν δύο.

Σ Σφῶν. ἑαυτῶν.

ΤΟ Σ ΜΕΤΑ ΤΟΥ Χ:

Σ Χᾶ, σχάζει. ¶ Σχαδόνες, τὰ κηρία τῶν μελισσῶν ἔνθα οἱ σκώληκες. οἱ δὲ τὴν ὑποβάλλουσαν ἡδονὴν σχαδόνα. ¶ Σχαδών, κυβευτικὸς βόλος. ¶ Σχαλίδες, δι' ὧν σχάζονται τὰ δίκτυα ὀρθὰ ἑστῶτα. ¶ Σχαλίσαι, θλάσαι. καὶ ἀνίσχαλον τὸ ἄτοκον καὶ ἀθήλαστον.

Σ Σχαλὶς, τὸ δίκτυον. ¶ Σχάσαι. μετάβαλε.

Σ Σχάσει, ἀφήσει. ¶ Σχάσον, ἄφελκε, κατάπαυσον.

Σ Σχαστηρία, ὁρμητήρια καὶ μέρος τι ἐν τῇ νηΐ.

Σ Σχαῦδαι, ἰσχνόφωνοι. ¶ Σχέδην, ἡσυχῇ βάδην.

Σ Σχεδία. μικρὰ ναῦς, ξύλα ἃ συνδοῦσι, καὶ οὕτω πλέουσιν, ἢ ὅπλα τὰ ἐκ χειρὸς τιτρώσκοντα.

Σ Σχεδιάζειν, ἐγγίζειν ἐκ παρατυχόντος ἐν ἑτοίμῳ λέγειν λέγεται δὲ καὶ ἐπὶ τοῦ ταχέως ποιεῖν.

Σ Σχεδιασθεὶς, ἐγγισθείς. ¶ Σχέδιοι, εὐτελεῖς.

Σ Σχεδίη, συνάφεια, κοινωνία.

Σ Σχεδίη, σχεδία καὶ τὸ ἐκ χειρὸς παρατάξαι. οὕτω λέγεται καὶ ἡ εἰκαίως πεποιημένη ναῦς. διάβασις γέφυρα. ζεῦγμα. ¶ Σχέδιον, τὸ δόρυ, ὃ μὴ ἀκοντίζεται, ἢ τὸ αὐτοπρεπῶς γενόμενον. ἢ ἐκ τοῦ σύνεγγυς.

Σ Σχεδόθεν, ἐγγύθεν. ¶ Σχεδὸν, ἐγγὺς ἐκ χειρός.

Σ Σχεδρὸς, τλήμων καρτερικός. ¶ Σχέθεν, ἔμεινεν, ἐκρατήθη ἐπέσχεν. ¶ Σχεθέτω, ἐπισχεθήτω, ἐπισχέτω. ¶ Σχέθον, κατέσχον. ¶ Σχέθων, κατέχων. ¶ Σχελίδες, κρέα ἐπιμήκη τετμημένα. οἱ δὲ πλευρίδας. ¶ Σχέλινος, ἀγρία κυπάρισσος, οἱ δὲ ἄρκευθος. ¶ Σχέμα, σχῆμα, ἀχαιοί. ¶ Σχεῖτη, ἐμεῖ. ¶ Σχεθήτω, κατασχεθήτω. ¶ Σχελωάζει, φλυαρεῖ. ¶ Σχενδυλολῆπται, ἐσχενδυλῆσθαι ἔλεγον τοὺς ἐν τοῖς ταύροις. ἀπὸ τοῦ χαλκευτικοῦ ὀργάνου ὃ σχενδύλη λέγεται. ¶ Σχέραφος, βλασφημία λοιδορία. ¶ Σχερίη, ἡ σχερία ἡ τῶν φαιάκων χώρα, ἡ νῆσος, καὶ ἡ κουρὰ τὸ πρότερον οὕτως ἐκαλεῖτο.

Σ Σχερὸν, κῦμα ἔρημον ἀμεβίας.

Σ Σχερὸς, ἀκτὴ αἰγιαλός. ¶ Σχέσις, ἐποχὴ, κατάστασις, συγγένεια φιλία. ¶ Σχετικὴ, κατασχετικὴ, οἰκείωσις. ¶ Σχετικὸς, ὁ πρός τινα ἔχων σχέσιν καὶ ἐγγύτητα. ἔστι δὲ τὸ πρός τι. ¶ Σχετικῶς, οἰκειωτικῶς. ¶ Σχετλιάζει, δυσφορεῖ, δυσχεραίνει, δυσπατεῖ. ¶ Σχετλιαζέτω, βαρείσθω, ἀποδυσπετείτω, σχέτλιον γὰρ τὸ ἄδικον. ¶ Σχετλιάζων, ἀδικούμενος. ¶ Σχέτλιαι, δειναί. ¶ Σχετλιασμοὶ, δυσχρηστίαι, δυσφημίαι ὀδυρμοί. ¶ Σχέτλιον, χαλεπὸν, ὀδυνηρὸν, ἄπορον, ἄθυμον, ἀτυχὲς, ἄδικον.

Σ Σχέτλιος, τάλας ἀγνώμων, φορτικός. στεναγμοῦ ἄξιος χαλεπός. ¶ Σχίδακας, κλάσματα ξύλων.

Σ Σχῆμα. πλάσμα, ἱματισμὸς, διάθεσις, κόμπος.

Σ Σχηματιζόμενοι, προσποιούμενοι, σχῆμα ἐπιδεικνύντες.

Σ Σχηματισμὸς, πλάσμα. ¶ Σχηματοβόλον, ὅπερ ἐπὶ τῶν δικαστῶν τούτοις ἐλάμβανον.

Σ Σχήσει, ἐφέξει, καθέξει. ¶ Σχήσειν, ἀνθέξειν κωλύσειν, παύσειν. ¶ Σχήσεις. προσέξεις.

Σ Σχήσεσθαι, κατασχεθήσεσθαι. ¶ Σχήσεται, ἀνθέξει.

Σ Σχῆσις, ἕξις, ὁρμή. ¶ Σχήσουσι, κωλύσουσι, παύσουσιν, ἐφέξουσιν. ¶ Σχήσων, ἐφέξων, καὶ τὰ ὅμοια. ¶ Σχητηρίαν, ἄγκυραν, ὁρμητηρίαν.

Σ Σχίδαι, σχίδες σινδόνος τμῆμα.

Σ Σχίδαξ. κλάσμα ξύλου.

Σ Σχίδια, ὠμόλινα. ¶ Σχῖδος, τὴν ἀπόσχισιν.

Σ Σχίζα, ἡ λαμπάς. ¶ Σχίζης. σχίζαις,

Σ Σχιδακίζει εἰς τὰ ξύλα. ¶ Σχίδαξ, τῶν ξύλων.

Σ Σχιζομάνδρους, τοὺς συκοφάντας. ¶ Σχιζόποδες, τῶν ὀρνέων τὰ ἔνυδρα. ¶ Σχίζαισι. σχίδαξι.

Σ Σχῖνος, εἶδος σμαράγδου ἐρριπισμένου.

Σ Σχινάτας, σχινατίων ἀγών τις ἐπιτάφιος ἐν Λακεδαίμονι. ¶ Σχίνδεν, θερμάστριον. ¶ Σχῖνον διατρώγειν, εἰώθασι τὴν σχῖνον τρώγειν οἱ καλλωπιζόμενοι ἕνεκα τοῦ λευκαίνειν τοὺς ὀδόντας. ¶ Σχινοκέφαλος εἶδος φυτοῦ. ¶ Σχῖνος τὸ τέλλιον καὶ ἡ σκίλλα. καὶ εἶδος φυτοῦ. ¶ Σχινοῦντα, νῆσος ἐστι σχινοῦσα φωκίδος. ¶ Σχῆμα τρίδος, τὰ σχίσματα. καὶ ὀρχηστικὸν σχῆμα. ¶ Σχηματώδης, ὁμοίως. ¶ Σχισμὴ, διαχώρισις. ¶ Σχιστὰ, τὰ γράμματα, καὶ τὰ κρόμμυα.

οἷς οὐδὲ χανεῖν ἐφίεται. ¶ Συστραφέντες, συνελθόντες. ¶ Συστρεμμάτων, θορύβων, πλάνων.

Σ υστροφὴ ἴλιγξ ὑδάτων, ἢ σκοτισμός. ¶ Συτάσει, ἱκετεύει. ¶ Σύτοι, ὥρμησαν, ὁρμᾶ αὐτῇ λαθεῖν, αὐτὴ κόντισιν. ¶ Συφαιὸς, χοιροβοσκός. ¶ Σύφακα, γλεῦκος. ¶ Συφακίζειν, ὀπωρίζειν.

Σ ύφαρ, γῆρας τὸ ὑπέρτατον. οἱ δὲ τὸ τοῦ ὄφεως καὶ τὸ ἐρρυτιδωμένον σῦκον, ἢ τὸ ἐπὶ τοῦ γάλακτος ζοφῶδες.

Σ υφεὸς, τόπος. ὅπου αἱ σῦς τρέφονται.

Σ υφεοὶ, οἱ τῶν συῶν οἶκοι. ¶ Συχνὰ, πυκνά, συνεχῆ πολλά. ¶ Συχνοῖς, συνεχέσι καὶ τὰ ὅμοια.

ΤΟ Σ ΜΕΤΑ ΤΟΥ Φ.

Σ φάγιον. πρόβατον, θῦμα, ἢ ἐν ᾧ τὸ τῶν ἱερείων ὑποδέχεται αἷμα τόπος.

Σφαγὴ, ὁ κατὰ τὴν κατακλεῖδα τόπος.

Σ φαγία, ἡ ἐπὶ ἱερουργίας ἡμέρα. ¶ Σφαγὶς, τὸ προκάρδιον, καὶ ἡ τομή. ¶ Σφαδάζει, βράζει, διεσθανάται. χαλεπῶς φέρει, δυσπαθεῖ, ἀγανακτεῖ. δυσφορεῖ, ἀτακτεῖ, μετὰ χολῆς ὀργίζεται καὶ μετὰ δόλου πολλοῦ, ἢ μετὰ σπασμοῦ πολλᾶ μαίνεται. σκύλλει. διασείει, θυμοῦται, ταράττεται, ὑπὸ ῥεύματος ζέοντος.

Σ φαδασμὸς, σπασμὸς καὶ τὰ ὅμοια.

Σ φαδάζουσα, ῥηγνυμένη. ¶ Σφαδανὸν, σφοδρὸν καταπληκτικόν. ¶ Σφαίλειν πλῆσαι.

Σ φαιραγοῦντα, ἐψόφουν. ¶ Σφαιρηδὸν, περιφερές, στρογγύλον ὡς σφαῖρα. ¶ Σφαιρωτῆρ, ζωνίχιον σανδαλίου. σκύτος, κόμμα λώρου.

Σ φακελισμὸς, παραπληξία. ¶ Σφακελίσαι, κακωθὲν, καταφθαρέν. ¶ Σφακελίζει, κρούει, τοῖς ποσὶ κινεῖ δεινῶς. ὀδυνᾶται. σπᾶ. διασπᾶται, ἀλγύνεται, σφακελισμὸς γὰρ καὶ σφάκελος, ἡ ἄμετρος ὀδύνη καὶ ἡ μετὰ σπασμοῦ τῆς χολῆς πρόεσις, καὶ ἡ τῶν ὀστέων σῆψις. ¶ Σάκια, τῆς ἀμπέλου τὰ κλήματα.

Σ φακὸς, χόρτος, ὃν ἡ ἐκτίνη ἐσθίει. οἱ δὲ τὸ ἐπὶ τῶν δρυῶν ἐπιγεννώμενον, ὃ καλοῦσι βρύον οὐκ εὖ. ἐκεῖνος γὰρ φακὸς λέγεται. ¶ Σφακώδη, κλιτὴν καθ' ἣν ὁ φακὸς ἔφυεν. ἔστι δὲ ἄγριον φυτόν.

Σ φαλάσσειν, τέμνειν κεντεῖν. ¶ Σφαλεῖον, ἀπὸ τοῦ χοῖρον, ψαθύριον. ¶ Σφαλερὸν, ἐπικίνδυνον, σαθρὸν, ἀβέβαιον. ¶ Σφαλερὸν, ἀπισφαλὲς ἐπικίνδυνον. ¶ Σφάλμα, ἁμάρτημα. ¶ Σφάλλειν, κλίνειν, καταβάλλειν ἁμαρτάνειν. ¶ Σφαλμᾶ, σκιρτᾶ, σφάλλεται. ἄλλοι ἀντὶ τοῦ σφαδάζειν τετάχθαι φασί. ἔνιοι μετὰ ἐπιθυμίας τι πράττειν.

Σ φάλλον, κολάκευσον. ¶ Σφάλλονται. ἁμαρτάνουσιν. ¶ Σφαλλὸς, ἔστι τὸ ξύλον πολλῶν δεσμωτήριον οἱ δὲ κορμὸν ἢ δίκον, ἄλλοι δισκοειδές τι σκεῦος, μολύβδινον, ἔχον κρίκον, ὃ δεσμοῦντες ὑπὲρ τὴν κεφαλὴν ῥίπτουσιν ἐν τοῖς ἀγῶσι. ¶ Σφάνιον, κλινίδιον. ¶ Σφαραγεῖ σφραγίζει, βροντᾶ, ταράττει, ψοφεῖ. ¶ Σφαραγοῦντο, κατεπονοῦντο, ἐφλέγοντο, ἐψόφουν. ¶ Σφάραγγος. βρόγχος τράχηλος λαιμὸς ψόφος. ¶ Σφὰς, αὐτοὺς αὐτὰς αὐτά.

Σ φὲ, αὐτοὺς αὐτὰς αὐτά. ¶ Σφέας, αὐτοὺς κατὰ γιλισιν. ¶ Σφεδανὸν, ἐπιτεταμένον, συντονώτατον σφοδρὸν ὀξύ. ¶ Σφεδανῶν, φονεύων, ὀλλὺς, κτείνων. τινὲς ἐπαιτούμενον; ἄλλοι σύνθετον εἶναι ἐκ τοῦ σφὲ καὶ δανὸν, ὅ ἐστι κτείνων. ἔστι δὲ ῥηματικόν.

Σ φεζόμενοι, ἐπικαθεζόμενοι. ¶ Σφειδρὸν, καθαρὸν εὐώδες. ¶ Σφειλὸν, λοξὸν πυκνὸν εὐκίνητον, προσφυές. δριμύ. ¶ Σφείων, αὐτῶν. ¶ Σφέλας, ὑποπόδιον. ¶ Σφέλα, ὑποπόδια. ¶ Σφέλμα, τὸ ἄνθος τοῦ πρίνου. ¶ Σφενδάλη, δῆμος τῆς ἀττικῆς.

Σ φενδόναι, σφενδόνη ἢ τὴν σφραγῖδα.

Σ φενδόνη, τοῦ δακτυλίου τὸ περιφερὲς, ἡ σφραγίς.

Σ φέρτα. τὰ ἄφορα δένδρα.

Σ φέτερα, ἴδια αὐτῶν. ¶ Σφετέρῃσι, ταῖς αὐτῶν αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.

Σ φετερίζων, εἰς ἴδιον κέρδος κεχηνώς. ¶ Σφετεριζόμενος, ὑφαιρούμενος, ἰδιοποιούμενος:

Σ φετερίζων; ἰδιοποιούμενος, καὶ προσλαμβανόμενος. ¶ Σφέτερον, τὸ αὐτῶν ἴδιον. ¶ Σφετερίσεις ἐπιβλήματα. ¶ Σφέων, αὐτῶν. ¶ Σφῆ, αὐτή:

Σ φῆσι, ταῖς ἑαυτῶν. ¶ Σφηκεία, ἡ κύπρος τὸ πρότερον, καὶ τὰ τῶν σφηκῶν κηρία.

Σ φηκίσκος. τὰ μακρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ συνηγμένα σφηκίσκοι λέγονται, ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνηγμένην ἀπὸ ἔχουσι: καὶ τοὺς λαγαροὺς τοῖς σώμασιν ἀνθρώπους ἢ προκοιλίους.

Σ φηκισμὸς, εἶδος αὐλήσεως; εἰρημένος ἀπὸ τῆς ἐμφερείας τῶν βομβῶν. ¶ Σφηκίωσις, κηρία σφηκῶν.

Σ φηκοὶ, οὐ κεχυμένοι τῇ σαρκώσει, ἀλλὰ συνεσφιγμένοι. ἔνιοι δὲ ῥωμαλέοι. ¶ Σφηκῶν, ποικίλων.

Σ φηκὸς λόφου. τὸ ἄκρον τοῦ λόφου τὸ ἐπὶ τῶν ὤτων ἀποκρεμάμενον τοῦ λόφου ἐπὶ περικεφαλαίας τὸ συνεσφιγμένον. λόφουρον δὲ οἷον λόφου οὐράν.

Σ φῆλαι σαλεῦσαι. κινῆσαι, σφῆλαι. ¶ Σφήκωμα, πύκνωμα, καὶ ὁ δεσμός. ¶ Σφῆλαι, πλανῆσαι: βλάψαι. ¶ Σφηλεῖον, ἀποτυχεῖν ποιήσειεν.

Σ φηλὸν. λοξὸν, πυκνὸν εὐκίνητον. ἄσφηλον δὲ τὸ ἀκίνητον. ¶ Σφηνεὺς, ἰχθύς ποιὸς θαλάττιος.

Σ φηνούμενος, στρεβλούμενος. ¶ Σφῆς, τοῦ ἑαυτοῦ.

Σ φῆσι, ταῖς αὐτῶν. ¶ Σφῆσιν, αὐταῖς ἢ ἀυτοῖς;

Σ φήττιοι, δῆμος τῆς ἀκαμαντίδος φυλῆς.

Σ φίκται, οἱ κίναιδοι καὶ ἀπαλοί. ¶ Σφιγκτὴρ, χιτὼν ταραντῖνοι. ¶ Σφίδες, χορδαὶ μαγειρικαί.

Σ φίδη, χορδή. ¶ Σφὶν, αὐτοῖς ἢ αὐταῖς ἢ αὐτάς.

Σ φίσιν. ἑαυτοῖς ἢ ταῖς ἑαυτῶν. ¶ Σφισίμολος, διαφορὰ ἐπὶ κινήσεως. ¶ Σφόνδυλος, ἢ ἄλιμος, δασὺ ἄνθος, ἄρχον, σκιφρὸν, οἱ δὲ σῖτον. ¶ Σφονδυλοφόροις, τοῖς μετοίκοις. ¶ Σφόδρα, πάνυ πολὺ ἄγαν λίαν. ¶ Σφοδρὸν, εὔτονον ἰσχυρὸν, ὀξύ. στιβαρὸν, εὔτονον. δεινόν. χαλεπόν. ¶ Σφοῖσι, τοῖς αὐτῶν.

Σ φονδύλη, ὁμοιόν τι φασὶ σκαλαφίῳ εἶναι, ὅσμην φαύλην προϊεμένον εἴ τις ἅψεται αὐτῆς.

Π φόνδυλος, σφάχηλος. ¶ Σφόνδυλοι, αἱ ἀμοργαὶ τῶν μελῶν καὶ οἱ τῶν φυτῶν πυθμένες, ἄλλοι τὰς δικαστικὰς ψήφους. καὶ τὰ ἐπὶ

πλωσις. ¶Συνομαρτεῖ, συνακολουθεῖ.

Σ υνομαρτεύει, σύνεστι καὶ τὰ ὅμοια. ¶Συνόμιλος, σύλλογος, σύνδρομος. ¶Σύνοπτος, σύνοδος.

Σ ύνοπτα, θύνητα, ὁρατά. ¶Σύνοπτρον, σύνοψις ἄστρων. ¶Σύνορος. συγγείτων. ¶Συνόσε. ὁμοῦ.

Σ υνουλοτική. φαρμακίς. ¶Συνουσίωσις, μίξις τίς ἕνωσις, συγγαμία συντυχία. ¶Συνοῦνται, λυπεῖται. ¶Συνοφρυωμένος, λυπούμενος.

Σ ύνοφρυς, μετὰ λόφρων, μεγάλαυχος. ¶Συνοχὴ, ἀθένεια, ἀθυμονία, ταραχή. ¶Συμπαίστως, συμφοιτητής: ὁμότροφος. ¶Συμπερὶ πλημμυρούν, συνακολουθεῖν. ¶Συμπεραθέντων, συγγραφέντων.

Σ υμπολουμένοις, συνιόντας. ¶Σύνρα, ὁμόσε.

Σ υνρεφηῶν, συσκέπων. ¶Συναριθμεῖσθαι, συγκεῖσθαι. ¶Σύνταγμα, πλῆθος, στράτευμα.

Σ υνσοῦσθαι, ἐπὶ τοῦ ἀυτοῦ συμφέρεσθαι.

Σ* υνστίφον, συμπεπυκνωμένην, συμπεφοκῆαν.

Σ υνστρουλῆσαι, συστρέψαι. ¶Συνστύψαι, σκυθρωπᾶσαι. ¶Συνσυνειστής. ὁ πάντα συσσύρων.

Σ ύνταγμα, σύγγραμμα, ἡ ἐκ λόγων τάγμα. συντακτήριον. ¶Συντάξει, παραγγελεῖ. ¶Συντάξασθαι, ἀσπάζεσθαι. ¶Σύνταξις, ἡ τεξάς, ὁ διοίκησις ἡ σύνθεσις. ¶Σύνταξον, παράσχου.

Σ υντ' ἄρτιες, συντεταγμένοι. ¶Συντεμὼν, συντελέσας. ¶Συντετᾶσθαι, διακτᾶσθαι.

Σ υντέθεικα, συνεθέμην. ¶Συντεθραμμένου, συγγενοῦς ἢ ὁμοτρόφου. ¶Συντεθράνωται, συμπέπλωκε.

Σ υντείνας, σπουδάσας. ¶Συντελείας, κακίας.

Σ υντελέσθαι, πληροῦσθαι. ¶Συντελεσθήτω, τελειωθήτω. ¶Συντέρμων, συντελεστής.

Σ υντετμημένου, συγκεκομμένου, συντόμως εἰρημένου.

Σ υντεταραγμένου, συγκεχυμένου.

Σ υντέτηκα, προσκατάκειμαι.

Σ υντευξόμενοι, συντυγχάνοντες. ¶Σὺν τῇ, σὺν αὐτῇ. ¶Συντόμως, διὰ βραχέων. ¶Συντόνη σύστασις. ¶Σύντονον, σφοδρόν, ἰσχυρόν, συνεχές.

Σ ύνζεις αἰνύμενος, ὁμοῦ ζεὺς συλλαμβάνων.

Σ υντρίβει, συνθλᾶ. ¶Συντειβὸς, συνδιατρίβουσα συνοῦσα. ¶Σύντειμμα, ἁμάρτημα.

Σ ύντροφον, συνανάτροφον. ¶Συντροχάσει, καταντήσει, πληρώσει. ¶Συντυχία, συνέντευξις.

Σ υντοχίζειν, συνασωρεύειν. ¶Συνειλάσεσθαι, συνθροίζεσθαι, συνάγειν ποίμνια ἐν ὕλῃ. ¶Σύμφημι, συγχαίρω: ¶Συγχεῖ, ταράσσει, λυπεῖ. ¶Συνῳδὰ, σύμφωνα. ¶Συνῳδία, συγχορεία. ¶Συνωθήσει, συνελάσει. ¶Συνωθούμενοι, συνελαυνόμενοι.

Σ υνῳκισμένων, συνεληλυθότων.

Σ υνωμάρτησε, συνηκολούθησεν. ¶Συνωμόμεθα, συνθώμεθα. συνθήκας ποιησόμεθα. ¶Συνωμοσία, ἡ μεθ' ὅρκων φιλία. ¶Συνωρίδα, ἅρμα δίπωλον.

Σ υνωρίδος, δυάδος. ¶Συνωρὶς, ἅρμα ἐκ δύο ἵππων ἢ συζυγία. ¶Σύνωρον, σύμφωνον. ὁμολογούμενον. ἢ συγγενῆ. ¶Συόαι, βάρβαροι.

Σ υοβαύβαλαι, συῶν αὐλιστήρια καὶ κοιμητήρια.

Σ υοβοιωτοὶ, οἱ βοιωτοὶ σύες. ¶Συορύγχεα, βλαπτικοί. ¶Συὸς ἀγρίου, συάγρου. ¶Συοφόρβια, συῶν ἀγέλαι ἢ χοίρων ἀσφαλεῖς δεσμοί. ¶Συοφορβὸς συῶν τρέφων. ¶Συπαλετίτειος, δῆμος φυλῆς κεκροπίδος. ¶Συπαλκτίοις, κακούργοις.

Σ ύραι, πολυτελεῖς. ¶Συρακοσία, τράπεζα πολυτελής. ¶Σύρας, μαχαίρας, ὅτι πολυτελεῖς διὰ τὸ προοικεῖν ἀυτοὺς πέρσαις εἰμὴ αὐτὶ τοῦ συβαρεῖς, καὶ μήποτε σύβρας, συβράζειν γὰρ τὸ θρύπτεσθαι καὶ χλιδᾶν φασί. ¶Σύρβα, μετὰ θορύβου. ¶Σύρβη, παρὰ τοῖς μεταλλικοῖς. ¶Συρβηνεὺς, κρατῖνος ἐν θράτταις, ἤτοι αὐλητής. σύρβη γὰρ ὁ αὐλοθήκη, ἢ ταραχώδης. ¶Συογάστωρ συοφορβὸς καὶ ὄνομα βαρβαρικόν. ¶Σύρη, πλῆθος. σύρματα ναυμαχίας.

Σ υρία, ἡ παχεῖα χλαῖνα, ἤτοι ἀπὸ τοῦ σισύρνης, ἢ ὅτι ἐν καππαδοκίᾳ γίνεται. οὗτοι δὲ σύροι.

Σ υρία, διὰ τὸ σύρεσθαι ὑπὸ τοῦ κατακλυσμοῦ:

Σ ύριγγες, ἐκ καλάμων πανδούρια, ἢ καταδύσεις εἰς ἀλλήλας ἐμπίπτουσαι. ¶Συρίγγιον, βόθρου κένωμα. δι' οὗ ἐνίεται ὁ ἄξων. ¶Σύριγξ, δορατοθήκη. ἢ ὄργανον μουσικόν. ¶Σύριγγος, αὐλοῦ μουσικοῦ, ἢ τῆς δορατοθήκης τὸ εἶδος. ¶Συρίη ἐνὶ γαίῃ τῇ ἀνὰ πόντον, ὁ νῦν λεγομένη σύρος νῆσος. ἔστι δὲ τῶν κυκλάδων. ¶Συρίνις, κύβοις. μήποτε σύριον λέγει τὸν πέρσην λεγόμενον. διὰ τὸ συρίαν λέγεσθαι γῆν τὴν ἀπὸ φοινίκης μέχρι βαβυλῶνος. ¶Σύριον, ἀσύριον τὸ ἀπὸ συρίας φερόμενον, ὁ δὲ τὸ σέλινον.

Σ υρίσκος, ἀγγεῖόν τι πλεκτὸν, εἰς ὃ σῦκα ἐμβάλλουσι. τινὲς δὲ ὑρίσκον. ¶Συρισὴς, γέρανος ἄγριος.

Σ υρκέσι, σαρξὶν αἰολεῖς. ¶Σύρκιζε, σάρκαζε.

Σ υρμαία, ἀγών τις ἐν λακεδαίμονι, ἔπαθλον ἔχων συρμαίαν. ἔστι δὲ βρωμάτιον διὰ στέατος καὶ μέλιτος. λέγεται δὲ καὶ συρματισμὸς, καὶ ἔστι πρὸς κάθαρσιν. καὶ πόμα δι' ὕδατος καὶ ἁλῶν. ¶Συρματὶς, στρατιά. ἢ τὰ συμψήματα καὶ φρύγανα σύρουσαι καὶ συλλέγουσαι. ¶Συρμίον, λάχανόν τι σελίνῳ ἐοικός.

Σ υρμιστὴρ, ξυλοπώλης, ¶Συρράδος, νόθος μικρὸς ἐν καίοις. ¶Σύρρα, ὤμοσεν εἰς τὸ αὐτό. ¶Σύρτης: χαλινός. ¶Σύρτις, φθορὰ καὶ λύμη. ¶Συρράσσει. συμπίπτει. ¶Συρρέψη, συσκέπη. ¶Συρφετὸς ὄχλος ἢ κονιορτὸς μετὰ κόπρων. τινὲς δὲ χειμὼν καὶ συρμὸς, ἀκάθαρτος. ¶Σύρφη, φρύγανα.

Σ ύρφος, ἢ σέρφος θηρίδιον μικρὸν ὅποιον ἐμπίς.

Σ ύρων. ἕλκων. ¶Σῦς, γυνὴ, ὗς σύαγρος. ¶Σύσκανας, τὸ συσσίτιον. ¶Συσπαστὸν, τῶν τραγικῶν τι ἐγχειρίδιον ἐκαλεῖτο, ὡς πολέμων φησὶ τὸ συντρέχον ἐν αὐλαίαις ὑποκεῖσθαι. ¶Σύσσημον, σημεῖον.

Σ ῦς, σύαγρος. ¶Σύσσιτον, ἄριστον, ἢ τὸ συνεσθίοντι τινί. ¶Συσσοίη, ἡ αὐτεμπόδιστος φθορά.

Σ υσκευὴ, ἐπιβουλή. ¶Σύσκηνος, σύνοικος,

Σ ύσκια, σύνδενδρα. ¶Σύστασις, σύνοδος, συμφωνία.

Σ υστατῶν, συγκροτῶν, συνιστῶν, καὶ τὰ ὅμοια.

Σ υστήσασθαι, πήξασθαι. ¶Σύστινον, στενοχωρημένον, τείχινος χιτὼν, ἢ ῥυπαρὸς, αὐτίμαχος.

Σ υστομώτερον σκάφης. παροιμία ἐπὶ τῶν τὰς σκάφας φερόντων μετοίκων διὰ τὸ ἀπαρρησίαστον.

Σ υνέπεσεν, ἠδύνασεν, ἐξουνίασεν. ¶ Συνέπεσε, συνέβη ἔτυχεν. ¶ Συνεπιτιθεμένων, συνεδρευόντων.
Σ υνεπλάκη, συνήφθη, ἡ μετὰ γυναικὸς ἢ πρὸς ἀνδρὸς πάλη. ¶ Συνεπισχύει, συμβοηθεῖ.
Σ υνεπληρωσάμενος, συμπληρούμενος,
Σ υνεργεῖ, βοηθεῖ. ¶ Συνερανίζειν, συλλέγειν συγκεχομένοις. ¶ Συνερανίζονται, συγκέχυνται.
Σ υνέρεσθαι, συνδρωτᾶν. ¶ Συνέριθοι, συνυφαίνουσαι συνεργοί. ¶ Συνερείσαντα, συνάψαντα.
Σ υνέρξαι, συγκαθίσαι μετά τινος, ὃ συγκαθεῖρξαι τινί.
Σ υνερόμενος, συμβαλλόμενος.
Σ υνέρρεεν, συνέβρεχον. ¶ Συνέρρηκται, συνέφθαρται συμβέβληται. ¶ Συνερρώγει, συνεκεκρότητο.
Σ υνέρχεται, συνάγεται. ¶ Σύνεσις, νόησις.
Σ υνέσκλοκε, συμπέπηγε. Συνεσκηλυμμένην, συγκεκαλυμμένον. ¶ Συνεσποδωμένον, συγκεκομμένην. ¶ Συνεστάλη, ἐφοβήθη, ἐδειλίασε.
Σ υνεστηκὼς, συνηγμένος. ¶ Συνέστησεν, ἐκόσμησεν, ἐπῄνεσεν. ¶ Συνεστιᾶν, συνεῖσαι.
Σ υνέστιοι, συναγωγοί, ὁμοτράπεζοι.
Σ υνεστύφασι, συνεσκυθρωπάκασι. ¶ Συνεστύφει, ὁμοίως ἐσκυθρωπάκει. ¶ Συνεστυφωμένοι, συνεσκυθρωπακότες. ¶ Συνεσὺς, χιτὼν, ὁ συμβλητός.
Σ υνέταξεν, ἐνετείλατο, παρήγγειλε. ¶ Σύνετε, νοήσατε. ¶ Συνετέλεσε, ἀπέλεσε. ¶ Συνετελέσθησαν ἐπληρώθησαν. ¶ Συνετῶσι, σοφιῶσι.
Σ ύνεσο, συνῆκεν. ¶ Συνετὸς, σοφὸς, συγκεκροτημένης
Σ υνευνάζει, μετὰ θεοῦ ἀναπαύεται. ¶ Συνευδοκοῦσι, συγκοινωνοῦσι. ¶ Συνέβλησεν, συνεβάλλετο.
Σ υνεύνιον, σύγκοιτον. ¶ Συνευνόοις, συγκοίτοις, συναποδήμοις. ¶ Συνεφίαζον, εἶα, ἐκάλει, ὠνόμαστο καὶ συνεφόρημα. ¶ Συνεφύροντο, συνεμολύνοντο.
Σ υνέχεον, ἔμιξεν. ¶ Συνεχὲς, ἀδιάλειπτον.
Σ υνέχεται, συμπλέκεται.
Σ υνέχεεν, ἠφάνιζεν, συνέχεον. ¶ Συνεχῆ, ἀναγκαῖα, πυκνά. ¶ Συνεχόμενοι, κρατούμενοι. ¶ Συνεχόμενον, ἐναντιούμενον, ἢ ἀρρωστοῦν. ¶ Συνέχου, κράτει. ¶ Συνεχώρησεν, συνωμολόγησεν συνεπένευσεν. ¶ Συνεχῶς, ἐνδελεχῶς, πυκνῶς, ἀεὶ ἀδιαλείπτως. ¶ Συνέψεσθαι, ἀκολουθῆσαι, ἢ ἀκολουθεῖν. ¶ Συνεψάθη, συνεπλατύνθη.
Σ υνεψία, συμπλέκτεια, ἢ συνομιλήτειαι.
Σ υνεωρακότες, συνεσκεψάμενοι. ¶ Συνῇ, συμπαίζῃ, συνακμάζει. ¶ Συνηβόλησεν, ἀπήντησεν.
Σ υνήγορος, πρεσβευτής. ¶ Συναγηόχει, ἐκόμισεν.
Σ υνήδεται, συγχαίρει, ἐφήδεται. ¶ Συνήθεια, ἔθος.
Σ υνήθεις, ὁμοιοτρόποις, ἐν ὁμοίοις ἤθεσι τεθραμμένοις.
Σ υνήθλησεν, συνηγωνίζοντο. ¶ Συνῆκεν, ἔγνω ἐνόησεν. ¶ Συνήλασε, συνεχώρησεν, ἐδίωξεν.
Σ υνηλάσατο, ἐφιλιοῦτο. ¶ Συνειλημμένα, ἅμα ὁμοῦ συντόμως. ¶ Συνήλιξ, συνδρομὴ ὑπ' αὐτό. ¶ Συνημμένοι, συνδιωκόμενοι. ¶ Συνημοσύνη, συνθῆκαι, ὅρκοι συμβόλαια. ¶ Συνήνεγκε, συνεβάλλετο. ¶ Συνηνέχθη, προσετύγχανε.
Σ υνήορος, συνηρμοσμένη καὶ συνήθης.

Σ υνήργεις, συνέκαμνες. ¶ Συνηρμένον, συγκραθὲν τε ἢ συμπληρούμενον. ¶ Συνηρεφὲς, σύσκιον.
Σ υνηρτίζοντο, συνηθροίζοντο. ¶ Συνήρτυες, συνήρμοττες. ¶ Συναχθείης, συγχαρείης. ¶ Συναχθέντων, συγχαρέντων. ¶ Συναισθάνεται, συνοιδεν.
Σ υνασπικότων, συμπραξάντων. ¶ Συνήσω, πεισθήσομαι. ¶ Συνθάκων, συγκαθέδρων. ¶ Συνθεῖσα, τὰ ἐξ ἐπιβολῆς συμπαγέντα, συνθεῖναι.
Σ ύνθημα, σημεῖον ἀφορμῆς δραματούργημα· σύμβλημα. ¶ Συνθήματος, σημείου. ¶ Σύνθου, νόησον, συνθηκοποίησαι. σύνθου, σύνες, καὶ περὶ σαυτοῦ διαλόγισαι. ¶ Συνθεσίαι, συνθῆκαι. ¶ Συνθεσιάων, ἐντολῶν, συνθηκῶν. ¶ Σύνθεσις, ἁρμονία, κόλλησις. ¶ Συνθετά, συντεθειμένα. ¶ Συντέθεικα, συνεθέμην. ¶ Σύνθετον, τὸ ἐκ διαφόρων πραγμάτων συγκείμενον. ¶ Συνθεύσεται, συνδραμεῖται συνοίσει. ¶ Συνθῆκας, ὅροις.
Σ ύνθημα, σημεῖον, συνθήκη. ¶ Συνθήματα, μαθήματα ποιήματα, συνθῆκαι, σημεῖα. ¶ Συνθηματιαῖοι, οἱ προλαβόμενοι καὶ ἐκδεδομένοι ἔκδοσιμοι.
Σ υνθήσει, συντάξει. ¶ Συνθήκη, διάλεκτος.
Σ υνθραύεσθαι, συντρίβεσθαι. ¶ Σύνθου, κατάθου.
Σ ύνθου, νόησον. ¶ Συνθυμεῖν, συμπείθεσθαι.
Σ υνθύξω, συναντήσω. ¶ Συνία, ταραχή.
Σ υνίασιν, νοοῦσιν. ¶ Συνκάνιος, σύνοδος.
Σ υνιδρῶτι, τῷ καμάτῳ. ¶ Συνιεῖ, νοεῖ. ¶ Συνίημι, νοῶ. ¶ Συνιζήσας, συγκαθίσας, ἐκ τοῦ συνιζάνειν, ἕζεσθαι γὰρ τὸ καθέζεσθαι. ¶ Συνιρνα*, συνέχεις.
Σ υνίσαις, αὐτὶ τοῦ συγκλείεις. ¶ Συνιστάνειν, ἐπαινεῖν φανεροῦν βεβαιοῦν παρατίθεσθαι. ¶ Συνιστορῶ, σύνοιδα.
Σ υνίστωρ, γνώστης, μάρτυς, συνόμιλος, συμπράκτωρ.
Σ ύνιτε, συνέλθετε. ¶ Συνιῶν, νοῶν, φρονῶν.
Σ υγκαλῶ, συνάγω. ¶ Συγκομίσας, συναγαγὼν, ἀθροίσας. ¶ Συγκροτεῖ, βοηθεῖ, συνάγει.
Σ υγκρούεται, συνευφραίνεται. ¶ Συγκυρούσαις, συντυγχανούσαις. ¶ Συλλήπτορα, βοηθόν, συνεργόν. ¶ Συμμητιάασθαι, συμβουλεύεσθαι.
Σ ύνναος, σύνοικος. ¶ Συννενόφεν, ἐσκυθρώπακεν.
Σ ύννευσις, συγκατάθεσις, κατάνευσις.
Σ υννεφὲς, σκοτεινόν. ¶ Σύννοια, λύπη ἔννοια.
Σ υνοισία, διὰ τὸ αὐτὸ συμφέρειν.
Σ υννοεῖ, ἐννοεῖ, ἐνθυμοῦ. ¶ Σύννομα, σύνδρομα, ὁμόφρονα. ¶ Σύννομοι, συνήθεις.
Σ ύννοια, κατηφεῖς. ¶ Συνωρίς, ξυνωρίς, ξυνωρίς, ξύγα.
Σ υνόβαυνοι, συναυλιστήρια καὶ κοιμητήρια.
Σ ύνοδος, πολλῶν παρουσία ἢ συνοδοιπόρος.
Σ υνωθούμενος, συνδρεγόμενος. ¶ Συνοικεῖται, σύνοικοι. ¶ Συνοίκια, τὰ πλείονα ἐφέστια.
Σ υνοίσειν, συνεισενεγκεῖν. ¶ Συνοίσεται, συμπείσεται
Σ υνελεύσεται, συμβαλεῖται.
Σ υνεισόμεθα, συνελευσόμεθα. ¶ Συνοιχήσεται, συναναιρεθήσεται. ¶ Συνοκλάζει, ζεῖ.
Σ υνοκωχή, νόσος λοιδορία μάχη.
Σ υνολκή, ἀναπνευστική, ἀναληπτική.
Σ υνοκωχότε, ἐπισυμπεπτωκότες συνοκωχὴ γὰρ ἡ συμ

Σ υμψηφὶς, βλαβείς, ζωθείς. ¶Συμψηφᾷ, συμψηλαφᾷ. ¶Σύμψηφος, ὁ τὰ αὐτὰ φρονῶν καὶ κατατιθέμενος. ¶Σύν. ξύν. ἅμα. ὁμοῦ, καὶ ἀντὶ τοῦ εἰς, καὶ μετὰ ἀπό. καὶ πρός, καὶ ἀντὶ τοῦ ὁμοῦ.

Σ υνάγειν, μετ᾿ ἀλλήλων πίνειν. ¶Συναγεῖραι, συναγαγεῖν, συνάψαι. ¶Συναγκαλάζονται, συνδιαιτῶνται ἰχνοπρεπεῖς. ¶Συναγηγερκώς, συναθροίσας, συνάξας. ¶Συναγηγερμένων, συναχθέντων.

Σ υναγορεύει. ὑπὲρ αὐτοῦ λέγει. ¶Συνάγεται. συνεληλυθότως ἀπειρονων. ¶Συναγρίδα, θαλάσσιος ἰχθύς. ¶Συναγρόμενοι, συναγόμενοι.

Σ υναγώσκειν, συναγώγιον, συμπόσιον ἔθου.

Σ υνᾴδει, συμφωνεῖ. ¶Συνᾴδοντα, συμφωνοῦντα.

Σ υνάθηνᾷ καὶ χεῖρα κίνει, παροιμία ἀντὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένοις ἀργεῖν.

Σ υναθροίζεται. συνάγεται. ¶Συνακτήριον, συνάθροισμα. ¶Συναίδιος, συνυπάρχων.

Σ ύναιμος, ἀδελφός. ¶Συναινεῖ, συνδοκεῖ, συγκατατίθεται. ¶Σύναινος. ὁμόδοξος.

Σ υναινῶ, συντίθημι. ¶Συναίνυτο, συνελάμβανεν.

Σ υναίρεσθαι, συνερωτᾶν. ¶Συναιρήματα, ἐρωτήματα, συλλαλήματα. ¶Συναιρουμένοις, συμβαλλομένοις. ¶Συναίχμα, σύμμαχε.

Σ υναλλάσσωμεν, συνάγωμεν. ¶Συνάλλαγμα, σύναξις, ἢ σωματικὸν συμβόλαιον. ¶Συναλοιφή, συναγωγή, συγκεχυμένη σύγκλισις. ¶Συναλείφων τὰ αὐτά. ¶Συναλιζόμενος, συναλισθείς, συναχθείς, συναθροισθείς. ¶Συναλισθέντων, συναχθέντων. ¶Συνάλματα. συμπηδήματα,

Σ υναλλακτής. διαλλακτής. ¶Συνανακραθεῖσα, συγκεραθεῖσα. ¶Συναμοίσατε, συμανέγκατε.

Σ υνάορος, σύζυγος, γυνὴ σύγκοιτος συνηρμοσμένη.

Σ υναπάγεται, συμπορεύεται, συνέρχεται.

Σ υναπαρτισμένος, πεπληρωμένος.

Σ υναρχόμενος, συναγωνιζόμενος, συμβαλλόμενος.

Σ υναράσσει. συγκρούει. ¶Σύναρθρος, μετὰ ἄρθρου τοῦ προηγουμένου τῶν ὀνομάτων. ¶Συναράρακται, συγκέκοπται. ¶Συναρία, συνηθία ἀλλόφυλος.

Σ υναρίς, συναφή. φίλος ἁρμονία.

Σ υνάρξει, συμπράξει, βοηθήσει, συλλαβεῖ, ἑνώσει.

Σ ύναρξις. συνουσία καὶ τὰ ὅμοια. ¶Σύναρσις, συναφή. ἁρμονία. ¶Συναρτῶν, συνάπτων.

Σ υνασπιεῖ, συνασπίζει. συμμαχεῖ.

Σ υνασπισμός, πύκνωσις. οἱ δὲ συνασπισμός.

Σ υναυθλήσομαι, διαπράσσομαι. ¶Συναυλία, συμφωνία. ¶Συνάφεια, σύζευξις, ἕνωσις.

Σ υνάχθεται, συλλυπεῖται. ¶Συνάψας, συνδήσας, ἑνώσας, συμμίξας. ¶Συμβαίνοντα, συμφωνοῦντα.

Σ υνδεδραμηκότων, συνελθόντων.

Σ υνδεῖ, συντηρεῖ, συγκοιμᾶται. ¶Συνδεόμενος συνδεδεμένος. ¶Συνδέοντων. συνδεσμούντων.

Σ υνδῆσαι, συγκοιμηθῆναι. ¶Σύνδεσμος, πλοκὴ ὁμόνοια. ¶Σύνδ᾿ ἄειρεν ἱμᾶσι, συνέδησε δὲ τοῖς ἀγκῶσι τῶν ἵππων. ¶Συνδήσας ἄρα τὼ χεῖρε. συνδήσας δὴ τὰς χεῖρας. ¶Συνδιαιωνίζειν, συνδιά-

γειν εἰς αἰῶνας. ¶Συνδιεξέρχου, συνέκπερα.

Σ υνδ᾿ ἡμῖν δαῖτα ταράξαι, συνταράξαι ἡμῖν τὴν εὐωχίαν. ¶Συνδιημέρευσαν, τὴν ἡμέραν συνδιῆγον.

Σ ύνδικος, σύμφωνος, ἢ συνήγορος βουλῆς,

Σ ύνδικοι, οἱ ἐν ταῖς δίκαις βοηθοί.

Σ υνδετικόν, συνδεδεμένον. ¶Σύνδουλος, ὁμόδουλος. ¶Συνδυόμενος, συνδεδεμένος συνυπάρχων, συνών. ¶Συνδραμεῖν, συνθεῖσαι, βοηθῆσαι. ¶Συμφωνῆσαι, συνομολογῆσαι.

Σ υνδυάζειν. συμπράττειν, συμβουλεύεσθαι.

Σ υνδυασμός, συζυγία. ¶Συνεβάλλοντο, συνέθεντο.

Σ υνέβημεν, συνεχωρήσαμεν. ¶Συνεθήμεθα ὡμολογήσαμεν, συνεδοκήσαμεν. ¶Συνεδεῖσθαι, συγκαθίσαι. ¶Συνέθει, συνέτρεχε. ¶Συνέδρα, ἡ στάσις ἣν νῦν στατίωνα λέγουσι. ¶Συνεδρεύουσι, συνέρχονται, εἰς βουλὴν συνάγονται. ¶Συνέδριον, δικαστήριον. ¶Συνέργον, συνεῖργον συνεδέσμευον.

Σ υνέργαθεν, συνεῖχον, ἀνεκώλυον.

Σ υνέχμωτῇ, τῇ ἁρμολογῇ τοῦ ῥαχίλου καὶ τῆς κεφαλῆς τῶν σφονδύλων. ¶Συνέηκε, συνῆκεν.

Σ υνέθετο, συνετάξατο. ¶Συνέθλασε, συνέτριψε.

Σ υνέθεισε, συνέτεμε, λεπτὰ ἐποίησεν, ἀπὸ τοῦ θέσθαι ὃ δὲ τεμεῖν. ¶Συνιείς, νοῶν, νοῶν. ¶Συνίημι ὃ φής. νοῶ ὃ λέγεις. ¶Συνείκανα, σύνοδος.

Σ υνήκει. συμφέρει. ¶Συνείλας, συνειλήσας.

Σ υνειλεγμένα. συνηγμένα. συνηθροισμένα.

Σ υνειλεχώς, συναγαγών. ¶Συνειλέοντων, συλλαβόντων. ¶Συνειλόμενα, συστρεφόμενα.

Σ υνειλοῦνται. συστρέφονται. ¶Συνείλοχας, συνήγαγες, ἤθροισας. ¶Συνείνησις, συνείδησις, διάθεσις. ¶Συνείπετο, ἠκολούθει.

Σ υνείρει, συνάπτει, μιγνύει. ¶Συνεῖρκτο. ἐδέδετο.

Σ υνείρει, συνάπτει. ¶Συνειρόντων, συναπτόντων. εἴρειν γὰρ τὸ ὁμοῦ συνάπτειν. ¶Συνείρεται, συνέσπασται, συνειθορεῖ. ¶Συνεῖπε. συνομολόγησε.

Σ υνεισέφρησεν, συνεισήνεγκεν. ¶Συνέκδημος, συνοδοιπόρος. ¶Συνεκδοχή. ὅταν τὶς ἀπὸ μέρους παραλάβῃ. ¶Συνεκδοχικῶς, συλληπτικῶς.

Σ υνεκόμισε. συνήγαγεν. ¶Συνεκκοσμοῦντο, συνεκφέροντο. ¶Συνέκειτο, συνέτυχεν. ¶Συνεκτικώτατα, κεφαλαιωδέστερα. ¶Συνεκύρωσεν, ἐβεβαίωσε.

Σ υνελάβετο, ἐβοήθησε ἢ κατὰ χεῖρας ἔχει.

Σ υνεληλακότων, ἐλασάντων, ¶Συνελάσωμεν. συμβάλωμεν. ¶Συνέλευσις, σύνοδος.

Σ υνελόντων, συναγόντες. ¶Συνελόντι, συνάγοντι.

Σ υνελόντι φάναι, συντόμως λέγειν ἢ εἰπεῖν.

Σ υνελόντι φῆσαι, ὁμοίως. ¶Συνελόχησε, συνέδρευσεν. ¶Συνέμποροι, σύνοδοι. σύμφωνοι.

Σ υνέμυσε, συνέτριψε. ¶Συνενέγκαι, συμφρονεῖν.

Σ υνενηνεγμένος, συνελθών. ¶Συνενεχθέντων, πειρασθέντων, συλληφθέντων. ¶Συνιέντας, νοοῦντας.

Σ υνεύντης, συνοδιός. ¶Συνεξεβράσθη, συνεξεβλήθη. ¶Συναπαρτισμένος, συνημμένος.

Σ υνεπέρανε, συνετέλεσεν. ¶Συνεπράνθη, ἐπελειώθη: πέρα τι ἀπεβλήθη.

ροιμία ἐπὶ τῶν κειμένων ἐπ' ὠφελείᾳ τῶν βουλομένων, ὅπότε φανῇ σῦκον πρῶτον ὑπὸ ἑρμῆν ἀνετίθεσαν, καὶ ὁ βουλόμενος ἐλάμβανε. ¶ Συκοσπανδίας, ὁ συκοφάντης. ¶ Συκοφάντης, ψευδοκατήγορος, κακοπράγμων. ¶ Συκοφάντευ, οἱ ἐπηρεάζοντες.

Σ υκοφαντία, καταλαλιά. ¶ Συγχαίδαυράπτ, συγκλάδος εἶδος ὑποδήματος. ¶ Σύκχοι, ὑποδήματα φρύγια. ¶ Συλαγωγῶν, ἀπογυμνῶν.

Σ υλᾷ, ἐκδύει συλεύει. ¶ Σύλακον, θύλακον.

Σ υλᾶν, ἀφαιρεῖσθαι γυμνοῦν, σκυλεύειν.

Σ υλήσει, ὅμοιον. ¶ Συληθείς, ἀφαιρεθείς.

Σ υλλαβὰς ὁδοῦ, τοὺς συλῶντας καὶ ἐκδύοντας.

Σ υλλαμβάνει, βοηθεῖ. ¶ Συλλαγνεύσας, συμπορνεύσας. ¶ Συλλέγεται, συνάγεται. ¶ Συλλελογισμένα. ἀπὸ συλλογισμοῦ. ¶ Συλλήβδην, ὁμοῦ συλληπτικῶς, ὡς δι' ὀλίγων πολλὰ εἰπεῖν συντόμως.

Σ υλλήπτορα, συναγωνιστήν. ¶ Συνεργόν, σύμμαχον.

Σ υλλήψεται, ἐργάσεται ἕξει, ὑποδραστεῖ καὶ τὰ ὅμοια.

Σ υλλις, θύλακον. ¶ Συλλογισάμενος, συναγαγὼν τὸν λογισμὸν καὶ θεωρήσας. ¶ Σύλλογος, σύνοδος ἀνθρώπων ἄθροισμα. ¶ Συλλογισμός, ὄνομα τακτικόν. ¶ Σύλον, ἐνέχυρον. ¶ Συλῶ, σκυλεύω.

Σ υμβαλεῖν, συναλλάξαι καὶ ἐνύπνια ἐπιγνῶναι, καὶ εἰς μάχην συμβαλεῖν, συμμίσγειν, συνεῖναι.

Σ υμβαλεῖν, λοιδορεῖν. ¶ Σύμβαθι τὸ ἀπὸ συμβάσεως ὁρισθέν. ¶ Συμβαῖεν, συνέλθοιεν.

Σ υμβαίνοντα, συμφωνοῦντα. ¶ Συμβαλεῖν. διακρῖναι. ¶ Συμβάλλεται, λέγεται.

Σ υμβαλλόμενοι, συναπτόμενοι. ¶ Συμβάλλων, συναρμόζων. ¶ Σύμβαλλε, συναγωνίζου.

Σ ύμβακα, κατηγόρημα συμβεβηκός. ¶ Συμβαίνειν, συμφωνεῖν. ¶ Συμβαρτικαῖς, πρεπικαῖς, ὑποδήμασι φάνοις πολυτελέσι. ¶ Συμβάσεως, εἰρήνης.

Σ ύμβασις, ἐπάνοδος εἰς εἰρήνην ἢ φιλίαν.

Σ υμβατήριοι, εἰρηνικαὶ διαθέσεις. ¶ Συμβεβηκός.

Σ υμβέβληται, ἀπαντᾷ. συνενήνεκται. νενόηται, ὠφελεῖ. συμβεῖ. ¶ Σύμβλα, σύμφωνα λέγειν.

Σ υμβῆναι, συνομολογήσασθαι.

Σ υμβιβάζει, εἰς φιλίαν ἄγει ἢ συλλαλεῖ.

Σ υμβιβασθέντες, διδαχθέντες, διαλεχθέντες.

Σ υμβίβασις. πίστις. διδαχή, πίστις. ¶ Συμβιβάτω, διδαξάτω. ¶ Συμβλημένος, συναντήσας.

Σ υμβλήτω, ἀπάντησιν. ¶ Συμβιβῶσι, συνάπτωσι, διδάσκωσι, συμπεραίνωσι. ¶ Σύμβολα, σημεῖα.

Σ υμβόλαια, κοινωνία χρημάτων, ἢ πράγματα, ἢ γράμματα. ¶ Συμβολαιαγράφος, ὁ τὰ συμβόλαια γράφων. ¶ Συμβόλαιον, συνάλλαγμα.

Σ υγγραφή, ἀσφάλεια γραμματεῖον.

Σ υμβολαί, μάχαι. ¶ Συμβολαίας δίκας, τὰς κατὰ συμβόλαιον. ¶ Συμβολατεύειν, συναλλατεύειν.

Σ υμβολεῖ, συντυγχάνει.

Σ υμβολή, μίξις. ¶ Συμβολῆσαι, συντυχεῖν.

Σ υμβολικῶς, σεσημειωμένως. ¶ Σύμβολον, σημεῖον συμποσίου, ὁρισμός. ¶ Σύμβολος, οἰωνὸς καὶ τὸ διδόμενον τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον.

Σ ύμβοτον, σύννομον, σύνηθες. ¶ Συμβότου, συννόμου.

Σ υμβουάδι, ὑπόδημα χεῖ λάκωνες. ¶ Συμβουλεύς. ἁλιευτικὸν σκεῦος, περὶ ὃ τὰ λίνα πλέκουσιν.

Σ υμβουλή, γνώμη δόσις. ¶ Συμβίκη, εἶδος ὀργάνου.

Σ ύμη, νῆσος. ¶ Συμβῶμεν, συναφθῶμεν. ¶ Συμμάρψας, συλλαβὼν δήσας. ¶ Σύμμαχος, βοηθός.

Σ υμμεμαρτυρημένη, συνειλημμένη.

Σ υμμετρία, ἔνδυμα γυναικεῖον περιῆρες οὐκ ἔχον σύρμα.

Σ υμμίσγειν, ὁμιλεῖν, συνουσιάζειν.

Σ υμμορία, πολιτικὸν σύστημα, πλῆθος σύνταγμα.

Σ υμμορίωντας, τοὺς ἐκ τῆς αὐτῆς συμμορίας.

Σ υμβῆναι, σκοτῶσαι. ¶ Συμμυολόγει. ἀντὶ τοῦ σιωπῶντας. ¶ Συμμυῶν, σιωπῶν. ¶ Συμπάντων, ὁμοῦ πάντων. ¶ Συμπαρομαρτοῦσαν, συνακολουθοῦσαν. ¶ Συμπειραθέντες, συρραφέντες.

Σ υμπατάγησαν, συνεκρότησαν, συνέκρουσαν τὰς χεῖρας πλατείας πλήσαντες.

Σ υμπεριγενόμενον. συμπεριλαμβανόμενον.

Σ υμπεπερονημένους, συρραφέντας περόνῃ.

Σ υμπέσῃ. συμβῇ. συγκροτηθῇ. ¶ Συμπεσὼν συντυχών. ¶ Συμπεφυλλεστινωμένος, συντεθλιμμένος.

Σ υμπιεζούσης, θλιβούσης. ¶ Συμπιτνεῖ, συμπίπτει.

Σ υμπλάττομεν, ψευδόμεθα.

Σ υμπλευσάντων, ὁμονοησάντων. ¶ Συμπνευσμός, ὁμόνοια. ¶ Συμπληγάδες, αἱ παρ' ὁμήρῳ πλαγκταί. ¶ Σύμπλοις, συμπλευτής. ¶ Συμποδίζει, κωλύει. ¶ Συμποθεῖν, καταποθεῖν.

Σ υμποδιστής, ὠμὸς ἐκ τοῦ ἴσου. ¶ Σύμπορ πονδὴν μὴ ῥαφαῖς συνειλημμένον κατὰ τοὺς ὤμους χιτῶνα.

Σ υμπόσιον, τόπος εὐωχίας καὶ πόσεως.

Σ υμπράξει. βοηθήσει, συνάρξει, συλλαβεῖ.

Σ ύμπτωμα. συνάντημα. ¶ Συμβεβηκός, ἐξάπινα.

Σ υμφανές. φανερόν. ¶ Συμφανής. φανερός.

Σ υμφέρει, ἁρμόζει ἀγαθόν. ¶ Συνάδει, συντυχεῖ συντυγχάνει. ¶ Συμφέρεσθαι, συμφωνεῖν συναρμόττειν ἀκολουθεῖν, συντυγχάνειν.

Σ υμφέρον, συνοιστόν. ¶ Συμφορτή, συμφορητή, συνακτή. ¶ Σύμφημι, συναινῶ, συνομολογῶ.

Σ υμφήτωρ. μάντις μάρτυς. ¶ Συμφθαρεὶς συντριβείς. ¶ Συμφόρησις, συμφορὰ συντυχία, σύμπτωμα ἀτυχία, σύναξις. ¶ Συμφορήσας, ἀθροίσας, συναγαγών. ¶ Συμφορίας. συμπεφορημένης, συμμίκτου. ¶ Σύμφορον, ἁρμόζον. καλὸν συμφέρον σύμφωνον. ¶ Σύμφορος, λιμός, ὁ συμπίπτων καὶ σίνων. ¶ Συμφράδμονες, ὁμόφρονες, σύμβουλοι.

Σ ύμφρα. θυσία. ὑπὸ ἀπόλλωνι τελουμένη.

Σ υμφρασθῆμεν, καταπλησθῆναι.

Σ υμφράξαι, συμφράσαι. ¶ Συμφράσατο, συνεσκέψατο. ¶ Συμφυᾶ, ὁμοφυᾶ. ¶ Συμφυλέτι, ὁμοεθνῶν. ¶ Σύμφυλον, τάγμα. ¶ Συμφυράσονται, συμμιγήσονται. ¶ Σύμφυτον, συμπορευόμενον συνόν. ¶ Σύμφυτος, ἡ πεντάφυλλος ῥίζα. ἣν ἔνιοι ἐλένιον, ἔνιοι δὲ μηδικήν.

Σ υμφῦσαι αὐάψαι. ¶ Συμφωνία, ὁμοφωνία.

Σ υμφώνων, ὁμοίων.

διασπείρειν. ¶ Στυφελοί, πάνυ αὐτὶ τοῦ σκληροί.

Σ τυφλόν, ὁ στυφελόν, τραχύ, σκληρόν, βαρύ, ἀργόν, στερεόν. ¶ Στυφοκόμπος, ὁ μάχιμος ἀλεκτρυὼν καὶ ὄρτυξ. ¶ Στυφρόν, στερέμνιον, βαρύ.

Σ τυχοῦσι, διατυποῦσι. ¶ Στύψαι, στυπάσαι.

Σ τύψις, κόλασις. ¶ Στωϊκοί, οὐ μόνον οἱ ἀπὸ ζήνωνος φιλόσοφοι, ἀλλὰ καί τινες γραμματικοί.

Σ τώμιξ, δοκὶς ξυλίνη. ¶ Στωμοδόκον, στωμύλον.

Σ τωμύλια, κομψά. ¶ Στωμύλος, ὁ λάλος. πιθανολόγος, εὐτράπελος περὶ λόγῳ. ¶ Στωμύλλεσθαι. τρανῶς λαλῆσαι. ¶ Στωμυλῶν. λαλῶν.

Σ τωμύλματα, περιλαλήματα.

Σ τωτθυμεράν, διασπείρουσαν συντόνως.

ΤΟ Σ ΜΕΤΑ ΤΟΥ Υ.

Σ ΥΑΓΧΟΣ, ῥίζα, ἐν ᾗ οἱ σῦς θηρεύονται.

Σ ¶ Συάδες, αἱ ὕες ἐσχηματισμένως.

¶ Συανία, λοιδορία καὶ ἡ διὰ χειρὸς μάχη.

Σ ύαρον, συνκλῶνα. ¶ Σύαρτον, βούγλωσσον.

Σ ύας, κύων τις πολυμήνιος. ¶ Σύβας, λάγνος.

Ρ ιζῶν, νεάζων, ἐρεθίζεις. ¶ Ῥέεθρον, ῥεῦμα. ¶ Ῥικνὸν, ὁ ψιν φρικτήν. ¶ Ῥικνοὶ, ἱκανοὶ σερξίν. ἐπικεκαμμένοι, σκαμβοί. σκολιοί. ¶ Ῥικνοῦσθαι, διέλκεσθαι, ἢ παντοδαπῶς διαφέρεσθαι κατ' εἶδος. ¶ Ῥικνοῦται, λεπτύνεται ἐπὶ τῶν ὀστέων τῶν γερόντων.

Ρ ικνοτέροις, ἀσθενεστέροις. ¶ Ῥικνοφυεῖς, τὰς στρεβλὰς καὶ πεπιεσμένας. ¶ Ῥικνώσεται, ῥιστωθήσεται.

Ρ ίμβαι, ῥόμβοι μεγάλαι, ἄμεινον δὲ διὰ τοῦ ξ. ξίμβαι.

Ρ ίμβησις, ἀγκύλη τοῦ ὤμου, οἱ δὲ τὸν βραχίονα τοῦ ἱερείου. ¶ Ῥίμφα, ῥαδίως, εὐχερῶς συνεχῶς. ἢ ταχέως

Ρ ιμφία, ῥαδίως ἔρριψαν. ¶ Ῥινᾶν*, ἐπὶ τοὺς ἐξαπατᾶν καὶ βωκολοῦντας. ¶ Ῥίναι, αἱ μέλαιναι ἰσχάδες. ¶ Ῥίνη, ἰχθύος δορά. ¶ Ῥινηλατεῖν ὄνομα τὸν καθικνούμενον τῇ ὀσμῇ. ¶ Ῥινόβατος, ἰχθῦς ποιός

Ρ ινοβόλαις, ἀνέμοις, ἢ τὰς διὰ τοῦ ἐνέδρας φύσας.

Ρ ινοδίψου, βυρσοδέψου. ¶ Ῥινόκερως, τὸ τετράπουν θηρίον, καὶ ποιὸς ὄρνις ἐν αἰθιοπίᾳ. ¶ Ῥινὸς, δέρμα

Ρ ινὸν, τὴν βύρσαν τὸ δέρμα. ¶ Ῥινοπύλη, μικρὰ πύλη. ¶ Ῥινώτερος, τὸ ὅπλον. ¶ Ῥινοτόρος, ῥινοὺς διατορικῶν, τουτέστιν ὅπλα καὶ φάλαγγας διακόπτων ἢ βυρσοτόμος. ¶ Ῥινοὺς, βύρσας. δέρματα, ἀσπίδας. ¶ Ῥινοχόος, χώνη. ¶ Ῥινφαεῖται συνθήκας. ¶ Ῥινῷ. δέρματι βύρσῃ. ¶ Ῥινοτηρεία, μέρος τι τῆς νεώς. ¶ Ῥιξικάζεται, ῥικάζεται, στοβεῖται. ¶ Ῥίον, ἀκρωτήριον ὄρους. ¶ Ῥίον, ὀινιακόν, ὀινόης τῆς ἀρκαδίας ὄρος χαλεπόν. ¶ Ῥίος, ἄκρα κορυφὴ, ὄρος χαλεπὸν, κρημνός. ¶ Ῥίου. ἀκρωτηρίου

Ρ ιπαῖα, ὄρη σκυθικά. ὅθεν βορρᾶς ὁ ἄνεμος πνεῖ.

Ρ ιπεσι, ψιάθοις, πλέγμασιν ἐκ καλάμων. ¶ Ῥιπὴ, ὁρμὴ βολὴ, ῥοπή. ¶ Ῥιπῆς, ὁρμῆς, βολῆς, ῥοπῆς.

Ρ ιπὴ τῆς ἄνοια, δρόμος, τοῦ ἄγαν ἐκτεταμένου.

Ρ ιπίδιον, μέρος τῆς νεώς. ¶ Ῥιπίζει, φυσᾷ, πνεῖ, πνοὴν πέμπει, ἀνακαίει. ¶ Ῥιπίζεται, ἀνακλίνεται. ¶ Ῥιπίζων, κινῶν. ¶ Ῥιπὶς, ῥιπὶς τὸ πλέγμα, ἢ ἐκ σχοίνων πέτασος ἀττικοὶ δὲ ῥιπίδα ᾧ τὸ πῦρ καίουσι, καὶ ξαπίζας οὕτω λέγουσι. ¶ Ῥιπὶς, τοῦ σκέλους τὸ ἀκροκώλιον. ¶ Ῥιπιστὰ, διαπνεόμενα

Ρ ιπτὸν, μακρόν. ¶ Ῥιπτάζων, ῥίπτων. ¶ Ῥίπτος, ἔδαφος πρὸς κοίτην. ¶ Ῥὶς, ῥὶν, ῥόθων. ¶ Ῥισαντες. φιλονεικήσαντες. ¶ Ῥίσκοι, εἶδός τι μυῶν.

Ρ ισουσα, λυπουμένη. ¶ Ῥίστρον, πτυόν. ¶ Ῥίψαιεν, ἔρριψαν. ¶ Ῥιχνοῦσθαι, κινεῖσθαι ἀσχημόνως.

Ρ ίψασπις, ὁ ἐν τῷ πολέμῳ τὰ ὅπλα ῥίψας ἐκ φόβου δειλός. ¶ Ῥιψοκίνδυνος, παράβολος, τολμηρὸς ἐπὶ κινδύνοις. ¶ Ῥοαὶ, ῥεύματα ῥεῖθρα. πηγαί. ἱππόδρομος. τοὺς καλαμῶνας. πηγὰς χεύματα.

Ρ οάων, ῥευμάτων. ¶ Ῥοβδεῖ, ἀναρριπτεῖ μετ' ἤχου.

Ρ ηβλεῖ. ῥοφεῖ, πνεῖ. ¶ Ῥήβιλλος, βασιλίσκος, ὄρνις.

Ρ όγεν, τὸν φονέα τὸν αὐτόχειρα. ¶ Ῥόγαν, ῥῶγαν.

Ρ ογεῖ, ὀργᾷ. ἀκμάζει, δαμάζει. ¶ Ῥογεὺς, βαφεύς.

Ρ ογία, ἀκέστρια. ¶ Ῥογμίλη, ῥήγματα ἐπιχαρμος.

Ρ ηγοὶ, ὅροι στικτοὶ στρεβλώνες. ¶ Ῥόδαμνοι, κλῶνες βλαστοί. ¶ Ῥοδανὸν, ξυφθρόν. ¶ Ῥοδανὸς, ποτα

Δῆμος ἐν τῇ ἀττικῇ, ὅπου νέμεσις τιμᾶται. ¶Ραμνουσίαν. νέμεσιν, ἐν ῥαμνοῦντι νεμέσεως ἵδρυται ἄγαλμα δεκάπηχυ, ὁλόλιθον. ἔργον φειδίου ἔχον ἐν τῇ χειρὶ μηλέας κλάδον. ¶Ραμοσκίτης, κατάρατος.

Ρ αμφαδίκται, τὸ πυκτεύειν. ¶Ραμφάζω, ῥυγχωδῶσι. ¶Ρομφαία, μάχη. καὶ ὁ πυγμὸς τῆς χειρός.

Ρ αμφηκοπὶς μάχαιρα, ἢ τὰ τῶν ὀρνέων ῥύγχη.

Ρ αμφεσταί, ἰχθῦς ποιοί. ¶Ραμφίς, νεῶς εἶδος.

Ρ άμφος, ῥύγχος τὸ ἐστὶ τὸ στόμα τῶν μεγάλων πετεινῶν. ¶Ραιβὰ γόνατα, βλαισὰ γόνατα. τὸ δὲ αὐτὸ καὶ ῥαιβά. ¶Ραμφὸν, καμπύλον, βλαισόν.

Ρ άνα, ἄρνα, ῥωμαῖοι δὲ βάτραχον. ¶Ρανὶς, σταλαγμός. ¶Ρανᾶται, πλανᾶται, ἀντείρεται. ¶Ραντίζει, σκώπτει. ¶Ρανδὸν, ποικίλον. ¶Ρὰξ, ῥὰξ ὁ τῆς σταφυλῆς. ὃν ἡμεῖς ῥῶγα καλοῦμεν. ¶Ρᾷον, εὐχερὲς, κοῦφον εὔκολον. ¶Ραπατὴν, καλάμην, καὶ τοὺς ἐν αὐτῇ αὐλοῦντας ῥαπάλοις. ¶Ραπίδας, ὑποδήματα περόναι. ¶Ραπιδοποιὸν, τὸν ποιητὴν ἀσωμάτων, ἢ ποικιλτήν. ὁ τὰς ῥαπίδας ποιοῦντα.

Ρ απίζει, σκώπτει, ἀλοᾷ. παίζει, μαστιγοῖ. τύπτει.

Ρ απὶς, ῥάβδος, κροσσίς, κόμη. στρογγυλὶς, οἱ δὲ λαμπάδιον. ¶Ραπίσαι, ῥάβδῳ πλῆξαι, ἢ ἀλοῆσαι.

Ρ άπται, φάραγγες, χαράδραι, γέφυραι. ¶Ράπτειν, μηχανᾶσθαι, κατασκευάζειν. ¶Ράειον. παιδίον.

Ρ άρος, ἰσχυρὸς, καὶ ὄνομα τοῦ τριπτολέμου πατρός. ῥᾶσατε. ῥάνατε. ¶Ρᾷστα, εὐχερῶς εὔκολα. ¶Ραστάζει, πονεῖ, ὠθεῖ, ταράττεται. ¶Ραστὸν, εὐχερὲς εὔκολον. ¶Ραστωνεύεται, ῥᾳθυμεῖ ἀμελεῖ, καταφρονεῖ.

Ρ αστώνη, ῥᾳθυμία καὶ τὰ ὅμοια. ¶Ραστώνης, ζυφῆς τέρψεως ἀναπαύσεως, ¶Ράστωρ, κρατήρ.

Ρ ατάναν, τορύναν. ¶Ρατίζει. πρεσβεύει.

Ρ ατιχεύειν, καταρᾶσθαι. ¶Ρατῶνα, ῥίκτορα σφαγία. ¶Ραυλὸν, ἄγραυλον ἄγροικον. ¶Ραφάνη, κράμβη. ¶Ραφανιδωθῆναι, τοὺς μοιχοὺς ταῖς ῥαφανῖσιν ἤλαυνον κατὰ τῆς ἕδρας, τις γοῦν αὐτὴ τῆς ῥαφανίδος ὀρῶν ὀξυθυμίαν ἔλθοι πρὸς ὑμᾶς. ¶Ραφανὶς, καὶ ῥάφανος διαφέρει παρὰ τοῖς ἀττικοῖς. ῥάφανος μὲν γὰρ ἡ κράμβη, ῥαφανὶς δὲ, ὁ παρ᾽ ἡμῖν ῥάφανος. ζύφων δέ φησι παρὰ δωριεῦσι τὰς μικρὰς ῥαφανίδας λέγεσθαι. τὰς δὲ μεγάλας, ῥάφας.

Ρ άφανος, κράμβη. ¶Ραφανουργοί, κηπουροί.

Ρ αφάσσει, πλανᾶται. ¶Ραφὶς, ὑπόδημα, περόνη, καὶ ἄγριόν τι λάχανον λαμψάνῃ ὅμοιον. καὶ ἡ ῥάβδος.

Ρ άφοι, ὄρνεις τινές. ¶Ραχάδην, ἐστὶ τῆς ῥάχεως.

Ρ αχὰς, χωρίον συνδενδρον ἢ μετέωρον. διὰ τὸ ψόφον ἀποτελεῖν καταπνεόμενον. ¶Ράχιζον. ῥάχις, ὡς πλευρὰ καὶ πλευραί. οἱ δὲ τὴν ῥάχιν τοῦ ἱερείου. ¶Ραχθέντας, σπαραχθέντας. ¶Ραχίζειν, παίειν τὸ ἱερεῖον.

Ρ άχη, ἀπορραχίσματα καὶ ἀποσπάσματα.

Ρ αχία, πᾶς πετρώδης αἰγιαλός. ¶Ραχίζειν, τὸ εἰκαίως ἢ ῥαδίως ψεύδεσθαι. ¶Ραχίζων, διακόπτων διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ τὴν ῥάχιν γίνεσθαι. ¶Ράχι, τὸ σύμφυλον. ¶Ραχὶς ἄκρα, ὀσφὺς, ἢ ἄκανθα τοῦ νώτου. ¶Ραχιστὴς, ψεύστης ἀλαζὼν, μεγαλουργός, μεγάλα κακουργῶν, μεγάλα ψευδόμενος. ¶Ραχοὶ, χοιράδες, στυβαί, σκώματα, ἔνιοι τοὺς σφακέλους τῶν ξύλων, ἄλλοι δὲ τὰς μυρικίνας ῥάβδους. ἔστι δὲ ἀκανθῶδες φυτὸν, ἀφ᾽ οὗ τὸ περίφραγμα. ¶Ραχὸς, ἔλαιον. δηλοῖ δὲ παρὰ τοῖς βαρβάροις τὸν ἐλεύθερον. καὶ ὁ φραγμὸς τῶν τειχῶν. ¶Ράψαι, συνθεῖναι. ¶Ραψῳδία, ἡ σύνταξις τοῦ λόγου, ὁ λόγων συγγραφὴ, ἢ μέρος ποιήματος.

Ρ αψῳδοὶ, ὑποκριταὶ ἐπῶν. ¶Ραψῴδημα, ψεῦσμα, φλυαρία. ¶Ραψῳδὸς, σοφοκλῆς οἰδίποδι οὕτως ἔφη τὴν σφίγγα, καὶ οἱ τὰ ὁμήρου ᾄδοντες ποιηταὶ ῥαψῳδοὶ καλοῦνται. ¶Ρέα, ῥαδίως εὐχερῶς. ¶Ρέας πόρος, περὶ τὸν ἀδριακὸν κόλπον ἔνθα τιμᾶται ὁ [illegible]. ¶Ρεγονάειος, γειτνιῶν χος. ¶Ρέγματα, τὰ βάμματα. ¶Ρέγος, ῥάμμα. βάμμα, ῥάκκος. ¶Ρεγισταὶ, οἱ βαφεῖς.

Ρ έγχειν, ἐστὶ τῶν κοιμωμένων. ¶Ρέδει. πράττει, θύει. ¶Ρεδὶν, ζάχηλος, ἢ ῥεδίνη. ¶Ρεδίων, ἁρμάτων. ¶Ρέειν, ῥεῖν. ἔρρει, ἔρεεν, ¶Ρέε δ᾽ αἵματι γαῖα, κατερρεῖτο ὁ γοῦν ἀπὸ τοῦ αἵματος. ¶Ρέεθρα, ῥεῖθρα, ῥεύματα. ¶Ρεέθρων, ῥευμάτων, ῥείθρων. ¶Ρέζει, πράττει, θύει, ἱερεύει. παρασκευάζει.

Ρ έζεσκον, ἔθυον, ἔπραττον. ¶Ρέζουσι, πράττουσι, θύουσι καὶ τὰ ὅμοια. ¶Ρεθέων, σπλάγχνων, μελῶν, σωμάτων. ¶Ρέθη, μέλη τοῦ σώματος, σῶμα. πρόσωπον. θεῖον. ¶Ρέθος, πρόσωπον, παρειά.

Ρ εῖ, ῥέει, χεῖται. ¶Ρεῖα, ῥαδίως εὐχερῶς, ἰσχυρῶς.

Ρ εῖα ζώοντες, ἀπόνως καὶ ἀμόχθως ζῶντες.

Ρ εῖα κεν, εὐχερῶς ἐνέγκειεν. ¶Ριγεδανοῖς, φοβεροῖς.

Ρ ιγηλά, φοβερά. ¶Ρίγησε βοήν. ἐφοβήθη.

Ρ ειγῖνος. ἀπειράγαθος. ¶Ρείζω, ὠθήσω.

Ρ είος, τῆς ῥέας. ¶Ρεῖθρον, ῥεῦμα, λέγεται δὲ καὶ ῥέεθρον, ¶Ρεινοτέρος, τὰς ἀσπίδας ῥινῶν, ἢ τιτρώσκων. ¶Ρεῖρος, ταλαίπωρος. ¶Ρειτοὶ, ἐν τῇ ἀττικῇ δύο εἰσὶν οἱ πρὸς τῇ ἐλευσῖνι ῥειτοί. ῥοῦς μοί. καὶ ὁ μὲν πρὸς τῇ θαλάττῃ τῆς πρεσβυτέρας θεοῦ νομίζεται. ὁ δὲ πρὸς τὸ ἄστυ, τῆς νεωτέρας ὅθεν τοὺς λιθοὺς ἀγνίζεσθαι τοὺς θιάσους. ¶Ρέκος, ζῶμα, θόνη.

Ρ εκτὸς, αὐθαίρετος, ὁ χιτών. ¶Ρεκτῶν, ἀπὸ μακρῶν, ἢ ἱματίων. ¶Ρέμβεται, πλανᾶται. γυρεύει.

Ρ εμβέσθω, τὰ ὅμοια. ¶Ρεμβονᾶν, σφενδόνας,

Ρ εμεῖ, ὀδυνᾶ. σήπει. ¶Ρεμφθῆναι, ῥέμβεσθαι.

Ρ έμφος, τὸ στόμα ὁ ῥίς. ¶Ρέξαι, ποιῆσαι, θῦσαι.

Ρ έξει, πράξει, θύσει, ἱερεύσει, παρασκευάσει, ἑτοιμάσει, ξέσει. ¶Ρέξομεν, ποιήσομεν, καὶ τὰ ὅμοια.

Ρ έοιν, φθείροιτο ῥέοι. ¶Ροτὰ, ἐκπώματα,

Ρ εόντων, περιρρεομένων. ¶Ρεὸς, ῥεῦμα, ῥεῦμα θεῖον. ¶Ρέπει, κλίνει, βαρεῖ. καθέλκει. ¶Ρέπει, ἐμβλέπει. ¶Ρέπις, ῥέψις, ῥέπει, ¶Ρ*ερπισάσω, τὸ πῦρ ἐκκαίουσι. ¶Ρεῦεν, ἐδίωκεν: ¶Ρεῦμιν. βρέφος νεογνόν. ¶Ρεύσαντα. ἐγκλίναντα.

Ρ ευσταλέον, ῥέον. ¶Ρευστόν. χυτόν. ¶Ρεφέα, ἐστεγασμένα. ¶Ρεφούγια, ῥέμπτα. ¶Ρεχθὲν, πραχθὲν, συντελεσθέν. ¶Ρέψας, κλίνας, στρέψας. ¶Ρένος, ἔνοχος ἀνδρός. ¶Ρόγια, παλλία βαπτὰ ὑπὸ ῥωμαίων, βεβαμμένα ἱμάτια. ῥογῖς γὰρ οἱ βαφεῖς.

Ρ ηγεὺς, βαφεύς. ¶Ρηγῖνος, τοὺς δειλοὺς, ῥηγῖνος ἔλεγον. ¶Ρῆγλαι. σίδηρα ὡς ῥάβδοι. ¶Ρῆγμα.

Π ωλία, χαλκοῦν ἔπισμά τι. φέρει δὲ ἐπὶ τῶν ὤμων τὰς τῶν λευκιππίδων πώλους, δύο δὲ εἶναι παρθένους φασίν. ¶Πωλικοῖς δώμασι, τοῖς διὰ τῶν ἁρμάτων δώμασι. ¶Πωλοδαμνεῖν, πῶλον δαμάζειν.
Π ωλοδάμνης, πώλους δαμάζων.
Π ῶλος ἑταίρα. πώλους γὰρ αὐτὰς ἔλεγον, οἷον ἀφροδίτης πώλους, ἢ τοὺς νέους καὶ τὰς νέας καὶ παρθένους.
Π ωλούμενοι, συνερχόμενοι. ¶Πωλεῖσθαι, ἐπιμελῶς τε πολλάκις φοιτᾶν. ¶Πῶμα. ἐκπωμα.
Π ώμαλα, ἀντὶ τοῦ οὐ. οὐ μάλα. οὐδαμῶς καὶ πόθεν ὅπερ ἐστὶν πάλιν οὐδαμῶς. ¶Πῶμαι, ποῦ μοι, ὅπου γάρ. ¶Πῶννα, γραφίον λύπη.
Π ῶπαι, φοραὶ δωρεῶν. ¶Πωπηλία, ἡ ἀναφορὰ τοῦ πόρος. ¶Πωρεῖν, κωλύειν, πενθεῖν. ¶Πωροῦσαι λυποῦσαι καὶ τὰ ὅμοια. ¶Πωρητὶς, ταλαιπωρία πένθος. ¶Πώρινον, λίθινον, ὁ δὲ πῶρος οὐ πᾶς λίθος. ¶Πῶρος, ὁ ταλαίπωρος. ¶Πώρωσις, ἐξ ὀστέων σύμφυσις καὶ σύνδεσμος λέγεται δὲ καὶ σαρκῶν, πώρωσις καὶ ἀναισθησία. ¶Πῶς, πὸς ὑπὸ δωριέων
Π οσχῶς, πασσαλῶς. ¶Πῶς τ' ἄρ, πῶς δέ.
Π ῶς τ' ἄρτοι, πῶς δή σοι. ¶Πῶς κέν εἴη, πῶς ἂν γένοιτο. ¶Πωτᾶσθαι, πέτασθαι.
Π ωτώμεναι, δατείβουσαι, διακινοῦσαι. ¶Πωτῶνται, πέτονται. ¶Πῶϋ, ποίμνιον, ἡ ποίμνη.
Π ῶϋξ, ποιὸς ὄρνις, ὁ ἀριστοτέλης, ἐν τῷ περὶ ζώων.

ΑΡΧΗ ΤΟΥ Ρ ΣΤΟΙΧΕΙΟΥ.
ΤΟ Ρ ΜΕΤΑ ΤΟΥ Α.

Ρά, δὲ σύνδεσμος. ἄλλοι μὲν ῥα θεοί τε καὶ ἀνέρες, καὶ παρὰ ἰησοῦ, ῥιζίοντι. ¶Ῥάας, ῥεύματα.
Ρ αβάττειν, ἄνω καὶ κάτω βαδίζειν, τινὲς δὲ τύπτειν καὶ ψόφον ποιεῖν καὶ φράσσειν τοῖς ποσὶ καὶ ῥάσσειν.
Ρ άβδοι, τὰ διδασκαλεῖα. ¶Ῥάβδοι, καὶ ἡ συνήθης καὶ ἡ διάφυσις τῆς γῆς, ὥσπερ φλέβες. καὶ ὀβολοὶ δὲ οἱ παρατιθέμενοι τοῖς ὁμήρου στίχοις καὶ οἱ τῶν φοινίκων κλῶνες, καὶ ὁ βραβεὺς τῆς ῥαβδονόμος.
Ρ αβδοφόροι, ῥαβδοῦχοι. ¶Ῥάπα ἀκμὴ βία ὁρμὴ, καὶ ἣν ἡμεῖς ῥώμην θηλυκῶς, ἀττικοὶ ῥάπα.
Ρ άβδος, βέλος. ¶Ῥάπανον, ῥᾴδιον εὐθέως.
Ρ αγὰς, πίλυξ, ἡ σταφυλὶς ῥωγὰς ῥήγνυται, ῥάγνυται.
Ρ αγδαῖον, τὸ ὀξὺ ὁρμῆς μεστὸν ἢ ἄθρουν, σφοδρὸν ἰσχυρὸν φοβερὸν σκληρόν. ¶Ῥαδαλὸν, ἁπαλὸν, ἀδιάστατον. ¶Ῥαδαμάνθιος ὅρκος, ὁ ἐπὶ χηνὶ καὶ κυνὶ καὶ τοῖς τοιούτοις ὅρκος. ¶Ῥαδαμεῖ, βλαστάνει.
Ρ άδαμνος, βλαστὸς, ἁπαλὸς κλάδος, ἄνθος. ὄρπηξ καὶ τὰ τοιαῦτα. ¶Ῥάδαμον, καυλὸν, βλαστόν.
Ρ αδανίζεται, πλανᾶται ¶Ῥαδάνη, κρόκος ὅμοιος ῥοδάνῃ. ¶Ῥαδανίζεται, τινάσσεται.
Ρ άδινον, ῥᾴδινον, ἀπὸ τοῦ ῥᾳδίως δονεῖσθαι.
Ρ αδινῶροι, οἱ τῶν λαχάνων κηπουροὶ ταραντῖνοι.
Ρ αδὶς, τὸ ἀμφοτέρως ἐγκεκλιμένον.
Ρ άδια, εὔκολα εὐχερῆ. ¶Ῥαδίκα, ὑπόδημα τι ὅμοιον δὲ σανδάλιον. ¶Ῥαδινὴν, λεπτήν.
Ρ αδινὸν, λεπτὸν, ἰσχνὸν, εὐκίνητον, ἁπαλὸν, εὐδιάστατον
Ρ αδιουργεῖ, ῥᾳδίως ποιεῖ, κακοποιεῖ, δεινοποιεῖ.

Ρ αδιουργὸς, πλαστογράφος, ἢ ταχυγράφος, πονηρὸς, μηχανουργός. πολυμήχανος. ¶Ῥᾳδίως, εὐκόλως εὐχερῶς. ¶Ῥαιβλμῶες, θεράπαιναι.
Ρ αίζας, ὑγιάνας. ¶Ῥάζειν, ζώγειν, κυρίως ἐπὶ τῶν κυνῶν, μιμητικῶς ἐπὶ τοῦ ἤχου. ¶Ῥάθαγος, πάταγος, ἦχος, θόρυβος. ψόφος. ¶Ῥαθάμη, ῥαστώνη, ῥαθυμία. ¶Ῥαθαίνεται, ῥαίνεται, βρέχεται.
Ρ αθάμιγγες, ῥανίδες, σταγόνες. καὶ ὁ ἀπὸ τῶν ἵππων κονιορτὸς, ἄλλοι ῥαθάμιγγας λέγουσι.
Ρ αθαπυγίζειν, ὅ τινες κομβίζειν, τὸ τοῖς σκέλεσι πλάττειν παίειν κατὰ τῶν ἰσχίων, τὸ ἐστὶ τὸ ἐν σπουδῇ συμβὰν τὸ ποδὶ τύπτειν. ¶Ῥαθασσόμενοι, ῥαινόμενοι, πλαττόμενοι. ¶Ῥαθμίζεσθαι, ῥαίνεσθαι.
Ρ αθυμία, ἀμέλεια κατήφεια ἀνοχή.
Ρ άθυμος, ὁ μὴ πονητικὸς ἀλλὰ ἔκλυτος ἄλλοι ἐπὶ τοῦ μεγάλου θυμοῦ κέχρηνται τῇ λέξει. ¶Ῥακκὰ, κενός
Ρ αιά, ὑψηλή. ¶Ῥαθώδημα, ψεῦσμα.
Ρ αῖ, ῥᾷστον, ῥᾳδίως. ¶Ῥαιβίας, ἀζήμιος λιμός.
Ρ αιβὸν, ἐπικαμπὲς τὸ μὴ ὀρθὸν καμπύλον, στρεβλὸν, σκαμβόν. ¶Ῥαιδῆλες, ἐμφανές.
Ρ αίδια, σανδάλια. οἱ δὲ ὑποδήματα γυναικεῖα.
Ρ αιδῖται, σκώπτει. ¶Ῥαίαν, ὑγίαν.
Ρ αίει, πορθεῖ, φθείρει. ¶Ῥαίεται, πλανᾶται, φθίνει.
Ρ αίζεται, ὑγιαίνει. ¶Ῥαικακρεῖς, στρεβλοκέραροι.
Ρ αίκερος, χαλεπός. ¶Ῥαῖκος, ἕλληνες, ῥωμαῖοι δὲ τὸ γ προσθέντες, γραικόν φασι. ¶Ῥαίνει, μιλρεῖ.
Ρ αίνοντο, ἐκβάλλοντο, κατεγράφοντο.
Ρ αιξία, τόπος ἴδιος ἰατροῦ ἐν ταραντίνοις.
Ρ αίοιτο, φθείροιτο, πλανῷτο. ¶Ῥαιομένου. φθειρομένου. ¶Ῥαῖον, συγκριτικὸν ἢ ἔτερον.
Ρ αίοισθι, φθείρουσιν. ¶Ῥαῖσαι, τρισυλλάβως ἀττικοὶ τὸ ἐκ νόσου ἀναλαβεῖν. ¶Ῥαίσας, ὑγιάνας, ἀναφύλας. ¶Ῥᾷστα, ῥᾳδίως εὐκόλως.
Ρ αιστάζει, πονεῖ. ὠθεῖ. ¶Ῥαῖσαι, φθεῖραι.
Ρ αιστὴρ, σφῦρα σιδηρᾶ μονοκέφαλος, τινὲς δὲ σταγόνα
Ρ αιστῆρα, ὁμοίως. ¶Ῥαιστὸν, ὑποδθετικόν.
Ρ αίστωρ, κρατήρ. ¶Ῥαΐστω, βέλτιον χεῖ.
Ρ αιφάσει, ἀγνεύει. ¶Ῥαίω, φθείρω.
Ρ αίων, εὐθυμότερος. ¶Ῥακεάζει ἱμάτια ξηραίνει.
Ρ άκελος, σκληρός. ¶Ῥάκη, ἀποσκορακίσματα καὶ ἀποσπάσματα ἱμάτια. ¶Ῥακίδες, ξηρόδαμνοι κλάδοι. ¶Ῥακκίζειν, τὸ διαιρεῖν τὰ μέλη κατὰ ῥάχεως ἢ παίειν. ¶Ῥακκίζων, ὁ διακόπτων.
Ρ ακλεὸς, σκληρός. ¶Ῥάκκος, διεῤῥωγὸς ἱμάτιον
Ρ ακτήριον, ὄρχησις τίς. ¶Ῥακτηρίοις, κρούουσιν ἀντὶ τοῦ ταῖς κώπαις διὰ τὸ ἀράττεσθαι, καὶ ἐν φιλοκτήτῃ τοῦ ἐν τραγικῇ μέλη βοῶν ἀναιδῆ καὶ ῥακτήρια, ἀντὶ τοῦ ψοφώδη καὶ θορυβώδη. ¶Ῥακτήρια, ψοφώδη καὶ θορυβώδη. ¶Ῥακτήρια, τύμπανα. ¶Ῥάκρι, φάραγγες, πέζαι, χαράδραι. ¶Ῥάκτος, λόφος.
Ρ ακτεία, τὰ ῥάβδια. ἐν οἷς τοὺς καρποὺς ἀπέξαινον. ¶Ῥακωλέον, ῥάκος. ¶Ῥάμματα, βοστρύχια σταφυλὶς μακεδόνες. ¶Ῥαμάς, ὁ ὕψιστος θεός. ¶Ῥαμβᾶς, ὁ δήμιος. ¶Ῥάμνος, τὸ φυτὸν, ὅπερ εἰς ἀλεξιφάρμακον παραλαμβάνεται, καὶ δένδρον ἀκανθῶδες. ¶Ῥαμνούσιας, ἰάκτας

φρουροῖς πυργίαν κώπην. ¶ Πυργηρούμεθα. ἔνδοθεν ὡς ἐν πύργῳ, οὐ τολμῶμεν ἐξιέναι. γράφεται δὲ πυργιούμεθα. ¶ Πυργηροῦμεν, φυλάττομεν τὰ τείχη. ¶ Πυργηρούμενον, τὰ τείχη φυλάττον.

Πύργιον, μέρος τείχους. ¶ Πυργῖται, οἱ κριταί.

Πυργῖτις, βοτάνη. ¶ Πυργοβαρεῖς, οἱ προμαχώνων.

Πύργος, προμαχεών. τεῖχος ἀλλ' ἔστι πύργον ἔθη καὶ τάξις ἐν τετραγώνῳ ὁπλιτῶν. ἔστησαν ὁπόσοι πύργος ἀχαιῶν ἄλλος ἐπελθών. καὶ πολεμιστήριον ὄργανον. ¶ Πυργοῦται, ὑψοῦται. ¶ Πυργοῦχος, μέρος τι τῆς νεώς. ¶ Πύργον ἀπείρονα, ἐστι διὰ πύργους εἷλκον. ¶ Πύργωσις, μέρος τι τῆς νεώς.

Πύραυλον, ὀπτοποιεῖον ὀπτανεῖον, καὶ τὸ καύσιμον φρύγανον, ἢ ξύλον. ἢ μαγειρεῖον, ἢ λείψανον. οἱ δὲ πυρσόδαμον. ¶ Πύραυνα, τὰ λείψανα καὶ τὰ ζώπυρα τοῦ πυρός. ¶ Πυρέας, πυρπολήτας, ἐμπνέοντας τὴν πόλιν ἀπὸ τῆς πυρὰς εὐθείας. ¶ Πυρεῖον, ἀγγεῖον κεράμιον εἰς πυρὸς ἔνθεσιν. ¶ Πυρεῖσι, ἅρμασι. ¶ Πῦρ ἐπὶ πῦρ, παροιμία ἧς μέμνηται πλάτων, καὶ κακὸν ἐπὶ κακῷ. ¶ Πυρετός, φλογισμός, καῦμα. τὸ δὲ σῶμα πῦρ λέγει. ¶ Πυρῆναι, τὰ ἔνδοθεν τῶν ἐλαιῶν ὀστᾶ. ¶ Πυριαστὸν, τὸ ἑφθὸν πυρί. ὃ γίνεται ἐκ τοῦ πρώτου γάλακτος. ¶ Πυριατὸς, συνεστός. ¶ Πυριάζειν. ¶ Πυριβρεμέτας, ὁ χαλινός. τιμαχίδας δὲ ἤτοι ὁ πυρὶ βρέμων, ἢ διὰ πυρὸς βρέμοντος γινωσκόμενος. ¶ Πυριέφθαι τὸ πρῶτον γόνατος. ¶ Πυριηκέα, πῦρ ἔχοντα πεπυρωμένα. πυρίνην τὴν ἀκμὴν καὶ τὸ ἄκρον ἔχοντα ἢ ἐχέτω.

Πυρίκαυστος, πεπυρωμένος. ¶ Πυρὶ καλεῖσθαι ἀνάγκη τινὲς καυστικῷ ἰσχυρῷ. ¶ Πυρικρότηφος, ὁ μετὰ πυρὸς κεκροτημένος σίδηρος. ¶ Πυρίμαχος, ὁ ἐν τῇ μάχῃ ἀνίκητος καὶ λίθος ἀπὸ τοῦ συμβεβηκότος πυρίμαχος. ¶ Πυρίον, τὸ σκεῦος, ἢ θυμιατήριον.

Πυρισμαράγοις, ῥῖς ἀπὸ πυρὸς ἠχοῦσιν. ¶ Πυρίτης, λίθος, ἀφ' οὗ πῦρ τίκτεται. ¶ Πυριφλεγέθων, ποταμὸς ἐν ᾅδου. ¶ Πυρκαϊὰ, ἐμπυρισμός.

Πυρκόοι, ὑπὸ δελφῶν ἱερεῖς δι' ἐμπύρων μαντευόμενοι. ¶ Πύρνα, θρύψη. κλάσματα σιτία.

Πυρνὴ, ὅσα ἐπὶ μάζης συμπιέζουσι τῇ χειρὶ εἰς τὸ στόμα λαμβάνουσι. ¶ Πύρνηται, ἐσθίεται. ¶ Πύρνοι. ζέαι στρόλεις, ἢ ὁ κατειργασμένος σῖτος. ἄλλοι χόρτος ἄλλοι μαγίδα. οὐδετέρως ἐπυρνάωσαν. πύρνα, καὶ τὰ κνηστήρια ἀγγεῖα. ¶ Πύρνος, ψωμός. ¶ Πυρνοδάσιον, μαγειρεῖον. ¶ Πυρόεντι, θερμῷ. ¶ Πυροὶ, πύρινοι κεκινημένοι. ¶ Πυρὸς αὐγὴ, ὁ καταυγαζόμενος καὶ καταφωτιζόμενος τόπος ὑπὸ πυρός.

Πυρὸς δηΐοιο, ὑπὸ τοῦ πυρὸς τοῦ πολεμικοῦ. ¶ Πυρὸς, σῖτος. ¶ Πυρὸς μειλισσέμεν, καὶ διὰ πυρὸς τὰ κεχειρισμένα ποιεῖν. τουτέστι θάπτειν. ¶ Πυρὸς μένος, πῦρ περιφραστικῶς. ἤγουν πυρὸς δύναμις.

Πυρὸς ἄνθος, τὸ λαμπρότατον. ¶ Πυρὸς δίκας, ὀξέως καὶ ἰσχυρῶς. ¶ Πυρολαμπὶς, ζῶον πτηνὸν ἐν σκότει λάμπον. ¶ Πυροφόροιο, σιτοφόρου.

Πυρπαλάμης, πυρπαλάμας ἔλεγον. τοὺς διὰ τέχνης τι μηχανᾶσθαι δυναμένους καὶ τοὺς ποικίλους τὸ ἦθος.

Πυρπολεῖ, ἅπτει. καίει. πυρσεύει. ¶ Πυρπολέοντας, πῦρ πολουμένοις ἢ περὶ τὴν πυρὰν ἀναστρεφομένοις.

Πυρπολούμενος, ἐμπυριζόμενος. παρὰ τὸ πολεμεῖν ἐν αὐτῷ τὸ πῦρ. ¶ Πυρπορέγχει, κρατῖνος ἀπὸ διθυράμβου ἐν βουκόλοις ἀρξάμενος, ἐπειδὴ χορὸν οὐκ ἔλαβεν, παρὰ τοῦ ἄρχοντος ἐστιν οὗ * ἐτήρει.

Πυρραία, λόφος ἐν δήμῳ, οἱ δὲ πυρραίαν εἶναι μοῖραν τῆς θεσσαλίας λέγουσιν ἀπὸ πύρρας τῆς δευκαλίωνος ὡς συνίλας. δοκοῦσι δὲ εἰς ταύτην καταφυγεῖν οἱ διαφεύγοντες τῶν κενταύρων. ¶ Πυρραίη, θετιδος ἐπώνυμον. ¶ Πυρραλὶς, ὄρνις ποιός.

Πύρρακος, ἥρως κατ' ἐρυσίχθονα γεγονώς. ¶ Πυρριάδαι, οὕτως ἐκαλοῦντο οἱ νῦν μολοσσοὶ ἀπὸ πύρρου τοῦ ἠπειρώτου. ¶ Πυρρίας τῶν ὄφεων τις ἀπὸ χρώματος. ¶ Πυρρίχα, χλαμὶς ἢ πλατεῖον.

Πυρρίχας, τὰς ἐνόπλους ὀρχήσεις. ¶ Πυρριχίζειν, τὴν ἐνόπλιον ὄρχησιν καὶ σύντονον πυρρίχην ἔλεγον οἱ μὲν ἀπὸ πυρρίχου τοῦ κρητὸς, οἱ δὲ ἀπὸ τοῦ διὰ πυρὸν εἶναι. οἱ δὲ ἀπὸ πύρρου τοῦ ἀχιλλέως. ἐφησθέντα γὰρ τῷ εὐρυπύλου φόνῳ, ὀρχήσασθαι φησὶν ἀρχίλοχος, ὅθεν καὶ ὁ πυρρίχιος πούς ὠνομάσθη.

Πυρρώνος, κύριον ὄνομα ἢ κυνός. ¶ Πυρσαῖς, γένυξι ταῖς ξανθαῖς θριξί. ¶ Πυρσανίδες, οὕτω νύμφαι καλοῦνται. ¶ Πυρσεύει. δαδουχεῖ. λάμπει. ἐξάπτει, ἅπτει πῦρ. ¶ Πυρσοὶ, λαμπάδες καιόμεναι, λαμπτῆρες, φρυκτωρία. ¶ Πυρσοκουρσολέοντος πυρροκεφάλου, ξανθοτρίχου. ¶ Πυρσολείφοι, ἢ πυρσολειφθοὶ, ὑπὸ πυρὸς μεμαλδισμένοι καὶ πεφλογισμένοι. ¶ Πυρσὸς, λαμπάς. ἢ τὰ διὰ πυρὸς σημεῖα.

Πυρσοφόρος, ἀγγεῖον εὐμέγεθες, εἰς ὃ ξύλα ἐτίθεσαν πεπυρωμένα, ἢ ὁ τὸ πῦρ φέρων ἀπὸ τοῦ πρώτου βωμοῦ ἐπὶ τὰ θεῖα καὶ φυλάττων μὴ ἀποσβεσθῇ, σημαίνει δὲ τὴν λαμπαδηφόρον. ¶ Πυρσῶ, πυρί. ¶ Πυρφόρος, ὁ πυρφέρων, καὶ ὁ μόνος διασωθεὶς ἐν πολέμῳ.

Πυρώλοφοι, ἱμάντες οἱ περὶ ὀπτηθεισῶν βυρσῶν τεμνόμενοι. ¶ Πύρωσις, δοκιμασία. ¶ Πυσκενία, πανσπερμία ἑφθή. ¶ Πύσει, σήψει. ¶ Πῦσμα, ἐρώτησις, πεῦσις. ¶ Πύσταχος. ξύλον καμπύλον τοῖς μόσχοις περὶ τοὺς μυκτῆρας τιθέμενον ὃ κωλύει θηλάζειν. ¶ Πύστις, ἐρώτησις πεῦσις, ἀγγελία. ἀκοή. πειθώ. ¶ Πυτὰ, λάκωνες τὰ ἐρυθρὰ ἱμάτια.

Πυτίαριον πίπτια οὖσα, παρὰ τὸ πίπτειν ἐν ᾗ τὸ σέλα πίνονται. ¶ Πύγολος, ἡ συστροφὴ τῆς χειρὸς, ὅταν πυκνῶς ἐπιφέρηται. δηλοῖ δὲ καὶ τὴν εἰρεσίαν. ἢ τὴν τῶν πυκτῶν ἑκατέρας χειρὸς συνέχειαν.

Πυτίνη πλεκτὴ λάγυνος. οἶνον ἔπλεκον δὲ ταῦτα ὡς ἐπιτοπολὺ οἱ δεσμῶται, καὶ σπυρίδας καὶ τὰ τοιαῦτα ἢ ἡ ἀμίς. ἢ κυνικὸς ὁ τὸν τυρὸν πηγνύων.

Πῶ. ποῦ, ὅθεν. πόθεν δωρεῖς. ¶ Πώγων. γένειον, ἄλλοι τὴν ἀναφορὰν τῆς φλοιοῦ. ¶ Πώεα, βοσκήματα, ποίμνια, πληθυντικῶς. ¶ Πωλεῖται. συνεχῶς ἐπὶ τὸν αὐτὸν τόπον παραγίνεται, τὸ δὲ καθ' ἡμᾶς πωλεῖσθαι πιπράσκεσθαι λέγουσι.

Πωλέσκετο, ἀναστρέφετο ἐνεῖσκετο. ¶ Πωλεύειν, παιδεύειν πώλους. ¶ Πωλεύμενοι, συνιόντες.

Πωλήσασαι, φοιτήσασαι παραγενόμεναι, ἀναστρέψασαι.

Πωλῆται. οὗτοι ἐπώλουν τὰ ἐνεχυρασθέντα ἀρχαῖς.

Πυγμαίων, ὁ ἄδωνις παρὰ κυπρίοις. ¶ Πύγματος, ἔσχατος. ἄστικτος. ¶ Πυγμὴ, κόνδυλος, πυκτή. ἤγουν τὸ συγκλείεσθαι τοὺς δακτύλους. ¶ Πυγόνος, τοῦ πήχεος. ἔστι δὲ ἡ πυγὼν ἀπὸ τοῦ ὠλεκράνου ἄχρι τοῦ μικροῦ δακτύλου. ¶ Πυγόριζοι, οὕτω καλοῦνταί τινες τῶν ῥιζῶν. ¶ Πυγὸς, ὁ πῆχυς. ¶ Πυγοσκελὶς, ζῶόν τι καὶ ὁ βραχύς. ¶ Πυγούσιον, πηχυαῖον.

Πυγὼν. μέτρον, τὸ ἀπὸ τοῦ ὠλεκράνου ὅπερ ἐστὶν ὁ ἀγκὼν, ἕως ἔξω τῆς χειρὸς, ἐπικεκαμμένων τῶν δακτύλων, καὶ σπιθαμή. ¶ Πυδαρίζειν, τὸ μὴ ἀνέχεσθαί τινος ἀλλ' ἀποπηδᾶν χαλεπαίνειν. ¶ Πυελίον, πύελος χαλκῆ. ¶ Πυελὶς, σφραγιδοφύλαξ, καὶ πύη. ἀρτοθήκη ἀλευροθήκη, ἔνθα ὁ ψῆφος ἐν δακτυλίῳ.

Πύελος, ἐν ᾗ οἱ πυροὶ ἐπλύνοντο, σκάφη ἐμβάτη.

Πυὲρ, ἀναπεπλυσμένον. ¶ Πύθια, πανήγυρις, καὶ ἑορτὴ ἑλληνική. ¶ Πυθέσθαι, ἀκοῦσαι. ἐρωτῆσαι. γνῶσθαι. ¶ Πύθεται, σήπεται, φθίνει, βρέχεται.

Πύθιον, τὸ ὕδωρ θουκυδίδης. ¶ Πυθίων, ἀνάκτορον ἐπὶ τοῦ ἐν χρυσῷ ἱεροῦ ἤγουν ἀπόλλωνος.

Πυθμένα, ἐλαίας τὸν ἀρχὴν καὶ τὴν ῥίζαν. ¶ Πυθμένες, βάσεις αἱ κατὰ τῶν δένδρων.

Πυθμὴν, τὸ ὑποκάτω τῆς λεκάνης, καὶ παντὸς σκεύους, γένεσις ἀρχὴ ῥίζα, καὶ τῆς μήτρας τὸ ἄνω μέρος, καὶ ἀριθμός τις παρὰ τοῖς γεωμετρικοῖς.

Πυθοῖ, ἐν πυθῶνι. ¶ Πύθοιγο, σαπείη. ¶ Πυθόληπτος, ὑπὸ τοῦ πυθικοῦ. ¶ Πύθομαι, ἀκούω.

Πυθόμενος, ἀκούσας ἐρωτήσας μαθών. ¶ Πυθομένων, σηπομένων. τὸ γὰρ πύος αἷμά ἐστι κατὰ μεταβολήν. ¶ Πύθου, ἐρώτησον. ¶ Πύθοντο ἤκουον ἔμαθον. ¶ Πύθου χελιδόνος, παροιμιῶδες, διότι ὀδυρτικὸν τὸ ζῶον, θρηνεῖ γὰρ ἡ χελιδὼν καὶ ἀηδὼν, τὸ δὲ ἀληθὲς, ἀπὸ χελιδόνος τινὸς θεολόγου ἢ τοῦ ἀτοσκόπου. ¶ Πυθὼ, πόλις φωκίδος. πυθῶδε ἐλθὸς, παροιμία ἐπὶ τῶν τὰ αὐτὰ πραττόντων.

Πύθων, ὁ ἐγγαστρίμυθος, ἢ ἐγγαστρίμαντις ἢ βοζάντιας τὸ γένος. ¶ Πύθων, δαιμόνιον μαντικόν.

Πύον, τὸ γάλα. ¶ Πύκα, ἐπιμελῶς, πύκα δὲ τρέφει καὶ πύκα ποιητοῖο τοῦ ἐπιμελῶς κατεσκευασμένου, καὶ πυκινὸν λέχος, τὸ ἐπιμελείας ἠξιωμένον, διὰ τὸ ἐκ πολλῶν ἱματίων εἶναι. ¶ Πύκαζε, κάλυπτε, στέφανε, πύκνου. ¶ Πυκάζουσι, καλύπτουσι, στεφανοῦσι, πυκνοῦσι κρύπτουσι. φυλάσσουσι, σκέπουσι, περιβάλλουσι, στεγάζουσι, σκιάζουσι. ¶ Πύκα ποιητοῖο, ἐπιμελῶς κατεσκευασμένου. ¶ Πυκασθέντων, καλυφθέντων.

Πυκασμὸς, δασύτης γεννήματος. ¶ Πύκ' ἐβάλλετο, πυκνῶς ἐβάλλετο. ¶ Πυκιμήδης, συνετῶς ὁ ἐπιμελοῦς κατὰ τὸ ποιῆσαι. ¶ Πυκνὴν, συνετὴν. στερεὰν, ἰσχυρὰν, συνεχῆ. ¶ Πυκινοῖσι, συνεχέσι καὶ τὰ ὅμοια. ¶ Πυκινὸν δέ ἄχος, πυκνὴ λύπη. ¶ Πυκινὸν, συνετὸν, συνεχὲς, λέχος διὰ τὸ ἐκ πολλῶν ἱματίων τὰ στρώματα συντίθεσθαι. ¶ Πυκινόφρων, πολύφρων, σώφρων. ¶ Πυκνὰ, συχνὰ, συνετὰ πυκνά. ¶ Πυκνὰ, πυκνά, τὸ ἐν ἀθήναις δικαστήριον τὴν πνύκα ἴσον. ¶ Πυκνάσι, παλαιοῖς. ¶ Πυκνὰ ῥογαλέην, πυκνὰς ῥαγάδας ἔχουσαν. ¶ Πυκνῶς, συνεχῶς συχνῶς. ¶ Πύκτας, κόνδυλοις ἀγωνιστάς.

Πύκτης, πολέμιος ἀνένδοτος. ¶ Πύλα, πύλαι.

Πυλαγόραι, οἱ προεστῶτες τῆς πυλαίας. πυλαία δέ ἐστιν, ἡ εἰς πύλας τὰς θερμοπύλας γινομένη σύνοδος τῶν ἀμφικτυόνων. ¶ Πύλαι, ἀριστοφάνης τὰ λημματικὰ ἀπὸ τῶν θυρῶν λέγει. ἐκεῖνοι δὲ ἐπισκέπτονται τὰς ἐκφύσεις τοῦ ἥπατος καὶ τὰς φλέβας. διὸ καὶ τὰς ὀδοὺς πύλας λέγουσιν. ὁ ποιητὴς γὰρ οὐδέποτε πύλην ἑνικῶς λέγει. ἀλλὰ πληθυντικῶς, θύραν μέντοι καὶ θύρας λέγει, θυράων ὑψηλάων. ¶ Πυλαμασταὶ τοὺς ψεύστας ῥόδιοι. ¶ Πυλαμιστίδες, αἱ ἐγκάλλεκευόμεναι τῶν γυναικῶν καὶ νικῶσαι.

Πυλαίμαρχος, πολέμαρχος, καὶ ὄνομα κύριον.

Πύλαι, οὐρανοῦ τὰ νέφη. ¶ Πύλαρνα, τὰ στελέχη.

Πυλάρταο, τῇ πύλῃ προσηρτημένης. ¶ Πυλάρταο, κρατεροῖο, τοῦ τὰς πύλας ἰσχυρῶς ἐπαρτιοῦντος. ἢ ἡρμοσμένας ἔχοντος. λέγει δὲ ἐπὶ τοῦ ἅδου πυλωροὺς, ἰσχυρούς. ¶ Πυλατίδες, ἀγοραὶ, ὅπου συνίασιν οἱ ἀμφικτύονες εἰς τὴν λεγομένην πυλαίαν ἐν τῇ πανηγύρει. ¶ Πυλαωρὸς, πυλωρός. ¶ Πυλαωροὺς, τοὺς πύλας φυλάσσοντας. τινὲς δὲ κλέπτας.

Πύλος, πόλις. ¶ Πύλη, θύρα. ¶ Πυλέων, στέφανον.

Πυληδὸν, πυλωρόν. ¶ Πυληγόροι, τελῶναι καὶ οἱ τῶν πανηγύρεων ἐπιμεληταί. ¶ Πυλήνη, πόλις αἰτωλίας. ¶ Πύλιγγες, αἱ ἐν τῇ ἕδρᾳ τρίχες. καὶ ἴουλοι βόστρυχοι καὶ κίννοι. ¶ Πυλλεῖ, θραύει. λέγεται διαβοᾶ. θρυλλεῖ. ¶ Πύλῳ ἀντὶ τοῦ πύλῃ τῇ τοῦ ᾅδου. ¶ Πυλωλάκτας, κακοδυμεστούς. ¶ Πυλὼν, στέφανος. ¶ Πυλωρὸς, ὁ πυθμὴν τῆς κοιλίας.

Πυμάτοις, ἐσχάτοις. ¶ Πύματον, ἔσχατον. τελευταῖον. ¶ Πύνδαξ, πυθμήν. ¶ Πυνθάνομαι, ἀκούω.

Πυνθανόμην, ἤκουον. ¶ Πυοψάζειν, ποδαίνειν, ὡς ἀρραίνειν. ¶ Πυανικοὺς, τοὺς ἑφθοὺς ἐρεβίνθους καὶ φακούς. ¶ Πυήνα, ὁ ἦρα ¶ Πύννος, ὁ πρωκτός.

Πύννοις, κυάμοις ἑφθούς. ¶ Πὺξ, πυγμή. κόνδυλος.

Πυξίδα, δίπτυχα. ¶ Πύξινον, χρῶμά τι ἱματίου.

Πὺξ, ἱμαντωμένον κλίνην. ¶ Πύον, γάλα τὸ πρῶτον ὃ πήγνυται ἑψόμενον. ¶ Πυππάζουσι, φωνὴ ἐπιχαιρόντων. ¶ Πύππαξ, τὸ νῦν βόμβαξ λεγόμενον, πύππαξ ἔλεγον ὡς λυκόφρων ὠήθη, οὐκ ἔστι δέ. τὸ μὲν γὰρ βόμβαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ, καὶ ἐπὶ γέλωτος. τὸ δὲ πύππαξ οὐχί. ¶ Πῦρ, πυρετός.

Πυράγρα καρκίνος πυράγρα, ὁ πυράγρα χαλκευτικὸν ἐργαλεῖον. καρκίνος, πάγουρος. ¶ Πυραὶ, πυρκαϊαί.

Πυραῖνος, πῦρ ἐνδυόμενοι. λέγεται δὲ καὶ τὸ ἀγγεῖον ἐν ᾧ φέρεται καὶ τὸ πῦρ οὕτω. ¶ Πυρράκης, ξανθός.

Πυρακτῶν, ἐμπυρεύων. ¶ Πυραμίδες, πυροειδεῖς λαμπάδες. ¶ Πυραμοῦντα, τὴν πυραμίδα. ¶ Πυραμίδες, οἰκοδομήματα γεωμετρικὰ ἐπὶ τὰ κάτω κατερχόμενα. ¶ Πύραμος, ποταμὸς κιλικίας, ἄλλοι δὲ χάρτον οὕτω καλοῦσι. ¶ Πυραμοῦς εἶδος πλακοῦντος ἐκ πυρῶν πεφρυγμένων καὶ μέλιτι ἀναδευομένων. ¶ Πύραμμα, ἡ μέλισσα. ¶ Πύρασος πόλις. ¶ Πύραυνον, εἰς ὃ ἂν πῦρ ἐναύεται δαλίοις ἢ βόλβιτον, ἢ τοιοῦτόν τι. οἱ δὲ τὴν θερμαστρίαν.

Πυργηδὸν, κατὰ τάξιν τείχους. ¶ Πυράγρια. τὰ θυράκια. ¶ Πυργήρεως. μετέωρος ὡς πύργος καὶ ἐν

πρῶτον ἀποπειρᾶσθαι. ¶Πρωτόμφαλον, τὸ ἐπὶ ἀσπίδος μέσον. ¶Πρώτην ὑπηνήτην, τὸν ἄρτι ἔχοντα γενειάδα. ¶Πρωτοπαγεῖς, οἱ πρῶτον πεπηγμένοι δίφροι καινοί. ¶Πρωτοπραξία, τὸ πρῶτον εἰσπραττόμενον. ¶Πρωτοστάτης, ὁ πρῶτος παρὰ τὸ κέρας τῆς παρατάξεως τεταγμένος.

Πρωτότοκος, ἡ πρώτη τετοκυῖα, καὶ ὁ πρῶτος τεχθείς.

Πρωτοτύπως, ὁ ἀκολούθως, πρωτοτύπως.

Πρωτορύμω, παρὰ ἄκρῳ τοῦ ῥυμοῦ.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Τ.

Ταίει, πίπτει ἁμαρτάνει σφάλλει.

¶Πτάρη ἔπτη, ἔδραμεν. ¶Πτακὲς ἢ πτακίδες δειλοί, ἐπτηχότες καὶ πτακισμός.

Πλακτορεῖν, πτύσσειν διὰ δικεῖναι. ¶Πταλὸν, ἐφ' ᾧ ὁ στεφυλὲ πατεῖται. ¶Πταμένη, πεπταμένη. διελθοῦσα. ¶Πτάξ, πτακίς, πτώξ. δειλός.

Πτάτω, ἔπτη. ἔδραμεν. ¶Πταώτην, κατεπτηχότα.

Πτελέα, σῦς, ἀπὸ λακώνων. ὁ εἶδος δένδρου.

Πτελεάδες, πτελεῶδες. ¶Πτελεὸν, τὸν συλλέγεσθαι.

Πτελεός, πόλις. ¶Πτερὰ, πτέρυγες, ὁ οἰκοδομήματα ἱδρῶν ἐκ λίθων. ¶Πτέρθοις, τείχεσι διαστήμασιν. ¶Πτερίδες, τῶν νυμφῶν τινὲς οὕτω καλοῦνται ἀπὸ τῆς πόας. ¶Πτέρνα, τῆς ἀρόζου τὸ σιδήρειον τὸ κατατεῖνον ὑπὸ τὴν γῆν καὶ τοῦ ποδός. καὶ τὰ ἔσχατα μέρη τῶν ὀρῶν. ¶Πτέρνεται. πτέρνης τῆς πορείας τοῦ βίου. ¶Πτερνιεῖ, παγιδεύει. ¶Πτερνίζει, ἀπατᾷ. συμπατεῖζει, ἀτιμάζει, ὑβρίζει.

Πτερνὶς, τὰ πυθμέλια τῶν ἰατρικῶν λεκανίδων ἃ μέχρι νῦν προσδέονται ἀλυσιδίοις μακροῖς ἐν τοῖς ἰατρείοις, καὶ εἶδος ἱέρακος. ¶Πτερνισμὸν, ἐπιβουλήν.

Πτερνοβάτης, τῶν ἰατρικῶν τις ἐπιδέσμων.

Πτερόεντα. ταχέα. οἱ δὲ πεφορτισμένα κοῦφα εὐάρμοστα. ¶Πτερόεντα, ὁμοίως. ¶Πτεροῖ, ἐξαίρει.

Πτερὸν, σκιαδ. ¶Πτερονόμος, τοῖς πτέρνοις νομῶσα καὶ νεμομένη. ὅθεν καὶ τὸ νέμειν ἐπιστροφὴν ἄγειν.

Πτεροφόροι, τέλος τι στρατιωτικόν, ἢ ὡς διὰ τὸ ἐν τοῖς λόφοις πτέρωσιν. καλοῦνται δὲ οὕτως καὶ τῶν ἐν αἰγύπτῳ ἱερέων τινές. ¶Πτέρυγας, εὐθυντήρια, τὰ πηδάλια. καὶ μέρος χιτῶνος τὰ περὶ τὰ κράσπεδα. δηλοῖ δὲ καὶ τῶν πηδαλίων τὰ πλατέα καὶ τὰ χείλη. ¶Πτέρυγας, σκέπαι. ¶Πτέρυγια, μέρος τι τοῦ ῥυμοῦ καὶ τοῦ πνεύμονος τοῦ λοβοῦ τὰ ἄκρα. καὶ τοῦ ὠτὸς τὸ ἄνω, καὶ ξίφους τὰ ἑκατέρωθεν, ἢ τὰ ἄκρα τοῦ ἱματίου. ¶Πτερυγίζειν, μόλις κινεῖν, ὅταν γὰρ τὰ μόπω δυνάμενα πέτεσθαι τῶν ὀρνέων πειράζοντα ἐπιβάλληται καὶ κινεῖ τὰς πτέρυγας, πτερυγίζειν λέγεται. ¶Πτερύγιον, ἀκρωτήριον πτέρυξ.

Πτερυξαμένη, διασείσασα. ¶Πτερύσσεται, τὰ πτερὰ τινάσσει, πέτεται. ¶Πτερευγετύραννος, ὄρνις ποιὸς ἐν ἰνδικῇ ἀλεξάνδρῳ δοθείς.

Πτερῶν, ἄλλη τελείορχος, ὁ πτερῶν, ἢ στρουθίας εἶδος ὀρνέου. ¶Πτερῶν, ταρσοῦ τῶν πτερῶν. ¶Πτερορρίς, πετεινοῖς. ¶Πτερωθεὶς, ἀναπτερωθείς.

Πτηνός, ὁ ἱπτάμενος. ¶Πτῆξαι, δειλιάσαι.

Πτήξαντα τὴν ὄψιν εἰς ἔδαφος καταβαλόντα.

Πτῆξεν, εἰς φόβον ἤγαγεν. ¶Πτῆναι, ταχέως ἐνεχθῆναι. ¶Πτήσσων, ὑποπίπτων κρυπτόμενος.

Πτῆσαι, ταχέως πέτεται. ¶Πτίλα, πτερὰ ἁπαλά. ¶Πτιλὸς, ὁ μαδαρὸς καὶ λελεπισμένος τοὺς ὀφθαλμούς. ¶Πτίσαι, κόψαι. ¶Πτίσαι, κόψαι.

Πτισάνη, κυκεών. ¶Πτίσατε, ἀποδερματίσατε.

Πτόησις. δειλία. ¶Πτοία, πταρμός. φόβος.

Πτοίαν, ὁ πτοῖον, θόρυβος ἢ ταραχή. ¶Πτοιούμενον. πτοιᾶσθαι λέγεται τὸ παρορμᾶσθαι πρὸς τὰ ἀφροδίσια. ¶Πτολέμοια, πολέμου. ¶Πτολίεθρον, πόλιν. ¶Πτόλις, μαυρᾶς. ὁ πόλις. ¶Πτολεμίζωμεν. πολεμίσωμεν. ¶Πτολίεσσι, πόλεσι.

Πτόρθος, κλάδος βλαστός. ¶Πτολίπορθος, πολεμιστής, ἀπὸ τοῦ τὰς πόλεις πορθεῖν. ¶Πτόρθος, ὄρπηξ, βλαστὸς κλάδος, ἢ ἔκφυσις τοῦ δένδρου θαλλός.

Πτόειμον, ταχὺ φρόνιμον. ¶Πτοεισμὸς, φροντισμός. ¶Πτύγμα, κόλπωμα, δίπλωμα.

Πτύελον, σκεῦος ἐπιτήδειον πρὸς λουτρὸν, ἢ πτύσμα.

Πτυκτίον, πτυκτίον, βιβλίον. ¶Πτυκτὸν, πτυσσόμενον ὁ καμπτόμενον. ¶Πτύξ, ὁ πτυχή, ὁ πλέξις.

Πτύξις, δίπλωσις, κάμψις. ¶Πτύον, θρίναξ, ξύλον ἐν ᾧ διαχωρίζουσι τὸν σῖτον ἀπὸ τοῦ ἀχύρου.

Πτύοθεν, τοῦ πτύου, ἔστι δὲ γεωργικὸν ἐργαλεῖον.

Πτύοχλεν, ὑπόδημα ἀνδρεῖον. ¶Πτύρεται, κλᾶται, κραδαίνεται, σείεται, φοβεῖται, φρίττει.

Πτυρμὸς, φρίκη καὶ τὰ ὅμοια. ¶Πτύρσει, κραδαίνει ἢ τὰ δόρατα δηλοῖ. ¶Πτυρσοίμεθα, κολακεύσομεν. ¶Πτυχαὶ, στοαὶ, περιβολαί. ¶Πτύχες, μερίδες, καὶ αἱ τῶν ὀρῶν ἀποκλίσεις. εἰσὶ δὲ αἱ φάραγγες. ¶Πτωΐδες, νύμφαι. ¶Πτωκὰς, κύπειρος παρὰ σμμιία ἢ πόα διὰ τὸ χαμαλὸν εἶναι.

Πτῶκες δειλοὶ λαγωοὶ δορκάδες ἔλαφοι νεβροί.

Πτώματα, αἱ συρρόσεις ἐν τοῖς μετάλλοις.

Πτὼξ λαγωὸς, ἀπὸ τοῦ κατεπτηχέναι ἢ πετεινόν.

Πτώσσει, ἑαυτόν. κατακρύπτει, φοβεῖται. δέδιε.

Πτωκαζέμεναι, κρύπτεσθαι, περικάμπτειν.

Πτώσσονται, δειλιῶνται. ¶Πτωσὶν, τὸ πίπτον.

Πτωχεύειν, ἐπαιτεῖν ἀπὸ τὸ πτώσσειν, ἢ. πτίχει, ὁ ἐστι ταπεινοῦσθαι.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Υ.

Πύελος. ἡ ἀσάμινθος, ἢ λάρναξ. ¶Πυάνιον, τὸ διὰ τοῦ γάλακτος ῥόφημα, οἱ δὲ πανσπερμίαν ἑψημένην ἐν γλυκεῖ. ¶Πυανοὶ, κύαμοι, καὶ πᾶν ὄσπριον. ¶Πυανέψια, ἑορτὴ ἀθήνησιν. εἴρηται δὲ παρόσον κυάμων ἐμπίπλανται καὶ ἄγεται πυανεψιῶνος ἑβδόμῃ. ἐπειδὴ ἕψουσιν ἔτνος, οὕτω δὲ κέκληνται ὁμόν. καὶ ἡ ἑορτὴ, διὰ τὸ ἀθάραν ἕψειν ἃ καλοῦσι πύανα. ¶Πύαρ. πιτύα.

Πυγαίας, τὰς σπείρας τῶν κιόνων καὶ τοῦ σώματος ὁμῶν τὰ κατὰ τὸ ἱερὸν ὀστοῦν. ¶Πυγμαίοις, πυγμαίους ἔθνος δὲ ἐστι πρὸ τῆς αἰγύπτου, μικροφυῶν ἀνθρώπων.

Πύαργος, εἶδος ἀετοῦ. ¶Πυγὴ τὸ κάθισμα.

Πυγμαῖοι, ἔθνος πόρρω τῆς αἰγύπτου παρὰ μεγέθει πάνυ μικρὸν, οἷον πηχυαῖον.

μος, ἐννοοῦσα, καὶ προνοηθεῖσα. ¶ Πρόφρων, ὀνείδιζε, πρόαγε, προκόμιζε, πρόφρων ὅμοιον.
Π ροφρᾶς. οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι.
Π ροφερέσθαι, τὸ τοῖς διαζομένοις τὸ ἐνσήμονα παραδοῦναι. ¶ Προφερέστεροι, κρείττονες ὑπερέχοντες, κρείσσονες, βελτίους. ¶ Προσφερὰ, ἡ λαλία ἐτυμολογία. ¶ Πρὸ φόως δὲ πρὸ τοῦ καθήκοντος χρόνου εἰς φῶς αὐτὸν προήγαγε γεννηθέντα.
Π ροφράγματα, τὰ προσκήνια.
Π ρόφρασσα, πρόθυμος εὐνοοῦσα. διανοουμένη.
Π ροφρονέως, προθύμως. ¶ Πρόφρων, πρόθυμος. εὔνους φρόνιμος. ¶ Προφύσια ἐν τοῖς μετάλλοις τὰ σκέπης χάριν τῶν ἐν ταῖς φύσαις αὐλῶν τιθέμενα.
Π ροχάζοιο, προβαίνοις, ἀναποδίζοις.
Π ροχάνη, σκῆψις. πρόφασις καλύπτρα.
Π ροχαιρισία, ἡ θέτις οὕτω που τιμᾶται.
Π ρόχασον, πρόελθε. ¶ Προχεία, πρόφασις.
Π ροχέει, ἐκπέμπει. ¶ Προχειρίζεται, προφέρει.
Π ροέχει, ἐκλέγεται, ¶ Προχειρίσαι, ἐπιλέξαι.
Π ροχείρως, ἑτοίμως, ταχέως, ὀξέως. ¶ Πρόχειρος ἕτοιμος εὐχερής. ¶ Προχειρότατον, ἕτοιμον.
Π ροχέουν, ἐπάλλοι ἐφέρουν, προΐεσαν, ἔρρεον, προσήρχουν. ¶ Προχεούσαι, ταῖς εἰς τὴν θάλασσαν προχύσεσι. ¶ Πρόχνυ, ἐπὶ γόνατα, οἷον πρὸ γόνατος πρόχνυ καθεζομένη. ἢ παντελῶς, πρόχνυ ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ᾽ ἔλυσε, καὶ πρόρριζον παντελῶς καὶ τελείως. ¶ Προχοαὶ, αἱ ἐκρύσεις τῶν ποταμῶν καὶ ὑδρεῖαι. ¶ Προχοή, τὸ ἐκβαλλόμενον εἰς τὴν θάλασσαν καὶ τοῦ ποταμοῦ τὸ προστόμιον προχοή. ¶ Προχοΐδας, τὰς ἁμίδας.
Π ρόχοι, προχόοι, ἢ ἐγχυτήρια ὑδρεῖαι. ἀμφικύπελλοι πρόχοι οἱ δὲ ἀπὸ τοῦ ὅλου περιφερεῖς κύβοις ἀμφικύβωροι. ἢ ἀπὸ τῶν ὤτων, τὸ ἐξ ἀμφοτέρων δηλοῦντος.
Π ροχοΐδια, αἱ καταχύσεις.
Π ροχοΐδιον, ἀγγεῖόν τι οἰνηρὸν σταμνὶς, καὶ οἷον ὡς προχοΐδιον ἔσω καταχύσιν. ¶ Πρόχοιο, προφασίζοιο, ἢ προβάλλοιο καὶ σκεπάζοιο, παρὰ καὶ τὰς ἀσπίδας προβάλλοις ἔλεγον. ¶ Πρόχοος, ξέστης, μέτρον.
Π ροχόῳ, τῇ καταχύσει. ¶ Προχύτας, ὕλας ἀπαρχάς. ¶ Προχύτας, ποτήριόν τι.
Π ρόχωσις, τὸ μεταξὺ χῶμα. ¶ Προψάτης, πανώλεθρος. ¶ Προσωδῶν, ἐξέχων τοὺς ὀδόντας. ¶ Πρώσομαι, ἐάσω προχωρήσω. ¶ Προσώμεθα, ἐάσωμεν, παραχωρήσωμεν. ¶ Προώρας, τὰ πρῶτα κλήματα.
Π ρόωρον, πρὸ καιροῦ. ¶ Πρόωφος, πρόσκοπος.
Π ροωχὴς ἵππος, ὁ ἐκ τῶν ὄπισθεν μετέωρος καὶ κατὰ ἀνάστημά τι καὶ τῇ ἱππασίᾳ. ¶ Πρύανος. νέος
Π ρυλέες, οἱ μὲν, πολλοὺς λαούς. οἱ δὲ προμάχους, ἢ πεζοὺς ὁπλίτας ἀθρόους. ¶ Πρυλέες, πεζοὶ ὁπλῖται ἀπὸ τῆς πρίας, τουτέστι πρεία χρώμενοι.
Π ρύλιν, πυρρίχην, ἢ ὁπλίτην. ¶ Πρυλέεσσ᾽ ἀρηΐα πεζοῖς ἡρμοσμένη. ¶ Πρυλεύσεις, ἐπὶ τῶν ἐκφορᾶς τῶν τελευτησάντων παρὰ τοῦ ἱερῶν.
Π ρύμνα, τὰ πρέμνα, ἢ τὰ ὄπισθεν τοῦ πλοίου.
Π ρύμναι, αἱ ἄκραι, ¶ Πρύμνα δὲ, πρυμνόθεν, πᾶν τὸ

τὸ πρόσγειον κάτωθεν, πρύμνον λέγεται.
Π ρυμνήσια, ἀπόγεια σχοινία. ¶ Πρύμνηθεν, οὔριον τὸν ὄπισθεν ἄνεμον ὅς ἐστι τέλειον. ¶ Πρύμνη, τὰ ὀπίσω, ἢ τὸ τέλος τοῦ πλοίου. ¶ Πρύμνην, τὸ ἔσχατον, τὸ ἄκρον, καὶ πρύμνην τὴν ἐσχάτην, καὶ πᾶν ἔσχατον ἐκ ῥιζῶν. ¶ Πρυμνὸς, κάτωθεν βαρὺς ὁ πλοῦτος.
Π ρυμνώρεια, ἀκρώρεια. ἀκρωνόροις τὸ ἔσχατον μέρος.
Π ρυτανεῖα, ἡ λεγομένη καταβολὴ τὸ δέκατον τοῦ τιμήματος. ¶ Πρυτανεῖον, τρία ἀθήνησι συσσίτια πρυτανεῖα, θεσμοφορεῖον, προτανεῖον, λέγεται δὲ καὶ ἡ ἐπιμελὴς μισθοφορία, καὶ οἱ κατετίθεσαν τὸ ἀργύριον οἱ δικαζόμενοι. ¶ Πρυτανεύει, διοικεῖ.
Π ρύτανις, βασιλεὺς. ἄρχων. χορηγός. τίμιος διοικητής. ¶ Πρῶ, ἀντὶ τοῦ πρωΐ. ¶ Πρωθήβοις, ἀκμαίοις. ¶ Πρωθῆβαι, ἄρτι ἀκμάζοντες.
Π ρώηβες, ἄρτι ἀκμάζοντες.
Π ροθήβην, ἄρτι ἡβῶσαν ἀκμάζουσαν.
Π ρωὶ ἀττικώτερον τὸ ὑφέν. σημαίνει δὲ τὸ ἐν ὥρᾳ καὶ πρὸ τοῦ δέοντος καιροῦ, ἢ πρὸ τοῦ καθηκούσης ὥρας, ὡς ὀψὲ ἐπὶ τοῦ καθυστεροῦντος ἀπὸ προσηκούσης ὥρας.
Π ρωΐα, ταχεία. ¶ Πρωΐζα, πρῶτα, πρωΐ.
Π ρωΐη, ὀρθρινή. ¶ Πρωϊνὸς, ἐπ᾽ ὄψιν ἐπὶ πρόσωπον
Π ρώϊον, κατ᾽ ἐκείνην τὴν ἡμέραν. οἱ δὲ, πρὸ καιροῦ ταχὺ ἢ ἀντὶ τοῦ πρωΐην. ¶ Πρώκεα, δρῶρα.
Π ρῶκες, σταγόνες, ψεκάδες, σταλαγμοί.
Π ρωκτὸς λουτροῦ περιέπνη παροιμία, ὅταν τις μὴ δύνηται ἀπονίψασθαι, ἀλλ᾽ ἡ κοιλία αὐτῷ ἐπιφέρηται. ἐλέγετο οὖν ἐπὶ τῶν ἀνωφελῶν καὶ εἰκῆ πραττομένων.
Π ρωλυθίαι, παρειμένοι, παραλελυμένοι.
Π ρωλύθιον, ὁ ἐπιφερὴς καὶ ἐπὶ στόμα.
Π ρωνίας, ὄρος, κρημνὸς, οἱ δὲ, ὄρους ἐξοχήν.
Π ρώονας, ὀρῶν ἐξοχάς. ¶ Πρώονες, οἱ ἐκνενευκότες τόποι εἰς ὄρη. ¶ Πρῷρα, πρόσωπον, ἢ τὸ ἔμπροσθεν τοῦ πλοίου. ἢ στολὴ διακεκαλλωπισμένη τὰς ὄψεις. ὁ ἐπικαλύπτουσα. ¶ Πρωράσαντες, κροτήσαντες, ὁ δὲ μεταφορὰ ἀπὸ τῶν νεῶν καὶ ἀπὸ εἰρεσίας.
Π ρωράχθη, ἡ μεταφορὰ ἀπὸ τῶν πλοίων, ἐκεῖνα γὰρ ἐν τῇ πρώρᾳ τὸν φόρτον φέρει, καὶ ἐπαιωρούμενα ἐγκαθίζεται τῇ θαλάσσῃ. φυσικῶς δὲ οἱ γέροντες ἐπὶ τὸ πρόσωπον φέρονται. πρῷρα δὲ τὸ πρόσωπον.
Π ρωρεῖ, κινδυνεύει, ἐκρεῖ. προορᾷ φοβεῖται.
Π ρόσσοιν, προσπάθησιν. ¶ Πρῶτα, ἅπαξ πρότερον.
Π ροτέλειαι, αἱ ἀπαρχαί. κυρίως μὲν τῆς λείας, ὅ ἐστι τῆς αἰχμαλωσίας, καταχρηστικῶς πᾶσα ἀπαρχή.
Π ρωτήσι θύρησιν, ἐπ᾽ ἄκρου τοῦ οὐδοῦ, ἐπ᾽ ἄκραις ταῖς θύραις. ¶ Πρωτερικὸ εἶδός τι συκῆς πρωΐμου, καὶ παιδίον τι οὕτω καλεῖται.
Π ρώτιστον, πρότερον.
Π ρωτόπαλος, πρωτόπλοις. ¶ Πρωτόβαθρον, τὸν προεδρείας ἀξιωθέντα. ¶ Πρωτοπόνων, πρώτων φανέντων. ¶ Πρωτόγονος, νέος.
Π ρωτογυναῖκες, οἱ μὴ ἀγημένοι γυναῖκας.
Π ρωτόλεια, ἁρπάγματα. ¶ Πρωτόλειον, ἀπαρχή. ὃ τὸ πρῶτον ἔλαβεν τὴν λείαν.
Π ρωτώλη, πρώτη ἡ ἄτροφον. ¶ Πρωτολόχεσθαι, τὸ

Π ροσφθεὶς, προσπλακεὶς, περιπλακείς.

Π ροσφῦσα, ἐνδακοῦσα. ¶Προσφωνεῖ, προσαγορεύει. ¶Πρὸς χάριν, πρὸς τέρψιν. ¶Πρόσχες, ἐπίβλεψον. ¶Πρόσχημα, πρόφασις, ὑπόκρισις. προκάλυμμα. ¶Προσχήματα, εἶδος ὑποδήματος ἐσχισμένον ἐκ τῶν ἔμπροσθεν. ¶Προσχόμενον, προτείναντα. ¶Προσχωρεῖ, συμμίσγεται,

Π ρόσχορος, ὁ παρὰ τῷ χορῷ γινόμενος. ¶Πρόσω, ἔμπροσθεν πρὸ θύρου. ¶Προσῳδία, μετ' ὀργάνου ᾠδή. ¶Προσωθεῖται, προστρίβεται. ¶Πρόσω καὶ ὀπίσω, ἐν τῷ ἔμπροσθεν. ὅ ἐστι μετὰ ταῦτα καὶ ἐν τῷ παρελθόντι χρόνῳ, ἢ τὰ ἐνεστῶτα καὶ τὰ μέλλοντα. ¶Προσωκεῖλαι, προσορμίσαι εἰς γῆν.

Π ροσῶν, ἐνυπάρχων. ¶Προσῶσον, ὤθησον.

Π ροσωπεδοῦντες, ἢ προσεμπεδοῦντες ἐπιβεβαιοῦντες.

Π ροσωπεῖον, ἡ νῦν καλουμένη τῶν γυναικῶν προσωπίς

Π ροσωπεῖον, σχηματισμός.

Π ρόσωπον ἐστι, συνδρομὴ ἰδιοτήτων. ¶Πρόσωπον, τὸ πρόσωπον ὅμηρος. ¶Προσώπη, προσοψίς.

Π ροσωπίον, τίς νῆσος ἐν αἰγύπτῳ. ¶Προσωποποιία ὅταν πρόσωπον ὑποθέμενός τις, εἴπῃ τί.

Π ροσωπορεία, προκοπὴ ὅλου. ¶Προσώπουτα πολέμου ἀγγεῖον χαλκοῦν, ἔχον ἐπὶ τοῖς χείλεσι πρόσωπα, ἐν ᾧ τὰ ἱερὰ ἔπεμπον. ¶Προσώτατα, ἐσώτατα. ¶Προσωτέρω, ἐγγυτέρω πρὸς γένος:

Π ροσώσιν. πρὸς ὤθησιν, ἢ πρὸς ὄψιν, οὐ καλῶς.

Π ροσώχθισα, ἐμίσησα, προσέκοψα. περιεκάκησα, προσήγγισα. ¶Προταίνιον, πρὸ μικροῦ. ¶Προταίνιον, παλαιόν. ¶Προταμεῖν, τεμεῖν. ¶Προτάξω, προκρίνω. ¶Προτάξεως, φανερᾶς μάχης.

Π ρότασις, μετ' ἐπιτάσεως, ἢ ἐρώτησις. ¶Προτεινόμενον, ἢ πολωμένον. ¶Προτείνεται, δίδωσιν ὑπισχνεῖται. ¶Προτελεία, ἡ πρὸ τοῖς γάμοις θυσία καὶ ἑορτή. τέλος δὲ ὁ γάμος, ἀπὸ τοῦ εἰς τελειότητα ἄγειν. ¶Προτελεσαμένη, προθυμησαμένη.

Π ροτεμενίσματα, προπύλαια ναῶν. ¶Προτένθαι, λίχνοι προαρπάζοντες. ¶Προτενίσματα, προπύλαια. ¶Πρότ' ἐόντα, προγεγονότα. ¶Προτερεῖ, προέχει τὰ πρωτεῖα λαμβάνει. ¶Προτέρημα, πρόκριμα, προτίμησις. ¶Πρότεροι, προγενέστεροι. ¶Προτέρω, εἰς τὸ ἔμπροσθεν, νῦν δ' ἄρα μοι προτέρω νεῖκος. ¶Προτετύχθαι, προγεγενῆσθαι,

Π ροτιάπτω, προπέμπω. ¶Προτὶ ἄστυ, εἰς τὴν πόλιν. ¶Προτιβάλλεαι προβάλλεις μισῶς καὶ ἀποστρέφει. ὡς καὶ ἀττικοὶ λέγουσι: προβάλλομαι ἐστιν. οἱ δὲ κωλύεις ἀπὸ μεταφορᾶς τῶν πύκτας προβολῆς, ἔστι δὲ ἀναπόδεικτον ἐπὶ ὁμήρου, ταύτην δ' οὔτ' ἔτι προτιβάλλεαι. ¶Προτιδέγμαι προσδέχομαι. ¶Προτιδέγμεναι, προσδεχόμεναι.

Π ροτιδέγμενοι, προσδεχόμενοι,

Π ροτιείδειν, ἐγκλίνειν. ¶Προτιμᾶν, προκρίνειν, ἐκλέξασθαι. ¶Προτὶ ἴλιον, πρὸς τὸ ἴλιον. ¶Προτιόσσεται, προορᾶται, προσδέχεται προσαγορεύει.

Π ροτιόσσεται, προσδοκᾷ. ¶Προτιπτυσσοίμεθα, ἀσπαζοίμεθα, παρακαλοῖμεν. ¶Προτμήσιν κατὰ τὸν ὀμφαλόν. ¶Προτμήσις, ὁ περὶ τὸν ὀμφαλὸν τόπος. ¶Προτμηκτόν, τὸν ὀμφαλόν. ¶Προτμήτις, ὁ περὶ τὸν ὀμφαλὸν κατὰ τὴν λαγόνα τόπος.

Π ροτολεῖον, ὑπάρχον. ¶Προτομαὶ, εἰκόνες βασιλέων. ¶Προτομή, εἰκὼν βασιλική, ἕως τοῦ ὀμφαλοῦ τοῦ σώματος εἶδος. ¶Προτόνιον, ὕφασμα.

Π ρότονοι, οἱ ἑκατέρωθεν τοῦ ἱστοῦ σχοῖνοι ἐκτεταμένοι εἰς τὴν πρῷραν καὶ πρύμναν ἔμπροσθεν. ¶Προτένησι, τοῖς τὸν ἱστὸν συνέχουσι σχοινίοις. ἐξ ἑκατέρου μέρους. καὶ ῥις ἐν τῷ ὑφαντικῷ ἱστῷ. ¶Προτορύμαιο, ἐν τῷ ἀκρορύμῳ, ὅπου ὁ ζυγὸς δεσμεῖται.

Π ροτραπέσθαι, ἀποτραπῆναι ὑποδεῖξαι ἔθελον δ' ἄχεος προτραπῆναι παρ' οὐχὶ προθυμηθῆναι, οἷον τοῖς τάχοις ἀποτραπῆναι. ¶Προτρέπειν. τὸ προάγεσθαι, ἐνίοτε καὶ τὸ προβιβάζειν. ¶Προτροπαδάσιοι ἐπιτροπὴν ἔχοντες. ¶Προτρέπου, παρακάλει.

Π ροτριβεῖς, δριμεῖς καὶ ὀξεῖς. ¶Πρότριτα πρὸ πολλοῦ. ¶Προτρόπια, θυσίας εἶδος. ¶Προτροπάδην, εἰς τὸ ἔμπροσθεν τετραμμένοι, ἢ φεύγων καὶ διώκων ὡς ἐν μάχῃ. ¶Προτροπή, παράκλησις. καὶ τὰ ὅμοια. ¶Προτύπως, ἀκολούθως. ¶Προτροπίς, σωφρεῖς. ¶Πρότροπος, οἶνος τίς, τοῖς γλεύκοις τὸ πρόρυμα. ¶Προτρυγία, ἑορτὴ διονύσου καὶ ποσειδῶνος. ¶Προτυχών, προστυχών, παρατυχών.

Π ρωτόγονος, νέος. ¶Προῦ, προσέρχου. ¶Προῦβα, τὸ λευκόν. ¶Προῦβη, προσέβη. ¶Προυγλεῖν, προπηλακίζειν ὑβρίζειν. ¶Προυργιαίτερω, προτιμοτέρω. ¶Προϊεμένη, ἀναβαλλομένη προϊοῦσα. ¶Προὔθηκα; προέθηκα. ¶Πρόκας, δορκάδας. Προυλέοι, πεζοὶ ὁπλῖται: ¶Πρῶμος; εἶδος οἴκου. ¶Προυνικοὶ, οἱ μισθοῦ κομίζοντες τὰ ὤνια ἀπὸ τῆς ἀγορᾶς, οὓς τινες παλαιοὺς καλοῦσι δρομεῖς ταχεῖς ὀξεῖς, οἱ κίναιδοι πορνοὶ μισθωτοί.

Π ρούνεις. βουνοίς. ¶Προυξενεῖς, ξενίζεις.

Π ρούπεμψε, προέπεμψεν. ¶Προὔπτον, πρόδηλον, φανερόν. ¶Προύρα, πλεύμων, ἢ πνεύμων.

Π ρουργιαίτατα, προνοητικώτατα.

Π ρουργιαίτερον, προκρινόμενον. προτιμότερον, κρεῖττον. ἀναγκαιότερον ὠφελιμώτερον. ¶Προὔργου, ὁμοίως ἑτοίμως. πρὸ ἔργου. ¶Προύσελα, προυτέλα, προπελεῖ. ¶Προὔστημεν, προέστημεν.

Π ροὔστησας, προέστησας. ἐπεστάτησας. ¶Προὔστησε, προέστησεν ἐπεστάτησεν. ¶Προυστροπάδην, κατὰ τροπήν. ¶Προὔτυψαν, προεώθησαν. προῆλθον προεχώρησαν. ¶Προὔτυψαν, προήρξαντο καὶ τὰ ὅμοια. ¶Προὔχει, προέχει προτεύει, κρεῖττόν ἐστι.

Π ροὔχοιεν, προφητίζοιο. ¶Προὔχων, προέχων.

Π ροὔχονται, ἐνέχονται; ¶Προὔχοντες, προάγοντες, μέγιστοι. ¶Πρόχοις, ξέστης. ¶Προὔχνυ, παντελοῦς. ¶Προφαίνων, προλέγων, προδηλῶν. ¶Προφανεῖς, προφανέστεροι.

Π ροφανέντες, προελθόντες. ¶Προφανῶς, προθύμως. ¶Πρόφαντα, προφητικά.

Π ρόφαντον, λόγιον. θεοπρόπιον, προδεδηλωμένον.

Π ρόφασις, αἰτία ἀφορμή. ¶Πρόφασα, προδη

Π ρόσθ' ἵσταμαι, προΐσταμαι, ἐμποδίζω, ὑπερμαχῶ.

Π ροΐσταται, ἐπιπολάζει, προσκόπτει.

Π ροσίασι, προσέρχονται προσφέρουσι.

Π ροσίει, ἐγγίζει. προσίεμαι, προσερχόμεθα.

Π ροσίενται, προσάγονται. ¶ Προσίεσθαι, ἐφέλκεσθαι, προσφέρεσθαι. ¶ Προσίεται, ἀρέσκεται, προσδέχεται, ἡδέως λαμβάνει. ¶ Προσιζῆσαι, προσκαθεσθῆναι. ¶ Προσιζήσαντος, προσκομίσαντος. ¶ Προσιζήσας, προσκαθίσας.

Π ρόσιθι, πρόσελθε. ¶ Προσίκτορος, προσικέτορος, ἀπὸ τοῦ προσικνεῖσθαι τοὺς ἱκέτας. ¶ Προσίμεν, προσερχόμεθα. πρεσβεύομεν. ¶ Προσίναντες, βλάψαντες. ¶ Προσιοῦσα, παρερχομένη.

Π ροσίρρων, προσέπλεον. ¶ Προσίπταται, προσπέτεται.

Π ροσίσχεται, προσβάλλεται. ¶ Προσιτὸν, ὃ δύναταί τις προσελθεῖν. ¶ Προσιὼν, προσελθὼν, προσερχόμενος. ¶ Προσκαταγνοὺς, πρὶν καταπλήξας.

Π ρόσκειται, ἐκ προσ... κεῖται. ¶ Πρὸς κέντρα λακτίζει, παροιμία ἐπὶ τῶν κατὰ τῶν ἐναντίων τι λέγειν ἢ πράττειν. ¶ Προσκηδὴς, κατ' ἐπιγαμίαν οἰκεῖοι. ¶ Πρόσκηπτε, προσήμαινε πρόλεγε, προμήνυε. ¶ Προσκληθεὶς, προσκαλεσάμενος.

Π ρόσκλησις, προβολὴ, ἢ πρόσρηψις ἐπὶ δίκης.

Π ροσκομίσατο, προσ...ατο. ¶ Προσκομιστέον προσενεγκτέον. ¶ Προσκομιδὴ, ἀναφορά.

Π ρόσκομμα, ζημία βλάβη. ¶ Προσκόπτειν, ἁμαρτάνειν προβλέπειν. ¶ Προσκοπὴν, σκάνδαλον.

Π ροσκορὴς, ἀηδὴς ἀχαρής. ¶ Προσκεκρόασας, ἄλλας ἐπ' ἄλλας κλιμακηδόν. ¶ Προσκροῦσαι, προσοργίσαι, προσκλῶσαι. ¶ Προσκρούνιον. πρόφρασμα.

Π ροσκυνεῖ, προσπίπτει. ¶ Προσκυρεῖ, προσεγγίζει.

Π ροσκυροῖ, βεβαιοῖ. ¶ Προσλαζόμενα, προσλαμβανόμενα. ¶ Προσλαζύμεναι, προσλαμβανόμεναι. ¶ Πρόσληψις, γνῶσις. ¶ Προσλιπαρῆσαι, παρακαλέσαι. ¶ Προσμελοῦ, ἐπιμελοῦ.

Π ροσμίξας, προσελθὼν, συνάψας. ¶ Προμνήστρια, προξενοῦσα νυμφίους ἢ νύμφας. ¶ Προσόδιον ᾠδὴ ἢ θεοῦ ὕμνον περιέχουσα. ¶ Πρόσοδος, ἔντευξις ἢ κέρδος προσθήκη. ¶ Προσοικίσαντες, προσκαθίσαντες. ¶ Πρόσοικος, οἰκεῖος. ὁ πλησίον οἰκῶν. ¶ Πρὸς οἶμον, πρὸς τὴν ὁδόν. ¶ Προσοίσεσθε, προσδέξεσθε. ¶ Προσοκεῖλαι. προσορμῆσαι εἰς τὴν γῆν. ¶ Πρὸς ὄλεθρον, πρὸς θάνατον.

Π ροσὼν, ἐνυπάρχων. ¶ Πρόσωσον, ὤθησον. ¶ Προσορμίσαντες. προσοκείλαντες. ¶ Προσουέλιον, πρὸς ὄθεσ ἐπιτήδειον. ¶ Πρὸς οὐθείς, τὰ ἀοτά.

Π ροσοχὴ, κατανόησις, νῆψις. ¶ Προσοχισμὸς, πρόσκρουσις. λειποπάθεια, πάθος. γνώμης συμπάθεια.

Π ρόσπαιον, πρόσφατον νέον. ¶ Προσπελάζει, προσπελάζει, προσεγγίζει. ¶ Προσπεριβάλλεται, προσπεριλαμβάνεται. ¶ Προσπέφυκεν, ἐκ φύσεως σύνεστιν. ¶ Προσπήγματα, μέρος τι τῆς νεώς.

Π ροσπίξομαι, προσκυνήσω. ¶ Προσπίπτω, λιπαρῶ, ἱκετεύω. ¶ Προσπλάζει. προσπελάζει.

Π ροσπλήξω, τύψω. ¶ Πρόσπολοι, πρόσπολοι, θεράπαινα, θεράποντες, δοῦλοι. ¶ Προσποιεῖται, σχηματίζεται. ¶ Προσπεπεισθεὶς, ἐπινοηθείν.

Π ροσπταίει, σκονδάπτει. ¶ Πρόσπταισμα, πρόσκομμα. ¶ Προσπταιόντων, προσκρούοντες. προσκόπτοντες. ¶ Προσπτύξομαι, προσπτύξομαι, ὑποβαλῶ παραμυθήσομαι. ¶ Προσπτύσσεται, προσάγεται. ¶ Προσέλκεται, προσκηδεύει, ἀσπάζεται.

Π ροσραίνουσι, προσβάλλουσι προσέρχονται.

Π ρόσρησις, προσηγορία, ἀσπασμός.

Π ροσρεπόμενον τοῖς κύμασι, περιρρεόμενον, κυματιζόμενον. ¶ Προσρυέντων, προσελθόντων.

Π ροσσιεῖ. προσεπιτυχεῖν, προσθεῖ. ¶ Πρόσημον, ἐπὶ θανάτου προσαγομένου. ¶ Προσσίναντες, βλάψαντες. ¶ Πρόσω, πόρρω, ἔμπροσθεν, μακρὰν εἰς τοὔμπροσθεν. ¶ Προσωτέρω ἐξώτερον προσπαθεῖο.

Π ρὸς τάνδε αὐλάν. πρὸς ταύτην τὴν αὐλήν.

Π ρὸς τάν, πρὸς ταύτην. ¶ Πρὸς τάνδε, ὁμοίως.

Π ροστασία, κυβέρνησις. ¶ Προστατήριος, ὃν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν αὐτὸν ἀφιδρύοντο. ¶ Προστάται, οἱ μετοίκων, καὶ οἱ μὴ ἔχοντες ἀπροστασίου ἐδιώκοντο. ¶ Πρόστημα, κοιτών.

Π ροστάς, πρόστοον. ¶ Προστάτου, ὡς τοῦ κρέοντος προστάτου. γεγράψομαι ἀπὸ τῶν Ἀθήνησι νομίμων, ἀνάγκη δὲ εἰς τοὺς ἥρωας, ἔνεμον γὰρ προστάτην οἱ μέτοικοι, καὶ οἱ μὴ ἀπογραφόμενοι τοῦτον, ἀπροστασίου δίκην ὦφλον. ¶ Προστεδρανισάμενος, προσπτυξάμενος.

Π ρὸς τέρμασι, πρὸς τὰ τέλη.

Π ροστήσας, προσαγαγών. ¶ Προστιβάζεται, μερίζεται, προσπορεύεται. ¶ Προστιμᾶται, κατακρίνεται. ¶ Πρόστιμον, ζημία, παραγραφή. ¶ Πρὸς τομὸν, ἐπὶ ξίφους κεῖται. ¶ Πρὸς τοῦ, πρὸς τοῦ ἑτέρου. ¶ Πρὸς τοὐμφανὲς, εἰς τὸ φανερόν.

Π ροστετίμηνται, σέβοντες, τιμῶντες. προσκυνοῦντες.

Π ροστρίβεται, προσπίσεται. ¶ Προστρόπαιος, φονικός. μιαρός, αἵματι μεμιασμένος. καὶ πρός τινα τετραμμένοι δεῦσαι καθάρσεως. ¶ Προστροπαιῶ, ἱκετεύω.

Π ροστροπαίων, ἱκετευσίμων καὶ ἱκετῶν.

Π ροστραπέσθαι, ἀποτραπῆναι προσθυμηθῆναι.

Π ροστροπὴ, ἱκετεία. ¶ Προσπρόσοδος, τιμή.

Π ρόσσοντες, πρόσοντες. ¶ Πρόστροχον, στρογγύλον.

Π ροστυχὼν, ἀπαντήσας. ¶ Πρόστῳ, κοιτῶνι.

Π ρὸς ὑποτύπωσιν, πρὸς σημεῖον. ¶ Προσυπουργεῖσθαι, ὑπηρετεῖσθαι. ¶ Προσφανὴ, θεόφαντος, ἐμμεταλλικῷ χρυσίου συρροάς. ¶ Προσφάσθαι, προσειπεῖν. ¶ Προσφάτης, πλάγιος πεσών.

Π ρόσφατον, τὸ ἀρτίως γινόμενον νέον νεαρόν.

Π ροσφερεῖς κόρρας, ὁμοίως ἀλλήλων κοάρων ῥοάς.

Π ροσφθέγγεται, ἀσπάζεται. ¶ Προσφιλεστάτοις, ἀκαταπτοῖς. ¶ Πρόσφορα, τὰ ἐπιτηδείως προσφερόμενα. ¶ Πρόσφορον, ἐπιτήδειον ἁρμόζον οἰκεῖον ἀκόλουθον. ¶ Προσφυοῦς. ἐνδεκοῦς.

Π ρόσφυγα, καταφυγόντα. ¶ Προσφυεῖς, προσπελαγεῖς. ¶ Προσφυὲς, προσοικειώμενον. ¶ Προσφυεστέροις, προσοικειωθεῖσιν. ¶ Προσφυῆ, προσοικότα, ἁρμόζοντα.

προσκτησάμενον. ¶ Προσεταιρεύει, ἀσπάζεται.

Προσεταιρεύσας, προσοικειώσας καὶ τὰ ὅμοια.

Προσεταιρεύουσι, καλοῦσι. ¶ Προσαγωγὴ, προσέλευσις.

Προσαγώγιον, διαβήτης, ὅ ἐστι τῶν τεκτόνων ὄργανον.

Προσαθύροντα, προσπαίζοντα.

Προσαιθερίζουσα, πόμπιμον φλόγα πρὸς τὸν αἰθέρα ποιοῦσα, ὥστε ἄνω πέμπεσθαι τὴν φλόγα.

Προσαίνων, προσελκόμενος, προσσαινόμενος.

Προσαίταις, πτωχοῖς. ¶ Προσεχές, ἐγγύς.

Προσακεσμὸν, πρὸς ὑγείαν.

Προσάκτειλοι, οἱ τῆς μωλολόνθης πρὸς τῷ στόματι μικροὶ πόδες. ¶ Προσαμυνόμενοι, βοηθούμενοι.

Προσανανεύουσαν, ὑποπιέζουσαν, στωμυλοῦσαν.

Προσαντέχειν, προσκεῖσθαι.

Προσάντης, σκληρὸς ἐναντίος δυσχερὴς, ἐχθρὸς ἀηδής.

Προσάντιον, ἐναντίον. ἀντίπαλον.

Προσαμέχων, προσμενέων, κουφίζων.

Προσαυξῶν, προσαύξων, αὔξειν γὰρ τὸ αὔξειν καὶ αὐτὸν τὴν αὔξησιν. ¶ Προσαπειλαι, τιμῆσαι.

Προσαπειλὴ, τιμή. ¶ Προσάπτει, προσπλέκει, συνάπτει. ¶ Προσαρασσόμενον, προσρηγνύμενον.

Πρὸς ἄρκτον, πρὸς μεσημβρίαν.

Προσαύξω, προσάγω. ¶ Προσαυρίζουσα, χερσαία βοσκῇ, ὑπὸ τῆς αὔρας ἢ νοτὶς προσπίπτουσα τῇ βοσκῇ, δύναται δὲ ὅσιον καταλαμβάνουσα, ἐπαυρεῖν γὰρ τὸ καταλαμβάνειν καὶ ἐπιτυγχάνειν.

Πρὸς ἄνεμον, εἰς ἄνεμον. ¶ Προσαυρῶν, προστυχών.

Προσαυδάτω, προσφωνείτω.

Πρὸς αὐτὴν παρ' αὐτήν. ¶ Πρὸς αὐτοῦ, παρ' αὐτοῦ.

Πρὸς ἀφοσίωσιν, πρὸς τιμήν.

Προσάψας, συνάψας. ¶ Προσβαίνει, ἐγγίζει.

Προσβάλλοιντο, πρὸς τῶν ἄλλων ἔβαλον τοῦ ἀθλήσεως.

Προσβλέπων, προσβαλὼν, ἐξ ἀντιστρόφως.

Πρόσβαλον, προσκατακλίθητι. ¶ Προσβλητὸν, κολλητόν. ¶ Προσβολὴ, τοῦ ἀθλητοῦ συναφὴ καὶ ἀρχὴ, καὶ ἡ ὁρμή. ¶ Προσβολοχεῖ, προσχαίρειν λέγει.

Πρόσγειος, ταπεινός. ¶ Προσγίνεται, προσεστί.

Προσγράφει, προσκρίνει.

Προσδεῖται, προσδέεται. ¶ Προσδέδορκας, προσεῖδες. ¶ Πρὸς δέ με, πρὸς δὲ τούτοις ἐμέ.

Προσδέχεται, προσποιεῖται. ¶ Πρὸς διὸς, παρὰ τοῦ διός. ¶ Προσεβόσκετο, προσέβο.

Προσδιατρίψαι, χρονίσαι. ¶ Προσεγκεῖσθαι, ἐγκεῖσθαι, ἐπικεῖσθαι. ¶ Προσεδρεύει, κολάζει.

Προσνομὴ, ἁρπαγή. ¶ Πρόσεδρος, ὁ παρακαθήμενος, σχολάζων. ¶ Προσεθέω, προσθέσω.

Προσιζόσαντων, προσκομισάντων. ¶ Προσεῖναι. ἐνυπάρχειν. ¶ Πρόσειπε, ἄσπασαι προσαγόρευσον πρόσκυνησον. ¶ Προσείσας, προσανακινήσας, καὶ οἷον ἀπαγγείλας ἀπὸ τῶν σειόντων τὰ τετράποδα ὅπου βούλεται. τοὺς δὲ θαλλοὺς σείοντας ἐπεδίδοσαν.

Πρόσεισι, προσέρχεται.

Προσειλάμενοι, προσλαβόμενοι.

Προσεκτέα, σπουδαστέα. ¶ Προσεκτέον, τὸ προσέχειν κελευστικῶς.

Προσεκτικώτεροι, νηφαλιώτεροι.

Προσέλει. προπηλακίζει.

Προσελήνιδες, αἱ ἀρκαδικαὶ νύμφαι.

Προσελιάσθη, λίαν προσήγγισε.

Πρὸς ἐλιφόρες, πρὸς τὸ κεκλεισμένον.

Προσελθὼν, προσβαλών.

Προσεμάξατο, κατεμάξατο. ¶ Προσεπλάκη, ἐπλησίασεν. ¶ Προσεμπεδούντων, ἐπιβεβαιούντων.

Προσεμπρῆσαι, καῦσαι. ¶ Προσεννέπει, προσαγορεύει.

Προσένουσί με, προσβάλλουσι προσέρχονται.

Πρὸς ἐνώπια, ἔμπροσθεν πρὸς τοὺς κατάντικρυς τῆς αὐλῆς. ¶ Προσενηνόχασι, προσεσχηνόχασι.

Προσεπέλασε, προσήγγισεν.

Προσεπιβαίνει, ἐπιβαίνει, ἐπιτωθάζει, ἐπιγελᾷ.

Προσέπηξαν, προσήλωσαν. ¶ Πρὸς ἐπὶ πᾶσιν, πρὸς βέλτιον. ¶ Προσεποιήσω, προσεπάξω.

Προσεποιήσω, ἐσχηματίσω. ¶ Προσερεύγεται, ἐρεύγεται. ¶ Προσερήσομαι, ἐπερωτήσω.

Προσεράχεται, τεταγμένοι ἦσαν.

Προσερπύσῃ, προσέλθῃ. ¶ Προσέσθαι, ἐκδῦναι.

Προσέτι πρὸς τούτοις. ¶ Προσέχε, προσέλθε, προσέλθωσι, προσανάμνησιν. ¶ Πρὸς εὐθεῖαν, πρὸς ὀρθότητα. ¶ Προσεῤῥύη, προσῆλθεν. ¶ Προσέφυ, προσεγένετο. ¶ Προσέφη, προσεῖπεν. ¶ Προσεχὲς. ἐγγὺς ἐνυφὸν συνεχές. ¶ Προσεχεῖ, ὁμοίως.

Προσεχὴς, γείτων σπουδαῖος. ¶ Προσεχῶς, σπουδαίως. ¶ Προσεψία, προσαγόρευσις, καὶ ἡ πρός τινα ὁμιλία. ¶ Πρὸς ἕω, πρὸς ἀνατολήν.

Πρὸς ζόφον, πρὸς δύσιν. ¶ Προσηγορία, ὀνομασία.

Προσήγορος, προσκυνητός. ¶ Προσήϊκται, προσέοικε. ¶ Προσηκάμενοι, προσλαβόμενοι.

Προσήκατο, προσηνέγκατο. ¶ Προσήκει, πρέπει, διαφέρει, χρὴ, ἁρμόττει, συμφέρει. ¶ Προσηκόντων, συγγενεῖς. ¶ Προσηκόντως, ὀφειλομένως. πρεπόντως ὀφειλομένως. δεόντως. ¶ Προσήλια. πρὸς ἀνατολήν. ¶ Προσήλωσαν, προσέπηξαν, ἔσφωσαν.

Προσήλωται, ἀνεσταύρωται. ¶ Προσήλυτος, πάροικος, ἀλλοεθνής. ¶ Πρὸς ἡμῶν, ὑπὲρ ἡμῶν.

Προσηνάντων, βλαψάντων. ¶ Προσηνὲς. καλὸν ἡδὺ ἐπιεικές. ἀγαθόν. πρᾶον. χρηστόν. ¶ Προσηνὴς, προσφιλής. ¶ Προσηνῶς, ἡδέως καὶ τὰ ὅμοια.

Προσήνεον, ὑψηλὸν τίμιον. ¶ Προσήρεισε, προσέθηγεν. ¶ Προσηρτημένοι, κεκολλημένοι. ¶ Πρόσηται, προσεγγίζει. ¶ Προσηύδα. προσεῖπε, προσελάλει. ¶ Προσηύρετο, προσέτυχε, προσηνέγκεν.

Πρὸς ἠῶ. πρὸς ἀνατολήν. ¶ Προσθεῖναι, τὸ παραδοῦναι τῷ ὠνημένῳ ὑπὸ κήρυκι, ὅπερ νῦν κυρῶσαι φασί.

Προσθεὶς, προσθήκην λαβών.

Προσθήματα, τὰ πυγαῖα. ¶ Πρόσθεν, ἔμπροσθεν. πρὸ τούτου, ἄνωθεν ἢ εὐθύς. ¶ Προσθέοντα, ἔμπροσθεν τρέχοντα. ¶ Πρὸς θεοῦ, τὸ τυχὸν. ἀττικοὶ δὲ χάριτι θεοῦ φασὶν εἶναι.

Προσθέσεις, διορθώσεις. ¶ Πρὸς θεὸν. κατὰ τὸν θεόν. ἀντὶ τὸν θεόν. ¶ Πρόσθη, πρόσθεσις.

Προσθιάζειν, ἀφελεῖν τὰς ἐκ τῆς ὀσφύος τρίχας.

Π ροκόνδυλα. τὰ μετὰ τοὺς κονδύλοις ἐν ταῖς χερσί.

Π ροκόννησος. πόλις καὶ νῆσος παρὰ κύζικον.

Π ρόκοος, πόλις, ἡ πονηρός. ¶ Προκοπῆς, αὐξήσεως.

Π ροκοπίς, ἡ χαίτη. ¶ Προκόττα, εἶδος κουρᾶς, ἣ κεφαλῆς τρίχωμα, κόττε γὰρ ἡ κεφαλή, καὶ οἱ ἀλεκτρυόνες κόττοι, διὰ τὸν ἐπὶ τὴν κεφαλὴν λόφον.

Π ρόκρισις, προτίμησις. ¶ Προκριτόν, ἐκλεκτόν, ἐκλελεγμένον. ¶ Προκρίς, θυγάτηρ ἐρεχθέως.

Π ροκρόσσαι, ἐπάλληλοι ἄλλαι ἐπ' ἄλλας, καὶ ναῦς αἱ κατ' ἀλλήλων νενεωλκημέναι. ὅτι οἱ κρόσσοι τὰ ἄκρα, ἢ ἀντικέφαλοι. ¶ Προκρόσσας, ἄλλας ἐπ' ἄλλαις κλιμακιδόν. ¶ Πρόκροσσον, οὐ κατὰ θυροῦν κλιμακωτόν. ¶ Προκυκλίς, ἡ προμνήστρια. ¶ Προκυλινδόμενος, προκυλιόμενος.

Π ρόκυμον, πρόθυμον. ¶ Προκυρεῖν, τὸ ἐγχωρεῖν.

Π ρόκωνα, τὰ ἐκ τῶν μὴ πεφυραμένων κριθῶν ἄλφιτα.

Π ρόληψις, πρόγνωσις. ¶ Προλόβιον, τὸ πρὸ ἔχον τοῦ λοβοῦ. ¶ Προλογίζει, προλέγει.

Π ρολογία, θυσία πρὸ τῶν καρπῶν τελουμένη, ὑπὸ λακώνων. ¶ Πρόλογος, ὁ ἐπιτιθέμενος τοῖς προελθοῦσιν περὶ δεῖπνον, καὶ ὁ παραιρεῶν τῶν ὀρνίθων, ὃν οἱ παλαιοὶ γρηγορέων. ¶ Πρόμαχοι. βασιλεῖς ἐπὶ τὰ τείχη· προμαχόνες δέ, οἱ περὶ τῶν τειχῶν πρόβολοι. ¶ Προμάλας, μάζας προμεματτωμένας.

Π ρόμαλος, μυρίκη, ἢ ἄγνος.

Π ρομαλαχτεύειν, μεταποτεύειν.

Π ρομαχεών, πύργος. ¶ Πρόμαχος, ὑπὸ κρητῶν μάζα ἑβδομαίῳ παιδίῳ γινομένη. ¶ Πρόμοι, λέγοντες προαγορευταί. ¶ Προμενεῖοι, ῥοιαί τινές.

Π ρομήθεια, πρόνοια, ἐπιμέλεια. ¶ Προμηθέστεροι, προνοητικώτεροι. ¶ Προμηθεύς, ἐπικίνδυνος, ἐπισφαλῶς ἔχων καὶ ὄνομα. ¶ Προμηθής, σώφρων. ¶ Προμηθούμενος, προνοούμενος, προβλέπων. ¶ Προμήτωρ, πατρὸς μήτηρ.

Π ρομνηστῖναι, ἑτέρα παρὰ τῆς ἑτέρας, οἱ δὲ ἑξῆς καὶ ἐκ διαστημάτων ἀναμένουσαι ἀλλήλας.

Π ρομνηστῖναι, ἐπιμονήν, ἀπὸ τοῦ προσμένειν.

Π ρομνήστρια, ἡ συνιστῶσα ἀλλήλοις τοὺς γαμοῦντας.

Π ρομνώμενοι, προμνηστευόμενοι.

Π ρόμοις. προμάχοις. προαγωνισταῖς, προστάταις προηγουμένοις. ¶ Πρόμολε, πρόελθε.

Π ρομόλη, ὁδὸς προσδόκησις. ¶ Προμόνη, πρόμαχος, ἀντίδικος. ¶ Προμόνες, προπετὴς καὶ προασπιστῶν, οἱ δὲ πρόθυμος, προτεθυμηκώς.

Π ρόμουλος, πρόβουλος. ¶ Προμοχεῖα, τὰ προβεβλημένα τῶν τοίχων. ¶ Προμυλαία, θεὸς ἱδρυμένη ἐν τοῖς μύλωσι. ¶ Προμοχλίζει, χαλκοτεύχω ὅπλων ἀντὶ τοῦ προοχυρίου.

Π ρόνεως, ποσειδῶν. ¶ Προναΐας, ἀθηνᾶς τέμενος ἐν δελφοῖς. ¶ Προνοεῖ, ἐπιμελεῖται.

Π ρόνοια, προενθύμησις, ἐπιμέλεια φροντίς.

Π ρονομεία, προβόσκησις. ¶ Προνομεύει, θησαυρίζει. ἁρπάζει κατασύρει αἰχμαλωτεύει.

Π ρονόμια, τὰ ὀφειλόμενα διὰ ἀξιώματι, ἢ ἡ ἐκ τῶν νόμων ἐξουσία, ἢ διαρπαγή.

Π ρονόμων, προβλημάτων.

Π ρονοοῦ, ἐνθυμοῦ ἐπιμελοῦ.

Π ρονόπως, προτεταμένως. προτεθυμηκώς, οἱ δὲ προπετὴς ἕτοιμος πρόχειρος. ¶ Προνώπια, τὰ ἔμπροσθεν τῶν πυλῶν. καθάπερ ἐνώπια. τὰ ἔνδον ὅπου αἱ εἰκόνες τίθενται. ¶ Προνώπιον, τὸ προκείμενον, οἷον πρόθυρον. ¶ Προξενεῖ, μαρτυρεῖ.

Π ρόξενοι, οἱ προστάται καὶ ξενίας ἐπιμελούμενοι, ὅσοι τοὺς ξένους ὑποδεχόμενοι. ¶ Πρόξενος, φίλος ὁ ἐν τῇ ἑαυτοῦ ξενίᾳ προϊστάμενος.

Π ροοικίαι, παρὰ κλειτοδήμῳ ἐν ἴσῳ τῷ δήμῳ.

Π ροοίμιον, πρόλογος. ἀρχὴ παντὸς λόγου.

Π ρόοιντο, προδώσουσι, δώσουσιν.

Π ροολεῖ, καταλείπει. ¶ Προόπτον, προφανές.

Π ρὸ ὁδοῦ, ἀντὶ τοῦ πρὸ τούτου, ἢ ἕτερος τοῦ ἑτέρου.

Π ρόουρον, τὸ ἀπόσταγμα τῆς σταφυλῆς πρὶν πατηθῆ.

Π ροπαιδίζων, προβαίνων ὑπὸ τῆς ἀσπίδος.

Π ροπαιδεύματα, προπαθήματα,

Π ρόπαις, ὁ προαγωγός, μαστροπὸς καὶ μάντις μαστρεύουσι. ¶ Προπαλῶς, δαψιλῶς.

Π ροπάροιθεν, ἔσθ' ὅτε περὶ χρόνου, εἰ δὲ θέλεις ἐπίμενον, ἐγὼ δ' εἰμι προπάροιθεν. ¶ Πρόπας, ἅπας.

Π ροπάστιον, τὸ πρὸ τῆς παστάδος τόπον.

Π ροπάτωρ, πατρὸς πατήρ. ¶ Προπεπηλάκισται, καθύβρισται. ¶ Προπέποται, προδέδοται.

Π ροπεριζόμενος, ἀγκαλιζόμενος.

Π ροπέτηλον, πεποίηται ἀπὸ τοῦ προπίπτειν.

Π ροπετής, προπίπτων πρὸ τοῦ λογισμοῦ.

Π ροπέφανται, φανερόν ἐστι. ¶ Προπιόντες, προεστώτες. ¶ Προπηλακίζει, ἐρεθίζει, κολακεύει, ἢ ὑβρίζει, ἀδικεῖ ἐξουδενεῖ. ¶ Προπηλακισμός, ἐρεθισμός. φιλόνεικος κολακευτὴς ὑβριστικὸς ἄδικος. ἐξουδένωμα. ¶ Προπηνής, ἔμπροσθεν, καταφορές. ¶ Προπίονι, εὐθεῖ.

Π ροπίωμεν, διὰ τοῦ οἴνου τιμήσωμεν.

Π ρόποδες ὄροις. τῶν ὀρῶν τὰ προύχοντα, καὶ τὰς προκειμένας τῆς αἰγύπτου νήσους. ¶ Προποδίζων, προβαίνων.

Π ροποδῶν, ἔμπροσθεν. ¶ Πρόπολοι, ὑπηρέται δοῦλοι, νεωκόροι, προφῆται. ¶ Προπηνές, περὶ πρόσωπον, ἢ ἔμπροσθεν καταφορές.

Π ροκυλινδούμενος τοῖς ποσί, περὶ τῶν ποδῶν κυλιόμενος οἱ δὲ εἰς τὸ ἔμπροσθεν πορευόμενος.

Π ροπόρθια, ἐν τοῖς ἄξοσιν ἡ λέξις φέρεται.

Π ρόπυλα, ἡ ἑκάτη. ¶ Προπύλαιον, πρόθυρον.

Π ρόπωνα, εὔκρατα εὔφημα πρόχειρα, ἕτοιμα, αἰτεῖν πόσιν.

Π ρόρινον, τὸ μεταξὺ τῶν σκελῶν καὶ τοῦ δέρματος.

Π ρόρριζον, σὺν ταῖς ῥίζαις ἀνασπώμενον.

Π ρόρρησιν, πρόλεξιν, προφητείαν.

Π ρόρρησις, λόγος καὶ τὰ ὅμοια.

Π ρος, πρόθεσις καὶ ξύλον ἐν αἰθιοπίᾳ. καὶ αὐτὸ τὸ περί.

Π ρὸς ἀπεθόν, ἐπ' ἀπεθῷ, περὶ καλῷ.

Π ροσαγγελία, προσαγωγή.

Π ροσάγει, προσέρχεται. προσφέρει.

Π ροσαιγιόχασι, προσήκασιν.

¶ Προσαιτούμενον, ἀγαπήσαντα

προεφήτευσεν. ¶ Προεθυμήθησαν, μετὰ προαιρέσεως προσήνεγκαν. ¶ Προϊάψαι, προπέμψαι.

Π ροειδόμενοι, προνοοῦντες. ¶ Προείλαν, ἐπελέξαντο ἐθέλοντες. ¶ Προείλετο, οὐ προείλαν.

Π ροειληφθῆσαι, πρόληψιν ἔχει ὑπονενόηται.

Π ροειλόμην, προέκεινα. ¶ Προεισπεπληκότων, προεισελθόντων. ¶ Προέιται, παραδίδοται.

Π ροεκτικὸς, χαριστικός. ¶ Προέλθωσιν, ὑπὸ προελθεῖν. ¶ Προέλοιτο, προτιμήσειε προθέμενος.

Π ροελόμενοι, ὁμοίως. ¶ Προελόμενος, ἐπιλεξάμενος. ¶ Προέμβολος, μέρος τι τῆς νεώς.

Π ροέμεν, προπέμψαι. ¶ Προέμενος, προδώσεις προαφεὶς, ἐκδιδούς. ¶ Προενέπειν, προαγορεύειν. ¶ Προενόντων, προδόντων. ¶ Προενώπια, ἔμπροσθεν. ¶ Προεξαυχήσαι, πρὸ τοῦ καθήκοντος ποιῆσαι. ¶ Προεξηγῆσαι, προέσται.

Π ροερέσσειν, προήλασεν. ¶ Προερύσσειν, καθείλκυσεν. ¶ Προερύσαι, προελκύσαι. ¶ Προερύσσεν, προέλυσεν. ¶ Προερχόμενος. διερχόμενος προβαίνων. ¶ Προές, πρόπεμψον.

Π ροέσθαι, προδοῦναι. ¶ Προεστηκὸς, προεστικὸς, χαριστικός. ¶ Προετύπου, προεδήλου.

Π ροέτυψαν, προεχώρησαν. ¶ Προέφηνε, προέδειξε.

Π ροέχει, ὑπερέχει. ¶ Προεχεῖς, ἀπὸ ὑψηλοὶ κραταιοί. ¶ Προεχόμεθα, προβαλλόμεθα.

Π ροεψιᾶ, προαγορεύει. ¶ Προή, προβαλεῖ.

Π ροηγεῖται, προοδηγεῖ, προπέμπει. ¶ Προηγητὴς, ὁ προηγούμενος τῆς ζεύγους, ἢ ὁ χειραγωγὸς τοῦ τυφλοῦ.

Π ροηγμένον, προαχθέντα.

Π ροηγόρευσεν, προεῖπον. ¶ Προΐει, προέπεμπε προὔρχετο. ¶ Προῆκε, προέπεμψεν. ¶ Προήκαμεν. ἀφήκαμεν, παρελείπομεν. ¶ Προήκαν, ἀπέλυσε, προέδωκε, προσήνεγκαν. ¶ Προηκέα, κατὰ τὸ ἔμπροσθεν προηκονημένα.

Π ροήκει, ἐξέχει προβαίνει. ¶ Προήκων, προβεβηκώς. ¶ Προῆκεν, ἐξῆλθε προῆλθεν.

Π ροήρημαι, θέλω. ¶ Προηρημένοι, προθυμηθέντων. ¶ Προηρήσαντων, θελήσαντων.

Π ροηρόσια. τὰ πρὸ τοῦ ἀρότου θύματα καὶ ὁ Λύκιος δὲ αὐτὰ προαρκτούρια καλεῖ. ¶ Προήρτηται, κρέμαται. ¶ Προήσει, προδώσει.

Π ροήσομαι, προδώσω.

Π ροήσομαι, προνοήσομαι προφέρω.

Π ρόηται, προδώσει. ¶ Προήχθη, προετιμήθη, προεβάσθη. ¶ Προθέει, προτρέχει.

Π ροθέλυμνον, αὐτόρριζον. ¶ Προθελύμνοις, προρρίζοις, ἀπὸ ῥίζης ἀνασπᾶν. ἄλλας ἐπ' ἄλλαις προθελύμνοις ἕλκετο χαίτας, καὶ σάκος τετραθέλυμνον τὸ θέσεις τέσσαρας ἔχον τετράπτυχον.

Π ροθεμένισάμενος, προαναπτυξάμενος.

Π ροθέντα, προβαλλόμενον ἐπαγγειλάμενον.

Π ροθεώμενος, προορῶν. ¶ Πρόθεσις, προαίρεσις, προάπλωσις. ¶ Προθεσμία, καιρὸς, ὅρισις, διορία, ὅρισμα. ¶ Προθεσπίζοντα. προστάττοντα, ἢ προμαντευόμενον. ¶ Προθεσπίζων, προφητεύων

Π ροθέων, προτρέχων. ¶ Προθῆβαι, ἀρτίως ἀκμάζοντες. ¶ Πρόθημα, δῶμα. διά τι πρόθημα καὶ προσθήκη ἢ πλεκτὰ μένει. ¶ Προθορών, προπηδήσας. ¶ Προθυμία, χαρά.

Π ροθύμως, ἱλαρῶς. ¶ Προΐαι, ἄποιοι, αἱ προῖκα τοῦ γινόμεναι. ¶ Προϊάλλειν, προπέμπειν, προτιθέναι. ¶ Προΐαλλεν, προέπεμψεν. ¶ Προΐαψεν. προέπεμψεν, προδιέφθειρεν, δηλοῖ δὲ διὰ τῆς λέξεως, τὸν μετ' ὀδύνης αὐτῶν ἀπώλειαν.

Π ροΐκται, προδίδωσι. ¶ Προϊείς, προπέμπων.

Π ροΐεμαι, προδίδωμι. ¶ Προϊεμένη, προβαλλομένη. ¶ Προϊέμενοι, ἀπολύοντες, παραχωροῦντες, ἀπορρίπτοντες. ¶ Προϊεμένου, προδόντος. ¶ Προϊέναι, προπέμπειν. ¶ Προΐενται. προάγονται. ¶ Προΐεται, προσποιεῖται, προσέχεται. ¶ Προΐζα, πρωΐ.

Π ροϊζήσαντες. προσκομίσαντες.

Π ροΐηλε, προετιμήθη καὶ ἐξέτεινεν.

Π ροΐθες, προφανῶς προβεβηκώς.

Π ροῖκα, δωρεὰν, φερνὴν, πᾶν τὸ δῶρον, προίξ.

Π ροικὸς. πονηρὸς. οἱ δὲ, μωρὸς, πτωχός.

Π ροϊκέσθαι, ἐπικέσθαι. ¶ Προΐκτης, πτωχὸς, προσαιτητής. ¶ Προΐμε, προδώσεις με.

Π ροΐμον, σῦκον προακμάζον. ¶ Προΐεμαι, παρέρχομαι. ¶ Προϊόντων, προδόντων.

Π ροΐρης, πρώρας. ¶ Προϊεμένη, προβαλλομένη.

Π ροΐσσεται, ἐπιπλάζει. ¶ Προϊστορῶν, μαρτυρούντων. ¶ Προΐσχεται, προβάλλεται.

Π ροϊσχόμενος, προβαλλόμενος.

Π ροϊσχομένου, προτείνοντος χεῖρα, δίκαιον προβάλλοντος. ¶ Προΐσχονται, προβάλλονται.

Π ροΐσχοντο, ἔδοξαν. ¶ Προιτίδος, χάριτος.

Π ροϊχνεύει, θεραπεύει. ¶ Προΐων, πρωΐ.

Π ρόκα, εὐθὺς ἐξαίφνης δρόσος.

Π ροκαλέστερον, προυργιαίτερον.

Π ροκαλεῖσθαι, ποτὲ μὲν ἐπὶ τοῦ ἀλαζονικοῦ εἰς ἅμιλλαν ἀρετῆς καλεῖσθαί τινα, ποτὲ δὲ ἐπὶ τοῦ ἀγομένου καὶ προτρεπομένου. ¶ Προκαλεῖται, καλεῖ, προτρέπει. ¶ Προκαλέστερον, ἐριμότερον.

Π ρόκας, ἐλάφους. ¶ Προκαταβολή, ἐνθήκη.

Π ροκαταθέγεσθαι, προακονᾶσθαι.

Π ροκαταθέσθαι δεῖ, προκομίσασθαι δεῖ.

Π ρόκαυτα, προειρημένα, προκεκαυσμένα.

Π ροκείμενα, παρακείμενα. ¶ Πρόκειται, παράκειται. ¶ Προκελεῦσαι, προκελεῦσαι.

Π ροκέοιτο, προκείμενος εἴη. ¶ Προκεχηνότων, πρὸς τὰ κάτω βλεπόντων. ¶ Προκεχειρισμένον, προβεβλημένον, ἠτιμασμένον. ¶ Προκιόνιον, τὸ πρόθυρον. ¶ Πρόκλησις, κλῆσις ἐπὶ δίκης.

Π ρόκλητος, πρόθυμος, πρὸ τοῦ κληθῆναι.

Π ροκλόνιον, τόπος θεσσαλίας. ¶ Προκλητὰ, τὰ προειρημένα. προκεκαυσμένα. ¶ Πρόκνις, εἶδος ἰσχάδων. ¶ Προκόλπιον, τὸ πρὸ τοῦ κόλπου ἢ πρὸ τοῦ σκοποῦ. ¶ Προκομίδην, προκομιζόντως.

Π ροκομίων, προλειμμάτων. ¶ Πρόκον, ἐλίθιον.

ἡμεῖς τοὺς πεφυσημένους, πεπρησμένοις φαμέν.

Πρῆσεν, ἔκλασεν, ἐφύσησεν, ἐκόλπωσεν, ἐνέπρησεν, ἔφλεξε. ❡Πρηστήρ, σφοδρὸς ἄνεμος. καὶ ὄφεως τι εἶδος. καὶ τὰς ἐκ πλαγίου τοῦ τραχήλου ἡμῶν φλέβας, πρηστῆρας φασίν, ἢ πῦρ ἀπὸ τοῦ οὐρανοῦ.

Πρητῆγας. τοὺς ἐνιαυσίους ἄρνας. ❡Πρηὼν, τὸ ὑπερέχον. ❡Πριάμενος, ἀγοράσας, ὠνησάμενος, καὶ ὄνομα. ❡Πριαμοῦθήσομαι, ξυρήσομαι ἐπειδὴ τὸ τραγικὸν τοῦ πριάμου πρόσωπον, ξυρίας ἐστίν. ❡Πρίαιτο, ἀγοράσειεν.

Πρίεται, φυσᾶται. ❡Πριηπίδος τε, τῆς πρὸ βοσπόρου πόλεως ἐπλήσθη πλακοῦς ἣν τὸν πρίαπον τὸν διονύσου καὶ ἀφροδίτης φασὶν οἰκῆσαι.

Πρὶν, πρότερον. ❡Πρὶν ἐγκύρσαι, πρὶν πλησιάσαι τῆς κακοπαθείας. ❡Πρίν μιν, πρὶν αὐτὸν, ἢ αὐτήν. ❡Πρινοκόπος, κόπτων πρίνους, χειρῶν τοὺς δημοὺς πρίνους, τὰ ὑγιῆ ἔχοντα.

Πριόνα τόν. τόπος ἐργαστηρίου. ❡Πρισμοῖς, ταῖς βιαίοις κατοχαῖς. ❡Πρίστης, ῥινῶν, πρίων.

Πρίω, ἀγόρασον. ❡Πρίων ἀγοράζων.

Πρισμασι, πρίσμασι. ❡Πρὸ, τὸ, τε συνήθως, καὶ παλίμως πρὸ νεῶν ἐχόμενα. καὶ ἀντὶ τοῦ ἀπὸ ὀφθου ἀσκαὶ μὴ προτάμων. ❡Προάγεσθαι, ἐπεξεργάζεσθαι προαγαγών. ❡Προαγγέλλουσιν, προξενῶν.

Προάγομαι, προέρχομαι. ❡Προάγομεν, προφέρομεν, προφέρομεν. ❡Προαγορεύσας προειπών. προφητεύσας, προξενήσας, καὶ ἡ ἐπ' αἰσχροῖς ὥσπερ τὸ πορνεῦσαι προάγουσα τινάς. ❡Προαγόρευσις, προφητεία. ❡Προάγων, ἀρχόμενος. ❡Προαγωγὸς, διδάσκαλος κακὸς, καὶ μαστρωπὸς, μόνος μαυλιστής.

Προαθύροντες, προσπαίζοντες.

Προαιρεῖται, προκέκληται προτιμᾶται.

Προαίρεσις. ἐπιλογὴ καλοῦ ἢ κακοῦ.

Προακτικὸν προβαῖνον.

Προαλεῖ, καταφερεῖ καταβατῷ.

Προαλεστάτην, προπετεστάτην, προχειροτάτην.

Προαλής. προπετὴς πρόχειρος.

Προαμείψασθαι, προαλλάξασθαι, προελθεῖν.

Προαμεῦσαι, ἀμόκως. ❡Προαμβυστὸς, ἐργάτης προηγούμενος. ❡Προαναθρήσας, προσκοπῶν.

Προαναθρούσης, προαναβλεπούσης. ❡Προαναθρώσκειν, προπηδᾶν. ❡Προανακρούεται, ἀναχαιτίζει.

Προανάσχοι, προανατείνει. ❡Προανοίδων, φρενῶν ἀνοιῶν. ❡Προαρτᾷ, προαρμόζει, προτείνει.

Προασπιστὴς, πρόμαχος βοηθός.

Προάστειον καὶ προάστειον, πρὸ τῆς πόλεως.

Προαύλεια τὰ προαυλήματα, ὥσπερ προάμβολα τὰ προκιθαρίσματα. ❡Προβαλεῖ, ἐρωτήσει.

Προβάλλειν, ἄρνα τὸ ἐπαγγεῖλαι. ❡Προβαλοῦ, ἐρώτησον. ❡Προβαλλομένοις, ἐρωτῶσιν.

Προβαλοίμην, ὑπερβαλοίμην. ❡Πρόβαλος, ἀσπίς.

Προβὰς, ὑπερβάς. ❡Προβάσι, βοσκήμασι.

Πρόβασις, ἡ τῶν βοσκημάτων κτῆσις.

Πρόβατα, τὰ τετράποδα ἀπὸ τοῦ προβάσεως. πρόβασιν ἔχειν ἑτέραν τῶν ἔμπροσθεν ποδῶν πρὸς τὰ ὀπίσθια. ❡Πρόβατα τέλεια, τὰ ἤδη νεμόμενα ἐκ τημελούμενα. ❡Προβατήματα. πρόβατα.

Προβατοπώλης, οὕτω κωμῳδεῖται λυσικλῆς ὁ προβατοκάπηλος, γήμας ἀσπασίαν τὴν πόρνην.

Προβέβηκας, ἀειστεύεις προκόπτεις.

Προβέβλα, προκέκεικα, προέκεινα.

Προβιβάζεται, προκόπτει.

Προβιβὰς, προβαίνων. ❡Προβιβάσαντα, προάξαντα.

Προβιβασθεὶς, προαχθεὶς, πραχθείς.

Προβιβάσθων, προβαίνων.

Προβιβάσεις, πράξεις. ❡Πρόβλημα, πρόληψις.

Προβλήματι, ἐξέχοντι. ❡Προβλῆτας, τὰς ἔξω προβεβλημένας τοῦ τείχους, στήλας τε προβλῆτας, ἐμόχλευον. ❡Προβλώσκειν, προμολίσκειν.

Προέρχεσθαι, προπορεύεσθαι. ❡Προβόλιον, σιβύνην ἔχουσαν μετὰ τὴν ἀκμὴν προβολὰς, ἢ πυρείς.

Πρόβολοι, λίθοι. ❡Πρόβολος, πρόμουλος, πρόμαχος, προνοητής, κυβερνήτης ἱερεὺς, καὶ τὸ τῶν σιτίων δοχεῖον. καὶ ὁ εἰς τὴν θάλασσαν προβεβλημένος λίθος τῇ πέτρᾳ, οἱ δὲ ῥάβδος. ❡Προβόλων, λίθων.

Προβολή, ἐξοχή. ❡Προβόσκεο, ἐπέρανεν.

Προβοσκὶς, τὸ ἐκτεταμένον καὶ προβεβλημένον τοῦ ὀδόντος τοῦ ἐλέφαντος.

Πρόβουλος, ἔξαρχος τοῦ βουλευτηρίου. ἢ ὁ προσκεπτόμενος. ❡Προβοῶντες, προφωνοῦντες, ἐγκελευόμενοι προβαίνοντες. ❡Προὔπεμψε, προέπεμψε γάρ.

Προγένιος, εὐγένιος. ❡Προγενέσθην, παραγενέσθην. ❡Προγενέστερος, πρεσβύτερος.

Προγενὴς, ὁ προγεννώμενος.

Προγίνοντο, παραγίνονται. ❡Προηγεῦσαι, προελθεῖν. ❡Προηγνίαν, τῶν ἠπορημένων ἡ λέξις. ἔστι δὲ ὕφασμά τι ποικίλον, ὃ ἐπικαλυψάμενος ὁ μάγειρος, θύει. ὡς ἐν δαμασκῷ. ❡Πρόγονοι, οἱ πρωτόγονοι ἄρνες, οἱ δὲ μετ' αὐτοὺς μέτασσαι ἔρσαι δ' ἀπαλοὶ καὶ τοῦ ἔαρι γινόμενοι, ἔρχατο χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέτασσαι, χωρὶς δ' αὖθ' ἔρσαι.

Πρόγονος, πρόπαππος, προπάτωρ, συγγενής. ἢ πρεσβύτατος ἀνήρ. ❡Προγόνων. πατέρων.

Προγράμματα, ἐκθέματα. ❡Προδανὶς, πρότερον. ❡Προδέδαεν, προμεμάθηκεν. ❡Προδ' ἐνῆκε, προέπεμψε δέ. ❡Προδείξαντες, προδείξαντες. ❡Πρόδηλος, προφανὴς, προκαταλαβών.

Προδιασύρας, παραβὰς τὰς συνθήκας.

Προδικεῖν, ἐπιβοηθεῖν. ❡Πρόδικος, βοηθός.

Προδοκάζων, παρατηρῶν, ἐνεδρεύων. ❡Προδοκῆσι, προενέδραις προόδοις. ❡Πρόδομος, πρόστας. πρόστῳον. ❡Προδόμῳ, προστάδι προστῷῳ.

Πρόδοσιν, προδομάτιον. ❡Πρόδρομα, τὰ ἐν τῷ ἄξονι ξύλα, ἢ τὰ προακμάζοντα σῦκα.

Προδωμάτιον. τὸ πρὸ τοῦ κοιτῶνος τὸ ἴδιον.

Προηγεῖσθαι, προϋπάρχειν. ❡Προεδρεία. προκάθησις, προτίμησις. ❡Πρόεδρος, ἀρχὴ πολιτείας.

Προέδωκεν. προεχώρησεν.

Προέηκε, προέπεμψεν. ❡Προ ἔθεν, πρὸ αὐτοῦ.

Προέθεσαν, προεθυμήθησαν. ❡Προθέασκε,

πνοῦ, ἢ αὐτὸ τὸ πιεῖν. ¶Ποτομηνίας, διαζιβοῖς.
Ποτῶνται, πέτονται.
Ποῦ ἐν ἴσῳ τῷ συνδέσμῳ, ἢ ἀντὶ τοῦ πού. πότε ἄλλα χοῦ. ¶Πεῦαν, οἱ κύαμοι ἑφθοὶ ὅσπρειον.
Ποῦ κῆχος, τῆς γῆς, εἴς τινα τόπον καὶ τὸ ἄγχι.
Πολυβότειρα, πολλοὺς βόσκουσα καὶ τρέφουσα.
Πολὺν ὑφ᾽ ὑγρὴν ἀντὶ τοῦ κατὰ τὴν θάλασσαν. ὑγρὰν γὰρ αὐτὴν εἶπεν πρὸς ἀντιδιαστολὴν τῆς γῆς, ξηρᾶς οὔσης.
Πολύπους, τὸ μέρος τῆς ἁρματίου τροχοῦ καὶ τῆς ἀμπέλων.
Πολύποδος δίκην, ὅτι αὐτὸς τὰς ἑαυτοῦ πλεκτάνας ἐσθίει. ¶Ποῦμμα, ἡ διὰ χειρὸς πυγμή.
Πουνιάζειν, πουνικοῖς χρῆσθαι, πούνιον γὰρ ὁ δακτύλιος. ¶Ποῦ νύ τοι, ποῦ δή σοι.
Πουρλαιον, μαγειρεῖον λακωνικόν. ¶Πουρέακος, κρίκος σιδηροῦς τετρυπημένος, καὶ ἧλον ἔχον ἐν τῷ τρυπήματι στρεφόμενος ᾧ χρῶνται πρὸς δεσμὸν συῶν. παστικοῖς, ὡς ἀριστοφάνης φησὶν ἐν ἐξηγήσει λακωνικῶν.
Ποῦ τοι τόξον, ποῦ σοι ἡ διὰ τόξων ἐμπειρία.
Πουεῖν σκαθρόν. ¶Πουφορίζεται, σκοπεῖ, πράγει, ὑποβρέχει, ὑποβάλλει συμφέρει.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Ρ.

Πράγματα, δυσχέρειαι. ¶Πραγματεία, σύγγραμμα βίβλου ἢ λόγος. ¶Πραγγεῖτης, οἰνός τις. ¶Πράθειν. πορθῆσαι ἐξελεῖν.
Πραθηνεύεσθαι, θρασύνεσθαι ἐπαγγέλλεσθαι λόγοις.
Πραιζέναι, ἐλθεῖν. ¶Πραιωίζειν κατασρέφειν.
Πράκες, ἀριστάρχος, κλανίαι ἔλαφοι, ἀπεδόθησαν δὲ φρατεῖαι ἀνδρῶν διαβεβλημένων ἐπὶ μοχθηρίᾳ.
Πράκνον, μέλανα. ¶Πρακτικὸν, ἀνυστικόν.
Πράκτιον, πόλις φοίας.
Πράκτορες, ἀπαιτηταί. ¶Πράληξ, ὁ λίαν ἀγροῖκος ¶Πράμνη, δίκελλα ἄμπελος. ¶Πράμνιος, οἶνος, ὁ ἀπὸ τῆς πραμνίας ἀμπέλου, ἔστι δὲ ἐγκώμιον οἴνου, καὶ σκληρὸς οἶνος. ¶Πρανὲς, κατάβασις καὶ πρανής. ¶Πρανῆ, κοῖλα. ¶Πρανιχθέντα, πεσόντα ἐπὶ στόμα. ¶Πρανὸν, τὸ καταφορὲς πρανές. ¶Πρανὸ, ἀκριδὸς εἶδος. ¶Πρᾶος ὁ ἡσυχος. ¶Πραξιεργίδαι, οἱ τὸ ἕδος τὸ ἀρχαῖον τῆς ἀθηνᾶς ἀμφιεννύντες. ¶Πράξεις, βίοι, ἢ διαθῆκαι. ¶Πραξιδίκη, δαίμονα τινά φασι, τὴν ὥσπερ τέλος ἐπιτιθεῖσαν τοῖς τε λεγομένοις καὶ πραττομένοις, διὸ καὶ τὰ ἀγάλματα κεφαλὰς γίνεσθαι, καὶ τὰ θαύματα ὁμοίως. ¶Πράξειν, λαβεῖν,
Πρᾶξις. ἀπαίτησις, ἄνυσις, ἢ ἔργου ποίησις, ἢ βίος.
Πραπίδες, φρένες, ἢ ὁ τόπος ὅπου αἱ φρένες. διάνοιαι.
Πραπίδεσσι, φρεσὶ διανοίαις. ¶Πραπίδων, φρενῶν. διανοιῶν. ¶Πραπὶς, φρὴν, διάνοια. ¶Πράσα, τὰ βρύα, καὶ τὰ φυκία. ¶Πρασιαὶ, αἱ ἐν τοῖς κήποις τετράγωνοι λαχανιαὶ, οἷον πρασιαὶ, διὰ τὸ ἐπὶ τὰ πέρασι τῶν κήπων. ¶Πράσις, ἀγορασία.
Πρασικουρὶς, ζῶον χλωρὸν κεῖρον τὰ ἐν τοῖς κήποις λάχανα. ¶Πρασόργην, δρέπανον, ᾧ τὰ πράσα κείρουσιν.

Πράσιλλος, πόλις θράκης. ¶Πράτταμον μαλλόν.
Πρατεροσία, κατευχὴ ἀρχομένης ἀροτριάσεως.
Πρατίνιον, τὸ ὕστερον ἀττικοί, καὶ ἡλικία τῆς πρόβατου νέου. ὡς δὲ ἔνιοι τοῦ πρῶτου γεννωμένου οἱ δὲ, ἐνιαυσιαίου, ἄλλοι ἀρχομένης συνουσίας.
Πρατίας, ὁ τὰ δημόσια πωλῶν, καὶ κηρύσσων.
Πράττει, μέλλει, ἐργάζεται. ¶Πρατὰ, ἡ νουμηνία.
Πραϋμενῶς, προθύμως. πράω γὰρ μενεῖ χρώμενος.
Πραΰνει, καταστορεῖ, κατακοιμίζει.
Πραΰνεται, μαλάσσεται. ¶Πραϋπάθειαν, πραΰτητα, πράως, ἡμέρως. ¶Πρεκνὸν, ποικιλόχροον ἐλαφρόν. ¶Πρέμνα, τὰ ἰσχυρὰ στελέχη τῶν καταβλαστημάτων. ¶Πρέμνια. τὰ πάχος ἔχοντα ξύλα. ¶Πρεμνιάσαι, ἐκριζῶσαι. ¶Πρέμνον, στέλεχος, βλαστὸς, πᾶν ῥίζωμα δένδρου τὸ γηράσκον, ἢ τὸ τῆς ἀμπέλου πρὸς τῇ γῇ πρέμνον.
Πρέμνον ἑστίας, τῆς οἰκίας θεμέλιος.
Πρεμνουσία, κρήνη ἐν τῇ ἀττικῇ.
Πρεπὶς, ὁμοίωσις. ¶Πρέπον, ὅμοιον, μέτριον, συμφέρον, ὡραῖον. ἄριστον. ¶Πρέπον, τέρας κύπριοι.
Πρεπτὰ, φαντάσματα, εἰδώλων.
Πρέσβα, ἔντιμος. πρεσβυτάτη. σεμνή.
Πρεσβεῖα, κράτη. καὶ ἀρχιερεῖα καὶ ἀρχεῖα καὶ ἱδρά.
Πρεσβεῖη, τιμή. μείζων.
Πρέσβειρα, προτιμητὴ ἀρχηγέτις. ¶Πρέσβεις, γέροντες. βασιλεῖς ἄρχοντες, προτιμούμενοι, καὶ οἱ πρεσβευταὶ, μεσῖται, ἀπόστολοι, ἢ ἕνεκεν εἰρήνης.
Πρεσβεύειν, προτιμᾶν, ἄρχειν μεγαλύνειν.
Πρεσβεύοντες, αἰτοῦντες παρακαλοῦντες, λέγοντες.
Πρεσβήϊον, πρεσβεῖον, κατὰ τιμὴν, τίμημα: ἀπὸ τοῦ τοῦ καὶ οἱ πρεσβῦται ἔντιμοι. ¶Πρεσβυγένεια, παλαιοτέρα γένεσις. ¶Πρέσβυς, γέρων, καὶ ὄρνις ὁ τρόχιλος. ¶Πρεσβυτάτη, ἐντιμοτάτη.
Πρεσβύτερος, μείζων, φρονιμώτερος.
Πρεσβύτερος κόδρου. παροιμία ἐπὶ τῶν πάνυ παλαιῶν. ¶Πρεσβύτης, γέρων ὁ ἡλικιώτης.
Πρέσβυς ἀγορανόμος. ¶Πραιτώριον, τόπος ἔνθα συνάγεται ὁ λαός. ¶Πρευμενὲς, ἵλαον, εὔνουν, πρόθυμον. ¶Πρευμενὲς, πρᾶον. ¶Πρέψας, εἰκασμένος, εἰκασθείς. ¶Πρηγορεὼν, τῶν ὀρνέων ὁ πρόλοβος, ὅτι προσυλλέγεται ἐν αὐτοῖς τὰ σιτία.
Πρηγορεύων. προαγορευτὴς ἢ δημοκόπος.
Πρῆθμα, πολύποδες κεφαλὴ, ἔνιοι, πλεκτάνη.
Πρηΐον, πρότερον. ¶Πρηκτῆρα. δραστῆρα. περὶ δὲ ἔμπορον. πρηκτῆρα τε ἔργων ἃ δεῖ πράττειν δηλοῦντα. ¶Πρημάδες, καὶ πρήμναι. εἶδος θυννώδους ἰχθύος. ¶Πρὴν πυῦρος. ¶Πρηωνέας, ἐπὶ πρόσωπον.
Πρηωνὴς, ἐπὶ πρόσωπον πεπτωκώς. ἀπὸ τοῦ ἐπὶ τὴν νέων πεπτωκέναι, νέον δὲ ἤδη.
Πρήνιζε, κατέλαβεν. ¶Πρηνιχθέντα, ἐπὶ πρόσωπον καὶ ἐπὶ στόμα πεσόντα. ¶Πρῆξαι, πρᾶξαι.
Πρῆξαι δ᾽ ἔμπης, πρᾶξαι δ᾽ ὅμως. ¶Πρῆξις, ἄνυσις. ¶Πρηροσία, θυσία ἀθήνησι. ¶Πρῆξαι, φλέξαι φυσῆσαι ἐμπρῆσαι, πυρὸς δίκο θύρετρα καὶ δάκρυα ἀναπρήσας, ἀντὶ τοῦ ἀναφυσήσας ὅθεν καὶ

Π ορεῦσαι, πέμψαι ἀγαγεῖν. ¶ Πορεύσατε, ἄγετε.
Π ορθεῖν, προνομεύειν, ὀλλύειν. ¶ Πορθεῖται, ἀναλίσκεται. ¶ Πόρθησις, ἐρήμωσις, καθαίρεσις, ἁρπαγή.
Π ορθμεὺς, κωπηλάτης. ¶ Πορθμεύσασθαι, διαβαίνειν, πλέειν. ¶ Πορθμῆες, πορθμεῖς. καὶ ὄνειροι οἱ διαπορεύοντες. ¶ Πορθμεῖον, σκαφίδιον διαπεροῦν μισθῷ. ¶ Πορθμὸς. στενὸν θαλάσσης, ἐν μέσῳ τῆς γῆς διαπέραμα. ¶ Πορθμῷ, διαπεράματι.
Π όρθος, πτόρθος, κλάδος, βλαστός. ¶ Πορθυγγὶς, σπάτιλη. σφυβλίον. ¶ Πορκεῦς, δίκτυον ἁλιευτικόν, φυλακῆς. ¶ Πορίζει. κερδαίνει.
Π ορεία, ὁδοιπορία. ¶ Πόριμον, εὐπόριστον, πορευτόν. ¶ Πορισμὸς, μηχάνημα.
Π όριπα, πόρτις, πορτίς. ¶ Πορίσονται, πορισθήσονται. ¶ Πορίσαι, κατασκευάσαι. ¶ Πόρκας. ἐλάφους ἢ ταχεῖς. ¶ Πορκὶς, δακτύλιος.
Π ορκὸς, κυρτὸς. τινὲς δὲ τὸ μᾶλλον ἁλιευτικὸν κύρτον ἀπὸ διδάσιν. ¶ Πορνᾶσθαι, πωλεῖν. ¶ Πορνάμεναι. κεντούμεναι. πωλούμεναι. ¶ Πορνικοτρόφος. ἑταιροφόρος, πόρνος. ¶ Πορνόπαι, αἱ ἀκρίδες. ¶ Πόροι, ποταμοί. ¶ Πόροις, χαράκεσι. ¶ Πόροις, ὁδοῖς.
Π όρος, ὁδὸς τρίβος, ἢ τὸ τοῦ ποταμοῦ ῥεῦμα, οἱ δὲ τὴν διάβασιν αὐτοῦ. οἱ δὲ τὰς γεφύρας, καὶ ἀφορμή.
Π ορπάλλα, χλαμύς. ¶ Πόρπαξ, ἡ λαβὴ τοῦ ὅπλου.
Π όρπη. ὁ ἀνοχεὺς τῆς ἀσπίδος, εἰς ὃ ὁ πῆχυς ἀνίεται, ἢ φίβλα, καὶ τῆς χλανίδος ἡ περόνη. ¶ Πόρρω, πόρρωθεν. μακρόθεν. ἀπόρρωξ. ἀπόρροια.
Π όρρω τέχνης, ὅμοιον τὸ σφοδρῶς ἐνέχεσθαί τινι.
Π ορσύνει, κοσμεῖ, θεραπεύει, κατασκευάζει.
Π ορσυνέουσα, ἑτοιμάσουσα, ἐπιμελησομένη.
Π ορσύνεσκον, διήγειρον παρεσκεύαζον. ¶ Πορσυνέων, εὐτρεπίζων. ¶ Πορσυνέουσα, εὐτρεπίζουσα στρωννύουσα, παρασκευάζουσα. ¶ Πορσύναι, παρασκευάσαι, πορίσαι, εὐτρεπίσαι. ¶ Πόρσυνε, διήγειρε, παρεσκεύασον. ¶ Πορσύνεται, ὀτρύνεται. ¶ Πορσύνουσα, ἐρεθίζουσα. ¶ Πορσύνων, παρασκευάζων, ἑτοιμάζων, ἐρεθίζων.
Π ορσωτάτω, τὰ πόρρω καὶ μακράν. ¶ Πόρσω, ἔμπροσθεν, ἢ πόρρωθεν ἐγγίστα. ¶ Πορτάζει, δαμαλίζεται. ¶ Πορτάκινον, μοσχίον. ¶ Πόρτακι, μόσχῳ ἢ δαμάλι. ¶ Πόρταξ, ἄρρην βοῦς. τινὲς, δάμαλιν, ἄλλοι νεογνόν, οἱ δὲ μόσχον. ¶ Πόρτις, δάμαλις. ἢ νέα βοῦς. ¶ Πορτιφόροι, οἱ αἴροντες τὰ κόρρια ἐπὶ τῶν ὤμων. ¶ Πορτμίς, κατὰ τὸν ὀμφαλόν. ¶ Πορύνωμεν μάζαν. τῇ χειρὶ προσπιέζωμεν. ¶ Πορύναι, πηλάσαι. ¶ Πορφίτω, περόνη. ¶ Πορφύρει, ταράττεται. φροντίζει, μελανίζει. ¶ Πόρφυρεν κραδίη, ἐμερίμνα ἡ καρδία.
Π ορφύρεον πορφυροῦν μέλαν. ¶ Πορφύρεος θάνατος ὁ μέλας καὶ βαθὺς καὶ ταραχώδης.
Π ορφύρεται, διαλογίζεται. ¶ Πορφύρει. μελανίζει ταράττει, πορφυρίζει. ¶ Πορφυρίων, εἶδος ὀρνέου καὶ ἰχθὺς καὶ ὄρνις ποιός. ¶ Πορφύροντες, κακοτεχνοῦντες. ¶ Πορφυρώματα, τῶν ταῖς θυσίαις τεθέντων χοίρων τὰ κρέα.

Π όρωσι, χαρίσωνται. δώσουσιν.
Π οσαπλῶς, πολλαχῶς, ἀναριθμήτως.
Π οσαχῶς, κατὰ πόσους τρόπους πολλαχῶς.
Π ὅσδε, ποῖ ποῦ. ¶ Πόσθη, τὸ αἰδοῖον τὸ δέρμα.
Π όσθιον, αἰδοῖον ἀνδρεῖον.
Π όσθων, πόσθην, τὸ ἀνδρεῖον αἰδοῖον λέγουσι. πόσθωνας δὲ παρὰ τὸ μυροῦ τοὺς παῖδας, τινὲς δὲ, τοὺς ψώλωνας, ἄλλοι μωρούς, ἢ παιδεραστάς.
Π οσὶ, τοῖς ποσί. ¶ Πόσιας, τοὺς ἄνδρας.
Π οσὶ δατεῦντο, ἰσχυρῶς τοῖς ποσὶ ἀπεπάτουν.
Π οσειδάων, ποσειδῶν. ¶ Ποσειδεία, ἑορτὴ ποσειδῶνι τελουμένη. ¶ Ποσειδήϊον, τὸ τοῦ ποσειδῶνος.
Π όσιν, ἄνδρα. ¶ Πόσιος πόρου. ¶ Πόσιος, ἀνδρός.
Π όσις, πόμα. ἀνὴρ πότος. ὁ οἴνου, ἢ ὕδατος.
Π οσότης, ἀριθμὸς μέτρον. ¶ Ποστημόριον, ὀλίγον μέρος. ¶ Πόστον, πόσον. ¶ Πόστος, ποῖος.
Π οσῶς καὶ πῆ μερικῶς. ¶ Ποταμηδὸν, δίκην ποταμοῦ. ¶ Ποτανὸν, πτηνόν, πετεινόν.
Π οτάγχυμαι, προσορμίζομαι. ¶ Ποταίνιον, νέον πρόσφατον, οἱ δὲ σύνεργος. ¶ Ποταμὸς, ὁ ὠκεανὸς, καὶ τὸ ὑγρὸν, καὶ ὁ σώματος εὐτελὴς θεός. καὶ ἐπὶ τοῦ ὕπνου σημεῖον. ¶ Ποταμόχωστος, γῆ τις ἀπὸ τοῦ συμβαίνοντος. ¶ Πόταρος, γνώριμος.
Π οτᾶται, πέταται. ¶ Ποτεκλεπτόμην, προσεκλεπτόμην. ¶ Ποτεκχετήρια, ῥευστήρια.
Π ότερον, ὁποῖον ἓν ἐκ τῶν δύο, ἢ ἄρα ποῖον τῶν δύο.
Π ότερον, ἓν ἐκ δύο ἕν. ¶ Πότερος, ἕτερος.
Π οτὴ, ποτηνή, πτηνή. ¶ Πότημα, ποτήριον, ἢ ὁ τόπος αὐτός. ¶ Πότην, ἰδίαν, οἱ δὲ πτῆσιν.
Π οτὴρ, μέτρον, ποιόν. ¶ Ποτὶ, πρός. ¶ Ποτὶ γαίῃ, πρὸς τῇ γῇ. ¶ Ποτίδαια, ὄνομα πόλεως.
Π οτιδέγμεναι, προσδεχόμεναι. ¶ Ποτιδέγμενος, οἴνῳ δαμασθέντος. ¶ Ποτιδέγμενος, προσδεχόμενος. ¶ Ποτιδέρκεται, προσβλέπεται.
Π ότιδε φάναι, ἐκφάναι. ¶ Ποτιδόρπια, προσίτια.
Π οτὶ ἑσπέρα, πρὸς τὴν ἑσπέραν.
Π οτίκρανον, πρόσκρανον τὸ προσκεφάλαιον, καὶ τὸ δέρμα τὸ ὑπηρέσιον, ἐφ' ᾧ καθέζονται οἱ ἐρέσσοντες.
Π οτιόσσεται, προσδοκᾷ. ¶ Ποτὶ πλάκεσσιν, ἐπὶ ταῖς θαλασσίαις. ¶ Ποτιπτόμενος, ἐρωτῶν, ὁ μαινόμενος. ¶ Ποτίφυλα, πρὸς τὰ ἔθνη.
Π οτὶ κόρρον, πρὸς ᾠκοδομημένον τοῖχον.
Π ότμον, μόρον, θάνατον.
Π ότμος, μόρος, ἢ κατασκευή.
Π ότμῳ, μόρῳ κατασκευαστῷ.
Π ότνια, πότνια, σεβαστή. ἔντιμος, ἢ φίλημα, καὶ δέσποινα καλὴ μεσίτεια. ¶ Ποτνιᾷ, ἱκετεύει παρακαλεῖ.
Π οτνία γῆ. καλὴ γῆ. ¶ Ποτνιάδες, αἱ βάκχαι. αἴτιαι τοῦ μαίνεσθαι καὶ λυσσάδες μανίας αἴτιαι.
Π οτνιάζου, εὔχου, παρακάλει. ¶ Ποτνιάζειν, τὸ παιδικοῖς χρῆσθαι. πότνιον δὲ τὸν δακτύλιον λέγουσι.
Π οτνιᾶται, ἐπικαλεῖται, δυσωπεῖ παρακαλεῖ.
Π οτνιῶμαι, θεοφοροῦμαι, ἐξιλεοῦμαι, παρακαλῶ. δυσφορῶ μετ' οἰμωγῆς ἱκετεύω. ¶ Ποτοῖο, ποτοῦ.
Π οτόμφι, προσόζει. ¶ Πότος, εὐωχία ἄριστον, δεῖ-

σιος πολλὰ κεκτημένος. πολυχρήμων, πράγματα, ἤγουν τὰ χρήματα. ¶Πολυπενθέος, πολυπαθοῦς.

Πολυπίδακα, πολλὰς ἀναβολὰς ἔχουσαν ἤτοι πηγάς.

Πολυπιδάκου ἴδης, πολλὰς πίδακας ἐχούσης, τουτέστιν ὑδάτων ἐκβολάς, ἢ πολλὰς πηγάς.

Πολυπήμονα, πολυβλαβῆ. ¶Πολύπιστος, ὁ πολλὴν πίστιν ἔχων, ἔμπιστος. ¶Πολυπλάγκτοις, εἰς πολλὰ μέρη πλανωμένοις. ¶Πολυπλάγκτου, πολυπλανήτου, πανταχοῦ περιφερομένου.

Πολύπλοκος, πολύστροφος. ¶Πολύπους, εἶδος ἰχθύος, ὁ εἶδος φθειρῶν. ¶Πολύποδος δίκην, αὑτὸν ἑαυτὸν καταφαγών. ¶Πολυπράγμων, περίεργος. ¶Πολυπτύχου, πολλὰς ἐξοχὰς ἔχοντος πολυμεροῦς, πολλὰς πτύχας καὶ εὐρυχωρείας ἔχοντος καὶ πολλὰ ἀποκλίματα. ¶Πολυῤῥήνη, πολυπρόβατος, ἢ πολύαρνος. ¶Πολυῤῥήνι πολλὰ ῥήνη ἔχοντι τουτέστι θρέμματα. ¶Πολύῤῥητος, πολύφραστος. ¶Πολυῤῥήτοισι, πολυπόνοις.

Πολυσκάρθμοιο, πολύποδος πολυδρόμου, ἐπὶ δὲ νεῶν πολυκώπου, οἱ δὲ δρομάδος καὶ πολυπηδήτου, εὐκινήτου, πολυκινήτου. ¶Πολυσμαράγοιο, πολυήχου, ἠχητικοῦ. ¶Πολυάσπειρον, πολυέλικτον.

Πολυσπερέων, ἐπὶ πολλὰ μέρη τῆς γῆς ἐσπαρμένων, πολυεθνῶν. ¶Πολύστικτος, πολυπόρφυτος.

Πολύστονα, πολλῶν στεναγμῶν αἴτια. ¶Πολυσφέλμου, πολυφλοίου. ¶Πολυσχιδῆ, εἰς πολλὰ ἐσχισμένον, μεμερισμένον. ¶Πολυσχιδές, πολυμερές. ¶Πολυτελῆ, πολυδάπανα ἢ τὰ πολλοῦ ἄξια ἤγουν τίμια. ¶Πολυτιμητίζειν, πολλοὺς τιμᾶν, ἢ ὑπὸ πολλῶν τιμᾶσθαι. ¶Πολύτλας, ὁ πολλὰ ὑπομείνας, ἢ κακοπαθήσας ἢ πολλὰ ἀνατλὰς ταλαίπωρος. ¶Πολυτρήρωνα, πολλὰς περιστερὰς ἔχουσαν. ¶Πολυτλήμων, ὑπομονητικός.

Πολύτροπος, ὁ ἐπὶ πολλὰ τρεπόμενος, ἢ τρέπων τὴν ἑαυτοῦ διάνοιαν ὑφ' ἕνα καιρόν. ¶Πολυτρόπως, διαφόρως ποικίλως. ¶Πολυφασίας, πολυλογίας. ¶Πολύτροπον δέρμα ἐχίνου ἤτοι διὰ τὰς ἀκάνθας ἐπεὶ τιτρώσκουσιν, ἢ ἐπὶ ἐκφύσεις πολλὰς ἔχουσιν. ¶Πολύφημον, πολύφωνον ἐπιθετικῶς, ἢ ἐκκλησία ἐν ᾗ πολλαὶ φῆμαι καὶ κληδόνες εἰσίν, ἢ ἀπὸ τοῦ πολλὰ φημίζεσθαι. καὶ ὁ ἔνδοξος. καὶ κύριον ὄνομα κύκλωπος. ¶Πολυφλοίσβοιο, πολυταράχου, πολυκινήτου. ¶Πολυφόρβου, πολλοὺς τρεφούσης, ἢ πολλὴν φορβὴν ἐχούσης.

Πολυφραδέος, πολυκερδοῦς, ἢ λίαν συνετοῦ.

Πολυφραδέστερον, συνετώτερον, λογιώτερον, πολυκερδέστερον. ¶Πολύφρονα, σώφρονα, συνετόν, φρόνιμον. ¶Πολύχαλκον, ἰσχυρόν, στερεόν.

Πολυχανδέα, πολλὰ χωροῦσαν.

Πολυχειρία πλῆθος ἐργαζομένων καὶ ἀνυόντων.

Πολύχουν, πολυειδές. ¶Πολύχους, πολυφόρος.

Πολυώνυμον, τὴν μονάδα οὕτως ἐκάλουν, καὶ ἐπίθετον ἀπόλλωνος. ¶Πολυώπον, πολύβροχον, πολυόμματον, ἢ πολλὰς ὀπὰς ἔχον.

Πολυωρήσεις, φυλάξεις, φροντίδα πολλὴν ποιήσεις.

Πολυωρεῖ, πολλὴν φροντίδα ποιεῖται. ἐναντίον δέ ἐστι τὸ ὀλιγωρεῖν, ὀλίγον φροντίζειν. διὸ καὶ τὸν ὀλίγωρον ἀμελῆ λέγουσιν. ¶Πόλφοι, τὰ ἐκ τῶν χέδρων καὶ τῆς ἐθείνης ἑψόμενα. ¶Πόμφυκα, τὸν κόγχον.

Πόμα, πόσις. ¶Πόμαλα, ζῶόν τινα.

Πομάτεσι, πόμασι. ¶Πομμαῦζαν, ὁμιλοῦσαν.

Πομπεῖα, τὰ πρὸς τὰς πομπὰς σκεύη, ἢ τόποι ἐν οἷς τὰ ἐκ τῆς πομπῆς ἀποτίθενται. ¶Πομπεῖ, πέμπεται. ¶Πομπεύει, καταχολάζει.

Πομπεύων, περιάγων καὶ τὰ ὅμοια.

Πομπή, ἔφοδος καὶ ἀποστολὴ παραπομπή.

Πομπῆες, προπομποὶ οἱ προπέμποντες ὁδηγοί.

Πομπηγέρωσι, προπέμπουσι.

Πομπίλος, εἶδος ἰχθύος. ¶Πομπός, ὁδηγὸς προπέμπων. ¶Πομποστολεῖ, ἐκπέμπει τὸν πλοῦν.

Πομποῦ, ὁδηγοῦ. ¶Πομπευσμάτων, ὀνειδισμάτων.

Πομπωβόλω, πέντε ὀβελίσκοις. ¶Πομπῶν, ὁδηγῶν. ¶Πομφαγαγεῖ, τὴν περιπυράγει. ¶Πομφαγεῖται, φυσοῦται ἀνακράζει. ¶Πομφόλυγες τῶν ἀσπίδων αἱ ἔξωθεν αἱ ἐν τῷ ὕδατι γενόμεναι οἰδήσεις. ἢ φυσήματα ὕδατος, ἐπὶ τῶν διακενῶς φυσιωμένων λέγεται ἡ λέξις. ¶Πομφόλυξ, ὕδατος κόχλασμα καὶ τῶν ἀσπίδων αἱ ἐξοχαί. ¶Πονεῖν, ποιεῖν, ἀσκεῖν, κακοπαθεῖν, ἐνεργεῖν. ¶Πονέεσθαι, ἐνεργεῖσθαι καὶ τὰ ὅμοια. ¶Πονέοντο, ἐνήργουν.

Πονεύμεναι, ἐπειγόμεναι. ¶Πομφυίζεσθαι, αἰσχύνεσθαι. ¶Πονήματα, κόποι. ¶Πονηρία, ἐπιπονία. ¶Πονηρόν, ἐπίπονον κακοπαθῆ. ¶Πονηρὸς τὰ αὐτά. ¶Πονηρός, κακὸς δεινὸς κακοῦργος.

Πονέσατο, κατειργάσατο. ¶Πονιώμεθα, πονῶμεν.

Πόννα, τὸ γράφος, ἢ μάγος. ¶Πόννος, μάγος.

Πόνος, ἄλγος, ἐνέργημα ὀδυνώδης. ¶Πόντια, ῥάκη, σπόγγοι, ὃ τὰ ῥύπων σπαράγματα. ¶Ποντινοί, σπόγγοι. ¶Ποντοβρόχοις, ὑπὸ θαλάσσης βρεχομένοις. ¶Ποντόθεν, ἐκ πελάγους. ¶Πόντος, θάλασσα πέλαγος. ¶Ποντοπόροιο, θαλασσοπλόου.

Ποντοπόροις, θαλασσοπλόοις. ¶Ποντοπόροισι, πλωτοῖς. ¶Ποντοπόρος, πέλαγος διαπερωμένη. πελαγοδρόμος. ¶Πόντου ἰκαρίοιο, τοῦ ἰκαρίου, πελάγους, ὅπερ ὠνομάσθη ἀπὸ ἰκάρου τοῦ δαιδάλου παιδὸς πεσόντος εἰς αὐτὴν καὶ ἀποθανόντος.

Πόντῳ κεκλιμένοι, περιεχόμενοι ὑπὸ τῆς θαλάσσης.

Πονο* πόνηρος, κακία, κακὸν πρὸς ἔπος εἰπεῖν, ὡς ἀγαθὰ ἀπὸ θεῶν. ¶Πόπανα, πλακούντια ἀπὸ ἄρτου.

Πόπαρ, πατήρ, καὶ πατρὸς πατήρ. ¶Πόποι, παπαὶ ἐπίφθεγμα σχετλιαστικόν, ἀπίων δέ φησιν, οἱ δαίμονές εἰσι πόποι καὶ ἔστιν ὦ δαίμονες.

Ποππύσματα, κολακεύματα. ¶Πόρ, ποῦς, λάκωνες. ¶Πόρδαλις, ὁ ἄρσην. ἡ δὲ θήλεια πάρδαλις ὁ μὲν, ἀπὸ τοῦ προσάλλεσθαι. ἡ δὲ ἀπὸ τοῦ παράλλεσθαι.

Πορδοσελήνη, μεταξὺ λέσβου καὶ μυσίας νῆσος.

Πόρε, παρέσχε. ¶Πορεῖν, δοῦναι.

Πόρε, περιεποίησε, παρέσχε. ¶Πόρεν οἱ ἐπιεικὲς παρέσχεν αὐτῷ τὸ πρέπον. ¶Πορεύου, ἄπιθι, ὕπαγε.

Πορεύς, πορθμεύς.

Πολιτεύεται, πράττει ἀναστρέφεται. ¶Πολιτεύμασι, ταῖς πολιτείαις ἢ ταῖς ἄλλαις αἱρέσεσι.

Πολίτης, ὁ συμπολιτευόμενος τινὶ καὶ συνοικῶν.

Πολιτικῶς, ἀστείως μετὰ τέχνης τινός, ὁ ἐν πόλει ἀναστρεφόμενος. ¶Πολιτογραφεῖ πολιτικὰ γράφει.

Πολίχνια. πολύδρια πόλις. ¶Πολίων, πολλῶν καὶ τῶν πόλεων. ¶Πολλά, πολλαχῇ. πολλὰ δὲ οἱ κραδίη πόρφυρε κιόντι. ¶Πολλὰ δὲ πυκνῶς. συνεχῶς δέ. ¶Πολλαπλοῦν, πολλαπλασίονα.

Πολλὰ χαίρειν φράσας, ἀποταξάμενος.

Πολλαχόθεν καλόν. ¶Πολέων, πολλῶν.

Πολλέων, πολυκίνδυνος. ¶Πολιός, οἶνος λευκός.

Πολλοὶ φάρμακα, πολλοὶ ῥήτορες. ¶Πολλόγαιος, ἡ ψιθία σταφυλή. ¶Πολλῷ μᾶλλον, πολλῷ πλέον.

Πολλοστόν, πολλοστὸν ἢ τυχόν. ¶Πολλοῦ γε καὶ δεῖ: πολλὰ χρή, οὐδαμῶς. ¶Πολυκρανίη, πολυαρχία.

Πολλὸν ἄριστος, κατὰ πολὺ κράτιστος. ¶Πόλος, οὐρανὸς κόσμος καὶ ὁ μεταβεβλημένη γῆ εἰς κατασποράν. κύκλος καὶ τόπος κορυφῆς κυκλοειδής. ἢ ἄξων.

Πολοῦνται, πολεῖ δὲ ἀνὰ ἀναστρέφονται.

Πόλος, δὲ πνανεψιὸν ἕψημα. ¶Πολύ, ἀντὶ τοῦ μέγα. ¶Πολυάϊκος, πολλὰς ὁρμὰς καὶ κινήσεις ἔχοντος τῶν μαχομένων. ¶Πολύαινε, πολλοῦ ἐπαίνου ἄξιε, ἢ πολύμυθε. ¶Πολυάιξ, πολυκίνητε, πολυόρμητε, ἢ πολλὰς ἔχων αὐγάς.

Πολυάνδριος τάφος, πολυχώρητος, μνῆμα.

Πολυάρκητος, πολύαρκτος. ¶Πολυαρκῶς, τελείως ἀρκῶν. ¶Πολύαρνι, πολυθρέμμονι, πολλῶν θρεμμάτων δεσπότης. ¶Πολυβέλεμνοι, οἱ ὑπομνηματισάμενοι τὰς πολυστίχους, ὅτε τὸν Ὀρφέα ἀπέκτειναν πολλοῖς βέλεσιν. ¶Πολυβενθέος, πολὺ βάθος ἔχοντος. ¶Πολύβοια, θεός τις. ὑπὸ ἐνίων μὲν Ἄρτεμις, ὑπὸ δὲ ἄλλων κόρη. ¶Πολυβότειρα, ἡ γῆ πολλοὺς τρέφουσα καὶ βόσκουσα.

Πολύβουλος, συνετή. ¶Πολύδινος, κοχλιοειδής:

Πολυβοῦται, πολλὰς ἀγέλας, ἢ βόας ἔχοντες.

Πολυβούτης, πλούσιος, ἢ ὁ δημόσιος δοῦλος.

Πολυβοτραφεῖ, τῷ ἀναθρέψαντι πολύβοτον νάματι.

Πολυγάστονα, πολυστένακτα. ¶Πολυγηθές, πολυχαρές. ¶Πολυγηθέες ὧραι. αἱ πολλῆς χαρᾶς αἴτιαι οὖσαι. ¶Πολυγηθέος, πολλαχῶς χαίροντος.

Πολυγνώτου, τοῦ ζωγράφου ὁ νοῦς ἐστι γεγραμμένος. ἐναντίος, ἐπεγραμμένος, κομίζων σκευοφόρον, καὶ τὴν μυρσίνην λαγωὸν καὶ ἀνάκειται ἐν τῷ ἀνακείῳ.

Πολυδαίδαλον, πολύκοσμον πολυποίκιλον.

Πολύδακρυ, πολύθρηνον. ¶Πολυδάκρεω, τὸν πολλῶν δακρύων αἴτιον. ¶Πολυδάμνεον, πολλοὺς δαμαζόντων ἢ πολυκεντήτων ποικίλων. ¶Πολυδειράδες, πολλὰς ἐξοχὰς ἔχοντες, οἷον πολλοὺς τραχήλους καὶ λόφους. δειρὰ δὲ ὁ τῶν ἀλόγων ζώων τράχηλος, ἐπεὶ ἐκεῖθεν ἐκδέρεται. ¶Πολυδέσμου, πολυγόμφου. δεσμοὶ δὲ τῶν νεῶν εἰσὶν οἱ γόμφοι.

Πολυδευκέα φωνήν, πολλοῖς ἐοικυῖαν. ¶Πολυδήνεα πολύβουλον. ¶Πολυδίψιον ἄνυδρον, ὃ πολλὰ βεβλαμμένον, ἴψαι γὰρ τὸ βλάψαι καὶ διαφθεῖραι, ἢ πολυπόθητον. ¶Πολύδωρος, πολλὰ λαβοῦσα δῶρα. ¶Πολυφόρβος. πολύεδνος.

Πολυειδής, ποικίλος. ¶Πολυέλικτον, πολύκυκλον. ¶Πολύευκτον. τίμιον, πολυπόθητον.

Πολυζύγῳ, πολυκαθέδρῳ. ¶Πολυήρατος, πολύευκτος, ἐπὶ πολλαῖς εὐχαῖς γεννηθείς.

Πολυήρος, πολυάρουρος πλούσιος. ¶Πολυηχέα φωνήν, τὴν πολλοῖς ἤχοις καὶ μέλεσι χρωμένην.

Πολύθεστος. πολυκατάπυστος. πολύστοιχος.

Πολύθροον, πολύηχον. ¶Πολυθρύλλητα, τεθρυλημένα, ὃ θόρυβον ἐμποιοῦντα διαβεβοημένα.

Πολυθύσανε ἄρτεμι. πολυθύσανε κούρα, διὰ τὸ θυσάνοις καὶ αὐτὴν χρῆσθαι, ἢ ὅτι πολλαχόθεν ἀΐσσεται ὡς κυνηγέτις, ὁ πολυθώυστος, ἢ πολυθυσίαστος.

Πολυΐακος, πολυόρμητος. ¶Πολύϊδρις, ἐμπειρότατος. ¶Πολυκαγγέος, πολυξήρου. ¶Πολυκαγκέα, ἀπεξηραντικὸν μεγάλως κατάξηρον.

Πολυκοβαλία, πανουργίαν. ¶Πολὺ κέρδιον, πολὺ βέλτιον. ¶Πολύκεστος, πολυκέντητος ἐξ οὗ τὸ ποικίλον δηλοῖ. ¶Πολυκηδές, πολλῶν κακῶν αἴτιον. ¶Πολυκηδέος, πολυφροντίστου. ¶Πολυκέφαλος, τῶν κιθαρῳδικῶν τι μέλος. ¶Πολυκλῆσι, πολυκαθέδροις πολυζύγοις. ταῖς ναυσὶν ἀπὸ τοῦ κλίνεσθαι ἐν αὐταῖς τοὺς ἐρέσσοντας.

Πολύκλητοι, ἀπὸ πολλῶν τόπων ἐπικεκλημένοι βοηθοί. ¶Πολύκμητον, μετὰ πολλοῦ καμάτου γεγενημένον. ἢ πολὺν κάματον ἡμῖν παρέχοντα. λέγει δὲ τὸν σίδηρον. ¶Πολύκνημον, δύσβατον ὀρεινόν, τραχὺν τόπον. ¶Πολύκοινον, πᾶσι κοινόν.

Πολυκοιρανίη, πολυαρχία. ¶Πολύκρημνος, δύσβατος ὀρεινός. ¶Πολύκτονον, πολλοὺς κτεῖνον.

Πολυκτήμων, πολλὰ κτήματα ἔχων. ¶Πολυκύλινδρος, πολλαχοῦ κυλιόμενος. ¶Πολύλιστον, πολυλιτάνευτον, πολύευκτον. ¶Πολυέλικτον, πολυπλάνητον, πανταχοῦ περιφορές.

Πολυλήιον, πλούσιον. ¶Πολυλήιος, πολύπυρος, ὁ πολλὰ βοσκήματα ἔχων. ¶Πολυμερές, εἰς πολλὰ μεριζόμενον. ¶Πολυμέρμερον, πολυμέριμνον.

Πολυμερῶς, πολυσχιδῶς δαψιλῶς, πολλὰ σχήματα ἔχων. ¶Πολύμολον, πολυπρόβατον.

Πολύμητι, πολύβουλε. ¶Πολυμήστωρ, ὄνομα κύριον. ¶Πολυμήτης, πολύβουλος πολύφρων.

Πολυμήχανε, συνετὲ πολύτεχνε.

Πολυμνήστορ ᾄδειν, εἶδός τι μελοποιίας τοῦ Πολυμνήστου, ἣν δὲ Κολοφώνιος μελοποιὸς ὁ Πολύμνηστος, εὔμορφος πάνυ. ¶Πολυμνήστην, ἀγαθὴν σώφρονα.

Πολυμνία, ἡ θάλασσα, ἡ πολὺ φυκίον ἔχουσα καὶ ὀνομα κύριον. ¶Πολύμυθος, φλύαρος, πολύλογος.

Πόλυξα, ἄλφιτα. ¶Πολύξενος, εἷς τῶν ἡρώων.

Πολύξενος. ἡ γῆ. ¶Πολύοχλος, πολυθόρυβος.

Πολυορκῆσαι, ἢ πολιορκῆσαι, κυκλεῦσαι πόλιν στρατῷ. ¶Πολυπαίπαλος, πανοῦργος ἐκ τῶν θεόγνιδος βόμβων ἐπαινέσαι. ¶Πολύπαυλος, αἰθὴρ πεποικιλμένος οὐχ ὁμαλός. ¶Πολυπάμμονος, πολλὴν κτῆσιν ἔχοντος. ¶Πολυπάμμων, πλούσιος.

Π όδας ὠκὺς τοῖς ποσὶ ταχύς. ¶Ποδανίπτρου, ἐῤῥωμένου τοὺς πόδας. ¶Πόδια, ἐνειλήμματα ποδῶν, ἤγουν φασκίας. ¶Πόδας ἰδίως τὰ ἔσχατα καὶ κατώτατα μέρη, οἱ δὲ δεσμά. ¶Ποδηγῶν, ὁδηγῶν παιδαγωγῶν. ¶Ποδηνεκέα, τελείαν, βαθεῖαν, ὥστε ἀπὸ τῶν ποδῶν μέχρι τοῦ αὐχένος δικνεῖσθαι. τινὲς δὲ τὴν ναῦν. ¶Ποδηνεκὲς, μέχρι τῶν ποδῶν.

Π οδήνεμος. ὑπὸ ἀέρος, ἢ τοῖς ποσὶ ταχεῖα.

Π οδήρης στολὴ ἡ εἰς κάτω τοῦ ἱματίου κεκολισμένη.

Π οδήρης, ἡ ναῦς, ἡ τοῖς ποσὶν ἐρεσσομένη ταῖς κώπαις ἤτοι πλωτοῖς, ἡ μέχρι τῶν ποδῶν ἱμάτια.

Π οδιάζειν, τὸ ὠθεῖν τὸ αὐτὸ ἀναστρέφειν καὶ ἀποστρέφειν.

Π όδικε, πρόσελθον. ¶Ποδίκρα, ὄρχησις πρὸς πόδα γινομένη λακώνων. ¶Ποδήνεμος. ταχύποσι καὶ ἀελλόποσι. ¶Ποδοκάκη, ὁ ἐν τῷ ξύλῳ δεσμὸς ἐν ᾧ οἱ κακοῦργοι δεσμεύονται, οἷον ποδοκατοχή. τὰ διὰ τῶν ποδῶν εἰλήμματα, πλάτων καὶ ἤτοι ποδοκάκη παρεμβεβλημένου τοῦ ἑτέρου, ἢ κατὰ συγκοπὴν ποδοκατοχή. ¶Ποδωκείας, ταχείας τοῖς ποσίν. ¶Ποδωκείῃ, τῇ τῶν ποδῶν ταχυτῆτι. ¶Ποδὸς ῥυτῆς, τὸ τῶν ποδῶν ἕλκεσθαι.

Π οδοστράβη παγίδος στραγγαλιά. ¶Ποδοστράβη. τὸ γινόμενον πρὸς τὰ στέμματα τῶν ποδῶν, ἄλλοι τὴν τοῖς ἐλάφοις ἱσταμένην πάγην. ¶Ποδοκρόχαλος, ὁ διὰ ποδὶ τὸν κεραμικὸν τροχὸν κινῶν.

Π ολώκης, ὠκὺς ταχὺς τοῖς ποσί. ¶Ποδώνυμος, ἐσθὴς ἱερὰ τῆς πανδρόσου. ¶Ποεῖν, ποιεῖν.

Π οηφαγία, βοτανοφαγία. ¶Ποθεινὴ, ἀγαπητή.

Π οθέεσκεν, ἐπόθει ἐπεζήτει. ¶Ποθὲν, ἀπό τινος μέρους, ἢ μὲν ὑποκείσεως ἀντὶ τοῦ οὕτω.

Π οθέοντες, ποθοῦντες ζητοῦντες. ¶Ποθεῖ, ζητεῖ ἐπιποθεῖ. ¶Πόθημα, ἀγάπη καὶ αἴτησις.

Π οθήνυτο, προσήεθη. ¶Πόθι, ποῦ, ὅπου.

Π όθι. ποῦ. πόθος. ¶Ποθηλκὶς, ἡ ἡνία τῶν ὑποζυγίων. ¶Πόθος, ἔρως ζήτησις ἐπιπόθησις. καὶ φυτόν τι. ¶Ποῖ, εἰς τίνα τόπον, τὸ δὲ ποῦ ἐν τίνι τόπῳ. ¶Ποῖ γῆς. εἰς ποῖον γῆς τόπον. ¶Ποία, τίνος ἡ βοτανώδης ὕλη, ἄλλοι τοὺς πυροὺς καὶ τὰς κριθάς. ¶Ποιάντιον, ποίαντος παῖδα.

Π οιεῖσθαι, προσποιεῖσθαι. ¶Ποίη, πία. πία δὲ ἐστὶν ἡ ἐπὶ γῆς αὐτομάτως βλαστάνουσα φυτεία. καὶ ἐρωτηματικῶς ἀντὶ τοῦ ποία. ¶Ποιεύμην. ἐποιούμην ἐπιθύμην. ¶Ποιήεντι, εὐβοτάνῳ ἐλώδει πίαν ἔχοντα σιτοφόρον. ¶Ποιήεσσαν, βοτάνας ἔχουσαν.

Π οίην, πόαν, βοτάνην. ¶Ποῖ κῆχος, ἤν που γῆς, εἰς τίνα τόπον. ¶Ποικάζουσαι, σκεπάζουσαι.

Π οικίλα, πεποικιλμένα κεκαλλωπισμένα.

Π οικιλεὺς, ποικιλτής. ¶Ποικιλομήτης ποικίλα βουλευόμενος συνετά. ¶Ποικίλον ἱμάτιον, ζωγραφητόν. ¶Ποικιλόστερνος, ποικιλόβουλος. ¶Ποικιλὶς, ὄρνις ποιός. ¶Ποικιλτικὴν, πολυμιταρικὴν τέχνην. ¶Ποικίλον, ἁπαλὸν πυκνὸν συνετόν. ¶Ποικίλως, πολυτρόπως. ¶Ποιμαντικὴ. ἡ τῶν ποιμένων. ¶Ποιμάνορ ποιμὴν ἢ βασιλεύς. ¶Ποιμενίδαι, γένος ἐξ

οὗ ὁ ἐπὶ δήμητρος ἱερεύς. ¶Ποιμένα λαῶν, βασιλέα τῶν ὄχλων. ¶Ποιμὴν, βασιλεύς. καὶ ὁ τῶν προβάτων. ¶Ποινὰ, ποιὰ λακώνων. ¶Ποιναῖς, ἐκδικταῖς, ἐρινύσι τιμωρίαις. ¶Ποινᾶσθαι, ποινὴν λαμβάνειν, ὅταν ἀντέκτισιν τίς λάβῃ. τὸ δὲ αὐτὸ καὶ στειάζεσθαι. ¶Ποινάτορας, τιμωρούς. ¶Ποινὴ, ἀντέκτισις ἡ ὑπὲρ φόνου διδομένη. καὶ ἡ δωρεὰ, καὶ τὰ διδόμενα χρήματα ὑπέρ τινος ἀνῃρημένου τοῖς αὐτοῦ οἰκείοις. ¶Ποινηλατήσας, ἐλάσας. ¶Ποινὴν, ἀντέκτισιν τιμωρίαν τοῦ ἐπιτιμίου. ¶Ποινώματα, τιμωρήματα.

Π οιοὶ, ποταποὶ, ἢ οἱ ποῖοι. ¶Ποιότης, χρῶμα ἡδυνόρς. ¶Ποῖς, τινός. ¶Ποιπνυὸς, θεράπων.

Π οιπνύει, ὑπουργεῖ διακονεῖ. ¶Ποιπνύοντα ἐνεργοῦντα. θεραπεύοντα. ¶Ποιπνύουσι, σπουδαίοις.

Π οιπνύων, ἐνεργῶν, θεραπεύων. ¶Ποίσει, φθερεῖ. ¶Ποίφυγμα, σχῆμα ὀρχηστικόν. ¶Ποιφύξαι, ἐκφοβῆσαι. ¶Ποιφύξεις, ἐκφοβήσεις. καὶ τὸ φυσᾶν καὶ τὸ πνεῖν ἐκ τοῦ ποιφύσσειν. ¶Ποιφύσσει, φοβεῖ. ¶Ποιώδεις, βοτανώδεις. ¶Ποκάδες, τρίχες, ἀπὸ τοῦ πέκεσθαι ὅθεν καὶ πόκος.

Π όκος, τὸ ἔριον προβάτου. ¶Πολλὰ χαίρειν φράσας. ἀποταξάμενος. ¶Πολέας, πολλοὺς ἀπ' εὐθείας τῆς πολὺς ὡς ταχύς. ἀπὸ δὲ τῆς πολλὸς, πίπτει πολλοὶ, ἀπὸ τῆς πολλὸν, πολλάκις. ¶Πολεῖν, νέμειν βόσκειν. ¶Πόλει ἄκρῃ, ἀκροπόλει.

Π ολεῖς πολλούς. ¶Πόλει παίζειν, παροιμιῶδες. καὶ δοκεῖ μετενηνέχθαι ἀπὸ τῶν ταῖς ψήφοις παιζόντων, ταῖς διῃρημέναις νῦν μὲν χώραις, ποτὲ δὲ πόλεσι. ¶Πολέμαρχος, ἄρχων πολέμων, πολεμίζων, πολεμῶν μαχόμενος. ¶Πολεμίων, πολεμικῶν. ¶Πολεμικὸν, μέλος τι τῶν πολεμικῶν πεταραγμένον. ¶Πολέμιος, ἐχθρός.

Π ολεμιστήρια, ἐν τοῖς ἀγῶσι λέγεται τις ἵππος πολεμιστής. ¶Πολέμοιο γεφύρας, τὰς συμβολὰς καὶ συζεύξεις. ¶Πολεμιωτέρας, σημεῖον πολέμου.

Π όλεμος, ὁ πάντα δικῶν λόγος.

Π ολέες, πολεῖς. ¶Πολέμου στόμα, τὸ ἀναλωτικὸν καὶ φθαρτικὸν τοῦ πολέμου. ¶Πολεύειν, στρέφειν. οἰκεῖν περιέχειν, θεραπεύειν, περιάγειν.

Π ολέος, πολλοῦ. ¶Πολέος πεδίοιο, διὰ τοῦ μεγίστου πεδίου. ¶Πόληος, πόλεως. ¶Πολιὰ, γῆρας.

Π ολυβοῦται, πολλὰς ἔχοντες βόας. ¶Πολίεταρ, ἀκρόπολιν. ¶Πολιῆς, λευκῆς. ¶Πολιῆται, πολῖται ἀστοί. ¶Πολιήτας, πολίτας ἀστικούς.

Π όλιν τὴν χώραν. ¶Πόλιν [illegible]υντος, λυρνησόν.

Π ολιοῖο, λευκοῦ. ¶Πολιὸν, λευκόν. ¶Πολιόν τε σίδηρον, τὸν λευκὸν καὶ λαμπρὸν ὅταν γὰρ ὁ σίδηρος κλασθῇ, λευκὸς φαίνεται, ἢ τίμιον ἀκούσιον.

Π ολιορκία, φυλακή. παρακαθημένων συγκλεισμὸς πόρθησις πόλεως. ¶Πολιὸς, γέρων. ¶Πολιοῦχοι, οἱ τὴν πόλιν σώζοντες καὶ οἱ ἄρχοντες αὐτῆς.

Π ολίσην, σικελίαν ἀντὶ τοῦ νῆσον. ¶Πολίσσαμεν, τὴν πόλιν ἐτειχίσαμεν. ¶Πολιτεία, ἡ πόλις ἢ βίος, ἡ ὄνομα κύριον, καὶ ἡ ἀναστροφὴ καὶ ἡ πρᾶξις.

ταύρου ὀνομασθέντα, ἀπὸ τῆς μητρὸς αὐτῶν πληϊόνης.

Πλήκτης, μάχιμος, ὑβριστής. ¶ Πληκτίζεσθαι, μάχεσθαι, ὑβρίζειν. ¶ *Πληγῆτε, ἀπειρωσμένοι ἀνίατοι, ἀδιόρθωτοι, συντρίβη καὶ ἀφανισμῷ ὑπεύθυνοι. ¶ Πληκτικώτερον, ὑβριστικώτερον.

Πλῆκτρα, τῶν ἀλεκτρυόνων αἱ ἐν τοῖς ποσὶ κερατώδεις ἐξοχαί. ¶ Πλῆκτρον, τὸ τοῦ κιθαρίσαντος ᾧ κινεῖ τὰς χορδάς. ἢ τὸ προσπελάζον, ἢ τὸ πλῆσσον, καὶ τὸ μέρος, καθὸ ἡ κεφαλὴ τοῦ μηροῦ τῇ κοτύλῃ προσπελάζει, καὶ διὰ τὸ περιπλήσσεσθαι τὸν μηρόν.

Πλῆμα, πλήρωμα. ¶ Πλημαθῆναι, πληθυνθῆναι.

Πλημμελόν, παλαιόν. ¶ Πλημμελής, ἐκμελής οὐ συνῳδὰ λέγει ἁμαρτάνων. ¶ Πλημμύρα, ῥεύσις ὕδατος πλῆθος. ¶ Πλήμνη, ἡ χοινικὶς τοῦ τροχοῦ ἢ τοῦ σύριγγος ἀπὸ τοῦ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος, καὶ ὕδωρ τὸ ἐπὶ γλεῦκος ἐπιχεόμενον.

Πλῆμνος, ἀφρός. πλῆμναι δὲ αἱ περιέχουσαι τὸν ἄξονα χοινικίδες. ¶ Πλήμνῳ, παλαιῷ. ¶ Πλημμυρεῖ, περιπληθύει. ¶ Πλημμυρίς, τὸ ὅρμημα τῆς θαλάσσης ἡ ἐπίρρυσις, οἱ δὲ πλήμνη πλημμυρὶς ἐκ ποταμῶν. ¶ Πλημμυρόν, μεστὸν περιπληρωμένον.

Πλημοχόη, τῇ ὑστεραίᾳ ἡμέρᾳ τῶν μυστηρίων κοτυλίσκους πληροῦσιν οὓς καλοῦσι πλημοχόας.

Πλήν, ἐκτὸς, ὅμως. ¶ Πλημμελίᾳ παρανόμῳ τετιμημένῃ. τῇ πεπλανημένῃ τῆς ὀρθῆς ὁδοῦ. τουτέστιν ἀδίκῳ. ¶ Πλῆντο, προσεπέλασαν καὶ ἐπλήσθησαν. ¶ Πλημμώδης, ἀληθινοῦς. ¶ Πλῆξαι, πατάξαι ἐκ χειρὸς, πλήξαντα καὶ πλήξαντα εἰκόνα ξυλίνην. ὁ δαίδαλος χαριστήριον τοῦ ἰκάρου ταφῆς.

Πληξάρα, περιπλάσιον, πλήξας, τύψας θαυμάσας.

Πλήξ, ἵππος, ἱππότης, ἱππικός.

Πληξίππῳ. τῷ πλήσσοντι τοὺς ἵππους, δι' οὗ τὴν ἱππότην δηλοῖ. ¶ Πλήρωμα, πλῆθος ἀναπλήρωμα.

Πλήρωμα, ναῦς στρατηγική. ¶ Πληρωτής, ἐράνου συνάγωγος. ¶ Πληροφορία, βεβαιότης. ¶ Πληρώσας, πλήσας. ¶ Πλησιέστερον, πλησίον ἐγγύς.

Πλησιφαής, ἡ πλησισέληνος ἡμέρα. ¶ Πλησμοναῖς, ὑπερβολαῖς, ἢ περιπληρωμέναις. ¶ Πλησίστιον, τὸν ἄνεμον, πληροῦντα τὸ ἱστίον. ¶ Πλῆσον, πλήρωσον. ¶ Πλήσσων, ῥηγνύων, σχίζων τύπτων, ἀδικῶν βλάπτων. ¶ Πλήσσοντο, δέδοικεν.

Πλητήσαντα, δηλοῦντα. ¶ Πλήτης, πλησιαστής.

Πλητίνδε, δέλτοι. ¶ Πλῆτο, ἐπλήσθη, ἤγγισεν.

Πλήτομον, παλαιὸν ἀκαρνανῶν. ¶ Πλειάδα, πλῆθος ἄστρων ἐν οὐρανῷ. ¶ Πλίγμα, βῆμα. ἀπὸ τῶν κυλιομένων, καὶ παλαιόντων ὅταν παραβάντες τοῖς σκέλεσι κατέχωσιν. ¶ Πλινθεύεται, ἐξαπατᾶται ἐπὶ αὐαινθέντων. ¶ Πλινθίδες, δοκίδες.

Πλίνθος, μέρος τι τῆς κεφαλῆς τοῦ κίονος, ἢ πηλὸς ὀπτηθεὶς πλίξ. ¶ Πλίξαντα. διαναβάντα ἢ ἀναστάντα καὶ διαβάντα. ¶ Πλίσσονται, δέδοικεν.

Πλειστάκις, πλεονάκις πολλάκις. ¶ Πλοάδες, τῶν ἐπερχομένων τινὲς οὕτω καλοῦνται. ¶ Πλοιάρια, πλοῖα μικρά, ἢ ὑποδήματα ποιά.

Πλοίματα, τὰ πλῷ πεμπόμενα. ¶ Πλόκαμα, τὰ περιπεπλεγμένα νεῦρα. ¶ Πλόκαμοι, κόνδυλοι τριχῶν πεπλεγμένοι. ¶ Πλοκαμώδης, τὸν οὖλον βόστρυχον. ¶ Πλόκος, πλόκαμος. ¶ Πλόκιον εἶδος περιδεραίου. ¶ Πλοκίων, πεπλεγμένων.

Πλόμενον, φανερὸν γεννώμενον δῆλον. ¶ Πολλοῦ γε δεῖ. οὐδ' ὅλως. ¶ Πλοῦς, πλοῦς τῆς νεὼς τὸ περίγραφον μέχρι οὗ τὸν φόρτον λαβεῖν ὀφείλει, ἀλλὰ καὶ τὴν πεζὴν ὁδόν, πλοῦν ἔλεγον. ¶ Πλουσιόδωρος, πλουσίως χαριζόμενος. ¶ Πλούσιον, βαλανεῖον. οἱ δὲ τὸ ὕδωρ. ¶ Πλουτεῖ, ᾅδης. ¶ Πλούσιος, χρημάτων καὶ περιουσίας κύριος. ¶ Πλοῦτος, ἡ ἐκ τῶν σπερμάτων ἐπικαρπία καὶ ἡ πανσπερμία.

Πλούτων ὁ καταχθόνιος δαίμων. ¶ Πλόχμοι, πλόκαμοι ἐμπλοκαί. ¶ Πλύνει, καθαίρει. ¶ Πλύνεται, βλασφημεῖται λοιδορεῖται. ¶ Πλυνοί, πύελοι ἐν αἷς τὰς ἐσθῆτας ἔπλυνον, ἢ βόθρον ὅπου πλύνουσι. ¶ Πλῦνον κατεπλυντήριζε, καὶ πλυνθήσομαι ἀττικοὶ ἐπὶ τῶν λοιδορειῶν λέγουσι.

Πλυντηρία, ἑορτὴ ἀθήνησιν ἣν ἐπὶ τῇ ἀγλαύρῳ τῇ κέκροπος θυγατρὶ τιμὴν ἄγουσι. ¶ Πλυσμός, πλυντήρ. ¶ Πλώεον, ἔπλεον. ¶ Πλώει, πλώειν ἔπλεον. ¶ Πλώασειν, φθείρεσθαι. ¶ Πλωτάδες, ἰχθύες τινές. ¶ Πλωτή, κινουμένη καὶ ἐπιπλέουσα. ὅμηρος δὲ ἐπὶ τῆς αἰόλου νήσου τίθησιν.

Πλωτῆρες, ναῦται. ¶ Πλωτόν, πλεόμενον.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Ν.

Νεῖ, πνέει, πνεῖνται πνεῖ. ¶ Πνεῦμα οὐράνιον, ἄγγελος ἀσαρκος, οὐράνιος, ἄνεμος ψύχος δαίμων. λέγονται πνεύμονες καὶ θαλάττια εἴδη ζῶντα ἀναίσθητα. ¶ Πνεύματος αἴτιος, ὁ πνεύμων. ¶ Πνεύσας, ὀργισθείς, ἀπὸ μεταφορᾶς τῶν ἀνέμων. ¶ Πνιγεύς, ὁ θυμὸς τῶν κτηνῶν καὶ τοῦ ὑδραυλικοῦ ὀργάνου μέρος, ἢ κλίβανος.

Πνῖγος, θάλπος καῦμα. ¶ Πνίξαντες, ὀπτήσαντες. ἔστι δὲ εἶδος ὀπτήσεως πνικτόν. ¶ Πνοή, ἀνάψυξις.

Πνοίῃσιν, ταχύ. ¶ Πνόος, φθόγγος, πνοή.

Πνύξ, τόπος ἀθήνησιν, ἐν ᾧ αἱ ἐκκλησίαι ἤγοντο πάλαι μὲν πᾶσαι. νυνὶ δὲ ἅπαξ ὅταν στρατηγὸν χειροτονῶσιν. ¶ Πνύτο, ἔπνευσεν ἐνόησεν καὶ ποία. καὶ ἡ τῆς γῆς αὐτομάτως βλαστάνουσα φυτεία καὶ ὁ σῖτος. καὶ κοινῶς τὸ ἀπὸ ῥίζης φυλλοβολοῦν φυτόν.

Πνυτός, ἔμφρων σώφρων.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Ο,

όα. βοτάνη ἑκάστη. ¶ Ποαλίς, εἶδος πικρίδος. ¶ Ποάζεται, οὐ μόνον αἱ τὴν πόαν ἐκ τοῦ σίτου, ἀλλὰ καὶ τὴν καλάμην ἐκτίλλουσαι, καὶ καθόλου αἱ τὰ κατ' ἀγροὺς μισθοῦ ἐργαζόμεναι. ¶ Ποδάγρα, τὸ τῶν ποδῶν πάθος καὶ πάγη. ¶ Ποδαγκωνίδας, συκοφάντας, ἢ τοὺς κατὰ τῆς ἀρχῆς τι λέγοντας ἢ πράττοντας.

Ποδάνεμοι, ταχεῖς. ¶ Ποδαπόν, ποταπὸν ὁποῖον.

Ποδάργης, λευκόπους, ταχύς. ¶ Ποδάρκει, μόσχοις.

Ποδάρκης, ὠκὺς τοῖς ποσίν, ἢ ἀρκεῖν δυνάμενος.

Π λαδαρότροπος, ἐκλυτότροπος καὶ τὰ ὅμοια.

Π λαδᾷ, ματαΐζει, σοβαρεύεται. ¶ Πλαδῶσαν, ὑγράν. ¶ Πλαδῶσιν, ὑγροῖς, λιπανθεῖσιν, ἢ αἱ στέρκεσαι μὴ ἐστερεωμέναι. ¶ Πλάζεσθαι. πλανᾶσθαι ἀποσφάλλεσθαι. ¶ Πλαζόμενος, ἐγγίσας, ἢ πλανώμενος. ¶ Πλάζοιτο, πλανῷτο, διαμαρτάνοιτο τῆς ἐπιθυμιῶν σφάλλοιτο. ¶ Πλάζων, πλανῶν.

Π λαθανὸν, κύκλον ἐφ' οὗ πλάσσουσιν ἄρτους καὶ πλακοῦντας. ¶ Πλαθεὶς, προσπλαθεὶς δοθείς.

Π λαθοῦσα, τὰ αὐτά. ¶ Πλάθεται. πελάζεται. προσπελάζει. ¶ Πλάθοις, πλήθοις. ¶ Πλαῖσι. κλῖσι, πλαισία, πλινθία. ¶ Πλαίσιον, ἡ ἐν τετραγώνῳ τῶν στρατιωτῶν τάξις. καὶ πίναξ καὶ πλινθίον καὶ διὰ ξύλων τετράγωνα πήγματα. ¶ Πλαίτορ, πατέρα, οἱ δὲ, πάτρω. ¶ Πλάκα ἡλιακὴν, τὴν ἀνατολικὴν γῆν, ἢ τὴν ἡλιακὴν πλάκα καὶ τὴν ὅλην χώραν καὶ τὴν κοινὴν, ἢ τὴν γῆν. ¶ Πλάκας, δέλτους.

Π λακάτηρ, ἐρεουργικὸν ἐργαλεῖον.

Π λακία, χώρα περὶ τὴν θράκην εἰς ἣν ἀποικίαν ἔπεμψαν ἀθηναῖοι. ¶ Πλακίησιν, ἁμαρτίαις.

Π λακὶς, κλινίδιον κατεσκευασμένον ἐξ ἀνθῶν τῇ ἑορτῇ τῶν παναθηναίων. ¶ Πλάκος, ὄρος τῆς κιλικίας τινὲς δὲ, πλακούσιον λέγουσιν. ¶ Πλακοῦς, εἶδος τοῦ πέμματος, καὶ ὁ σπερματικὸς τύπος ἐπὶ ἡμέρας. μαλάχη. ¶ Πλακτὴρ, τὸ τοῦ ἀλεκτρυόνος πλῆκτρον.

Π λᾶκτρον, πλάνημα πλῆθος, ἢ τὸ πλέκτρον.

Π λάκτος, περίφρων πεπλανημένος. ¶ Πλανὶς, τὸ ἐπὶ νύμφης χρυσοῦν διάλημμα. ¶ Πλάνα, τριακάς.

Π λάνη ἀπάτη. ¶ Πλανῆται, ἀστέρες τρέχουσιν ἐπίσημοι, ἤτοι μετανάσται. ¶ Πλάνος, πλανήτης, ἀπατεών. ¶ Πλάντων, ἄφρων, ἄνους, καὶ ἡ πλατεῖα πέτρα. ¶ Πλανύττων, πλανῶν. ¶ Πλὰξ, ἐπὶ τῆς γῆς, καὶ μέρος καὶ τὰ μεμαζωμένα, καὶ τὸ διπλοῦν καὶ ἡ πλατεῖα πέτρα, ἢ πλάκας τῆς κοιλίας καὶ ἡ γαστήρ. ¶ Πλαριᾶν, μίγνυσθαι.

Π λάσμα, σχηματισμὸς, ψεῦσμα, ἢ κτίσμα. ¶ Πλαστεύοντες, πλάσσοντες. ¶ Πλαστηθεία, πλαγχνία πλάστιγγι, ἰχία. ¶ Πλάστιγξ, μάστιξ, ἢ τοῦ ζυγοῦ τὸ ἀντίρροπον, καὶ τὸ νῦν λεγόμενον λίτρα. καὶ τὸ πρὸς τοὺς κοττάβοις πινάκιον, καὶ μέρος τι τοῦ αὐλοῦ καὶ σύριγγος τὸ ζύγωμα. ¶ Πλαστουργήσαντα, πλάσαντα ποιήσαντα. ¶ Πλάστρα, ἐνώπια, καὶ θεῶν τόποι.

Π λαστὰ, προσπλαστά. ¶ Πλαταγώνιον, τὸ ἐπὶ μήκωνος καὶ ἐπὶ ἀνεμώνης φύλλον.

Π λαταγωνήσας, ἀπολακυθίσας καὶ ψοφήσας.

Π λαταγεῖν, κροτεῖν. ¶ Πλάται, τῶν σπαθῶν τὰ πλατέα. ¶ Πλαταιᾶσ. τὸ ὠμοθήτησαι. ¶ Πλαταμὼν, τόπος πλατὺς καὶ μέγας ἐπιθαλάττιος, οἱ δὲ λεωπετρία. οἱ δὲ, ὁλισθηρὰ πέτρα. ¶ Πλάταν, πληγὴν. ἢ πλοῖον. ¶ Πλατάνιστον, πλάτανον.

Π λάτανος, δένδρον, περὶ ὃ οἱ γυναικονόμοι τὰς ζημίας ἐν λευκώματι ἐξετίθεσαν. ¶ Πλατέα, τὰ ἐν πλάτει νεμόμενα μεγάλα. ¶ Πλατεάζειν, ἀλαζονεύεσθαι, φωνακίζειν. ¶ Πλατεῖα, κόσμος τίς.

Π λατειάζοντες οἱ γυμναζόμενοι τοῖς ἐφήβοις.

Π λατεῖαι, καρποὶ τῶν χειρῶν. ¶ Πλατείαις, ῥύμαις ἀγυιαῖς. ¶ Πλατεῖον, τὸ πλατείᾳ τῇ χειρὶ πατάξαι. ¶ Πλάτιγξ, ἐπὶ κώπης τὸ ἄκρον ᾧ πλήσσεται τὸ ὕδωρ. ¶ Πλάτη, ἡ ὠμοπλάτη, καὶ ἡ θάλασσα.

Π λατιγμονικῶν, τὴν ἄθροισιν, πλατὶς ἡ γυνὴ ἡ ἄπιστος κλωψ συνόδου ἄθροισμα. ¶ Πλατίστακος, οἰκεῖον αὐδῆον. καὶ ἰχθὺς ποιός. ¶ Πλατορρόα, θυσία λίνδιοι

Π λατυνίζειν, καταλαζονεύεσθαι ἀπὸ τῶν πλατῶν τῶν ἐν ταῖς κώπαις τῆς θαλάσσης. ¶ Πλατύνειν, μηρόειν. ¶ Πλατὺ, μέγα εὐρὺ ἁλμυρόν.

Π λατὺ ἐλλήσποντον, τὸ κατὰ τὴν τροίαν μέρος τοῦ ἑλλησπόντου, ἀπὸ τοῦ ὅλου τὸ μέρος ποιητικῶς λέγων.

Π λατὺ ὕδωρ, τὸ ἁλμυρόν. ¶ Πλάτων, χαλκωμάτιόν τι, ᾧ τὸν ὀρρὸν αὐτλοῦσιν, ὅτε γάλα συμπήσσωσιν

Π λάγχθη, ἐπλανήθη. ¶ Πλέα, πλείη.

Π λατὺρ, δοῦλος ἢ δῆμος. ¶ Πλάτυς, ἡ τῶν λοχώντων ἄθροισις. ¶ Πλέαι, πλεῖαι πλήρεις.

Π λεγματεύεσθαι, ἐμπλέκεσθαι. ¶ Πλέθρα, μέτρα γῆς ἢ ἀγροῖς καὶ βοτανώδεις τόποις. ¶ Πλεῖαι, ἢ πλείη πλήρεις. ¶ Πλείην, τὴν ἔγκυον.

Π λεῖν, πλέειν. ¶ Πλέθρισμα, δρόμημα.

Π λεῖον, πλέον ἀττικοὶ, ἑκατέρως λέγουσιν.

Π λεῖον. πλήρεις. ¶ Πλείονες, οἱ τετελευτηκότες.

Π λειόνει, σπείρει. ¶ Πλειοτέρῃ σὺν χειρὶ πλείονι καὶ πλουσιωτέρα, ἢ συμπλείοσι, χρήμασι.

Π λείου, πλήρεις, ἀπὸ δὲ κρητῆρος ἀθήνη πλείου, καὶ ἀνδρῶν δυσμενέων πλεῖος δόμος. ¶ Πλείστη, ἡ θάλασσα. ¶ Πλειστηριαζόμενος, ὑπερβαλλόμενος καὶ τὸ ὑπερτιμᾶσθαι ὤνιον. ¶ Πλειστηριάσαντες πλείονος πωλήσαντες οὗ ὠνήσαντο.

Π λειστηριασμὸς, ὑπερθεματισμός. ¶ Πλειστοβάλειν, παίζειν ἀστραγάλοις. ¶ Πλεῖστος, ποταμὸς ἐν δελφοῖς. ¶ Πλειὼν ὁ ἐνιαυτὸς, ἀπὸ τοῦ πάντας τοὺς καρποὺς ἐπὶ νῦν συμπληροῦσθαι. ¶ Πλέκει, μηχανᾶται. ¶ Πλέκεται, μαστιγοῦται, συκοφαντεῖται.

Π λέκος, πλέγμα. ¶ Πλεκτὴ σειρὰ, ἡ ἐξ ἱμάντων.

Π λεῖναι, μύξαι. ¶ Πλέμνιον, ἀρχαῖον πλῆρες.

Π λεονασμὸς, ἐπίδοσις. ¶ Πλεονέκται, βίαιοι.

Π λεονεξία, τὸ πλέον τοῦ δέοντος, ἔκ τινος λαμβάνειν.

Π λευμονία, νόσος ἡ ἐρωτική. ¶ Πλευρεῖτις, νόσος ὀλεθρία. ¶ Πλευρὼν, πόλις τῆς αἰτωλίας. ¶ Πλεφίλορ, ἡ πεφρυγμένη σησαμίς. ¶ Πλεφὶς, σησαμίς. ¶ Πλέων, πλήρης, καὶ πλέω τὸ κολυμβῶ.

Π λέωνυξ, τῶν δύο μοιρῶν πλέον μέρος, καὶ νυκτὸς αἱ δύο μοῖραι ὁ τρόπος ἀναστροφῆς. ¶ Πλέως, πλήρης.

Π λήγανον, βακτηρία. ¶ Πληγὰς. δρέπανον.

Π ληγεῖον, παλαιόν. ¶ Πληγενεῖς, οἱ μὲν ἐκ τοῦ αὐτοῦ ὄντες πατρὸς ἢ μητρὸς ἀδελφοί. ¶ Πλήγη, ἐξεπλάγη. ¶ Πλήθει, πλάζει, ἢ κρείττονι ἀριθμῷ.

Π λήθ . . . πρόσθε. βαλόντες ὑπὸ πλήθει τῶν θεωμένων συνεγερθέντες, ὃ ἐστὶ βοηθηθέντες, ἢ ὑπὸ πλήθει τῶν θεατῶν κωλυθεὶς, ἢ ὑπὸ πλήθει τῶν ἁρμάτων ἐμπεδιωθεὶς, ἢ τῷ πλήθει τῶν ἡνιόχων, δίδυμοι γὰρ ἦσαν οἱ ἡνιοχοῦντες.

Π λῆθος, ἀθροισμὸς ὄχλος. ¶ Πληθοῦσα πλεονάζουσα πλήρης. ¶ Πληθώουσαν, πλήρη. ¶ Πλῆθρον, κλῆθραν, ἢ εἶδος μέτρου. ¶ Πληθὺς, ὄχλος δῆμος

Π ληιάδες, πλειάδες, ἐστὶ δὲ ἑπτὰ ἄστρα, πλησίον τοῦ

Π ῖλος χαλκοῦς, εἶδος πολυκεφαλαίας. ¶ Πιμελὴ, στέαρ πιότης λίπος. ¶ Πιμελὴς, εὔσαρκος, λιπαρός. ¶ Πίμπλαμαι, πληροῦμαι. ¶ Πίμπλαντο, ἐπληροῦντο. ¶ Πίμπλαται, πληροῦνται.

Π ιμπρᾶν, ἐμπυρίζειν, φυσᾶν καίειν. ¶ Πίμπρασθαι, πίμπραται πιμφθοὶ ὀφθοὶ ὀφθαλμῶν τὰ μελανά, ἠλεῖοι. ¶ Πίνα, εἶδος ἰχθύος καὶ ὀστρεώδης κογχύλιον. ¶ Πίνακας, τὰς σανίδας καὶ τὰ θραύσματα τῶν ὀρνέων. ἄλλοι δὲ τὰς δέλτους, καὶ οἱ ἐπὶ τῶν σκυτίνων τραπεζῶν λίθοι, καὶ τὰ ἄκρα τῶν ξύλων.

Π ίνακες, ἀναγραφαὶ εἰκόνων. ¶ Πινακίδας, ὄρχησις ποιά. ¶ Πινάκιον. τὸ λεύκωμα. τινὲς δὲ, σύμβολον δικαστικόν. ¶ Πινάκι πυκτῷ δέλτῳ. ¶ Πινακίον, πινακίσκος. ¶ Πίνακος, κουρὰ τὰ τμήματα καὶ ἀποκαθάρματα τῶν ξύλων. ¶ Πινακοπώλης, ὀρνιθοπώλης. πωλοῦντες γὰρ αὐτὰ καὶ τιθέντες ἐπὶ πίνακος, ἐπώλουν τὰ λεπτὰ ἡρμαθίζοντες.

Π ίναξ, ζωγραφία, ἱστορία. ἀναγραφὴ πολυχρή.

Π ιναρά, ταπεινὰ εὐτελῆ ἐλάχιστα ῥυπαρά.

Π ιναρὸς, ῥυπαρὸς, εὐτελὴς ἐλάχιστος. ¶ Πίνος, ῥύπος καὶ τὰ ὅμοια. ¶ Πινόεν ῥυπαρὸν πιναρόν.

Π ιννοτήρης. πιννοφύλαξ λεγόμενος, πίννα γὰρ εἶδος ὀστρέου. ¶ Πινυμένῳ, συνετῷ. ¶ Πίνυσις, σύνεσις. ¶ Πινυτὴ, σύνεσις, φρόνησις. ¶ Πινυτὴν, σωφροσύνην. ¶ Πινυτὸς, σώφρων συνετός. ¶ Πινυτόφρων, σωφρονέστερος, συνετώτατος. ¶ Πινυτῶς οὕτως φρονῶν. ¶ Πινώδης, ῥυπαρὸν, ξηρόν.

Π ινωδία, ἀκαθαρσία. ¶ Πιόμενα, ποτιζόμενα.

Π ίονα, λιπαρὰ πλούσια. ¶ Πίονα ὄσπρια, τὰ γεωργικὰ κατ᾽ ἐξοχὴν, τὰ ἡμᾶς πιαίνοντα. ¶ Πίος. εὐσεβής. ¶ Πίονες, στατίτω πλακοῦντος. ¶ Πίονος, λιπαροῦ ἀγρίου, εὐσάρκου πλουσίου. μεγάλου.

Π ιότερον. λιπαρώτερον. ¶ Πιπαλὶς, ἡ παρά τισι χαλκίς. παρὰ δὲ ἐνίοις, σαύρα. ¶ Πιπέλων, κραδαινων, πάλλων. ¶ Πίπερ, τὴν ἀκριβῆ ὀξύτητα.

Π ιπίζειν, κατὰ μίμησιν ἡ λέξις πεποίηται ἐπὶ τῶν ὀρνέων φωνῆς. λέγεται δὲ τὸ ποτίζειν, ἢ πιπίσκειν.

Π ιμπλεῖαι, αἱ μοῦσαι ἐν τῷ μακεδονικῷ ὀλυμπίῳ, ἀπὸ κρήνης πιμπλείας. ¶ Πιμπλῶν, πληρῶν.

Π ίπον. ἄκρον. ¶ Πιπράσκει, πωλεῖ. ¶ Πίπτωσι, φαίνονται. ¶ Πιπώ, ὄρνεον πολεμικὸν ὥς τινες ἐρωδιός. ¶ Πίγαρ ἐπαλλάξαντες ὅταν σχοινίον ἀποτείνωσιν ἀπὸ πέρατος εἰς πέρας. ¶ Ποιπνύοντα, χλεύοντα. ¶ Πείρινθα, βῆμα, καὶ τὸ ἐπὶ τῆς ἁμάξης πλέγμα τὸ πλινθίον. ¶ Πιείρας, ἐλέφας. ¶ Πίσα, πόλις ὅπου τὰ ὀλύμπια ἐπιτελεῖται. ¶ Πίσαι, ποτίσαι. ¶ Πισάκιον, πολυστόμιον. ¶ Πισάκνα, πιθάκνη. ¶ Πείσεα, κάθυγρος καὶ ποώδης γῆ. ¶ Πείσεα ποιήεντα, δύγρους τόπους. ¶ Πείσῃ, πείσματι. ¶ Πίσυα, πίτυρα ἀχυροί. ¶ Πισῖσαι, πιτυρίνοι ἄρτοι. ¶ Πίσυρα, ἄσγια. ¶ Πείσματα, τὰ ἀγκύραια σχοινία. ¶ Πιθὸς, πιστὴ ποτήρια λινός. ¶ Πισόμενον, γενησόμενον. παθησόμενον. ¶ Πίσος, πίθος λάκωνες.

Π ισσᾶται. οἱ τὴν λευκὴν ἔχοντες λέπραν. ¶ Πισσοκωνίας, ἡρόδοτος πισσοκωνίαν εἶπεν, διὰ τὸ τὰ πρόβατα πίσσῃ χρίεσθαι: ¶ Πισσοκωνήτῳ πολὺ πίσσῃ χρίουσιν, ἵνα τάχιον κατακαίηται, κωνίσαι δὲ ἐπὶ τὸ πολιενεγκεῖν. ¶ Πιστὰ, βέβαια. ¶ Πίστιν, πιστήν ρα πόλις οὕτως εἶπεν. ¶ Πιστὴν, γνώμην βεβαίαν.

Π ιστὴρ, λινός. ¶ Πίστις, ἀπόδειξις. ¶ Πιστεῖον, ποτιστεῖον, πίσαι γὰρ τὸ ποτίσαι, καὶ πίστρα, ἡ ποτίστρα.

Π ιστὸς, εὐπειθής. ¶ Πιστούμενος, πιστά τε ποιῶν, βεβαιούμενος τὸ λεχθέν. ¶ Πισύγγιον, σκυτίον.

Π ισύγγων, σκυτέων. ¶ Πίσυνοι, πεποιθότες, πεπιστευκότες. ¶ Πίσυνος. πεποιθὼς πιστεύων θαῤῥῶν

Π ίσυρας, τέσσαρας. ¶ Πιστώσαντες, πίστεις ἀλλήλοις ἔδοσαν. ¶ Πιτανάτης, στρατὸς ὁ τῶν ἑλλήνων ἦν ἀπὸ μέρους, ἢ διὰ τὸν μενέλαον ὃς ἦν πιτανάτης, οὗ χάριν ἐστράτευσεν. ἔστι δὲ ἡ πιτάνη, φυλή.

Π ιτανάτης, ὁ πιτανάτης λόχος, αὐτοσχεδιάζεται οὐκ ὢν τοῖς ἀληθείαις, πιτανάτῃ δὲ ἀγῶνι γυμνικῷ ἐν πιτάνῃ ἀγομένῳ. ¶ Πιτίμια, τὰς ἀξίας τιμωρίας πιτίμια φασίν. ¶ Πιτνὰς ἐκτείνων τίμια φασί. ¶ Πιτνεῖ, πίπτει ἐκτείνει. ¶ Πίττα, πίσσα.

Π ιτυδάνη, ἀσκὸς μικρός. ¶ Πιτύα, πόλις θράκης.

Π ιτυλίαις. ταῖς καταφοραῖς τῶν τειχέων.

Π ιτύλοις, ψόφοις ὑδάτων. ¶ Πιτύλοις, ταῖς καταφοραῖς τῶν ὑδάτων τειχέων καὶ τοῖς ψόφοις τῶν ὑδάτων. ¶ Πίτυλος, ὀρνιθαίειον πάγιον. ἢ συστροφὴ ἐπὶ χειρὸς ὅταν πικρῶς ἐπιφέρηται.

Π ιτύλοις, οἱ ἀλεῖπται τὰς ἐν πολυόδῳ καταβολὰς τῶν πληγῶν οἱ δὲ ναυτικοὶ, τὸ προσκέλευμα ἐλάσαι.

Π ιτύνη, κνῆκος, ὁ τὸν τυρὸν πηγνύων. ¶ Πίτυρα, τὰ τῶν σίτων, ἢ κριθῶν φλοία. ¶ Πίτυς, δένδρον, ἔμφορες πεύκη. ¶ Πιφαλλὶς, πίφιγξ. ¶ Πιφαύσκετο, φαίνε λέγων. ¶ Πιφαύσκεται. φανεροῦται. διασαφεῖ φανεροποιεῖ. ¶ Πιφαυσκόμενος, σημαίνων λέγων. ¶ Πιφαύσκω, παραδείκνυμι, ἀναφαίνω, εἰς φῶς ἄγω σημαίνω. ¶ Πιφαύσκων, ἐμφανίζων παραδεικνύων σημαίνων λέγων καὶ τὰ ὅμοια.

Π ίφιγξ, κορυδαλός. ¶ Πιφραύσκων, πιφαύσκων. λέγων ἐμφανίζων. ¶ Πίχειρον, ἀνταπόδοσις.

Π ίχυος, βραχεῖον μέτρον. ¶ Πίονα, λιπαράν.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Λ.

Π λαγὰν, πληγήν. ¶ Πλάγγας, τὰς συμπληγάδας πέτρας. ¶ Πλαγγόνιον, μύρον τι παρὰ ἀθηναίοις. ¶ Πλαγγὼν, κήρινόν τι κοροκόσμιον, σφαῖρα. καλαθὶς καὶ πλαγγόνες κεκρύφαλοι.

Π λαπάσαι, παραλογίσασθαι, πλανῆσαι.

Π ατήρια, ἐγκύκλια, καὶ ἐπὶ λήμνου μέρη τινά.

Π ατηταί, οἱ βυζανταί. ¶ Πατίαι, χῶραι.

Π άτησαν, κατεπάτησαν. ¶ Πατνη, καλεῖ ὑπὸ πάρθων. ¶ Πατνώματα, στεγάσματα οἴκου.

Π άτον, ὁδὸν πεπατημένην. ¶ Πάτος, ἡ πεπατημένη καὶ λεωφόρος ὁδός, καὶ ἔνδυμα τῆς ἥρας καὶ κόπρος.

Π ατράδελφος, θεῖος πρὸς πατρός.

Π ατρῷος, θαυμαστὸς ἢ ἐκλεκτὸς σύμβουλος.

Π ατραλοίας, ὁ τὸν πατέρα ἀτιμάζων, πατροτύπτης,

λεται. ¶ Παρερρωγότα, κατερρωγότα. ¶ Παρεσταμένη γῆ, ἐφ' ἧ τις ὀφείλει δάνειον, καὶ ἡ ἐκδεδομένη ἐπὶ γεωργίᾳ. ¶ Πάρεσκεν, παρεῖχεν.
Παρεθίεται, παραβιβρώσκεται. ¶ Πάρεσιν, ἄφεσιν, συγχώρησιν. ¶ Παρέσσεσθαι. πάρεσται.
Παρέσμεθα, ἥκομεν. ¶ Πάρεσο, παραγενοῦ.
Παρεσόμεθα, παραγενόμεθα. ¶ Παρεσσόμεθα, παρεῖναι μέλλομεν. ¶ Παρέσσυτο, παρώρμησε καὶ παρεσσυμένη παραγινομένη. ¶ Παρεσπουδημένοι, ἔκθεσμοι παρηνομημένοι. ¶ Παρέστακτο, παρεγίνετο.
Παρέστηκε, παρεγένετο, πάρεστι. ¶ Πάρεστιν, ἔξεστιν ἐγγύς.
Παρέσφηλον, παρεφαίνετο ἀποτυχεῖν ἐποίησεν.
Παρέσφαλον, ὁμοίως. ¶ Παρέσχεν, ἔδωκεν.
Παρετέξατο, ἐν πολέμῳ τέθνηκεν.
Παρετέξαντο, ἐπολέμησαν. ¶ Παρέτμηξαν, διηφάνισεν. ¶ Πάρετος, παραλελυμένος.
Παρετρώπασκε, παρέτρεπε. ¶ Παρευημερεῖσθαι, νικᾶσθαι. ¶ Παρευημερηθείς, παροραθείς.
Παρευθύνουσιν, βιάζονται προσφέρουσιν.
Παρευθύνωσιν. ὁμοίως. ¶ Παρευνάζων, παρακοιτάζων. ¶ Παραιφάσεις, παραινέσεις. ¶ Παραιφασίῃσι, παραμυθίαις. ¶ Παρεφέρετο, ἐδαιμονίζετο.
Παρέφησε, παρεγράψατο ἢ ἀπάτησεν.
Παρεχάζετο, παρεχώρησεν. ¶ Παρέχει, δίδωσι χορηγεῖ. ¶ Παρῆ, ἦλθε. ¶ Παρῆβον, παρὰ κρηνὶ ξύλον τι. ¶ Παρήπαγεν, ἤνεγκεν, ἠπάτησεν.
Παρηγορεῖς, παραγορεῖς ἀπάταις. ¶ Παρηγορεῖ, παρακαλεῖ. παραμυθεῖ. ¶ Παρήερθη, παρηωρέχθη.
Παρήθη, ἐάθη. ¶ Παρήϊξαν, ἐκώλυσαν. ¶ Παρήϊον ὁ παρὰ τὸ γένειον τόπος καὶ κόσμος ἐπὶ μετώπου τῶν ἵππων παρὰ γνάθον. ¶ Παρῆκεν, ἀφῆκεν εἴασεν ἔλιπεν. ¶ Παρήκτης, πάντα πράττων ἐπὶ κακῷ.
Παρήορει, παρεκορεῖτο. ¶ Παρῆκεν, εἴασεν ἀφῆκεν ἀπέλυσεν. ¶ Παρήλασε, παρεφθεγξάμην παρέβην.
Παρήλατοι. παραμύθιοι. ¶ Παρήλθοκεν, εἰσελήλυθεν. ¶ Παρήμενος, παρακαθήμενος καὶ παρειμένος. ἔκλυτος. ¶ Παρημένων, παρενηνεγμένων.
Παρημοσύνη, θεραπεία. ¶ Παρηωρέχθη, παρεκρεμάσθη. ¶ Παρῆξαν, ἐκώλυσαν.
Παρήορος, ὁ παραιωρούμενος ἄφρων, καὶ ἵππος ὁ παράσειρος ὁ ἐκ τοῦ ἅρματος ἕλκων. ¶ Παρήπαφεν, ἠπάτησεν, ἐξέστησεν. ¶ Παρηεία, μωρεία.
Παρῆρος, ὁ μωρός. ¶ Παρήσειν μὴ δοκῶ.
Παρῆσιν, χαύνωσιν. ¶ Παρήσομεν, ἐάσομεν, παράσχωμεν. ¶ Παρήτασιν, διήτασιν. ¶ Παρηυμάρησεν, κατεφρόνησεν. ¶ Παρθέμενοι, παραθέμενοι παραβαλόντες, σφὰς γὰρ παρθέμενοι κεφαλάς.
Παρθενίας, ἀζυρτακῶδές τι πέμμα.
Παρθενική, παρθένος. ¶ Παρθένιοι, οἱ κατὰ τὸν μεσσηνιακὸν αὐτοῖς πόλεμον γενόμενοι ἐκ τῶν θεραπαινῶν, καὶ οἱ δὲ αὖ ἐκ δούλων λάθρα γενόμενοι παίδων, ἀπὸ τοῦ δοκεῖν ἔτι παρθένους εἶναι τὰς γεννησαμένας αὐτούς, καὶ ποταμὸς παφλαγονίας, παρθένιος.
Παρθενοπίπης, ὁ τὰς παρθένους ὀπιπτεύων, οἷον παραβλέπων ἢ ἀπατῶν. ¶ Παρθένοι, τὰς ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτίμων.

Παρθένος παλληνίδος, ἱέρεια ἀθηνᾶς. ἔστι γὰρ ἱδρὰ ἀθηνᾶς ἐν παλλήνῃ. ¶ Παρειαμμίδες, ἀπολλόδωρος παρὰ τοὺς ἰάμβους αὐτά φησι πεποιῆσθαι, ἃς οἱ κιθαρῳδοὶ ᾄδουσιν. ¶ Παριανὸς, δὲ ἐπιθέτου πρίαπος. ¶ Παριαύων, παρακοιμώμενος.
Παριδρύσαντες, παρακαθίσαντες.
Παρίεται, ἐᾶ. παραπέμπεται. ¶ Παρίημι, ἐῶ. καταλιμπάνω, συγχωρῶ. ἀφίημι. ¶ Παρίησιν, ἀφίησι συγχωρεῖ. ¶ Παρεικὸν, παρερχόμενον.
Πάροικοι, γένος τι ἀθήνησιν. ¶ Παρειλλαίνουσα, παρεμβλέπουσα, ἴλλοι γὰρ οἱ ὀφθαλμοί. ¶ Πάρειον, πισὸν κάρυχον. ¶ Πάρειος, πο εἶδος, πισὸς κάρυχος.
Παριππεύει, ἀφίησιν αὐτοὺς καὶ ἄλλη ὁδεύει. παρατρέχει. παρακολουθεῖ. ¶ Παρ' ἵππων, παρὰ τῶν ἵππων. ¶ Παρίσθμια. τὰ περὶ τὸν φάρυγγα.
Παρίστασθαι, τὸ ἀρπάζειν τοὺς παῖδας. ¶ Παρισώματα, ὁμοιοειδῆ. ¶ Παρίστατο, παρέστηκεν.
Παριστῶ, ἀποδείκνυμι. ¶ Πάριτε, ἔλθετε.
Παρκατέλεκτο, παρεκοιμᾶτο. ¶ Παρμέμβλωκε, πάρεστιν, ἢ παραμεμένηκεν, ἢ παραμεμόληκεν.
Παρνάσιος, φωκεύς. ¶ Παρνασὸς, ὄρος φωκίδος.
Πάρνηθος, ὄχθος ὄρος τῆς ἀττι. ¶ Παρνησὸς, τῆς ἀττι. ὄρος. ¶ Πάρνοπες, ἀκρίδες. ¶ Παρνόπη, καλλίστρατος ἀθηναῖος: ¶ Παρξίφεος, παρὰ τοῦ ξίφους.
Παροδικός. παρόδῳ χρώμενος. ¶ Πάροδος, μέρος τι τοῦ νεώς. ¶ Παροδούμενον, παροιμιαζόμενον, ᾀδόμενον. ¶ Παρόδοις, διαβάσεις. ¶ Πάροιθεν, ἔξωθεν, ἔμπροσθεν, ἐπὶ τόπου καὶ χρόνου.
Πάροικοι, ξένοι παρεπίδημοι. ¶ Παροιμίαι, παραινέσεις παραμυθίαι νουθεσίαι. ἦθος ἔχουσαι καὶ πάθος ἐπανόρθωσιν. ¶ Παροιμία, βιωφελὴς λόγος παρὰ τὴν ὁδὸν λεγόμενος, οἷον παροδία. οἶμος γὰρ ἡ ὁδός.
Πάροιμον, παρὰ τὴν ὁδόν. καὶ πάροιμος ὁ γείτων.
Παροιμιάσαντες, ἐκτραπέντες τῆς ὁδοῦ.
Παροινία, ἡ ἐκ τοῦ οἴνου ὕβρις καὶ ὁποιαδήποτε ἁμαρτία.
Παροινίαι, κραιπάλαι ὕβρεις ἀπὸ οἴνου.
Παροινιάσαι. ὑβρίσαι, λοιδορῆσαι.
Πάροινος, ἁμαρτωλὸς μεθυστὴς ὑβριστὴς λοίδορος, ἔκλυτος. ¶ Πάροιος, πρᾶος. ¶ Παροῖραι, ἡγούμεναι. πρότεραι. ¶ Παροισθέντι, παρενεχθέντι.
Παροίσομεν, παρενέγκωμεν. παρακομίσομεν.
Παροιστρῆσαι, παροξῦναι, ἐρεθίσαι. ¶ Παροιστρήσουσι, μαίνονται. ¶ Παροιστρῶσαι. ἐρεθίζουσαι, διεστηκυῖαι.
Παροίτεροι, μᾶλλον, ἔμπροσθεν προάγοντες.
Παροκλάζοντες. γονατίζοντες.
Παρολκή, ὑπέρθεσις. ¶ Παρομαρτεῖ, παρακολουθεῖ.
Παρόν, ὑπάρχον συμβόν. ¶ Παρόντα, προκείμενα.
Παροξυνταί, οἱ τρεφόμενοι ὑπὸ τῶν ἑταιρῶν ὡς ἂν δῆθεν ἐρασταί. ¶ Παροπαιδία. εἶδός τι πείρας.
Παροπάδιον. μικρὰ μάχαιρα.
Παρορμᾷ. προτρέπεται. διεγείρει, παροξύνει.
Πάρορμον, παρὰ τὸν λιμένα. ¶ Πάρος, ἔμπροσθεν πρότερον. ¶ Πάροσγε, πρώην καὶ τὰ ὅμοια.
Παροτρύνει, διεγείρει. ¶ Παρ' οὐδὲν, εὔκολον. δυσχερές.
Παρουσία, οὕτως ἐκάλουν τὰ ὑπάρχοντα παρουσίαν ἡμῖν μάλιστα ἡ παρὰ πρόθεσις παρέλκει μένανδρος ὑδρείᾳ

ὥρα θέρους, ὁ κατὰ τὸ θέρος ἀκμάζουσα. ¶ Παραυτίκα, παραχρῆμα εὐθέως παραυτίκα. ¶ Παραυτόθι, παρ' αὐτόθι. ¶ Παραυχενίζων, παρακλίνων.

Παράφημι, παραινῶ. ¶ Παραμυθοῦμαι, συμβουλεύω. ¶ Παραφθαίεσι, παραδράμοι. ¶ Παράφορα, παρατετραμμένα. ¶ Παράφορμα, ἀρχή τις τῶν συνεξιόντων βασιλεῖ. ¶ Παράφορος, παραφερόμενος παρόμοιος, ἐξεστηκώς. ¶ Παράφρων, ἀνόητος.

Παραχαράσσον, παραπλάσσον παρασημαῖνον.

Παρὰ χεῖρα, μετὰ χεῖρα ἐν χερσί. ¶ Παραχρᾶται, κακῶς λέγει. ¶ Παραχρῆμα, παραυτίκα, ἀθρόως, εὐθέως. ¶ Παραχωρημάτων, ἐκβολῶν. ¶ Παραψίδες ἢ παροψίδες τὰ μεγάλα τρυβλία. ¶ Παραψυχή, παραμυθία. ¶ Παρδάκων, διύγρων.

Παρδαλέῃ, παρδαλέως δοράν. ¶ Πάρδαλις, ποιὸς ὄρνις. ¶ Παρδαλέη, παρδαλέη. ¶ Πάρδαλις, ἡ οἱ κόσμοι τῆς καθέδρας. ¶ Παρειάσκει, πλαγιάσκει.

Παρέβασκε, παρέβαινε. ¶ Παραβλήδην, ἐρεστικῶς. ¶ Παραγεγραμμένος, ὁ μὴ κατὰ νόμον τοῖς πολίταις τεταγμένος δημοτικὸς παῖς.

Παρέγγραπτος, νόθος παραγεγραμμένος. ¶ Παρεγγραφέντων, ῥαδιουργηθέντων. ¶ Παρεγγυᾶ, παραγγέλλει, διαδίδωσιν. ¶ Παρεγγυᾶται, λέγει παραδίδωσιν, ἐντέλλεται, παραινεῖ. διδάσκει, προλέγει, παραγγέλλει διαβεβαιοῦται, ἢ πάρεγγυς.

Παρεγγυήσαντος, παραινέσαντος. ¶ Παρεγχρίμπτεται, ἐγγίσαι προσπελάσαι. ¶ Παρ' αἰδήσει, παρὰ τοὺς αἰδοῦς ἀξίους. ¶ Πάρεδρον, παρακαθήμενον, παραμένον, σύνθρονος. ¶ Πάρεδρος, ἀρχή τις, καὶ αὐτὴ ἡ κελεύουσα παρέδρους δίδοσθαι ὑπὲρ τοῦ τὸν ἁμαρτάνοντα μονοῦσθαι. ¶ Παρέζεο, παρακάθιζου. ¶ Παρεζόμενος, παρακαθήμενος.

Παρεθείς, ἐκβληθείς. ὁ ἐάσας. ¶ Παρεθεωροῦντο, κατεφρονοῦντο. ¶ Παρεθήγοντο, παροξύνοντο.

Παρειά, γνάθος. ¶ Πάρει, ἧλθες. ¶ Παρεῖαι, ὄφεις, ὄφεων εἴδη μεγάλας παρειὰς ἐχόντων. ταῦτα δὲ ἥκιστα δάκνει ἀνθρώπους. ¶ Παρείθη παρελύθη, ἐχαυνώθη ἐκρεμάσθη, ἐχαλάσθη ἐάθη. ¶ Παρεῖτο, παρελύθη παρελύθη. ¶ Παρείλαμεν, παρεσπάσαμεν. ¶ Παρείκει, παρέρχεται. ¶ Παρεῖμαι, παραλέλυμαι ἐκλέλυμαι. ¶ Παρειμένος, παραλελυμένος ἐκλελυμένος, παράλυτος, παρεωραμένος. τετελευτηκὼς ἢ καταπεφρονημένος. ¶ Παρειμένως, καταφρονητικῶς ὁμοίως. ¶ Πάρειμι, ἐῶ, ἢ παραλελυμένος. ¶ Παρείμην, εὑρέθην ὑπῆρχον.

Παρεῖναι, ἐάσαι. Παρεῖξαι, παραχωρῆσαι.

Παρείπη, παραλογίσηται. ¶ Παρειπεῖν, παραμυθήσασθαι. ¶ Παραμπέσαι, παραπεῖσαι παραλογίσασθαι. ¶ Παρειμένων, παρεωραμένων.

Παρεῖξαν, ἐκώλυσαν. ¶ Παρείς, ἐάσας ἀφείς. καταλιπών. ¶ Παρείσακτον, ἀλλότριον. ¶ Παρείσαγον, κράσπεδον ἀκρωτήριον. ¶ Παρείσθωσαν, παραλυέσθωσαν. ¶ Πάρεισιν, εἰσίν. ¶ Παρεισκυκλεῖται, παρεισέρχεται, παρεισβάλλει. ¶ Παρεισρέων, παρεισερχόμενος. Πάρειτε, παρέλθετε.

Παρεκίρνα, παρέμισγε. ¶ Παρεκλίθη, παρεμιάνθη. ¶ Παρέκλινε, παρῆλθεν. ¶ Παρ' ἐκνόμων ἐγκλημάτων, τὸν νοῦν παρελογίσατο μου. ¶ Παρεκμηκύνειν, παρατεμνητόν. ¶ Παρεκπαμπεύοντο. παρετηρεύοντο ἐπιστάτως. ¶ Παρεκρότει, παρώξυνεν.

Παρεκρούσατο, ἐχλεύασεν. ¶ Παρεκψηφίσατο. διεσκέδασεν. ¶ Παρεκτικόν, παρεχόμενον.

Παρεκόπτου, ἠφάνιζες. ¶ Παρέλαβες, ἐπεκώλυσας.

Παρελάσας, παραδραμών. ¶ Παρελέγετο, παρὰ τὸν αἰγιαλὸν ἔπλεεν. ¶ Παρελέξατο, ἐκοιμήθη παρεκλίθη. ἢ παρεπλέξατο, τὸ γὰρ παραπλέξαι τινὰς παραλέξασθαι, καὶ λέξασθαι λέγουσιν.

Παρελεύσεται, παραδραμεῖσθαι καὶ παραλογίσηται.

Παρελεύσεται, παραδράμῃ παρέλθῃ. ¶ Παρεληλυθότας, παραβαίνοντας. ¶ Παρελθόντων, εἰσελθόντων. ¶ Παρέλκεται, διατρίβει.

Παρέλκον, περισσὸν βραδύ, παρατεῖνον. ¶ Παρέλκυσις, βραδύτης βραδυτής. ¶ Παρελογίσασθε, ἀπατήσατε: ἐψεύσασθε, ἐχλευάσατε. ¶ Παρελύθησαν, ἀσθένησαν. ¶ Παρέλυσε, καθεῖλεν ἐξέβαλε.

Παρεμβαλεῖ, παρεντίθησιν. ¶ Παρεμβαλεῖ, ἐπισκέπει. ¶ Παρεμβάλλοιμι κλῆρον, συγκληρώσαιμι. ¶ Παρεμβολή, στρατόπεδον παράταξις, στῖφος στρατιᾶς ἢ πλῆθος, ὁ οἴκησιν ἢ κάστρον.

Παρεμπίνειν. τὸ ἐκ τοῦ λόγου πίνειν. ¶ Παρέμοιγε, παρεισγάρμοι. ¶ Παρεμφάρακτος, ἀσελγής.

Παρεμφαίνεσθαι, παραδηλοῦσθαι. ¶ Παρεμφερής, ὅμοιον. ¶ Παρεόν, κατὰ τὸ ἑξῆς. ¶ Παρενθετῶ, παρατιθῶ. ¶ Παραίνεσις, συμβουλία. διδασκαλία. ¶ Παρενεγκεῖν, παραθεῖναι, παραβαλεῖν.

Παρενήνεον, παρετίθεσαν ἀθρόως, παρεσώρευον.

Παρένθετος, παρείσακτος. ¶ Παρενθῆκαι, μετενήνεκται ἀπὸ τῶν τεχνιτῶν τῶν παρεργαζομένων ἔνια λεπτά. ἢ ἀπὸ τῶν πλοϊζομένων. παρεντιθέασι γὰρ τοῖς φορτηγοῖς κοῦφα ἀπὸ τῶν καμίνων. τοῖς δὲ πίθοις πινακίσκοι παρεντίθενται καὶ λεπτά.

Παρέντες, παραλείψαντες ἐάσαντες. ¶ Πάρεξ, χωρὶς ἐκτός. ¶ Παρεξειρέσιον, τὸ κατὰ τὴν πρῷραν πρὸ τῶν κωπῶν ὥστε λέγει τις πάρεξ τῆς εἰρεσίας.

Παρελέξατο, παρεκοιμήθη. ¶ Παρεξηυλημένος, ὑπὸ γήρως τὸν νοῦν παρεξηυλημένον ἔχων ἀμυδρόν. μετενήνεκται δὲ ἀπὸ τῶν αὐλῶν τῶν ἐν τοῖς αὐλοῖς, οἱ γὰρ κατατετριμμέναι, ἐξηυλῆσθαι λέγονται.

Πάρεξ ὁδοῦ, ἔξω τῆς ὁδοῦ. ¶ Παρεξερῶ εἶπόν ποι, παρὰ τὴν ἀλήθειαν εἴποιμι: ¶ Πάρεξ, τὸ θεῖον χρῆμα ἔξω τῆς μίξεως. ¶ Παρεοικώς, παρόμοιος.

Παρεόντα, παρόντα. ¶ Παρέπαφεν, παρέπεισεν.

Παρεπίδημος, πάροικος. ¶ Παρεπλέγχθη, παρεκρούσθη. ¶ Παρεπτάμενα. περιττά. ¶ Παρεπτόμενον, περιττόν, ¶ Πάρεργον, νόθον, ὡς μικρόν τι τῶν ἀναγκαίων. ¶ Παρεργότατα, καταπεραιωτάτα. ¶ Πάρεργος, ἀκαίρως ῥαθύμως.

Παρέωνται, ὀλίγα ἀφαιρεῖται. ¶ Παρ' ἐρινεόν, παρὰ τὴν ἀγρίαν συκῆν. ¶ Παρερρέωσαν, παρετάξαντο ἐν πολέμῳ ἀντέστησαν, κρείσσω δὲ μετὰ τῶν ῥεῶν.

Παρερρυπωμένα βιβλία, οἷς κορωνὶς προταλάσσομεν. πρὸς τὸ ζητῆσαί τινα. ¶ Παρέρχεται, ὑπερβάλλει.

συμβουλεῦσαι. Παρὰ ναῦφιν, παρὰ τῶν νεῶν.

Παρὰ νῆας, παρὰ τὰς ναῦς. Παρὰ ναυσί, παρὰ τοῖς πλοίοις. Παράνοια, ὑπερηφανία.

Παράνομος, ἄνομος, ἄδικος. ἀθέσμιος ἁμαρτία.

Παράντα, τὰ παρὰ τὸ ἀντικρύ, οἷον πλάγια, τὰ παρατετραμμένα ἐπὶ εὐθείας ὁδοῦ. Παράνυμφος, νυμφεύτρια. Παραξιφίς, μάχαιρα.

Παράορος, συναορφόρος. Παραοὶς, ἀετὸς ὑπὸ Μακεδόνων. Παράπηγος, μάνδαλος θύρας.

Παραπαίει, παρακόπτει, μαίνεται, ληρεῖ, παραφρονεῖ.

Παραπαιόντως, ὁμοίως. Παράπαιστος, παραπλὴξ, ἢ παρειμένος. Παράπαν, παντελῶς, καθόλου. Παρὰ πάντας, ὑπὲρ πάντας.

Παραπεπιθόμενος, ἐπιβαλλόμενος. Παραπέσῃ. παραπαίξῃ. Παραπέμποντες ἀπωθούμενοι.

Παραπεπίθοιμι, παραπείθοιμι. Παραπεπλεγμένως, συμπεπλεγμένως. Παραπετάσματα, παρακαλύμματα. Παραπήχυον, ἱμάτιον, τὸ παρ' ἑκάτερον μέρος ἔχον πορφύραν. Παραπικραίνων, παροργίζων. Παραπλαγιάσας, πλαγιασάμενος. Παραπλέξασα, παρακρουσθῆναι ποιήσασα. Παραπλασμός, ὁ ἐν ταῖς τῶν αὐλῶν τρύπαις ῥύπος. Παραπλέξαι, ἐμπλέξαι.

Παραπλάσματα, τὰ κυρία τὰ ἐπιτήδεια τοῖς ζητήμασιν ἐν τοῖς βιβλίοις. Παραπλῆγος, μανιώδεις. Παραπλῆγας, διὰ τὰς ἄκρας ἀνατεινούσας ἔχοντας αἰγιαλοὺς ἢ πέτρας. Παραπλήγων, μαινομένων. Παραπληγία, παρακοπή.

Παραπλὴξ, παράφρων τὰς φρένας βεβλαμμένος. μανιώδης παρακόπτων παραφρονῶν. Παραπληξία, μανία. Παραπλήσιος, ἐμφερὴς ὅμοιος.

Παραπλῆτον, ἐκπλῆττον. Παραπλόκαμος, ἡ παραπεπλεγμένη τὰς τρίχας. Παραπλομένοισι, παροῦσι. Παρὰ πλειόνεσσι, παρὰ πολλοῖς.

Παραπλώζειν, τὸ παρὰ τὴν ὁδὸν ἵστασθαι, ἢ ἰέναι.

Παρὰ πόδα, εὐθέως ἐγγύθεν. Παρὰ ποσί, παρὰ τοῖς ποσί. Παρὰ πολύ. πολύ. Παραπρῖειν. παραπράττειν. Παραποιήσασθαι, παρασφραγίσαι. Παραπρονοῆσαι, ἐνθυμηθῆναι νοῆσαι.

Παραπομπὴ, μετακομιδή. Παραρρεῖν, φληναφεῖν.

Παραρρηταί, παραινετικοὶ σύμβουλοι. παραμυθητοί.

Παραρρητοῖσι, παραμυθητοῖς. Παραρύματα, δέρρεις. Παραρτίζεσθαι, παρασκευάζεσθαι.

Παραρυῇς, μετεωρισθῇς παραπέσῃς. Παράρυμα Σοφοκλῆς Πολυξένῃ. παρὰ ῥῦμα ἁπλῶς ὡς κρεμαμένων τινῶν ὑφασμάτων ἔξω τοῦ ἅρματος πρὸς κάλλος. τινὲς δὲ σχοινίον ἐν ταῖς ναυσίν, οἱ δὲ ὑποδήματα.

Παραρομίς, τὸ παρὰ τὸν ῥυμόν. Παραρυτεῖν, παρέχειν. Παραρρυώμεθα, ὀλισθῶμεν.

Παραρυόμενον, παραπεσούμενον παραρυέν.

Παρασάγγας, εἶδος μέτρου περσικοῦ. Παρασαγγιλόγοι, οἱ περὶ τοὺς διαγγέλλοντας οὕτω λέγονται.

Παρασάγγης. μέτρον ὁδοῦ τριάκοντα σταδίους ἔχον.

Παρασαρκῶσαι. ἐροῦ δὲ καὶ κάλλυντρον, ἢ κάλλωπον τὸ ἕτερον καὶ κόρειθρον καλεῖται. Παρασεσυρμένοι παρελκυσμένοι ὑποσκελισμένοι. Παράσημα,

τὰ ἐπίσημα: Παρασημαίνει, παραχαράττει παραδηλοῖ. Παράσημον, ἀδόκιμον κίβδηλον, ἀπὸ θύρου καὶ τῶν νομισμάτων τὰ κίβδηλα παράσημα λέγεται. Παράσιτοι: ἀρχὴ ἦν τὴν τοῦ ἱεροῦ σίτου ἐκδοχήν. Παράσιτος, κοσοτράπεζος.

Παρασιωπῶν, μακροθυμῶν. Παρασκευάζεται, εὐτρεπίζεται ἑτοιμάζεται. Παρασπάς, φυτὸν ἀπεσπασμένον. Παρασπάσασθαι, ἀφελέσθαι.

Παρασπίζουσα, συνοῦσα συνοικοῦσα. Παρασπιστής, παραστάτης ὁπλίτης. Παρασπονδήσας παραβὰς τὰς συνθήκας. Παρασπονδοῦντες, ἐχεραίνοντες πολεμοῦντες. Παρασπῶν, συλῶν.

Παραστάδες, οἱ πρὸς τοῖς τοίχοις τετραμμένοι κίονες.

Παραστάδον, ἐκ τοῦ σύνεγγυς: ἢ παραστάντες, ἢ παραστατικοί, ἢ κατὰ πρόσωπον, ἢ κατὰ τὸ εἶδος. Παρασταθμίδες, ἐπὶ θύρας τὰ πρὸς τοὺς στρόφιγγας.

Παράσταυνη, λόγχη. Παράστασις, φυγὴ καὶ τὸ φυγαδεῦσαι παραστήσασθαι. Παραστάται, τὰ ἀπὸ τῶν νεφρῶν ἀγγεῖα καὶ οἱ πρὸς τὰς ὤας σήμονες.

Παραστάτην, προστάτην. Παραστάτησον. παραστάτης γενοῦ νίκησον. Παραστατίς, ἀγγεῖον θερμαντικόν. Παραστέλλεται, ἀναστέλλεται. Παραστέλλων, ἀναστέλλων. Παραστησάμενος μετακαλεσάμενος. Παραστίζουσα, ἢ παραστίζων ἢ παραστιχεὶς ἐστὶ τοῦ ἀνακλυστοῦ καὶ ἀφιστρούντων τὰ ὀνόματα παράστικται. στόφρων δὲ κεντήματά φησιν. ἄλλοι ὡς ἀπόντα τινὰ παραστίζουσα σημειουμένη.

Παραστόρνυται, καὶ τὸ λεῖον ποιῆσαι ξίφος καὶ τὸ παράστρωτον. Παρασυνεβλήθη, ὡμοιώθη.

Παρασύρει, χαυνοῖ, παρατρέπει. Παρασυρέντες. παρασπασθέντες. Παρασύρω, παρατρέπω, καὶ τὰ ὅμοια. Παράσφιν ἢ παρὰ σφίσιν. παρ' ἑαυτοῖς. Παράσχασον, ἀναχώρησον. Παρασχεδιαζομένη, παραχαραττομένη. Παράταξις, πόλεμος. φάλαγξ καὶ ὄνομα. Παρατάσσεται, ἐν πολέμῳ αὐθίσταται. Παρατατικὸν, ἐκτεταμένος.

Παρατεθηγμαι. παρηκόνημαι παρωξύνθην.

Παρατεθηγμένος, ἠκονημένος. Παρατείνει. παρέλκει πλατύνει. Παρατεκτήναιτο, παρὰ τὰ ὄντα κατασκευάσειεν. Παρατινεῖς, ἀπλεῖς.

Παρατέτακται: ἡτοίμασται. Παρατηρημάτων ἐπιτηρήσεων παραφυλάξεων. Παρατούειον, αὐτίπανον κράσπεδον. Παραχαράκτης, διαστροφεύς, παραβάτης τῶν ἐντεθέντων νόμων.

Παρατηρημάτων, ἐπιτηρήσεων κλωποσισμῶν τε καὶ ἀπατήσεων. Παρατρέπει, παράγει.

Παρατρέχει, παρέρχεται. Παρὰ τὸ εἰκός, παρὰ τὸ δέον. Παρατρέψαι. παρενέγκαι διορθῶσαι.

Παρατρέψας, παρελάσας. Παρατροπαῖς, μεταβολαῖς. Παρατροπέων, παρατροπῶν παραλογιζόμενος. Παρατρύζει, παραφωνεῖ γρύζει.

Παρατρύζουσι, γογγύζουσι καὶ τὰ ὅμοια. Παρατρωπῶσι; παρατρέπουσι παραπείθουσι ἐπὶ ὀργῆς.

Παρατυχών, παρών. Παραυδᾶ, παραφωνεῖ παρηγορεῖ. Παραύλια, τὰ παρὰ τὴν αὐλήν, οἷον πρόχωρα. Πάραυλος, πάραυλος ἐλαυνόντων.

Παραγράψεται, οὐ παραδείξεται. ¶ Παραγυμνῶσαι, φανεροποιῆσαι. ¶ Παραγωγαί, ἀπάτου χρήσεις. ¶ Παραγαύδας, χιτὼν παρὰ πέρσαις.

Παραδέ, ἐγγὺς δέ. ¶ Παραδ' ἔδραμε, παρεμνήσθην.

Παραδειχθέν, φανερωθέν. ¶ Παράδειγμα, ὑπόδειγμα. ὃ παρασκευασθὲν ἔλαττον εἰς μείζονα.

Παραδειχθῶ, οὐ φαίνομαι. ¶ Παράδεισος, τίθεται ἐπὶ τῶν αἰσθητῶν, οἷός ἐστιν ἐν τοῖς περσικοῖς, ὁ τόπος ἔνυδρος ὅτι ἔνυδρος. ἐμοῦ περὶ παιδί. καὶ ἡ βασιλέως κατάλυσις. ¶ Πάρα δή σοι, πάρεστι δή σοι.

Παραδήμεο, παρακούσω. ¶ Παραδειγματίσαι, φανερῶσαι, θριαμβεῦσαι. ¶ Παραδίκη, παρὰ τὸ δίκαιον. ¶ Παρὰ δόξαν, παρ' ἐλπίδα, παρὰ προσδοκίαν. ¶ Παράδοξον, θαυμαστὸν ἀπροσδόκητον.

Παράδοξος, ὁ παρὰ δόκησιν λεγόμενος. ¶ Παράδοσις, ἄγραφος διδασκαλία. ¶ Παραδόσιον, διδασκαλεῖον. ¶ Παραδραθεῖν, παρακοιμηθῆναι.

Παραζηλῶν, παροξύνων παρεξιστῶν. ¶ Παραζωνίς, μικρὰ μάχαιρα. ¶ Παραθαλπόμενος, παραθερμαινόμενος. ¶ Παρακμάζων, παραμυθούμενος. ¶ Παραθεῖ, παραφέρει. ¶ Παράθεμα, ἐπίθεμα. ¶ Παραθέουσι, παραφέρουσι. ¶ Παραθήγειν, ἀκονᾶν παροξύνειν. ¶ Παραθήκη, παρακαταθήκη παράθεσις. ¶ Παραθεῖται, ἐκβάλλει.

Παρὰ θῖνα, παρὰ τὸν αἰγιαλόν. ¶ Παραθέντες ἐκβληθέντες. ¶ Παράθραυσις, κώπη τις ἐν ταῖς παραθρανίοις. ¶ Παραθραξίας, παραθραμείας.

Παραθεῖται, ἐκβάλλει. ¶ Παραβάται. οἱ ἐπὶ τῶν δίφρων ἑστῶτες μαχόμενοι οἱ κύριοι τῶν ἁρμάτων.

Παρ' αἰγείρου θέα, ἐρατοσθένης φησὶ ὅτι πλησίον αἰγείρου τινὸς θέα. αἴγειρος δέ ἐστι φυτοῦ εἶδος. ἐγγὺς τῶν ἰκρίων· ἕως οὖν τούτου τοῦ φυτοῦ ἐξετείνετο καὶ κατεσκευάζετο τὰ ἴκρια, ἅ ἐστιν ὀρθὰ ξύλα ἔχοντα σανίδας προσδεδεμένας, οἷον βαθμούς, ἐφ' αἷς ἐκαθέζοντο πρὸ τοῦ κατασκευασθῆναι τὸ θέατρον. ¶ Παράδοξος, θαυμαστὸς ἐπάξιος, καὶ ὁ παρὰ δόκησιν λεγόμενος.

Παραίλεως, ὄρος ἐγγὺς μαραθῶνος. ¶ Παραινεῖ συμβουλεύει. ¶ Παραιθήματα, τὰ ἀπὸ τῶν μικρῶν δακτύλων παρὰ τὸ θέναρ, ἤγουν ἐπὶ τὸν καρπόν.

Παραικάτια, αἱ ἐπὶ τοῖς ζεύγεσι τῶν ὁπλιτῶν τάξεις.

Παραίνεσις, συμβουλὴ. νουθεσία. σωφρονισμός.

Παραίπαιμα, παρακωπή. ¶ Παραὶ ποσί, παρὰ τοῖς ποσί. ¶ Παραίνυται, ὀλίγον ἀφαιρεῖται.

Παραιρήματα, παράμματα ἱματίων. ¶ Παραιροῦνται, ἀφαιροῦνται. ¶ Παραὶ ποσὶ κάππεσε θυμός, ἡ ἀθυμία καὶ κατέπεσε τῇ γνώμῃ ἢ ποσίν.

Παραισβάζειν, παρανενομημένως ἀπὸ τοῦ σέβου.

Παραίσιμα, ἀλλοῖα τῶν προσηκόντων. ¶ Παραπαρασχόντα, παραφέροντα. ¶ Παραίτησιν, παράκλησιν.

Παραίφασις, ἀπολογία. παραλογισμός· παραμυθία. συμβουλία. ¶ Παρηγορία, παραίνεσις. ¶ Παραιφάσθαι. τινάσσει πολλὰ παρακινεῖ καὶ τὰ ὅμοια.

Παραιφηλεύμεθα, παραιτόμεθα. ¶ Παρακαίρια, παράκαιρα. ¶ Παρακαταθήκη, ἐνέχυρον. ¶ Παρακατέλεκτο. παρακατέκειτο. ¶ Παρακεκλημένοι, παραμυθηθέντες παρακληθέντες. ¶ Παρακεκομμένον, ἄνανδρον.

παρὰ, παρανοεῖ. ¶ Παρακεκομμένον, ἄνανδρον.

Παρακεκρόαται, τῶν φρενῶν ἐλαττοῦνται.

Παρακελεύσασθαι, προτρέψασθαι. ¶ Παρακελεύουσιν ἐπιτρέπουσιν. ¶ Παρακεχόρδηκεν, παρήλλαχεν, παρήμαρτεν. ¶ Παρακεώμεθα, ἐγκείμενοι ὦμεν.

Παράκλητον. πνεῦμα λέγεται, ὡς τὰς παρακλήσεις τῶν ὅλων δεχόμενον. ¶ Παρακλόπεες, παραμυθηταί. ¶ Παρακληδόν, ἕνα παρ' ἕνα.

Παρακεκλημένος, παρατεταγμένος.

Παρακλιδόν, οὐδ' ἀπατήσω. ¶ Παρακλεῖδος ἱμάντα, παρὰ τοῦ ζυγώματος παρηγμένου κλείθρου. διὰ οὗ τὸν ἱμάντα ἐνιᾶσι. ¶ Παρακοᾶν, παρανοεῖν.

Παρακοίτης, ὁ ἀνὴρ καὶ παράκοιτις γυνὴ παρὰ τὸ πολλάκις. ¶ Παρακονᾶν, τὸ ἐν τῷ ἀσπάζεσθαι παρατρίβειν τὸ γένειον καὶ τὰς παρειάς. ¶ Παρακόπτει, μαίνεται. ¶ Παρακόρυσον, παρακάλλωπον.

Παρακοττεῖ, παραφρονεῖ. ¶ Παράκουσις, ἀπάτη παρενεγκεῖν. ¶ Παρακροτήσαντες, παραθαρσύναντες. ¶ Παρακροτῶν, παροξύνων. ¶ Παρακρούει. πλανᾷ, διαπατᾷ. ¶ Παρακρουσθέντες, παραλογισθέντες. ¶ Παρακρουσιχοίνικος, παραλογιζόμενος ἐν τῷ μέτρῳ. εἴρηται δὲ οὕτως διὰ τὸ κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν.

Παράκρουστος, μωρός. ¶ Παράκτης, ὁ τῶν κυνηγῶν τοὺς κύνας ἐπὶ τὴν θήραν ἄγων. ¶ Παρὰ κωφὸν ἀποπαρείην ἡ παροιμία. πρόδηλος δὲ αὐτὴ ἡ αἰτία παραλαλοῦντος. ¶ Παρὰ λαπάρην. παρὰ τὴν λαγόνα. ¶ Παραλέξαι, παρὰ τὸ τὰς ὑπερεχούσας ἐν ταῖς ὀφρύσι παραλέγειν. ¶ Παραληροῦντων, μωρὰ λαλούντων. ¶ Παραλία, ἡ ἀττικὴ ἔνθεν καὶ ἡ ναῦς πάραλος. ¶ Παραλία καὶ πάραλος καὶ παράλιος, παραθαλάσσιος. ¶ Παραλαλεῖ, φλυαρεῖ μὴ γινώσκων ἃ λαλεῖ. ¶ Παραλίτης, ὁ ἀπὸ τῆς παράλου. ὁ δέ ἐστιν ἱερὰ ναῦς. ¶ Παραλλαγῆς, ἐναλλαγῆς. ἀλλοιώσεως. ¶ Παραλλάξαι, διάβηθι, πάρελθε. ¶ Παραλλάξας, ἐνηλλαγμένως παρελθών. ¶ Παραλλήλαις, ἐγγὺς ἀλλήλων. ¶ Παράλληλον. ἀκόλουθον ὅμοιον τῷ μεταξύ. ¶ Παραλογισμός, ἀπάτη λογισμός.

Παραλογιστής, ἀπατεών. ¶ Παράλογον, ὁ λόγιστον.

Πάραλοι, οἱ τὴν πάραλιον οἰκοῦντες ἐπὶ ἀττικῆς.

Παραλουργεῖς, οἱ ἧττον ἔνδοξοι καὶ ἔντιμοι. ὥσπερ λέγει τις παραβαφής, ἁλουργὲς γὰρ τὸ ἐκ τῆς θαλαττίας πορφύρας ὕφος. ¶ Παραλοιῶ, παρακρατηθεὶς συνεχεθείς.

Παραλυθῆναι, ἀπολυθῆναι.

Παραλύομαι, παροιμιωδῶς, ἐπεὶ ὑπὸ τῶν πλουσίων οἱ πένητες παρελύοντο. ¶ Παραλώματα, τὰ ἔξωθεν. ¶ Παραλώματα, τὰ ἔξωθεν τῶν μητέρων σκεπάσματα. ¶ Παραμαρτών, ἀποτυχών.

Παραμήνας, παραναγνούς. ¶ Παραμήξας, παραλλάξας. ¶ Παραμεῦσαι, παραλλάξαι, ἐκτραπῆναι.

Παραμήνη, ἡ τῶν θεῶν μοῖρα. λυδοί. ¶ Παραμείψεται, γειτνιάσει. ¶ Παρ' ἄμμι, παρ' ἐμοί.

Παραμνείσω, παραμένοντι καὶ καταπραΰνοντι τὸ μένος ἤγουν δύναμιν. ¶ Παράμονος, καρτερός.

Παραμυθίαν, παράκλησιν. ¶ Παραμυθήσασθαι.

Π ἀνικρὸν, ἔρμι σπαστος στρατιώταις, ὥρα τοι νῦν μετ' ἐμοῦ χωρεῖν τοὺγκομπτῆρα λαβόντα, καὶ προσκεφάλαιον ἵν' ἐς τὴν ναῦν ἐμπηδήσεις ῥοθιάξης. ἀλλ' οὐ δέομαι πάνι κὸν ἔχων τοὐν πρῶκτον. ¶ Πάνιην, αὐτόχρουν ὁμό χρουν, λευκὸν καθαρόν. ¶ Πανίῳ δαίμονι, μανιώδει δαίμονι. ¶ Πανιώνιον ἱερὸν ἀπόλλωνος ἐν ἰωνίᾳ. ¶ Πάγκαλος, ὁ ἐξ ὅλου κατὰ πάντα καλός.

Π ανκαρπία, πανσπερμία. ¶ Παγκρατὴς. πάντων κρατῶν καὶ ἄρχων καὶ βασιλεύων. ¶ Πάντα, ὅλα.

Π ανύδας, ὁ ἀπὸ πλήκτρου καὶ ἀδολέσχης. ¶ Παννυχίη, δι' ὅλης τῆς νυκτός. ¶ Παννυχὶς, ἑορτὴ νυκτερινὴ. σὺν ὅλῳ τῷ οἴκῳ. ¶ Πανόλβιος, παμμακάριστος. ¶ Πανομφαῖον, πεφημισμένον ἢ ὁ τὰ κακὰ ἀποστρέφων. ¶ Πανομφαίῳ, παρ' ᾧ φήμη καὶ μαντεία ἀναφαίνεται, τουτέστι κληδών. ¶ Πανόπη, πόλις φωκίδος. ¶ Πανόπτης, πολυόφθαλμος, ζεὺς ἀγχοῖ. ¶ Πανόπτος, ὁ πανταχόθεν φαινόμενος.

Π ανορμίη, ἐπίθετον ἀπόλλωνος. ¶ Πανοσκῶλον, ὄνομα χίμαρος, ὅτι μὴ ἀπὸ σκώλου, ἢ πολλαχῶς ἄν ἔστι τί λέγεται χῆμα. ¶ Πανὸς σκότος, οἷον νυκτερινὸς φαντασίας. ¶ Πανήγυρις, σύνοδος, συμμιγὴς πληθύς. ¶ Πᾶν, ὁτιοῦν, οἷον δήποτ' οὖν. πᾶν τὸ τυχόν. ¶ Πανοῦργος, πάντα μανθάνων δόλιος, πάντα ἐν πονηρίᾳ ἐργαζόμενος. ¶ Πανουλεὶς, ἐξώλης.

Π ανούειος, πάντα ὄνειος. ¶ Πάνοψ, ἥρως ἀττικός. ἔστι δὲ αὐτοῦ καὶ νεὼς καὶ ἄγαλμα καὶ κρήνη.

Π ανόψιον, πάντων ὁρώντων πᾶσι συνάπτον. λαμπρόν

Π ανσαεία, πανοπλία. ¶ Πανσθενεστάτῳ, ἰσχυροτάτῳ. Πανσυδίη. ὁμοῦ πάντες

Π άντα κάλων σείει. παροιμία, ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. ¶ Πάντα κινήσας πέτρον, παροιμία.

Π άντα λίθον κινεῖν, παροιμία ἧς μέμνηται ἀριστοτέλης ὅτε γὰρ ξέρξης ἐπὶ τοὺς ἕλληνας ἐστράτευσεν, ἡττηθεὶς περὶ σαλαμῖνι. ¶ Παμπήνα, ξυβλίον.

Π άντα δ' ἀπὸ πλευρῶν χρόα ἔρρεθεν. οὐ κατὰ βάθους ἔτρωσεν, ἀλλ' ἀπεῖρξε τοῦ χρωτὸς καὶ τῶν πλευρῶν τὸ δόρυ. ¶ Παντὲ πασι, παντελῶς ὅλος.

Π ανταρκέα, πᾶσι βοηθόν. ¶ Παντάρκης, ὁ πᾶσιν αὐταρκῶν. ¶ Παντάσκιος, ὁ πάντοθεν σκιὰν οὐκ ἔχων. ¶ Πανταχῶς, πάντα τρόπον.

Π αντελὲς, παντελῶς, ὁλοτελῶς.

Π αντελὴς. ὁλοτελὴς, καὶ παντεπόπτης ὁ πάντα καθορῶν. ¶ Πάντες, ἀντὶ τοῦ οἱ πλεῖστοι.

Π άντεσιν, ὑπὲρ πάντων. ¶ Παντευχία, πανοπλία

Π άντη, πάντως. πανταχοῦ. πάντοθεν. ¶ Πάντη τε, πάντως. ¶ Πάντη, πανταχοῦ ἑκάστῳ. ¶ Παντὶ σθένει, ὅλῃ πάσῃ δυνάμει. ¶ Παντί τῳ, παντὶ τινί,

Π αντοδαποῖς, διαφόροις. ¶ Παντοδαπὸς, παντοῖος σύμμικτος. ¶ Παντοδαπῶν, παντοίων καὶ διαφόρων. ¶ Πάντοθεν, πανταχόθεν ἐξ ἑκάστου τόπου.

Π αντόθι, πανταχοῦ. ¶ Παντοίων, πάντων πολυτρόπων. ¶ Παντοκράτωρ, ὁ θεός. πάντων κρατῶν.

Π αντομάντειραι, μοῖραι. ¶ Πάντοσε, εἰς πάντα τόπον πανταχοῦ. ¶ Πάντοσ' ἐΐσης, πανταχόσε στρογγύλης. ¶ Παντόνια, παντοδαπά. ¶ Πάντων, πάντως. ¶ Πάντων, ὑπὲρ πάντας. ¶ Πάντων ἐκπαγλότατε, ὑπὲρ πάντας ἐκπληκτικώτατε.

Π άντως, ἴσως δυνάμει ἀληθείᾳ κυρίως. ¶ Πάντως θαρσαλέη, κατὰ πάντα θρασεῖα. ¶ Πανυπερτάτη, πασῶν ὑπερκειμένη τῶν παρακειμένων νήσων.

Π ανυπείροχον, πάντων μέγιστον. ¶ Πάνυασα, ψόφος ἀναπίσμη, ἢ ἡ κειρίαν. ἢ τὰς τρίχας ἀναλαμβάνουσι. ¶ Πανίσταθον, πάντων ἔσχατον. ¶ Παννυχίους, δι' ὅλης νυκτός. ¶ Πάντη τε καὶ πάντως, κατὰ λόγον καὶ τρόπον παντός. ¶ Πανώλεθρον, ἐξώλες πανώλες. ¶ Πανώλης, πανόλεθρος, ἐξώλης ἀπολλύμενος

Π άξ, ὑπόδημα εὐυπόδητον, ἢ τέλος ἔχειν. ¶ Παξοίνης οἱ κατὰ ἰταλίαν. ¶ Παππάζοιεν, παρακαλοῖεν.

Π απαῖδην, παντελῶς. ¶ Πάπας, πατρὸς ὑποκόρισμα. ¶ Πάππα, προσφώνησις παιδὸς, πρὸς πατέρα. ¶ Παπαὶ, σχετλιασμός. ¶ Παππάζοιεν, πατέρα καλοῖεν. ¶ Παππάζουσιν, πατέρα προσαγορεύουσιν. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῶν παιδίων, ἃ τοῖς πατράσι λέγει πάππα. ¶ Πάππος, ἄκανθα ἐπὰν γηράσῃ καὶ ἀποξηρανθῇ καὶ ὑπὸ ἀνέμων ἐκριπίζεται καὶ τόπον ἐκ τόπου μεταβάλλει. σημαίνει δὲ καὶ ὀρνέου εἶδος, καὶ πατρὸς ἢ μητρὸς πατέρα, καὶ τὴν ὑπὸ τοῦ γενείου τρίχωσιν. ¶ Παπταίνειν, περιβλέπειν, πάντη παπταίνοντα, ὁρῶντα. ¶ Παπταίνει, περισκοπεῖ. ¶ Παπτήνας, περισκοπήσας.

Π άρα. ἐγγύς. πάρεστι. ¶ Παραβαίνοντας, ἀρνητικοὺς ἢ μὴ εὐθέως βαίνοντας. ¶ Παραβαλεῖς, ἀπατήσεις. παραθήσεις, παραδώσεις. ¶ Παραβαλλόμενοι, ἐξαπατῶσαι, παρακατατιθέμεναι.

Π αραβαλλόμενος, ἐναποκινδυνεύων, ἢ ἐπὶ παράβολος μαχόμενος. ¶ Παράβολον, παράδοξον.

Π αραβαλοῦ, ἀνάπαυσαι, ἀπὸ δὲ τῶν νεῶν ἡ μεταφορά.

Π αραβαλῶ, συγκρινῶ. ¶ Παρὰ θεῷ, ὅμοιον.

Π αραβαλὼν, ὁμοίως παραθείς. ¶ Παραβεβαῶτες παραβεβηκότες. ¶ Παραβλέπων, στραβός.

Π αραβλήδην, ἀπατηλικῶς. παραλογιστικῶς. ἐξ ἀντιβολῆς παραβάλλοντες. ¶ Παραβληθησόμενος συγκριθησόμενος. ¶ Παραβλητικὸς, παραβάλλων

Π αραβλῶπας, παρορῶντας.

Π αραβλῶπες, ὁμοίως διάστροφοι τὰς ὄψεις διαστρέφοντες καὶ παραβλέποντες. ¶ Παραβολὴ, πραγμάτων ὁμοίωσις. ¶ Παραβουλευσάμενος, εἰς θάνατον ἑαυτὸν ἐκδούς. ¶ Παραβραβευθεὶς, καταφρονηθεὶς παραμεληθείς. ¶ Παραβραβεύων, παρακρίνων. ¶ Παραβύουσιν. παρακαμμύουσιν.

Π αράβυστον. λάθρα γινόμενον ἀπόκρυφον, ἀποκεκρυμμένον, ἢ μικρὸν κλινίδιον παρατιθέμενον τῷ μεγάλῳ ἔνιοι δὲ δικαστήριον οὕτω καλούμενον. ¶ Παρασάγγας, εἶδος μέτρου περσικοῦ. ¶ Παρ' ἀγαυοῦ τιθωνοῖο, παρὰ τοῦ λαμπροῦ τιθωνοῦ. ¶ Πάραγε, ἐγγὺς δὲ, ἢ κόψον. ¶ Παράγει, παρέρχεται, παραπέμπεται φυλάσσεται, εἰσπορεύεται.

Π αραγκωνίσασθαι, ἀποστρέψαι. ¶ Παραγόρευσιν. ἄρνησιν. ¶ Παραγράφεται, ἐκβάλλεται.

Π αραγραφὴ. ζημία. ¶ Παραγράψαι, ὃ ἡμεῖς λέγομεν διαγράψαι, καὶ τὸ ἐκ παραδόσεως λαβόντα διὰ γραμμάτων τοῦ παρεδρίου πιστώσασθαι.

Π αλίωξις, ἡ ἐξ ἀποστροφῆς δίωξις. ὅταν οἱ πρότερον φεύγοντες ἔμπαλιν διώκται γίνωνται. ¶ Πάλκος, πηλός. ¶ Πάλλα, σφαῖρα, ἐκ ποικίλων νημάτων πεποιημένη. ¶ Παλλάδος πρόσωπον στατήρ. ἐπεὶ μὲν ἑνὸς μέρους ἀθηνᾶς πρόσωπον, ἐπεὶ δὲ θατέρου τὴν γλαῦκα. ¶ Παλλάκιον, μειράκιον. ¶ Παλλακός. ἐρώμενος. ¶ Παλλάντιος, ζεὺς ἐν τραπεζοῦντι. ¶ Παλλαντὶς, ἡ τριτωνὶς λίμνη. ¶ Παλλὰς ἀθηνᾶ ὁ παίουσα τοὺς αὐλούς. ¶ Παλλάσσειν. ταράσσειν βρέχειν μολύνειν. ¶ Παλλάγανον, κρόμμυον ἀσκαλώνιτον. ¶ Πάλλον, ἔλαβεν ἐκράδαινεν.

Π άλλει. κινεῖται, ἅλλεται. ¶ Πάλλειν, κινεῖν, πηλᾶν, κληροῦν κραδαίνειν στρέφειν. ¶ Πάλλεται, πηλᾶ σείεται καὶ τὰ ὅμοια. ¶ Πάλλεσθαι, κληροῦσθαι, ἅλλεσθαι. ¶ Πάλλευκον, αὔημερον. ¶ Παλλωνία, ἡ ἀθηνᾶ ἐν χαλκίτη. ¶ Παλίλια ἀγὼν, οἱ μὲν τοῦ πάλητι, ἔνιοι δὲ τοῦ πανί. ¶ Πάλληξ βούπαις.

Π αλλιχίαν, πιμμάτιόν τι παρὰ λάκωσι. ¶ Πάλλεται, πηλᾶ, σείεται κραδαίνεται, κινεῖται, σφύζει.

Π άλλον, ἔσειον καὶ τὰ ὅμοια. ¶ Πάλλων, κινῶν, ταράσσων. ¶ Παλλομένων, κληρουμένων. ¶ Παλλύτας, ὄργανον βασανιστήριον ¶ Πάλμη, γέῤῥον.

Π αλμὸς, τρόμος σεισμὸς καὶ τὰ ὅμοια. ¶ Παλμυδὸς βασιλεὺς πατήρ. οἱ δὲ πάλμυς: ¶ Παλμύτης, αἰγύπτιος θεός. ¶ Πάλνης, πλάνης, ἀπατής.

Π αλλοῖα, τὸ μὴ τυχεῖν βάλλοντα. ¶ Πάλλος κλῆρος ἀπὸ τοῦ πάλλεσθαι πρὸς τὴν ἄρνησιν τοῦ λαγχάνοντος καὶ τὸ, κλήροις δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες. πάλλος ἐξέθυξεν. ¶ Παλλουμένων, κληρουμένων

Π αλτὰ, ἀκόντια λόγχαι. ¶ Πᾶλαρ, ὅλαρ ἀπεῖδη.

Π άλτον, κληρωτήριον. ¶ Παλτῶν, ἀκοντίων.

Π αλύνας, τὸ λεπτὸν τῆς γῆς ἐπιβαλὼν τὴν λεγομένην χύτην. εἴρηκε δὲ ἀπὸ τοῦ ἀλεύρου, ἐπεὶ δ' ἄλφιτα λευκά παλύνειν, πάσσειν. ¶ Παμβῶτις τύχη ἐλπὶς παντρόφος. ¶ Παμισὸς, ποταμός.

Π αμμάκαρ, κατὰ πάντα μακαριστός.

Π αμμέγεθες, λίαν μέγα. ¶ Παμμελέσιν, ἐμμελέσι γλυκεροῖς. ¶ Παμμήστορα, πάντων τεχνίτην.

Π άμπαν, παντελῶς ὁλοτελῶς. ὁμοίως ὄντως.

Π άμπανον, ὁ δημήτηρ ἐν ἡρακλείᾳ.

Π αμπήδην, ὁλοσχερῶς, παντελῶς. ¶ Παμπησία, πᾶσα ἡ ὕπαρξις. ¶ Παμποίκιλος, πολύτροπος.

Π άμπρωτον. πάντων πρῶτον. ¶ Παμφάνος, πάντα σεσηπνῶν. ¶ Παμφαὴς, φαιδρότατον πάντα φωτίζον. ¶ Παμφαίνειν, λάμπειν, στίλβειν, ἀστράπτειν.

Π αμφαλύζει. τρέμει. ¶ Παμφανάα, λάμπει.

Π αμφανόωντα, λαμπρὸν πάντοθεν λάμποντα.

Π αμφαοῦς, πάντα φωτιζούσης. ¶ Παμφθόγγω, παμφθόνω. ¶ Πάμφιλ, παντά πασι. ¶ Παμφίδης. γυναῖκες ἀθήνησιν ἀπὸ πάμφου τὸ γένος ἔχουσαι.

Π αμφόρω, πάντα φέροντι. ¶ Παμμοχίων. κεκτημένος. ¶ Πάμωχος. ὁ κύριος ἰταλοί. καὶ ἡ δίκας καὶ τὸ φιλεῖν τοῦ στόματι τὰ παιδία καὶ τὸν πατέρα.

Π ᾶν ὅλεν, τὸ πᾶν τὸ ὅλον. ¶ Παναγῆ, καθαρὰ ἅγια.

Π αναγὴς, καθαρὸς, κατὰ πᾶν ἁγνός. ¶ Παναγιστίας, πανιερίας. ¶ Πάναγρα, παμάγρια, ἐνὸις τὰ λεπτὰ ἀθρόα θηρεύεται. ¶ Πανάγρου, τοῦ πάντα ἀγρεύοντος. ¶ Παναθηναία, ἡ τῶν ἀθηναίων ἑορτὴ καὶ ὁ ἀγών. ¶ Πανακεῖς, ἀθήνησι ἱέρειαι.

Π αναίθησιν, ὅλαις λαμπραῖς. παναίθησι κορύθεσι.

Π άναιθον, λαμπρόν. ¶ Παναίθαλος, πάντα ἀπεχαίτηρος. ¶ Πανάιγυλος, πανκακοῦργος. ¶ Πανακεία, ἱέρεια ἥτις οὐ μίσγεται ἀνδρί. ¶ Πάναινοι, ἔθνος θράκιον. ¶ Πανάιολος, παμποίκιλος. ¶ Πανακεία, θεραπεία. ¶ Πάνακες, βοτάνη τίς. ἡ πολλοῖς ὀνόμασι καλεῖται. ¶ Πάνακρος, ὁ ὀρίγανος καὶ τόπος ἐν τῇ ἀττικῇ. ¶ Πανάλκης, ἰσχυρὸν παντοδύναμον. ¶ Πανάμερος, δι' ὅλης ἡμέρας. ¶ Πανάμωμος, ἄριστος. ¶ Πανάποτμος, ἀθλιώτατος, κατὰ πάντα κακόποτμος. ὃ ἐστι παντελῶς κακόμορος

Π αναρμόνιον, εἶδος ὀργάνου, ἐξ ὅλου πεπηγμένον, ἁρμονία γὰρ ἡ εὔτακτος ἀκολουθία.

Π ανάργυρον. ὅλον ἀργυροῦν. ¶ Πανασκηθέα. πάντα ὑγιῆ. ¶ Πανάφηλικα, πάντων ὁμηλίκων ἀπολελαμμένον ἐκ τέως. ¶ Παναχαιῶν, πάντων ἑλλήνων

Π αναώριον, πάντων ἀωρότατον καὶ ἄμοιρον, ὁ κατὰ πάντα ἄωρον. ¶ Πανδαισία, ὁ πάσας τὰς αἰσθήσεις ἡδονὰς παρέχουσα εὐωχία ἢ πολυτελὴς τράπεζα. ¶ Πανδαισίαν, τὴν παντοδαπὰ ἐδέσματα καὶ πολυτελῆ ἔχουσαν τράπεζαν. ¶ Πανδαμάτωρ, ὁ πάντας δαμάζων. ¶ Πανδαμικοὶ, παιδικοὶ χιτῶνες ἐν ταῖς πομπαῖς. ¶ Πάνδια, ἑορτὴ ἀθήνησι

Π ανδερκεῖς, πάντα ὁρῶντες. ¶ Πᾶν δ' ἦμαρ, δι' ὅλης δὲ τῆς ἡμέρας. ¶ Πανδημεὶ, σὺν παντὶ τῷ δήμῳ.

Π ανδήμιος, ὁ καθ' ὅλον τὸν δῆμον ἀναστρεφόμενος

Π ανδήμου, δημοσίας κοινῆς. ¶ Πανδοκίον, πανδοχεῖον. ¶ Πανδὸξ, ὁ ἐν πανδοχείῳ οἰκῶν. ¶ Πανδοῦρα, ἡ πανδουρὶς, ὄργανον μουσικόν. πάνδουρος δὲ ὁ μεταχειριζόμενος τὸ ὄργανον. ¶ Πανδοσία, πόλις τῆς ἠπείρου καὶ ἰταλίας. ¶ Πανδοχεὺς, ἐπιτήδειος ὁ πάντας δεχόμενος. ¶ Πανδώρα, ἡ γῆ ὅτι τὰ πρὸς τὸ ζῆν πάντα δωρεῖται, ἀφ' οὗ καὶ ζείδωρος καὶ ἀνησιδώρα. ¶ Πάνεια, κεχορτασμένη. ¶ Πανείπας, ἀναιδής. ¶ Πανέξαλλον, ἐν πᾶσιν ἀλλότριον

Π ανείολος, παμποίκιλος. ¶ Πᾶνες, οἱ ἑαυτοὺς λακόντας σφοδρῶς περὶ τὰς συνουσίας ἔλεγον.

Π ανέψιον, πᾶσι συναπτόν. ¶ Πανήγυρις, ἔπαινος ἑορτὴ θεάτρον. ¶ Πανόδαμον, τὸ βίου. ¶ Πανημέριος, οὐχ ὁ δι' ὅλης ἡμέρας, ἀλλ' ὁ ἀφ' οὗ τις ἂν ἄρξηται μέρους, ἢ καὶ δι' ὅλης τῆς ἡμέρας καταχρηστικῶς

Π ανήρεα, πᾶσιν ἀρέσκοντα. ¶ Πανηρείαισι, κατὰ πάντα ἡρμοσμέναις. ¶ Πανῆρες, πᾶσιν ἀρέσκον, ποικίλον. παμμήχανον. ¶ Πανόπορος, πανάπορος ἐνδεής. ¶ Πάνθρῳ δήμῳ, παῤῥησίαν ἄγοντι δήμῳ, πάντα θροοῦντι ὥστε μηδὲν ὑποστέλλεσθαι.

Π ανθρύλλιον, τὸ πάντα θρυλλοῦν. ¶ Πανθύλλιον, μονογενὲς τοῖς τέξοις ἢ σφονδόναις. ¶ Πανθυμαδόν. πάσῃ τῇ ψυχῇ, ἢ παντὶ τῷ θυμῷ. ¶ Πάνθ' ὑπὸ μηνιθμὸν περὶ πάντα τὸν ἐπιμόνιμον χρόνον.

Π ανία, ἡ πελοπόννησος. ¶ Πανίας βόσας, ὡς ἀπὸ τοῦ πανὸς αἰσχύλος καλλιστοῖ, καὶ ὁ λευκὸς πάντη, ἢ ὁ λευκὸς πάντη καὶ καθαρὸς. καὶ ὁ μέλας καθαρός.

Π ακοτή, ἀποσκοπή. ¶ Πακτά, ἡρμοσμένα πεπορπημένα. ¶ Πακτωλός, ὄνομα ποταμοῦ. ¶ Πάλα, ζώνη. ¶ Πάλαι, ποτέ. ¶ Παλάθη, ἡ τῶν σύκων ἐπάλληλος θέσις. ¶ Παλάθαι, σύκων μαζία.

Π αλαία, ἀλφιτισμός, οἱ δὲ πόσιν σίτου. ¶ Παλαιγενεῖς, πρεσβῦται. ¶ Παλαιαθέα, παλαιᾶς θεοῦ.

Π αλαιοθέτης, παλαιοπράγμων, ἀρχαϊκός.

Π αλαιετής, πρεσβύτης ὁ συνήθης ὁ παλαιετής.

Π αλαιόν, ἀρχαῖον, σαθρόν. ¶ Παλαιός, ὁ ταῖς φρεσὶν διεφθαρμένος, ἤλη ἄφρων, ὁ καὶ ἠλίθιος.

Π αλαίμων, ὁ ἡρακλῆς. ¶ Παλαίωρ, μωρός.

Π άλαι πεπρωμένον αἴσῃ περὶ πολλοῦ. ὑπὸ τῆς εἱμαρμένης ἐπὶ μοίρας, εἰς τέλος ἀχθέντα τοῦ βίου.

Π αλαιπόλις, ἡ παλαιὸμ ἄργος. ¶ Παλαισμα, κακοτεχνία. ¶ Παλαισμοσύνη, πάλη. ¶ Παλαιστή, παλάμη. ἡ τεττάρων δακτύλων μέτρον, ἢ ἡ σπιθαμή. ¶ Παλαίστρα, ὅπου οἱ παῖδες ἀλείφονται.

Π αλαιτέρων, παλαιοτέρων ἱστοριῶν. ¶ Παλαιφάτου πάλαι ἐσθιομένης. ¶ Παλαίφατα, ἐκ παλαιοῦ χρόνου πεφατισμένα, ὅ ἐστι μεμαντευμένα. οἱ δὲ πάλαι τέλος ἔχοντα. ¶ Πάλη, ἀγών. ¶ Παλαιός, ῥάπισμα καὶ παλαιά. ¶ Παλαιῷ φωτί, πρεσβύτῃ γεγονότι. ¶ Παλακῖνος, πολεμιστήριος. ¶ Παλάμαι, αἱ χεῖρες καὶ αἱ τέχναι, ἐπεὶ δι' αὐτῶν πολλὰ μανθάνεται. ¶ Παλάμη, τέχνη, χείρ. ¶ Παλαμήσας, τεχνάσας, ἐργάσας. ¶ Παλαμήσασθαι, τεχνώσασθαι καὶ τὰ ὅμοια. ¶ Παλαμίς, τεχνίτης, παρὰ τοῖς παλαμνίοις. ¶ Παλαμέων, τεχνῶν.

Π αλαμναῖος, ἀποτρόπαιος σκληρὸς φονεὺς ὁ αὐτοχειρίᾳ τινὰ ἀνελών, ὁ αἰσχυνόμενος μιάσματι οἰκείῳ.

Π έλανον ἀφρόν, πεπηγότα ἀφρόν. ¶ Παλάξαι. βρέξαι, ἔνθεν καὶ πηλὸς ἡ βεβρεγμένη γῆ, ἢ μαλάξαι συνθράσαι. ¶ Παλάσσετο, διεβρέχετο, ἐφύρετο, ἐμολύνετο, ἀνεπίμπλατο, ἐμαλάσσετο. ¶ Παλασία, τὰ συγκεκομμένα σῦκα καὶ διὰ τοῦ θ παλάθια καὶ παλάθη. ¶ Παλαστῶσαι, χειρονομῆσαι. ¶ Παλάχη, ἀρχή, λῆξις μοῖρα γωνία. ¶ Παλαχόθεν, ἐκ γωνίας, ἐκ παλαιοῦ. ¶ Παλαίστρα, ἀγωνία. ¶ Παλεύεται, θηρεύεται ἀγρεύεται. ¶ Παλεύσας, τὰ αὐτά. καὶ ὑπαπατώμενος. περὶ τὸν ὀρνίθων παλεύσας. μετήκται ἡ λέξις ἀπὸ τῶν περιστερῶν, λέγονται γὰρ παλεύτριαι αὗται, αἳ ἐξαπατῶσι καὶ ὑπάγουσι πρὸς ἑαυτὰς ὄρνιν ἐνεδρεύουσαι. ¶ Παλευταί, οἱ τὰ λίνα ἱστῶντες, οἷς τὰ θηρία παλεύεται. ¶ Παλημάτιον, τὸ λεπτὸν ἄλευρον. ¶ Πάλη, ἄλευρα καὶ ἀπὸ λόγου τὸ λεπτότερον τοῦ ἀλεύρου. ¶ Παλαμναῖος, φονεὺς αὐτόχειρ θεῷ μεμιασμένος. ¶ Παλήσειε, διαφθείρειε. ¶ Παλιτούτη, πλίνθος.

Π άλθεις, τόξοις σφενδόναις. ¶ Παλίβολος, ἄστατος εὐμετάβολος, ὁ εὐμετάβλητος. ¶ Παλιλλόγεω, βλασφημέω. ¶ Παλιγκάπηλος, ὁ μετάβολος, ὁ τὰ αὐτὰ ἀεὶ ἀγοράζων καὶ πωλῶν. ὡς παλίνδουλος ὁ πολλάκις δουλεύσας. ¶ Παλίγκλαστον, σκολιόν, ἀνώμαλον, δύστροπον. ¶ Παλίγκοτα, οὐκ ἀξιόχρεα ὀργίλα ἐχθρὰ καὶ τὰ ὅμοια. ¶ Παλιγκώα, πλάνη.

Π αλίζεσθαι, σφυγμίζειν. ¶ Παλικοί, ἀδελφῷ δύο γεννῶνται υἱοὶ παλικοί. οἳ νῦν τῆς συρακουσίας εἰσὶ κρατῆρες οἱ καλούμενοι παλικοί, οἱ καὶ κατῳκήσαντες αὐτῇ.

Π αλίλλογα, παλινσύλλεκτα. ¶ Παλιλλογία, ταυτολογία. Παλίμβιος, ὡς ἐξαναβάσεως.

Π αλίμβολον, κήρυκα. τινὲς τὰ ἐναντία βουλευόμενον οὐκ εὐγνώμονα γὰρ δηλοῖ. ¶ Παλίμβολος, ἀκατάλληλος, ἀνάρμοστος ἀπείθαρχος ἢ τρόπος ὁ πολλάκις ἐπὶ μεταβολὴν ἀπημπολημένος, κοῦφός τε καὶ οὐ βέβαιος, ἀκατάλληλος. ἀπ' ἄλλου εἰς ἄλλον μεταβαίνων. ¶ Παλίμβολος, ἀδόκιμος καὶ ἐλεύθερος.

Π αλιμπετές, εἰς τοὐπίσω πεπτωκός. ¶ Παλιμπετής, ὀπισθόρμητος ἢ ἐναντιοπετής. ¶ Παλιμπλαγχθέντας, ὀπίσω πλανηθέντας, οἷον ὑποστρέψαντας εἰς τοὐπίσω, ἢ πλανηθέντας. ¶ Παλιμπαίροις, βάκχοις.

Π αλιμπρυμνηδόν, οἷον παλίμπρυμνον χρῆσιν πρόσθεν εἰς τοὔμπροσθεν ἀνακάμπτουσα ὡς τὰς πρύμνας κρούσαι. ¶ Παλιμπαγηδόν, τὸ εἰς τοὐπίσω ἀνακλίζειν.

Π αλίμφημα, κακόφημα δύσφημα βλάσφημα.

Π άλιν εἰς τοὐπίσω ἀδέσποτος. τὸ πλεῖον πάλιν τοπικῶς χρῆσθαί φησι τὸν ποιητὸν καὶ οὐχ ὡς ἡμεῖς χρονικῶς. ¶ Παλινάγγελος, ὁ ἐξ ὑποστροφῆς ἄγγελος, ὅταν ἀπαγγείλας τινί, ἀπὸ τούτου ἑτέρῳ ἅ φησιν ἐπιφέρει. ¶ Παλινάγρετα, εὐμετάβλητα τὰ χαρίσματα τὰ ἐκ μεταμελείας πάλιν ἀναλαμβανόμενα.

Π αλινάγρετον, παλίλλυτον μεταμελητέν. ¶ Παλινάγρετον, ἐπισκευασμένον καὶ οἷον ἐκ παλαιοῦ κεκαινοποιημένον παλινσύγγραπτον. ¶ Παλινδρες, παλίγνωστον. ¶ Παλινδινία, ἡ ἐξ ὑποστροφῆς ὑδάτων.

Π αλινδικεῖ, ἐπισυνάπτει δίκην. ¶ Παλινδικία, ἡ ἐξ ἀρχῆς δίκη. ¶ Παλιγγενεσία, τὸ ἐκ δευτέρου ἀναγεννηθῆναι. ἢ ἀνακαινισθῆναι. ¶ Παλινδίνητον, συνεχές. ¶ Παλινδορεία, τὸ σκῦρος πλάτων συγγραφικὸς καὶ μωμοθήρας. παλινδορείαν παίσας αὐτοῦ καταθήσω. ¶ Παλινδρομεῖ, ἀνατρέχει, ὑποστρέφει.

Π αλινδρέει, ἐναντιοῦσθαι τῇ αὐτερεῖ. ¶ Παλίνορσος, ὀπισθόρμητος πάλιν ὑποστρέψας. ¶ Παλινδίκη, ἡ ἐξ ὑποστροφῆς λεγομένη δίκη. ¶ Παλιμπλάγκτοισιν, ὀπισθορμήτοις. ¶ Πάλιν οἰωνίαι, ἐκ δευτέρου μαντεῖαι. ¶ Παλίνσιττα, ἐφ' ἣ σίττα. ¶ Παλινστάγης, χεῖρα γυιώ. ¶ Παλίσκιος, σύσκιος, σκοτεινὸς ζοφώδης. τὸ δὲ πάλιν ἐνιαχοῦ ἐπίτασιν δηλοῖ ὡς παλινκάπηλος. παλίμπρακτος. ¶ Παλίντιτα, ὀπισθότιτα, ὅ ἐστιν, ἐξ ὑποστροφῆς τιμωρίαν δώσοντα.

Π αλίντονα, ὀπισθότονα, ἢ τὰ ἐπὶ θάτερα στρεφόμενα.

Π αλιντριβεῖ, κακεντρεχεῖ. ¶ Παλιντροπάασθαι, εἰς τοὐπίσω τρέπεσθαι. ¶ Παλινοστήσας, εἰς τοὐπίσω ἐπανελθών. ¶ Παλινῳδίαν, ᾠδὴν τῇ προτέρᾳ ἐναντίαν. ἢ δόγμα τοῦ πρώτου ἐναντίον. ¶ Παλίνωξις, ἡ ἐξ ὑποστροφῆς δίωξις. ¶ Παλινώροις, ἄκοντας. ¶ Παλίμωρον, εἰς τοὐπίσω ἐξέκλασεν καὶ ἐξέβαλεν ἀπὸ τῶν ἐκκοκκιζομένων ῥοιῶν. ¶ Παλίουρος, κάδος, ἀντλητὸρ καὶ τὸ θαμνῶδες δένδρον.

Π αλιρρόθιον, παλιρρόθου, ἐκ τοῦ ὄπισθεν ὁρμηκός, ἢ εἰς τοὐπίσω φερόμενον. ¶ Παλίρρυτον, εἰς τοὐπίσω ἑλκόμενον. ¶ Παλίσσυτοι, ἀναχωρήσαντες.

Π αλίσσυτον, ἐξ ὑποστροφῆς.

ΑΡΧΗ ΤΟΥ Π ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Α.

Παμύλης, αἰγύπτιος θεὸς πριαπώδης, κρατῖνος ὁ νεώτερος ἴασιν, ὡς σφοδρῶς. ὁ αἰγυπτιώδης στοιχεῖς, παμύλης. ¶ Παάτης, οὗτος ποτήρια τινὰ τοῖς ἀθηναίοις ἐπεμψε δῶρα. λεύκων φράτορσιν. ἅτερ ὁ μεγακλέους ὑπάτου πάτυλος ὑπέρβολος τὰ ἐκπώματα κατεβέβλοκε. ¶ Παγαίη, κύων, σκυθιστί. ¶ Πάγανα, σφύρα, καὶ ὁ ἀργὸς ἐπάγη.

Παγανός. ἰδιώτης, ἄφρων. ¶ Παγάς, γῆ τις ἀπὸ τῶν γεωργικῶν. ¶ Πάγασαι θύρα, καὶ πάσσαι.

Παγασίτης, ἀπόλλων παρὰ ἀχαιοῖς, ἐν παγασαῖς καὶ παρὰ θετταλοῖς. ¶ Παγετός, κρύσταλλος ψῦχος, κρημνὸς σκόπελος. ¶ Παγετῷ, ψύχει κρυμῷ.

Παγί. παγίς, ποδάγρα βρόχος.

Πάγη δέ τις, παγίς δέ τις. ¶ Πάγην, παγίδα, ἢ ὑψηλὸν τόπον. Παγῆναι, στερεωθῆναι.

Παγγᾶς, πλάνος. ¶ Πάγιον, στερεὸν πιστὸν κάρχον βέβαιον ἀσφαλές. ¶ Παγκονὸς, ὁ ἐξ ὅλου ποδείας καὶ λικμισμοῦ κονιορτός. ¶ Παγκαρπία, πανσπερμία. ¶ Παγκράδη, ἀπὸ τοῦ κράδης τῶν σύκων.

Παγκρατής. ζεὺς ἀθηναῖοι. ¶ Παγκρατιάζειν, τὸ παγκράτιον, τὸ αὐτό. τὸ ἐκ τοῖς πλησιάζειν. καὶ τὸ κιχόρειον ὅ ἐστι πόα, ἢ διὰ παντὸς παγκρατιασταὶ ἀθλεταὶ πύκται. ¶ Πάγκυφος, ἐλαίας εἶδός τι κατακεκυφὸς καὶ ταπεινὸν ἐν τῇ ἀκροπόλει. ¶ Παγκαλός, ὁ ἐν ἀρθροῖς ἀστράγαλος. ¶ Παγλαδία, ἑορτὴ παρὰ ῥοδίοις ὅταν ἡ ἄμπελος τμηθῇ. ¶ Παγόν, ἐν τείχει τετειχισμένον ἐν ὄρει. ¶ Πάγοι, αἱ ἐξοχαὶ τῶν πετρῶν καὶ τῶν ὀρέων. ¶ Πάγος, ὄχθος, βουνὸς, ψῦχος. ¶ Παγούρ, μάρμαρος, ὁ μικακύς.

Πάγουρος, εἶδος καρκίνου. ¶ Πάγχαρος. ζεύς.

Πάγχυ, παντελῶς πάνυ ἀσφαλὲς βέβαιον.

Παγχυρισμός, πολυσύγκειτος.

Παγῶν, πηγῶν. ¶ Παδοχέαι, σχίζαι.

Παθήματα, συμφοραί. ¶ Παθαίνεσθαι, δεινοπαθεῖν

Παθιώτατο, συγγενοῦς τελευταίου.

Πάζιον, ἢ τοπάζιον λίθος πολύτιμος

Παάρ, ζεὺς τιμᾶται ἐν ῥόδῳ, ὃ εἶδός ἐστιν ᾠδῆς.

Παιᾶνες, οἱ τοὺς παιᾶνας ᾄδοντες, ὁ ᾠδὴ ἐπὶ ἀπαλλαγῇ κακῶν ἢ αἰσχροῦ τινός. ¶ Παιᾶνας, κώμοις, εὐφημίας, ᾠδάς. ὕμνοις εἰς θεόν. ¶ Παιανιεύς, ἀπὸ δήμου τοῦ ἀττικοῦ. ¶ Παιᾶνι συντόνῳ, θριαμβικῷ ὕμνῳ. ¶ Παιδαγωγία, παιδία διδασκαλία

Παιδαγωγός, παιδευτής, καὶ τὰ ὅμοια.

Παιδάκιμα, μειράκια. ¶ Παίδευ, ἡμέραι τινές.

Παῖδά δέ μοι, τὴν θυγατέρα δέ μοι.

Παιδεία, τὰ μείζονα καὶ τὰ ἀρτίως γεγονότα.

Παιδαλόθειον, παιδασκάλειον.

Παιδεύματα, παιδεῖα. ¶ Παιδευθείη, ἀσυνέτα

Παιδέρως, οἱ μὲν σφραγῖδος ὄνομα, οἱ δὲ ἀλείμματα. οἱ δέ, μύρου εἶδος. ¶ Παιδία, ἀγωγὴ ὠφέλιμος διδαχή. ¶ Παῖδες, τὸ πάλαι μὲν τέκνα ἀρσενικὰ καὶ θηλυκά. μεταπεσούσης δὲ τῆς χρήσεως, νῦν καὶ οἱ δοῦλοι. ¶ Παιδεύειν, τρέφειν, παιδοτροφεῖν. ¶ Παιδικώτης, παιδοκτόνος. ¶ Παιδεία, πεῖρα νουθεσία. ¶ Παιδικά, τὰ ἐρωτικὰ καὶ οἱ ἐρώμενοι ἐπὶ τῶν πρὸς γυναῖκας συνουσίας.

Παιδικέων, ὁ ἐν γυμνασίῳ ὑπηρέτης. ¶ Παιδίνον, παιδίσκη. ¶ Παιδισκάρειον, τὸ κοράσιον ἀττικοὶ ἐπὶ τῆς ἡλικίας, καὶ λίθος ᾧ πρὸς παλαιστρίαν χρῶνται. ¶ Παιδίσκοι, οἱ ἐκ παίδων εἰς ἄνδρας μεταβαίνοντες. ¶ Παιᾶνες, ἀλαλαγμοὶ ἐν πολέμῳ.

Παιδνός, νεογνός, παῖς νέος ὁ ἐρχόμενος ἀπὸ τῆς παιδὸς ἡλικίας, ὁ παρὰ τοῖς ἀττικοῖς καλούμενος, αὐτίπαις ἄφρων νήπιος. ¶ Παιδοβάτιον, εἶδος ἀμπέλου. ¶ Παιδόθεν, ἀρχῆθεν, ἐκ ῥίζης ἀπὸ γενέσεως. ἐκ παιδικῆς ἡλικίας. ¶ Παιδοκομίας, παιδοτροφίας. ¶ Παιδοκόμος, ὁμοίως.

Παιδοκόρος, ἑρμῆς τιμᾶται ἐν μεταποντίοις.

Παιδολέτειρα, παιδοφόνος. ¶ Παιδολέτειρα, παιδοφόνον. ¶ Παιδονόμος, ἀρχή τις παρὰ λάκωσι.

Παιδοπίπας, ἀρσενόμματος ἀνδροβάτης.

Παιδός, ἀκμῆς. ¶ Παιδοτρίβαι. ἀλεῖπται, γυμνασταί. ¶ Παιδοτριβοῦσι, παιδεύουσι, καὶ τὰ ὅμοια. ¶ Παιδωνας, τοὺς μισθοῦ ἐκ τῆς ἀγορᾶς κομίζοντάς τι. ¶ Παιδονίκται, οἱ προϊστάμενοι τῆς τῶν παίδων εὐκοσμίας. ¶ Παίει, τύπτει, πλήττει κρούει, δέρει, ἢ ἐσθίει. ¶ Παιᾶνα, ποτὲ μὲν τὸν λεγόμενον παιᾶνα ὕμνον εἰς ἀπόλλωνα ἐπὶ καταπαύσει λοιμοῦ ᾀδόμενον, ποτὲ δὲ θεόν τινα ὃν σωτῆρα ἰατρὸν θεῶν. ἢ ᾠδή, ὁ ἔθνος. ¶ Πεζός, τοῖς ποσί. ¶ Παιωνοσύνη. ἰατρεία. ¶ Παιητέον, πληκτέον. ¶ Παλαγρέται, ἀρχέτης, ἐπὶ ἱππέων.

Παιλλός, ἄρρην νήπιος. ¶ Παίμματα, πλακοῦντα

Παίονες, ἔθνος βαρβαρικὸν δοῦλοι καὶ ἰατροί.

Παῖον, ἀσφαλὲς βέβαιον. ¶ Παιπάλλειν, σείειν.

Παιπαλᾶν, πολυσκοπεῖν ἐρευνᾶν.

Παιπάλη ἄλευρον λεπτόν. τὸ ἀπὸ κριθῆς, ἢ κέγχρου ἢ τὸ τυχόν. ¶ Πεπάλημα, ποικίλος ἐν κακίᾳ.

Παῖπ. παῦσε. ¶ Παιπαλόεσσαν, ὑψηλόν. ἔστι δὲ σκοπιὸν εἰς παιπαλόεσσαν ἀνελθεῖν. καὶ τραχεῖαν, τινὲς δὲ σκολιάν. ¶ Παιπαλόεντος, τραχέος

Παιφάσσουσα, παντὶ φαινομένη. ¶ Παῖς, πᾶς ὁ φύσει υἱός ὤν τινος, καὶ ὁ τῇ ἡλικίᾳ νέος καὶ ἀντὶ τοῦ θέλοντος. τάσσεται δὲ καὶ ἐπὶ τοῦ δούλου. ἄρτι ἀκμάζων

Παῖσαι, ὁ ὑμεῖς παῖξαι. ¶ Παισκεύματα, πολυκόμματα. ¶ Παιρεύς, παρέτης: ¶ Παίσατε, ἐνίοτε μὲν ἐπὶ τοῦ παίξατε. ἐνίοτε δὲ καὶ ἐπὶ τοῦ ἐνδῶτε.

Παίσλη, παιδισκεύση. ¶ Παισός, πόλις καὶ ποταμός. ¶ Πεπταίσκες, ἀπλώσας.

Πέταυρα, τίγνα. ¶ Παιφάσσειν, πυκνὰ δι᾽ ἀλλήλων ἄλλον ὁρμᾶν ἐνθουσιαστικῶς ἔχειν. ἀπειλεῖν. θορυβεῖν πολλάν. ¶ Παίω, δέρω, τύπτω, πλήττω. ¶ Παιώνιον, φάρμακον, καταπαῦον ὀδύνας. ¶ Παίων, ὄνομα καὶ ἰατρός. ὁ δὲ ἀλαλαγμὸς, παιανισμός. γράφεται δὲ καὶ παιανισμός. ¶ Παίωνες, τὰ αὐτά:

Παιώνια, φάρμακα ἰατρικά, ἢ θεραπεῖαι.

Παιώνιον, ἴασιν θεραπείαν. ¶ Παιώνιος. διόνυσος.

Παιωνίσαντες, ἀλαλάξαντες.

ὀ φρυόεντα, λοφώδη ὑψηλόν. ¶ ὀφρυόεντες, ὑπερήφανοι. ¶ ὀφρυόεσσα, ὑψηλὴ ἀλαζὼν ἐφ' ὕψους καὶ ἄκρας κειμένη. ¶ ὀφρυόειν, μετέωρον.

ὀ φρῦς, τὰ κρημνώδη καὶ τραχέα τῶν ὀρῶν, καὶ ἡ παρὰ τοῖς ὑπερηφανία.

ΤΟ Ο ΜΕΤΑ ΤΟΥ Χ.

χα, ἐξόχως. ¶ ὀχεῦνται, ἠρέμα κινοῦνται.

ὀ ¶ ὄχανον, ὁ διὰ ἀσπίδος πόρπαξ, καὶ ὁ δεσμὸς καὶ ὅπου ἐμβάλλουσι τὰς χεῖρας.

ὀ χάνοις, δεσμοῖς ἀπὸ τοῦ συνέχειν, ἔνθεν καὶ τὸ ὀχμάζειν.

ὀ χ' ἄριστος, ἐξοχώτατος. ¶ ὀχᾶσθαι, ἀλλ' ἀλλάσσεται ὁ λόγος ἐπὶ ἀχιλλέως οὐ βάλλεται. ἐσθίει ὁ τῶν νεβρῶν μυελός. ¶ ὄχεα, ἅρματα ὀχήματα.

ὀ χέεσθαι, ἐνιοχεῖσθαι. ¶ ὀχέεσκον, ἔφερον ὑπομένον. ¶ ὀχεία, ἡ μῖξις καὶ ἡ συνουσία.

ὀ χεία, ποντία, ἡ ἄγκυρα, παρὰ τὸ ὀχεῖν ἐν τῷ πόντῳ τὰς ναῦς. ¶ ὀχεῖον, ἅρμα, καὶ τὸ εἰς ὀχείαν αἰτούμενον ἀττικοί. . ¶ ὀχεῖς κλῆθρα κορκυραῖοι.

ὀ χεῖται, μετέωρος φαίνεται. ¶ ὀχέοντας ὀϊζὺν, ἔχοντας κακοπάθειαν, ἢ ἐχομένοις ὑπὸ κακοπαθείας. ἢ ἀνὰ δὲ χομένοις κακοπάθειαν. ¶ ὀχέοντες ἐν αὐτοῖς ἔχοντες. ¶ ὄχεσκον, ὑπομένον. ἔφερον.

ὄ χεσφι τοῖς ὀχήμασιν ἢ τοῖς ἅρμασιν. ¶ ὀχετεύει, ἐπιχέει σαλεύει μεταφέρει. ¶ ὀχετηγὸς, ὁ τὸ ὕδωρ ἄγων. ὑδραγωγὸς κηπουρὸς ἢ ὁ ἀρδεύων.

ὄ χετλα, τὰ ὀχλήματα, οἱ δὲ τὰ συντεθραυσμένα.

ὀ χετὸς, σωλὴν ἀγωγὸς, ῥύαξ, ὕδωρ ὑδραγωγεῖον, οὐ χείμαρρος ἤγουν αὖλαξ, ἀλλ' ἀεὶ ῥέων. ¶ ὀχεὺς, ὁ τοῦ ὑποκεφαλαίας ἱμάς. ¶ ὀχὴ, τροφὴ, σοφὴ, καὶ ὄρος εὐβοίας, καὶ βοχός. ¶ ὀχῆα, συνέχοντα.

ὀ χῆες, οἱ συνέχοντες τὴν θυραχοζώνην κρίκοι. ἢ οἱ μοχλοὶ ἀπὸ τοῦ συνέχειν. ¶ ὄχημα, ἅμαξα, ἅρμα. δίφρος. ¶ ὀχὴς, ὁμίχλη, καὶ φωνή. ¶ ὄχησις. ἱππασία. φόρησις. ¶ ὀχήσομαι, βαστάσομαι.

ὄ χθαι, χεῖλος ποταμοῦ ἢ ὄχθαι. ¶ ὀχθῆσαι, ἀπὸ τοῦ ὄχθου, οἱ γὰρ στένοντες ἑαυτοὺς μετεωρίζουσιν.

ὀ χθεῖ, στένει στενάζει. ¶ ὄχθη, χεῖλος ποταμοῦ.

ὄ χθησαν, ἠγανάκτησαν. ¶ ὀχθήσας, στενάξας, βαρυνθεὶς, ἄχθος γὰρ βάρος, ἢ μετεωρισθεὶς τὴν ψυχὴν ἀπὸ τοῦ ὄχθου, ὅ ἐστι τοῦ ἀναστήματος. ¶ ὄχθησις, θόρυβος τάραχος. ¶ ὄχθοι, αἱ τραχεῖαι καὶ δύσβατοι τόποι, καὶ αἱ ἐξοχαὶ τῶν πεδίων. ¶ ὀχθοίβοι περιαπτεῖν τινὰ εἰώθασι περὶ τοὺς χιτῶνας, ἃ καλοῦσιν ὀχθοίβοις, εἰσὶ δὲ τὰ λεγόμενα λώματα.

ὄ χθος, κρημνὸς. πέτρα. τὸ ὑψηλὸν τοῦ ποταμοῦ ἢ τῆς γῆς ἢ τὸ ἀπόκρημνον στόμα τῆς θαλάσσης. κυρίως δὲ ποταμῶν ἄκρα χειμερινῶν. ¶ ὀχλαγωγῆσαι, θορυβῆσαι, ἢ συναγαγεῖν ὄχλον ἢ ταράξαι. ¶ ὀχλεῖ, στένει λυπεῖ κωλύει μετὰ ὄχλου. ¶ ὀχλεῦνται, κινοῦνται, κινδυνεύουσι. ¶ ὀχλεύονται, ὁμοίως.

ὀ χλεὺς, μοχλὸς στρόφιγξ δεσμὸς ἅρμα πομπή.

ὄ χλησις, σχολή. ¶ ὀχλικῶν, μοχλῶν.

ὀ χλίσσειαν, κινήσειαν. ¶ ὀχλίζειν, κινεῖν, μοχλεύειν

ὀ χλιζομένων, συναγομένων. ¶ ὀχλοισίαν, ἱκεσίαν. ἐκκλησίαν. ¶ ὄχλον, ἐνόχλησιν. ¶ ὀχλογόος

κατάλογος λαός. ¶ ὄχμα, πόρπαμα.

ὀ χμάζει, μάχεται. βαστάζει. ἐρείδει, θλίβει, συνέχει κατέχει, πιέζει. ¶ ὀχμοὶ, σταχύων φυτεῖαι.

ὀ χμοῦν ἐλαύνουσι, τὴν ἐπὶ στίχον φυτείαν.

ὄ χνη, εἶδος κύστου ἢ κουστουμένου. ¶ ὀχοὶ, οἱ συνέχοντες τὰς ναῦς. ¶ ὀχοὶ, ἐφ' ὧν ὀχοῦνται αἱ ναῦς, καὶ οἱ συνέχοντές τι καὶ διακρατοῦντες. ὄχος ἀκέστας ἐπὶ αἱ σικελικαὶ ὁμίονοι σπουδαῖοι, ἦν δὲ ἀκέστης σικελίας. ¶ ὀχρὸς, ὀχούμενος, φορούμενος.

ὀ χύνει, βαίνει. ¶ ὀχυρὰ, ἰσχυρὰ ἀσφαλής.

ὀ χύρωμα, τεῖχος ἀσφαλές. ἰσχυρὸν κάστρον φρούριον, ἢ ἀληθές. ¶ ὀχύρωσιν, ἠσφαλίσατο ἐφυλάκισεν.

ὀ χῶν, ὀχευτικῶς ἔχων ἢ ἐξοχῶν ἢ ἁρμάτων.

ΤΟ Ο ΜΕΤΑ ΤΟΥ Ψ.

ψ, ὄψις, ὀφθαλμὸς ἢ φωνή. ¶ ὄψανον, ὄψιν

ὀ ¶ ὄψα, προσφάγια, μαγειρεύματα.

. ¶ ὄψανον, ὄψις φωνή. ¶ ὀψαλίδαι, οἱ ἀρχαιότεροι τῶν αἰπόλων. ¶ ὀψαρτυτὴς, μάγειρος

ὀ ψὲ, μετὰ πολὺν χρόνον βραδέως.

ὀ ψέποτε, μετὰ χρόνον ποτὲ ἐπ' ἐσχάτων.

ὄ ψεαι. θεωρήσεις. ὄψεως θέας.

ὀ ψὲ δύων, ὀψὲ καταδυόμενος.

ὀ ψείοντες, ὀπτικῶς ἔχοντες, ἰδεῖν θέλοντες, κλαυσιόντες βρωσείοντες. ¶ ὀψὲ δύοντα, βραδέως δύοντα διὰ τὸ τῇ ἄρκτῳ ἀκολουθεῖν

ὄ ψεις, ὄνειροι, ὀφθαλμοὶ ὁράσεις. ¶ ὀψέποτε, μόλις ποτέ. ¶ ὄψεσθαι, θεωρήσεσθαι. ἰδέσθαι.

ὀ ψ' ἐλθὲς, ἀλλ' εἰς τὸν κολωνὸν ἔστω, ἐπὶ τῶν μισθωτῶν ἔλεγον τοὺς ἐπὶ τὸ ἔργον ἐλθόντας ὀψὲ ἀπέλυον, παλιν εἰς τὸ μισθωτήριον, τὸ δὲ ἦν ἐν κολωνῷ.

ὀ ψίας. ἑσπέρας. ¶ ὀψιγενὴς καὶ ὀψιγένητα. βραδέως γεννηθέντα. ¶ ὀψίγονοι, οἱ ὕστερον γενόμενοι

ὀ ψιγόνων, τῶν ὀψὲ καὶ μετὰ πολὺν χρόνον ἐσομένων μεταγενεστέρων. ¶ ὀψιμαθὴς, βραδυμαθής.

ὄ ψιμον, ὀψιτέλεστον, ὀψὲ γενόμενον, ἢ ὀψὲ ἀρξάμενον καὶ ὀψὲ τελεσθησόμενον. ¶ ὄψιμον, χρόνιον ὕστερον. ¶ ὄψιμος, χρόνιος βραδύς.

ὄ ψιοι, δειλινοὶ ὕστεροι. ¶ ὀψείοντες, ὀπτικῶς ἔχοντες, παρακολουθοῦντες τοῖς γινομένοις, κατοπτεῦσαι βουλόμενοι. ¶ ὀψιπαίδωνας. τοὺς, ἕως ζῶσιν ἄξοντας παῖδας βράδιον. ¶ ὀψίεσθαι, ὠψισμένα.

ὄ ψις, θεωρία, ὅρασις. ¶ ὀψιτέλεστον, μετὰ πολὺν χρόνον τελεσθησομένων. ¶ ὄψον, προσφάγιον.

ὀ ψιχὰ, ὀψὲ εὐξάντων. ¶ ὄψιν δὲ βλέψιν ὅρασιν.

ὄ ψος, μοχθηρός. ¶ ὄψου, παντὸς προσψήματος.

ὀ ψώνα, τὴν πρὸς τὸ ὀψώνειν συνείδια. ¶ ὀψώνιον δαπάνη κέρδος. ¶ ὀψωφαγία, εὐωχία.

ὠ γύγιος. ὁ ἀρχαῖος. ¶ ὁ ὠκύμορος, ὁ ταχυθάνατος. ¶ ὁ ὠκύπλοος, ὁ ταχέως πλέων.

ὠ κύπορος, ὁ ταχέως πορευόμενος.

ὠ κύπτερος. ὁ ταχύπτερος ὀξύπτερος.

ὠ μηστὴς, ὁ ὠμὰ κρέα ἐσθίων. ¶ ὁ ὤν, θεὸς, ἀεὶ ζῶν ὑπάρχων. ¶ ὁ ὠνύμενος, ὁ ἀγοράζων.

ὠ ρίων, γυναικῶν παρὰ τὸ ὀαρίζειν.

Οὔρεος ἐνδύσησιν, ἐν τοῖς βασίμοις τόποις τοῦ ὄρους.

Οὖρος, ἐπιτήδειος ἄνεμος. ¶ Οὐρεσίφοιτος, ἐν τοῖς ὄρεσι πλανώμενος. ¶ Οὐρῆας ἡμιόνους, παρὰ τὸ ὁρούειν, ὁρμητικούς τινας ὄντας. ἢ ἐπεὶ οὐραῖον τὸ ζῶον δίον ἄτονον, οἱ δὲ, οὐρῆας τῶν φυλάκων.

Οὔριον ἄνεμον. ἢ ὀξέως πνέοντα, ἢ ἄγριον. ¶ Οὐρίαχον. τὸν σαυρωτῆρα. ἔστι δὲ σιδήρεον ἐγκεκαμμένον, εἰς τὸ ἕτερον μέρος τοῦ δόρατος. ¶ Οὐρίζει, ἀποφέρει ἢ ὁρίζει. ¶ Οὐρίη, ὀπίσθια. ¶ Οὐρίστρεπτα, ἐν ὄρεσι τραφέντα. ¶ Οὐριομβικόν, τὴν ἀμίδα ἢ οὐροδόχην. ¶ Οὔριον, σταθερόν, ἢ ὄπισθεν πνέον.

Οὐράνιον νέφος, κατ' οὐρὰν ὄπισθεν ἐρχόμενον ἢ ὑπὸ οὐρῶν ἐλαυνόμενον. ¶ Οὔριος, ἐπιτήδειος, ἐπιδέξιος, ἄνεμος. ¶ Οὐρίας, φωτισμὸς θεοῦ.

Οὐρίσαι, οὐρίσαι παρασκευάσαι. ¶ Οὐροδόχην, τὴν ἀμίδα. ¶ Οὖρος, ἄνεμος. ¶ Οὔριον, φυλακὴ σημεῖον. ¶ Οὖρον ἀρούρης, ὅρον τῆς χώρας.

Οὖρος, βασιλεὺς φύλαξ σωτήρ. ¶ Οὖρος ἀχαιῶν, τὰ αὐτά. ¶ Οὔροις, φύλακας, ἢ τὰ νεώρια. τὰ περιτειχίσματα, ἢ τὰ περιορίσματα τῶν πλοίων, ἢ τὰ ὁρμητήρια δι' ὧν καθέλκονται. ¶ Οὓς, ἄρθρον ἀρσενικὸν πληθυντικὸν πτώσεως αἰτιατικῆς οὕς τινας. καὶ ἀντωνυμία τρίτου προσώπου. οἷς ἑτέροις στέλλονται.

Οὖς, ὠτίον. ¶ Οὖσα, χοινία νεὼς ὅπλα.

Οὖς ἀφροδίτης, οἱ ἁλιεῖς, ὄστρεόν που τοῦτο καλοῦσιν.

Οὔσι, οὐδέσι. ¶ Οὐ σθενῶς. οὐκ ἰσχυρῶς.

Οὐσία, ἐξουσία δεσπότης, πλοῦτος ὕπαρξις. εἶδος ὑφεστὸς βίος κτῆσις. ¶ Οὐσιώδης, ὢν ἀεὶ ἐν αὐτῷ κατ' οὐσίαν. ¶ Οὐκ ἄρα. οὐκ δή. ¶ Οὐσιώσαντος, τὸ ἡνωμένον ἄκρως. ¶ Οὐ συγγινωσκόμενοι, οὐ συγκατατιθέμενοι. ¶ Οὐ σύ, μὴ σύ. ¶ Οὐ συμβαίνει, οὐ συμφωνεῖ. ¶ Οὐ συνέσχεν ὀργήν, οὐ κατεκράτησεν ὀργήν. ¶ Οὐ σὺν ἱδρῶτι, οὐ σὺν καμάτῳ.

Οὐ σχολαίτερον, ταχέως. ¶ Οὔτα. ἔζωσεν ἔπληξεν. ἐκέντησεν. ¶ Οὐτάζοντο, ἐτιτρώσκοντο.

Οὐτάμεναι, τρῶσαι. ¶ Οὔτ' ἄρ, οὐ δή. ¶ Οὔτ' ἂρ φρένας, οὔτε κατὰ σύνεσιν. ¶ Οὐτάσαι, τρῶσαι, ἐκ χειρὸς νύξαι. ¶ Οὔτασεν, ἔβαλε καὶ τὰ ὅμοια.

Οὔτε τῳ, οὔτε τινί. ¶ Οὐτηθείς, τρωθείς. ¶ Οὔτι οὐδέν. ¶ Οὔτι, οὐδαμῶς. ¶ Οὐτιδανός. οὐδαμινὸς ἀσθενὴς, ἄτυχος, οὐδενὸς ἄξιος οὐδὲ λόγου.

Οὔτι κράτεΐ γε, οὐ τῇ δυνάμει. ¶ Οὔτι μάλα δὴν, καὶ οὐκ ἐπὶ πολύ. ¶ Οὔτι μέλει, οὐ μέλει.

Οὔ τίμοι ὔμμες, οὐκ ἐστέ μοι ὑμεῖς. ¶ Οὑτινοσοῦν, οἱου δήποτε. ¶ Οὔτι πω, οὐδαμῶς. ¶ Οὖτις, οὐδεὶς, ἢ εἶδος ὀρνέου καὶ οὐρανός. ¶ Οὔτοι ἀπόβλητον. οὐκ ἀποβληθῆναι ἄξιον. ¶ Οὐ τηροὶ, δραστικοὶ σπουδαῖοι. ¶ Οὕτως, τοιούτως ὁμοίως ¶ Οὑτωσὶ οὕτως, οὕτω δὲ χωρὶς τοῦ σ ὅτε σύμφωνον ἐπιφέρεται, τέσσαρα σημαίνει τὸ ὁμοῦ. χρόνον. τόπον ἐγγύτατον ἀειμόν. ¶ Οὐ τοῦ τυχόντι, οὐ τοῦ μικροῦ οὐ τοῦ οἱου δήποτε. ¶ Οὐφατῶς, ἀφάτως. ¶ Οὕνεκα, οὐκ ἀρεστῶς, οὐ κούφως. ¶ Οὐφέλλαν γῆν ἰὸν εἰς τὰ ἱμάτια.

Οὐφίδρωμα, τοῦ πάσματος ἢ πρὸς τῇ πλευρᾷ διφθέρα.

Οὐ φοιβάσεται, φοιβᾶν γάρ ἐστι τὸ ἐπὶ νεκροῦ ἢ δαιμονικοῦ μαντεύεσθαι. ¶ Οὐ φορητὸν, μέγα βαρύ.

Οὐκ ἐλαφρὸν, οὐ βαστακτόν.

Οὐ φροντὶς ἱπποκλείδῃ, παροιμία ἧς μέμνηται καὶ ἕρμιππος δημόταις μὴ πρὸς ὀργὴν ὁμιλεῖν καὶ αὐτὶ τοῦ ἐμοί. ¶ Οὐχ, οὐχί, οὐχ οὕτως. ¶ Οὐχάζομαι, οὐ σέβομαι, οὐκ ἐντρέπομαι. ¶ Οὐχ ἅλις, οὐχ ἱκανός. ¶ Οὐχ ἅζεις ἢ οὐκ ἄγχεις. οὐ πιέζεις συνεχῶς.

Οὐχ ἕδος, οὐ καιρὸς τοῦ καθέζεσθαι. οὐ καθέδρας φροντίς.

Οὐχ εἴκων, οὐχ ὑποχωρῶν. ¶ Οὐχ ἥκιστα μάλιστα.

Οὐχί, οὐδαμῶς οὐ δῆτα. ¶ Οὐχ ἑκὼν, οὐ βουλόμενος οὐ θέλων. ¶ Οὐχειαί, φωλεοί.

Οὐχ ἕπεται, οὐκ ἀκολουθεῖ. ¶ Οὐχ οἷόν τέ ἐστιν, οὐ δυνατόν ἐστιν. ¶ Οὐχ ὑπὲρ ἀλόγων, οὐχ ὑπὲρ λόγων. ¶ Οὐχ οἷοί τε, οὐ δυνατοί. ¶ Οὐχ οἷός τε εἰπεῖν, μὴ δυνάμενος εἰπεῖν. ¶ Οὐχ ὁρέοντα, οὐ ζῶντα. ¶ Οὐ χραισμεῖ, οὐ βοηθεῖ. ¶ Οὐ χρὴ, οὐ δεῖ.

Οὐχ ὑπελείπω, οὐχ ὑστέρησας, οὐ κατέλιπες;

Οὐχ ὑποίσω, οὐχ ὑπενέγκω οὐ βαστάσω. ¶ Οὐχ ὑφίεται, οὐκ ἐνδίδωσιν. ¶ Οὐχ ὑφίσταται, οὐχ ὑπομένει, οὐχ ὑποφέρει. ¶ Ὄφατα, δεσμοὶ ἀρότρων ἀκ[illegible]

Ὀφείλη δὲ γενέσθαι κατὰ ἀνάγκην. ¶ Ὀφειλή, χρέος. δάνειον. ἀνάγκη. ¶ Ὀφειλέτης, χρεώστης.

Ὄφεις, τὰ δρακοντώδη γινόμενα ψέλλια μεγάλα παρακαταθήκην μὲν ὄφεις λέγει, καλῶς γέ μοι ἱστόρησας. ¶ Ὀφέλλει, ὠφελεῖ, αὔξει. ¶ Ὀφέλλειν. αὔξειν καὶ ὀφέλλειν. ¶ Ὀφέλλεται, αὔξεται.

Ὄφελες, ὤφελες, ὦ συζυγεῖ τὸ ὄφελον καὶ ὄφελε καὶ ἐπίρρημα ὅπερ ἔχει χαρακτῆρα ὁριστικοῦ παρατατικοῦ. ὅμοιον γάρ ἐστι τῷ ἔλεγον ἔλεγες. ¶ Ὠφελοῦσα. θεραπεύουσα σώζουσα παρασκευάζουσα.

Ὄφελμα, αὔξημα κάλυμμα, κάλυπτρον. ¶ Ὀφέλμασι, στερεώμασιν. ¶ Ὄφελλον, ὄφελον εἴθε.

Ὄφελος, αὔξησις, ὄνησις ἐπικούρημα κέρδος.

Ὄφελτρον, κάλυπτρον. ¶ Ὀφθαλμιάσαι, φθονῆσαι, ἐπιβαλεῖν ὀφθαλμόν. ¶ Ὀφθῇ, εὑρεθῇ, φανῇ.

Ὀφθαλμὸς βασιλέως, ὁ πεμπόμενος κατάσκοπος.

Ὀφιογενεῖς, οἱ νῦν ὀπτικοί. ¶ Ὀφιοδεύειν, χολάζειν, διατρίβειν οἰκεῖν. ¶ Ὀφείλοντος, πρέποντος, δέοντος. ¶ Ὀφιομάχος, ἰχνεύμων ἢ ἀκρίδων γένος μὴ ἔχον πτερά. ¶ Ὀφίστρος, ὄρνις ποιὸς ἐν αἰθιοπίᾳ.

Ὀφιοῦσα, ἡ ῥόδος διὰ τὸ πλῆθος τῶν ὄφεων.

Ὄφις, ποιὸς ἰχθὺς καὶ τὸ χρυσοῦν περιβραχιόνιον ἢ ὁ δράκων ὁ φυλάσσων τὰ χρυσᾶ μῆλα. ὃν ἀπέκτεινεν ἡρακλῆς. ¶ Ὄφλα, ὄνομα χωρίου, ὅπου ἦν τεῖχος ἱερουσαλήμ. ¶ Ὀφλάνειν, ὀφλισκάνειν, ὀφείλειν.

Λ αχαίνειν, ὀρύσσειν, σκάπτειν. ἀφ᾽ οὗ καὶ τὸ λάχανον τὸ μεγάλως χαῖνον. ¶ Λάχανα, τὸ ὑπὸ τῆς ἀσπίνας πεπλεγμένον ἐν ᾧ καθέζονται. ¶ Λάχεια, εὔσκαφος καὶ εὔγειος παρὰ τὸ λαχαίνεσθαι, ὅ ἐστι σκάπτεσθαι πυκνῶς. ¶ Λαχεῖν δίκην, γράψασθαι δικάσασθαι.

Λ άχη, λέξις ἀποκληρώσεις. ¶ Λαχήνας, σκάψας.

Λ αχμία, ἐν ὕλῃ οὖσα. ¶ Λαχμῶν ἱππείων λακτισμῶν.

Λ αχμὸν κούρης, βάρος λακτισμός. ¶ Λαχμῷ στεινόμενος τῇ δασύτητι καὶ τοῖς μαλλοῖς πεπυκνωμένος.

Λ άχνη, δασεῖα θρὶξ ἡ χαίτη. κόμη, ὕλη. δασύτης. παρὰ τὸ λάσιον, δηλοῦται δὲ καὶ οὕτως, καὶ ἡ κροκὶς ἡ ἐπανοῦσα τοῖς ἱματίοις τρίχωσις ἢ ἀφρὸς τῆς θαλάσσης.

Λ αχνήεντα, τετριχωμένα. δασέα. ἢ τριχώδη. ἢ ὀροφὴν τὸν κάλαμον ᾧ ἐστέγαζον τοὺς οἴκους ὡς ἔχει τινὰ δασύτητα, ὄροφος γὰρ κάλαμος, ἀπὸ δὲ τοῦ καλάμου, καὶ τὸ ἐρέφειν τὸ στεγάζειν εἴρηται. ¶ Λαχνοῦται, θριχοῦται, δασύνεται. ¶ Λαχόντα, τυχόντα, κληρωσαμένοις.

Λ άχος, μέρος. κλῆρος ἐκκλήρου. ¶ Λαχὼν, ὁ κληρωσάμενος. ¶ Λάψα, γογγυλίς. πέρσαιοι. ¶ Λάψαι, πιεῖν τῇ γλώσσῃ. ¶ Λαψάνη, τῶν ἀγρίων λαχάνων ἐσθιομένη.

Λ αψάρων, τῇ χειρὶ ποτίζων ἢ ἁπτόμενος. ¶ Λάψων ὑποκοιλαίνων τὴν γλῶσσαν ἀναφέρων τὸ ὕδωρ μετά τινος ἤχου. ¶ Λαψοι, πίοι τῇ γλώττῃ. ¶ Λαψον

νοις ἥκιστα γὰρ φυλάττουσι λάκωνες τὰς γυναῖκας.

Λ ακωνικὸς, στερρός. ἀνδρεῖος. ¶λάλαγες, χλωροὶ βάτραχοι, περὶ τὰς λίμνας, οὓς ἔνιοι κεμβέροις, οἱ δὲ ὀρνέου εἶδος φασί. ¶λαλαγεῦσαι, λαλοῦσαι, ἀθρόαι οὖσαι. ¶λαλαγὴ καὶ λαλαγῆς, κρυμὸς κραυγή.

Λ αλαγήτης, ματαιολόγος. ¶λάλαζε, βόα.

Λ αλάκονις, ψηφώδης κόνις. ¶λαλαμὶς, λαύλαψ αὐτὶ τοῦ λαλαμὶς, λαιμάτμησις, γράφουσιν.

Λ αλάξαι, τὴν γλῶσσαν ἐξελεῖν. ¶λαλάξαντες, βοήσαντες. ¶λαλεῖν, λέγειν βλέπειν λαμβάνειν.

Λ άληθρον, λάλον. ¶λαλίστατον, κατάλογον σοφόν.

Λ αλίστερον, ἀδολεσχότερον. ¶λάλλαι, λάλλας λέγουσι τὰς παραθαλασσίους, καὶ παραποταμίους ψήφους.

Λ άλος, φλύαρος. ¶λάλουμενον, λαλοῦντα.

Λ αλύνει, πάσσει πατεῖ. ¶λαλῶν, φθεγγόμενος.

Λ αμὰς, μῦς. ¶λάμαχος, ἄμαχος, ἀκαταγώνιστος.

Λ άμια, ἀριστοφάνης φησίν. ὥστ' ἀκούσης ἐν τῇ ἀγορᾷ τινος λαμιώδους γυναικὸς ἐνδιατριβούσης, τινὲς δὲ ἐν τῇ ἀγορᾷ περιδινουμένην γυναῖκα. ¶λάμια, θηρίον καὶ γυνή τις ἀρχαία οὕτω καλουμένη λίβυσσα.

Λ άμβαι, τὰ χάσματα, ἃ οἱ μόνοι τῶν ἀνθρώπων καὶ ἰχθύες

Λ άμιον, τὸν πρίονα ὃ ὁ λάμιος πέλεκυς, ἣν τις ἀθήνησιν ὃν ἐκωμῴδει. λέγεται δὲ καὶ γνήσιός τις ἐξ ἐπιθέτου λάμιος. ¶λάμος. ἡ χώρα τῶν λαιστρυγόνων, ἢ ἐπιχώριός τις ὅρος, ἀφ' οὗ ἡ χώρα ὠνομάσθη.

Λ αμόπτης, ὁ ἐπιτηλείας. ¶λαμπάδες, ὀφθαλμοί τινὲς ἀστέρες. ¶λαμπάδιον, τὴν λεπτὴν κηρίαν ἐν ᾗ ἐπιδιδοῦσιν. ¶λαμπὰς, λαμπάδος, ἀγὼν, καὶ ὁ νικήσας λέγεται λαμπαδηφόρος.

Λ αμπετὶς, ὀλίου κόρη. ¶λαμπετόωντι, λάμποντι

Λ άμπη, τὸν παχὺν ἀφρὸν τὸν ἐπιπολάζοντα τῷ οἴνῳ φασίν. ¶λαμπηδὼν, λαμπυρὶς σπινθήρ.

Λ αμπήνη, εἶδος ἀμάξης ἐφ' ἧς ὀχοῦνται. ἔνιοι, ἀπήνη, ἢ ἅρμα ἀμάξης περιφανοῦς βασιλικῆς, ἢ ῥαβδίον περὶ κεφαλὴν ἔχον ἅρμα σκεπαστόν. ¶λαμπίας, ὁ ἥλιος, λαμπτὺς. φῶς. ¶λάμπουρις, ἀλώπηξ.

Λ αμπρὰ καθυπέρθεν, καὶ λαμπρὰ ὑποκάτωθεν, δῆμοι λαμπρεῖς ἀθήνησιν, οἱ μὲν παράλιοι, οἱ δὲ καθυπέρθεν.

Λ αμπρείμων, λαμπρὰ ἱμάτια ἔχων.

Λ αμπρὸν, φαιδρὸν τηλαυγές. ¶λαμπρύνεται, φαιδρύνεται. ¶λαμπτὴρ, φέγγος, φῶς, λαμπάς. ἐσχάρα ἐφ' ἧς ἔκαιον ἐν μέσῳ τῶν οἴκων, εἰς τὸ φωτίζειν αὐτοῖς, ξηρὰ ξύλα ἢ δᾷδα. ἀττικοὶ δὲ τοὺς καιομένους λύχνους λέγουσιν. ¶λαμπυρὶς, ζωΰφιον ἐκ φρυγάνων γινόμενον, καὶ ἀλώπηξ. ¶λαμπυρὸν, εὔλαλον ὑπέραπλον καταπληκτικόν. ¶λαμμῶδεῖ, θεραπεύει. ¶λᾶν, ὁρᾶν, ἢ λίθον. ¶λανθὰς, αὐτουργεῖος οἶνος. ¶λανθανόντως, κρυφίως.

Λ αῤῥίζει, λαγγάζει, βρέχει. ¶λανὸν, κῆρ, σοφωτάτη ψυχή. ¶λανὸν, λίθον. ¶λὰξ, λάκτισμα.

Λ αξάσθαι, ἀθόνησι. ¶λάξαι, λακτίσαι. ¶λάξασθαι, κληρώσασθαι. ¶λάξεων, λάξεων κληρώσεων.

Λ αξόοι, οἰκοδόμοι, λιθουργοί. ¶λαξευτήνων, λακτίσμασι τύπτων. ¶λαξευτήριον, λιθοτόμον σιδήριον.

Λ αξευτηρίῳ, λίθῳ, ὀξυτάτῳ τέμνοντι.

Λ ὰξ ποδὶ κινήσας, ὑπὸ πλάτει τοῦ ποδὸς νύξας καὶ διακινήσας, οὐχ ὑβριστικῶς λακτίσας. ¶λαοβόρον, ἀνθρωποβόρον. ¶λαοδίκην ἐσπάνουσαν, πρὸς λαοδίκην πορθουμένην. λαοδίκην δὲ οἱ νεώτεροι ἠλέκτραν λέγουσιν. ¶λαοὶ, ὄχλοι δῆμοι, δύνανται δὲ οὕτως εἰρῆσθαι ἄνθρωποι διὰ τὸ εἶναι λάλιοι, ἔνθεν καὶ μέροπες, ἀπὸ τοῦ μεμερισμένην ἔχειν τὴν ὄπα ὅ ἐστι φωνήν. ¶λαομεδοντιάδης, πατρωνυμικῶς ὁ πρίαμος. ἦν γὰρ παῖς λαομέδοντος. ¶λαόπαις, βούπαις.

Λ αεργὸς, λύσσιος σκελός. ¶λαοσσόος, τοὺς λαοὺς σώζουσα ἢ σοοῦσα τουτέστι παρορμῶσα εἰς τὸν πόλεμον, ὅ ἐστιν ἐπίθετον ἀθηνᾶς. ¶λαοπίζειν ἢ λαπίζειν, τοὺς λαοὺς εἰς ὄπον ἄγειν καὶ ἐπιστροφὴ διὰ τῆς ἀλαζονίας. ¶λαφόνον, ἀνδροκτόνον.

Λ αοφόρον, δημοσίαν ὁδὸν, δι' ἧς οἱ λαοὶ φέρονται, ἣν πρὸς ὁδεύουσι λεωφόρον. ¶λεπάσματα ἤγουν λαγαρά. ¶λαπαγμέδων, ἐκκενώσεων.

Λ απάξειν, ἐκκενοῦν, ἀφ' οὗ καὶ τὸ ὄρυγμα. ¶λάπαθον, ὄρυγμα καὶ βοτάνη. ¶λαπάξαι, κενῶσαι.

Λ απάθαι, ἀφανίσαι, ἀπαλλάξαι. ¶λαπάραι, τὰ παρὰ ταῖς πλευραῖς τοῦ σκήνους, διοκλῆς δὲ τὸν ἐκκεκενωμένην κοιλίαν. ¶λαπάρας, καταφορῆς πρὸς τὰ ἀφροδίσια. ¶λαπάρας, λαγόνας καὶ λαπάρην ὡσαύτως, ἢ κοιλίας ἐκκεκενωμένας.

Λ απαρὸς, ἰσχνὸς ὑπεσταλμένος. ¶λαπάσσειν. λαπάγειν, κενοῦν. ¶λαπάττων, μαλάττων λαγαρὸν ποιῶν. ¶λαπέρσαι, λαμπρῶς δίδυμος τοὺς διοσκόρους ἀπὸ λαπέρσης πόλεως. ¶λαμπετόωντι λάμποντι. ¶λαπάθιον, ἡ λέξις ἀπὸ λαπίθου πόλεως, τὸν ἠλίθιον. ¶λαπῶναι, λαπιθῶναι.

Λ απίζει. σταυροῦται. ¶λαοπίζει, οἱ γὰρ λάπιθαι ἔθνος θετταλίας ἀπὸ λαπίθου τοῦ ἄρεως παιδός.

Λ απίθιον, ὄρυγμα τὸ κενωτικόν. ἢ λάχανον ἄγριον ἐδώδιμον. ¶λαπιτὴν, καυχητὴν ἢ ἄλλα.

Λ απιστὴς ψεύστης φλύαρος τρυφερὸς μὴ ἔχων φροντίδα ἐγγὺς τοῦ προπετοῦς. ¶λαπίστρια, ῥεμβομένη μετεωριζομένη θέλουσα ὑποχεῖσθαι. ¶λάπος, ὁ ἀεὶ, δοῦλος. ¶λαπτὴς, λάπτον ἔλεγον, τὸν παχὺν ἀφρὸν, τὸν ἐπιπολάζοντα τῷ οἴνῳ σπιλώδη, ἄλλοι βόρβορον ὕλην, ἄλλοι τὸν ἀπὸ τῆς ἅλμης ἐφιστάμενον ἐν ταῖς λίμναις. οἱ δὲ τὸν ἀπὸ τοῦ πελάγους ὑμένώδη πηλόν.

Λ άπτας, τοὺς ῥοφοῦντας. ¶λάπτει, ἀναλαμβάνει, πίνει. ¶λάπτοντες, πίνοντες τῇ γλώσσῃ. πεποίηται δὲ ἀπὸ τῶν κυνῶν τῶν τοιούτων οὕτω πινόντων μετὰ ψόφου. ¶λαπτυὴρ, σφοδρῶς πτύων.

Λ αμπτόμενος, ἢ λάπτων, ἀναλίσκων ἀπὸ τοῦ λάπτειν.

Λ άπυνον, ὀλὸς δριμύς. ¶λάρβις, λάραβες τοὺς κρέοντας ῥωμαῖοι οὕτως. ¶λάρισσα, πόλις συρίας κοίλης, καὶ θετταλίας. ¶λαρίεθος, φλοιὸν σιγάριον. ¶λαριναῖον, κύβων οἱ ἁλιεῖς τὸν ἐκ λευκάδος ἢ μέσον. ¶λαρινευτὴς, ἁλιεύς. ¶λαρινοὶ, βόες ὑπερφεῖς. ¶λαρινεύεσθαι, σιτεῖσθαι. ¶λάρινος ἰχθὺς ποιός. ¶λαρκάνη, ἡ θετταλία. ¶λαρκὸν πλέγμα φορμῷ ὅμοιον, ἐν ᾧ ἄνθρακας φέρουσιν ὅτε δὲ καὶ ἰσχάδας.

Λ αρκὸς, ἀνθράκων φορμός. ¶λάρναξ, κιβωτὸς, σορὸς κάμπτρα. ¶λαρὸν, ἡδὺ προσηνὲς γλυκὺ ἀπολαυστικὸν καλόν. σπάνιον ἄπληστον λαβρόν.

Λ άθξ, ἄκανθα. ¶ Λαθεῖν, ἑκόντα παρὰ τὸ μέμψασθαι, ἢ ὅλως
εἰς νῦν οὐκ ἔχειν, διαβλέψαι. ¶ Λαθήβας, πέροντας.
Λ αθικήδεα, λανθάνειν ποιοῦντα, λήθην τῶν κακῶν ἐμποι
οῦντα τοῖς παισίν. ¶ Λαθικηδής. λυσίκακον, παυ
σίλυπον. ¶ Λαθίποιν, οὐ τιμωρούμενον.
Λ αθινόστος, ὁ βραδύνων ἐπανελθεῖν. ¶ Λαθίφρων,
ἄφρων ἐπιλήσμων. ¶ Λάθρα, κρυφίως ἠρέμα,
ἡσύχως. ¶ Λάθρα. αἱ δίκαι ἡλεῖοι. ¶ Λαθρακό
ζων, χαλιναγωγῶν σκελοί. ¶ Λαθρέως, ἀγνώστως.
Λ αθρός, λάθρεος κρυφὸς μυχός. ¶ Λαθροῦν, βλά
πτειν. ¶ Λάθυρος, εἶδος ὀσπρίου. ¶ Λαθών, ἀγνώ
στως πράξας τι. ¶ Λαί, ἐπὶ τῆς αἰσχουργίας.
Λ αιά, ἀριστερά. ¶ Λαιάν, ἐκκλησίαν, κτῆσιν, συνοικεῖν
λαίαν ἐπὶ τῆς λείας. ¶ Λαιάνει, λεπτύνει.
Λ αίβας, ἀσπίδας κρῆτες. ¶ Λαίβα, ἀσπίς, τεῖχος
πέλτη. ¶ Λαῖγμα, περικεφαλαίας κόσμος.
Λ αἴγγες, λίθοι, ὑπὸ ὕδατος λελιασμένοι. ἔνιοι φάγ
γες, ἄλλοι, χάλικες μικροὶ λίθοι. ¶ Λαίγματα,
τμήματα, οἱ δὲ σπέρματα, ἰδίᾳ ἀπάργματα.
Λ αίγνος, λάσταυρος. ¶ Λαίδιον, ἀριστερόν, εὐώνυμον.
Λ αῖδος, λαιδὸς τριβώνιον. ¶ Λαιδρή. ἀριστερά. θρα
σεῖα. ¶ Λαιδρός, λαμυρός. ἀναιδής. λεῖνος. θρασύς,
ταχύς, ἀριστερός. ¶ Λαίειν. φθέγγεσθαι. ¶ Λαίετη.
καταλύεται ἀπὸ τοῦ λαός. ¶ Λαίεται. καὶ κατελεύ
σεται. ¶ Λαιό. ἀριστερά. ¶ Λαιθάργος, πολὺ λα
θραίως. ¶ Λαιθαργοί, κύνες οἱ κρύφα δάκνοντες.
Λ αιθαρίζειν, λαμυρῶσαι, διαπράξασθαι. ¶ Λαιλά
ξαι, τὴν γλῶσσαν διεξελθεῖν. ¶ Λαιλάπτος, ὅταν συν
νεφὴς ᾖ ἀνεμώδης ὁ ἀήρ. ¶ Λαίλας, ὁ τύραννος
ὑπὸ λυδῶν. ¶ Λαίλαψ, καταιγὶς ἀνέμου συστρο
φὴ μετὰ ὑετοῦ. ¶ Λαιμά, λάμυρα. ¶ Λαιμέτη
εἰς βρῶσιν ὡρμημένη. ¶ Λαιμάζουσιν. ἐσθίουσιν ἀμέτρως.
Λ αιμαλαιόν, ῥυσόν. ¶ Λαιμᾶν, ἐσθίειν ἀμέτρως.
Λ αιμάζειν, ὁμοίως. ¶ Λαίμαργος, φάγος, ἄπληστος,
ἐπὶ τοῦ φαγεῖν μανιώδης. ¶ Λαιμός, ὁ φάρυγξ, ὁ τρά
χηλος, ὁ λάρυγξ ὁ βρόγχος. ¶ Λάϊνον, λίθινον, πε
λασγόν, ὁ πύργος λίθινος. ¶ Λαινόχειρ, σκληρὰ
χείρ. ¶ Λαῖνος, καὶ ὁ στραπόρος γῆ καὶ ἀριστερός.
Λ αιός, ἀριστερὸς καὶ λαός. ¶ Λαιπός, κίναιδος, λά
σταυρος. ¶ Λαιπτύνηρον, ἀναπεπλασμένον ἰσχυρόν.
Λ αισηιοφόρος, ὁπλοφόρος. ¶ Λαισήϊς. ἡ πτερύγια
διωμίς. ¶ Λαίσια μέλη. ¶ Λαισήϊα, θυρεοῦ γέ
νος. ¶ Λαισήϊα, ἐπειδὴ δασεία ἐστὶ ἀπὸ βύρσαις αἰγείαις
περιβεβλῆσθαι. περιφέρονται ἡ πάνυ κοῦφα, ὡς καὶ τῇ
λαιᾷ χειρὶ δύνασθαι βαστάζεσθαι. ὅπλα λάσια, ὅπερ ἐστὶ
δασεία αἰγείαις βύρσαις περιβεβλημένα ἔτι τὰς τρί
χας ἐχούσαις. ¶ Λαίστρος, κίναιδος πόρνος.
Λ αισκάπτραν, λαμυράν. ¶ Λαισπάσις, βύπασις. λδι
κάδιοι. ¶ Λαισποδίας, ὄνομα κύριον, ἔνιοι δὲ τὸν ἀλ
κμαίωνα ᾠήθησαν λέγεσθαι. οἱ δὲ τὸν δρεπανώδεις
πόδας ἔχοντα. ¶ Λαίσασθαι, κτίσασθαι.
Λ αίσρον. ξυστῆρα. πλύον. ¶ Λαιστρυγόνες, οἱ νῦν λεοντῖ
νοι. ¶ Λαιστρυγονίη. ἡ τῶν λαιστρυγόνων πόλις.
Λ άϊτον. τὸ ἀρχεῖον. ¶ Λαϊτῶν, τῶν δημοσίων τόπων.
Λ αῖτα, πέλτη. ¶ Λαῖτμα, πέραμα, τὸ θύρα, οἱ μὲν,
ὅρμημα, οἱ δὲ τὸ κῦρος. ἄλλοι τὸ διάστημα τοῦ πελάγους.

διὰ τὸ μέγα ἢ πλατύ. καὶ τὸ κῦμα. ¶ Λαιτμάθη
μα. στροβούμενον ὄρμημα ἀπὸ τοῦ θεοῦ. ¶ Λαῖτος, ἀκέ
ρατος ἢ ὄνομα κύριον. ¶ Λαῖφα, ἀσπίς. ¶ Λαι
φαί, ἀναιδεῖς θρασεῖς στυγναὶ πλημμυραί. ¶ Λαιφία
ῥάκκη. ¶ Λαιφάσσονες, ψηλαφοῦντες. ¶ Λαίφε
σιν, ἀρμένοις. ¶ Λαῖφος, τὸ ἱστίον ἤγουν τὸ ἄρμενον.
Λ αιφή, δαπανωσιβόροι. ¶ Λαιψηρόν, ταχύ.
Λ αιψηρά, ταχέως ἢ ταχεῖα. ¶ Λαιψηρῶς, ταχέως,
ταχὺ γὰρ τὸ λαιψηρόν. ¶ Λακάζει, λέλακε βοᾷ ἀπὸ
τοῦ λακεῖν. ¶ Λάκαινα, κυλίκων τι εἶδος. ¶ Λακάρ
τη. λακάρη, δένδρον τι. ¶ Λάκας, φάραγγας.
Λ ακκατήσας, πατήσας. ¶ Λάκε, ἰδίωμα ἔχει ἐθλά
σθη, συνετρίβη, ὀχῆσαι. ¶ Λακεδάμα, ὕδωρ ἁλμυρὸν
ἁλσὶ πεποιημένον, ὃ πίνουσιν οἱ τῶν μακεδόνων ἀγροῖ
κοι. ¶ Λακεδαίμων, ἡ σπάρτη. καὶ ποτὲ μὲν ἡ πελο
πόννησος ἡ χώρα πᾶσα. ποτὲ δέ, πόλις ὁμώνυμος
τῇ χώρᾳ. ¶ Λακεῖν, ψοφῆσαι. ¶ Λακερόν, εἰκαῖ
ον. ¶ Λακέρυζα, κράκτρια. λοίδορος. φλύαρος.
μεγάλα κράζουσα κορώνη, ἡ λάλος. ¶ Λακεράζεσθαι
τὰ αὐτά. ¶ Λακδρωτάν, συνεσταλμένον. ¶ Λακη
ράκκη, κρότος. ¶ Λακηλῆξαι, διαρρῆξαι. ¶ Λακη
ρμόν, ὃν οἱ ἀττικοὶ γλωσσοκόμον καλοῦσιν. ¶ Λακῆ
σαι, πατάξαι. ¶ Λακιάδαι, δῆμος τῆς ἀττικῆς, ῥα
φανίδας φέρων ὃν ἐπιβοῶνται κατὰ τῶν μοιχῶν.
Λ ακίδαι βάλλει. ¶ Λακίδες, σπαδόνες σπαράγματα
ἱματίων. ¶ Λακιδήμονος, ψοφοῦντος, ἠχοῦντος.
Λ ακίδες, τὰ λεπτὰ τῶν ἀρμενίων σχήματα. ¶ Λακιδο
φορῶν, οὐχ ὑγιέος. ¶ Λακίζει, θωπεύει, ῥηγνύει ῥύσ
σει. ¶ Λακιναείδιον, ῥωμαῖοι ὑπόδημα. ¶ Λακίς
ῥαγάς, ἐμβολή. ῥαφή. ξάσμα. σχίσμα. ¶ Λάκισμα
τὰ αὐτά. ¶ Λακισθῆναι, ῥαγῆναι. ¶ Λακὶς χθονὸς
χάσμα γῆς. ¶ Λακκοπέδα τοῦ σκελετοῦ φησὶν διαχα
λασθέντος ὀσχέου, καὶ τῶν διδύμων κρεμασθέντων, καλεῖ
σθαι λακκοπέδα, ποιεῖ δὲ διαπαντὸς καθειμένον ἔχον
τας αὐτό, λακκοσχέας, θύφρονίτος. ἐπὶ ὀσχέα λέγεται τὸ
ἀγγεῖον ὅπου οἱ δίδυμοι ἐμβέβληνται. ἀπὸ μέρους
τὸ μόριον. οὐκ εὖ. φασὶ γὰρ τὸ ὀσχέα πάντοθεν καθειμένα
λακκοσχέας προσαγορεύεσθαι τοὺς ῥιούτους.
Λ ακκοσκαπόδρος, λακκόπρωκτον.
Λ ακκόπλουτος. ὁ καλλίας ὑπὸ τῶν κωμικῶν διὰ τὸ
περὶ τοῦ χεῖρ χρυσοῦ εἰς φρέαρ βεβλημένου.
Λ ακκέμεναι, φαγέσθαι. ¶ Λακόπτειν, πυνθάνε
σθαι. ¶ Λακόπιον, πυθίον. ¶ Λάκκοποι, ἀρχή
της ἔνθα οἱ κλέπται κρίνονται. ¶ Λάκκος, ἦχος ψό
φος. ¶ Λακπατῆσαι, λακτίσαι, καταπατῆσαι
ἀναξέψαι. ¶ Λακρατίδης, ἀριστοφάνης φησὶ πα
λαιὸν λακρατίδην τὰ ψυχρὰ βουλόμενος δηλοῦν. ψυ
χροὶ γὰρ οἱ γέροντες. ¶ Λακρὶς καὶ λαικτὴς κώ
πη πόρνη. ¶ Λακτίδες, αἱ ἐπὶ δήμησος ἱερεῖαι
ἀπὸ τόπου. ¶ Λάκτισμα, λάκτισμα. ¶ Λάκυρος
στιμφυλίας οἶνος. ¶ Λάκων. εἶδος παρὰ τακτι
κοῖς, ὃ ὁ σπαρτιάτης ἄντικρυ τῶν ἀθηναίων.
Λ ακωνικὸς χιτών. λεπτὸς ἐσθός. ¶ Λακωνίζειν, πα
δίοις χρῆσθαι. ¶ Λακωνικαί, ὑποδήματα ἃ κα
λεῖται ἀμυκλαῖδες. ¶ Λακωνικὸν τρόπον, τὸ πορεύ
ειν καὶ παιδεραστεῖν, τὸ παρέχειν ἑαυτὸν τοῖς ξέ

Κώπη, ἡ τοῦ ξίφους λαβὴ καὶ ἡ ἐγχειριδίου καὶ ὁ ἐπὶ κώπης τῆς νεώς. ¶ Κωπηλάται, οἱ ταῖς κώπαις περιεσσέφοντες τὸ πλοῖον. ¶ Κωπητὴρ, ὁ σκαλμὸς ἐπὶ κώπης. ¶ Κωπήλατα, κοπαιώδη μακρά. ¶ Κώρα ὕβρις. ¶ Κωράλλιον, παιδίσκιον. κόριον. ¶ Κοραλλεῖς. οἱ ἀναλέγοντες τὸ κουράλιον παρὰ σκελοῖς.

Κωραλίσκιον, μειράκιον. ¶ Κωρέα, ἄκρα ἀρχὴ διπλῆ.

Κωρία, κουρίς, κουρεύτρια. ¶ Κωριδάμνας, ἀκρίς.

Κωριδεσάες, ζῶον θαλάσσιον. ¶ Κωρίθιον. χόρτον

Κωρίς, ψαλίς. ¶ Κωρύκειος ἠκροάζετο, παροιμία παρὰ κωμικοῖς ὡς θεοῦ τινὸς ἐπακροωμένου.

Κωρυκίδιον, ὅπερ οἱ ῥάπτοντες δερμάτινον κοίλωμα τῷ ἀριστερῷ πήχει περιτιθέασιν. ¶ Κώρυκος, θυλάκιον. ἔστι δὲ δερμάτινον ἀγγεῖον ὅμοιον ἀσκῷ. οἱ δὲ πλοῖον. οἱ δὲ λόγχην. ¶ Κῶς, νῆσος, καὶ δέρμα. εἱρκτὴ δεσμωτήριον. ¶ Κωτίλλει, δολίως ἀπατᾷ.

Κωτίλλουσα, κολακεύουσα. ¶ Κωτίλλω, κολακεύω.

Κωτίλη, λαλίστατη. ¶ Κώτιλον, ἡδύ. ξανές. λάλον. εὔστομον. ¶ Κώτιλος, πανοῦργος, ἀπατηλός. κολακευτής. ἀπατεών. δόλιος. λάλος. ¶ Κωφᾷ, πηροῖ.

Κωφὰν, κωφήν. ἀναίσθητον. ¶ Κωφεῖ, κακουργεῖ, βλάπτει, κωλύει, πηροῖ. ¶ Κῶφον, νεκύσια κωφά.

Κωφεῦσαι, ἀναισθητῆσαι, ἡσυχάσαι, σιωπῆσαι.

Κωφὰ, ἀναίσθητα νεκρά. ¶ Κωφῶσαι, κωλῦσαι.

Κώφησις, κώλυσις. ¶ Κωφητέος, βλαπτέος.

Κωφίας, ὄφεως εἶδος ὁ καὶ τυφλίας. ¶ Κωφόν, ἀναίσθητον μωρὸν τὸν ῥοῖζον μὴ ποιοῦντα. ¶ Κωφὸς οὔτε λαλῶν οὔτε ἀκούων ἐννεός. ἀσθενής.

Κωφεύει. μετεωρίζει, φέρει, κουφίζει, τὸ δὲ αὐτὸ καὶ κωφεύει. ¶ Κωχεύουσιν. ὀχοῦσι μετεωρίζουσι. σοφοκλῆς πιστοί μετ' καμίκην κωχεύουσιν· ἐμφορεῖ δόμας

ΑΡΧΗ ΤΟΥ Λ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Λ ΜΕΤΑ ΤΟΥ Α.

Λᾶ, ἐπὶ τοῦ μεγάλη καὶ τοῦ λίαν ἐτάσσετο, ὅθεν καὶ λεκάνη ἡ μεγάλως κεχηνυῖα. ¶ Λᾶαν, λίθον ἢ ὁρᾶν ῥητορὶν πόλις καὶ θυλάκιον ἐν ᾧ οἱ ἡνίοχοι τὰς μάστιγας ἀποτίθενται. τινὲς δὲ μάστιγα ἢ λίθον.

Λάανα, ἐπίσκοπον. ¶ Λᾶας, λίθος, πέτρα ἢ τεῖχος.

Λαβά. σταγών. ¶ Λαβάς, ἀντιλήψεις. ¶ Λαβάδιον, λακανίσκη. ¶ Λάβδα, ὅπλον ἢ στοιχεῖον ὑγρὸν καὶ ἀμετάβολον. ¶ Λάβεν, ἔλαβεν. ¶ Λάβη γωνιῶν, λαβοῦ τῶν γωνιῶν. ¶ Λαβὴ, ἀφορμή, ὁρμὴ καὶ ἡ τοῦ ξίφους λαβή. ¶ Λαβὴν, αἰτίαν. ¶ Λαβήροις, ποτηρίοις. ¶ Λάβιρος, βόθυνος. ¶ Λαβίς, σκεῦος, χρυσοχοϊκόν. ¶ Λαβόμενος, δραξάμενος. ¶ Λαβραγορεῖν, σφοδρῶς δημηγορεῖν. ¶ Λαβραγόρης, λάβρος ἐν τῷ λέγειν, προπετὴς ἐν τοῖς λόγοις, τινὸς ἄκαιρον, ἐν τῷ δημηγορεῖν. ¶ Λαβράζει, λάβρος γίνεται ἀκολασταίνει προπετεύεται. ¶ Λαβρεία, ἡ τοῦ λόγου ἔκλυψις. ¶ Λαβρεύονται. ῥέουσι, μεγάλα βουλεύονται, θορυβοῦσι σφόδρα. ¶ Λαβρεῦσαι λάβρως καὶ ἀθρόως λαλεῖν. ¶ Λαβρεύεαι, ματαιολογεῖς προπετεύῃ, ἀθρόως λέγεις ἀμέτρως.

Λάβρον ἀθρόον. προπετές. ταχύ. μαινόμενον. βορόν.

Λαβρόνιον, εἶδος ποτηρίου πλατέος.

Λάβρος, πολὺς σφοδρός. ¶ Λαβροσπάδων, χορτασμῶν ἀκόσμων. ¶ Λαβροστομία, ἡ διάχυτος λαλιά. ¶ Λαβρότατος, σφοδρότατος.

Λαβρώτιον. εἶδος ποτηρίου. ¶ Λαβρύσσει, λαβρεύει.

Λαβρύσσει, διελαύνει. ¶ Λαβύρινθος, κοχλιώδης τόπος. λέγεται δὲ ἡ λέξις ἐπὶ τῶν φλυάρων, παρὰ τὸ πολλοῖς κύκλοις λόγον κεχρῆσθαι.

Λακρίτεται, μεθύεται. ¶ Λακερόν, τὸ μηνιαῖον.

Λάγανα, εἶδος πλακουντικοῦ ὡς πυρώδη ἀπὸ σεμιδάλεως ἐν ἐλαίῳ τηγανιζόμενον, ἢ ἀρτίδια ἐν ἐλαίῳ. ¶ Λαγαριζόμενοι, σκαλεύοντες. δηλοῖ δὲ τὸ πρὸς τὰς λαγόνας τὸν ἀγκῶνα προσάγειν πυκνὰ διαπείροντα τὴν χεῖρα. ¶ Λαγαρεῖ, ἀφαιρεῖ.

Λαγάσαι, ἀφεῖναι. ¶ Λαγβαδὸν, ἀνατετραμμένον. οἱ δὲ λάκανον ἐμβάλλοντα. ¶ Λάγγα, ἡ τῇ τροφῇ διδομένη μερίς. ¶ Λαγγάζει, ὀκνεῖ, οἱ δὲ λαγγεῖ.

Λαγγανόμενος, περισπώμενος, στρατευόμενος.

Λαγγάσαι, περιφυγεῖν. ¶ Λαγγεύει, φεύγει.

Λαγνίς, δόρυ. ¶ Λαγγαρεῖ. ἀποδιδράσκει.

Λαγγὼν, μετάβολος. ἔμπορος. ¶ Λαγηρός, σμίλαξ.

Λάγησθος σκελοί. ¶ Λαγέτης, ἡγεμὼν ὄχλον συναγαγών. ¶ Λαγεινά, δεινά.

Λάγκει, ἔοικει. ¶ Λαγνὸς, ὁ εἰς τὰ ἀφροδίσια καταφορός. ¶ Λαγίναρχος, ὁ ἐξουσίαν ἔχων τοῦ οἴνου.

Λάγνα, κάμπτρα κιβωτός. ¶ Λάγνης, καταφορὴς πρὸς τὰ ἀφροδίσια. ¶ Λάγνος, ὁ αἰσχρὸς περὶ πορνείαν ἐπτοημένος. πόρνος. ¶ Λαγοθήρας, ἀετοῦ εἶδος. ¶ Λαγόνες, χίσμα γῆς. ¶ Λαγορεῖς, ἐκκλησίαι. ¶ Λαγονίτης, εἶδος πλακοῦντος.

Λαγρὸν ἢ λαγρὸς, κράββατον. ¶ Λαγχάνειν, κληροῦν. ¶ Λαγρίνης. ὄρνις ποιός. ¶ Λαγὼν, ὁ ὑπὲρ νεφρῶν τὸ ἰσχίον. ¶ Λαγώνεια, λαγοῦ κρέα.

Λαγὼς, ὁ χερσαῖος. λαγὸς δὲ ὁ θαλάσσιος καὶ ποτάμιος. λαγὼς καθεύδων, παροιμία ἐπὶ τῶν προσποιουμένων καθεύδειν. ¶ Λαγὼς, περὶ τῶν κρεῶν, δῆλον ἅπαν τὸ ζῶον ὁ λαγώς, ἐλέχθη δὲ, ἐπεὶ ἐκωμῳδεῖτο ἐπὶ δειλίᾳ τοῖς ῥητορικοῖς. καὶ ἐλέχθη ἐπὶ τῶν διακινδυνευόντων τὰς ψυχάς, καὶ πρὸς ἀνδρείως καρτερῶς ἀγωνιζομένων. ¶ Λάγανον, τὸ μὲν, ἀπὸ τῶν παγωνίων τῶν ἀγρῶν καὶ τὸ κρέας. τὸ δὲ, ἀπὸ τῆς βοτάνης δηλῶν.

Λάδας, ἔλαφος νεβρίας. ¶ Λασδοίατο, λαμβάνοιντο. ¶ Λάδομαι γνώμην. τίθημι.

Λαδωγενὴς, ἡ ἀφροδίτη, ὅτι ἐπὶ τῷ ἐν ἀρκαδίᾳ ποταμῷ, λάδωνι ἐγεννήθη. ¶ Λάδων, ποταμὸς ἀρκαδίας. ¶ Λάε, ἐψόφησεν· οἱ δὲ ἐφθέγγετο, ὁ μὲν λάε νεβρὸν ἀπάγχων. ¶ Λάεσσι, λίθοις.

Λάετε, σκοπεῖτε, βλέπετε. ¶ Λαοπάσιος, λιθοξόος. ¶ Λάζειν, ἐξυβρίζειν. ¶ Λάζεσθαι, λαμβάνειν. ¶ Λάζετο μῦθον, ἐλάμβανε τὸν λόγον.

Λαζίνης, χαραδρίας, καλαρίας ἰχθύς. ¶ Λαζοίατο, λαμβάνοιτο. ¶ Λαζὼν, ἀλαζών. ¶ Λαζύμεναι λαμβάνουσαι. ¶ Λαόμεναι, φθέγγεσθαι. ¶ Λάηται, βούληται. ¶ Λαθαίδεμ, λάθρα. ¶ Λάθαργοι σκώληκες, ἢ τὰ ξυόμενα ἀπὸ τῆς βύρσης ὑπὸ τῶν ἀργαλέων, ἢ κύνες κρυφίως δάκνοντες. ¶ Λαθάργω, λαθραίως. ¶ Λαθοσμεῶ, νίη. λήθη ἢ λησμοσύνη.

μελιωτοφάτναι. ¶Κυψελὶς, ὁ ἐν τοῖς ὠσὶ ῥύπος.
Κύψελον, κύβδρ τῶν μελιττῶν. ¶Κύψελος, ὄρνις ποιός, ὅμοιος χελιδόνι. ¶Κύων, ὁ ἐλαυνόμενος τοῦ σιδήρου τοῦ ἀργοῦ διὰ κλώμενος ἀσινθορ, οἱ δὲ, τὴν ἐκείνων, οἱ δὲ τὴν νόσον τὴν οὕτω λεγομένην κύνα. δηλοῖ δὲ καὶ τὸ αἰδοῖον μόριον καὶ τὸ ὑλακτοῦν ζῶον. καὶ τὸν αἰγιαλόν. καὶ τὸ ἄστρον. καὶ τὸ θαλάσσιον ζῶον, καὶ ἀπὸ τῶν κύβων τῶν βόλον τινά. ὃς χῖος καλεῖται.
Κύων ἐστὶ δεσμά. παροιμία ἐπὶ τῶν ἑαυτοὺς εἰς κολάσεις ἐπιδιδόντων. λέγεται δὲ καὶ βοῦς ἐστὶ δεσμά.
Κύων παρ' ἐντέροισι, παροιμία ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν παρακειμένων.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ω.

Κώδα, ἐνέχυρα. ¶Κωάζειν, ἀστραγαλίζειν.
Κ ἐνεχυράζειν. ¶Κωαθὶς, ἐνεχυριασθείς.
¶Κῶας, κώδιον, τάπητα, ὀφθαλμούς.
Κώβαλα, πανουργήματα. ¶Κώβαλοι, κύπινοι ῥοιῶν.
Κώβαξ, ὁ μέγας τέττιξ. ¶Κωβύλη, συνουσία καὶ βελόνη. ¶Κωβηλίνη, ἡ πιτεία. ¶Κωβῖτις, ἡ λευκία φυλή. ¶Κωδάλη χοῖνιξ, παροιμία ὡς μείζοσι μέτροις κεχρημένου ἀγορανόμου. ¶Κωδία, κωδὶς, κεφαλὴ χωρὶς στόματος. ¶Κώδιον, σκύλον, ἢ δέρμα προβάτου χωρὶς στόματος. ¶Κωδία ἡ ἐπὶ μήκωνος κεφαλή. ¶Κωδύνης. γένος ἰθαγενῶν ἀθηνησιν. ¶Κωδωνίσκος, σφαιράσκος ἤχισμος.
Κωδωνῆσαι, δοκιμάσαι, διαπειράσαι, ἀπὸ τῶν φυλάκων οἱ τοὺς κώδωνας ἐκφέρουσιν ἐπὶ πειρασμῷ τοῦ γρηγορεῖν.
Κωδωνίσω, δοκιμάσω, ἀπὸ τῶν ἵππων ἢ ὀρτύγων.
Κωδωνοφορῶν, οἱ περιπολάρχαι ἐπὶ τοὺς φύλακας ἐρχόμενοι, κώδωνα διέσειον καὶ οὕτως διεπείραζον τὸν καθεύδοντα. ἀπὸ δὲ τῶν ὀρτύγων ἡ χρῆσις, τοὺς γὰρ ὑπομείναντας τὸν ἦχον τοῦ κώδωνος φασὶν ἐπιτηδείως ἔχειν πρὸς μάχην. φασὶ δὲ καὶ τοὺς ἵππους τοῖς κώδωσιν διεπάζεσθαι. ¶Κώδων, σάλπιγξ, ἤχεῖον κύμβαλον. μήκων, κάλυξ. ¶Κώθα, ποτήρια. ¶Κῶθυ, κωβίος. ¶Κωθύλαι, ὄνοις.
Κώθων, ἄπαρκτος, μέθυσος, μόνωτον ποτήριον. κεράμειον εἶδος ποτηρίου. ¶Κωθωνῆσαι, μεθύσαι.
Κωὶ, ἀστράγαλοι. ¶Κώϊον, ἐνέχυρον, καὶ ἱμάτιον.
Κώκαλον, παλαιὸν καὶ εἶδος ἀλεκτρυόνος.
Κωκύει. βοᾷ. θρηνεῖ. κλαίει. ¶Κωκύσασα, θρηνήσασα. ¶Κώκυσε, μετὰ θρήνων ἀνεβόησε.
Κωκυτὸς. κοπετὸς. θρῆνος. ὀδυρμός. ¶Κωκυτοιρεῖν θρηνεῖν. ¶Κωκυτὸς, θρῆνος καὶ τὰ ὅμοια, καὶ ὄνομα ποταμοῦ ἐν ᾅδου. ¶Κωκυτὸς, ὅρκος ἢ δεινοῦ στυγὸς ὕδατος ἐστὶν ἀπόρροιξ. ¶Κῶλα, πόδες, σκέλη, ὀστᾶ μέλη. κορκίδες. ¶Κωλαβοῖλαι, ταῦροι. ¶Κωλαβριθείησαν. κοπηθείησαν, ποδοκοπηθείησαν.
Κωλακρέται, ἀργυρικοὶ ταμίαι οὓς τινες οἴονται μόνον τοῦ δικαστικοῦ προΐστασθαι. ¶Κωλανιζόμενοι, ταχεῖ χρώμενοι ἀνέμοις ἴσα. ¶Κῶλα πατεῖν, τὰ ἄρθρα. ¶Κωλαβρίας, τοὺς ἐκ τῆς ἀγέλης παῖδας.
Κωλεὰ, μέρος κρέατος, ἀγκαλὶς δέσμη χόρτου, τινὲς σκέλος ὑὸς ὀπίσθιον, ἢ περσικῆς τὸ ἐσθιόμενον.
Κώλειρ, τὸ προτιθέμενον ἆθλον τοῖς ἀγωνιζομένοις.

Κωλετίναις, ἀσκαλαβώταις. ¶Κωλῆν, κωλεόν.
Κωλῆμες, ἀκροκώλια. ¶Κωλίαν, ἰγνύαν, τὴν πρὸ κνημίαν, τὴν κνήμην. ¶Κωλιὰς, ἀκτὴ εἰς θάλασσαν διέχουσα καὶ ἴσως διὰ τὸ κώλῳ ἐμφερὴς εἶναι.
Κωλιὰς, ἀφροδίτης ἐπικωλιάδος ἐστὶν ἱερὸν ἐν τῇ ἀττικῇ. ὁ δὲ τόπος λέγεται κωλιὰς, ἐπεὶ ἐγκείμενός ἐστιν ὅμοιος ἀνθρώπου κώλῳ. ἔστι δὲ καὶ δήμητρος ἱερὸν αὐτόθι πολύστυλον. ¶Κωλιεῖς, γένος ἰθαγενῶν ὅπερ ἐκ τῆς κωλιάδος. ¶Κωλική. σκελική. ¶Κώλοισι, πελίοισι. ¶Κωλύμη, μεμφώδη. ¶Κωλυσανέμας ὁ ἐμπεδοκλῆς οὕτω καλεῖται, ὡς ἐπισχούμενος ἐφεξῆς τοὺς ἀνέμους. ¶Κωλύσω, λυπήσω. ¶Κωλυτὴρ, σημεῖόν τι ἐνθυτικὴ καὶ θυσία τίς κωλυτηρία.
Κωλώτης, ἀσκαλαβώτης. ἔλεον δὲ αὐτὸν καὶ γαλεώτην. δοκεῖ δὲ αὐτὸς δυστόχως ἀπελθεῖν περὶ τὰς μυίας.
Κῶμα, κοίμισμα, ὕπνος λιθώδης, καταφορὰ ὕπνου βαθίος. ¶Κωμασδεῖν, ὀρχεῖσθαι. ¶Κωμάζει, κωμῳδεῖ. ὑβρίζει μετὰ μέθης. ¶Κῶμαι, ἀγυιαὶ ῥύμαι. ¶Κωμαίνει, νυστάζει. ¶Κωμακὸν, ἄρωματικόν τι. ¶Κωμαστὴς, συφεὼν μετ' ᾠδῆς.
Κωμαστοῦ, τοῦ κωμάζοντος τοῦ πομπεύοντος μετ' ᾠδῆς.
Κωμᾶται, μαγκύει. ¶Κώμη, ἄμφοδον χωρίον.
Κωμικὴ, ἀττική. ¶Κωμαίνεσθαι, κείρασθαι.
Κωμήτης. γείτων, κῶμαι γὰρ τὰ ἄμφοδα. ¶Κωμωνία, κορυκοσμία. ¶Κῶμοι, ἀσελγῆ ἄσματα πορνικά. συμπόσια ᾠδαί. ¶Κῶμος, εἶδος ὀρχήσεως ποιμένος τινός. ἢ μελῴδη τινός. ¶Κώμυθα, δάφνη ἣν ἱστῶσι πρὸ τῶν πυλῶν. δηλοῖ δὲ καὶ δέσμην χόρτου καὶ τὰ κατ' ὀλίγον τῶν δραγμάτων. ¶Κωμῳδοὶ, κωμικοὶ τραγῳδοὶ καὶ χορευταὶ τραγῳδοὶ οἱ τραγικοὶ ποιηταὶ διδάσκαλοι. ¶Κωμῳδούμενοι, παιζόμενοι παρὰ τὴν τραγῳδίαν. ¶Κωμῳδοῦντες, θριαμβεύοντες, πομπεύοντες. ¶Κῶς, νῆσος πρὸς τὴν ῥόδον. μία τῶν κυκλάδων ἢ τῶν καλυδνῶν. ¶Κώνα, βέμβιξ.
Κωνᾶν, περιδινεῖν. ¶Κωνεῖαν, νάρθηκα καὶ πίτυς εἶδος. ¶Κωνῆσαι, περιστροφῆσαι καὶ κύκλῳ περιενεγκεῖν. καὶ πιτυοκώνειον μόρον λεγόμενον ὅταν πίωσι καταχρισθέντες τινὲς ὑπὸ πυρὸς ἀποθνήσκουσιν. αἰσχύλος καὶ κρατῖνος κρήσσαις. πισσοκωνία δὲ ἡ νῦν πισσία ἢ χρίουσι τὰ περιδέθμια τῶν προβάτων. ¶Κώνητες, θύρσοι. ¶Κώνειον, δηλητήριον ὄργι θανάσιμον. βοτάνη νάρθηξ. ¶Κωνὶς, ὑδρίσκη. ¶Κωνοειδῆ. τοιούτου τοῦ σχήματος. ¶Κῶνοι, οἱ θύρσοι καὶ οἱ στρόβιλοι καὶ οἱ στρόμβοι. ¶Κῶνον, περικεφαλαία. καὶ ὁ ἐπὶ πίτυος καρπὸς, ἡ παρὰ τοῖς γεωμέτραις, σχῆμά τι στερεὸν, καὶ στρόβιλος. ¶Κῶνος, τόπος ἐν κλαζομεναῖς.
Κωνόσπερμον, ξύει. ¶Κωνοφόρον, στροβιλοφόρον.
Κωνοπιοθήρας. ὄρνις ὁ κώνωπας θηρεύων. ¶Κῶον, ἱμάτιον, ἢ ἐνέχυρον. ¶Κῶος χῖον, ὁ κῶος ἀστράγαλος ὁ ἕξ. ὁ μὲν γὰρ χῖος ἐδύνατο ἕν, ὁ δὲ κῶος ἕξ.
Κωπαΐδες, ἐν τῇ κωπαΐδι λίμνῃ ἐγχέλεις μέγισται γίνονται, ταύτας οὖν τὰς ἐγχέλεις κωπαΐδας λέγουσι. ¶Κῶπαι, πόλις ἐπὶ βοιωτίας. ¶Κώπης, τὸ ἄνω· κώπαιον, τὸ δὲ κάτω πλάτη. ¶Κώπεις, τὰ εἰς κώπας εὔθετα ξύλα. ¶Κωπίταις, σφονδύλοις μεγάλοις ἰχθύων. ¶Κωπετὸς, θρῆνος.

ποτηρίου ἄωτον. ¶Κύπαρα, τὰ χοινία ἐκ κυπείρου πεπλεγμένα. ¶Κύπειρον, ἄνθος ἵπποις ἐδώδιμον. ¶Κύπειρος, φυτὸν ὃ καὶ ἐρείσκηπτρον.

Κύπη, ζώλη. ¶Κυπρία, πάλη, ἣν ἔνιοι πάμμαχον καλοῦσιν, οἱ δὲ ἄγροικον καὶ ἀπάλαιστρον διὰ τὸ τοὺς ἐν Κύπρῳ ἀτέχνως παλαίειν. ¶Κυπρίζουσαι, ἀνθοῦσαι. ¶Κύπρινος, ἰχθὺς ποιός. ¶Κύπριον, τὸ ἀρνόγλωσσον. ¶Κύπριος βοῦς, ἐπὶ κοπροφάγου ἐκ κοινοῦ τάσσεται τοῦτο, ἐπειδὴ οἱ κύπριοι βόες κοπροφαγοῦσιν. ¶Κυπρίς, πόρνη. ¶Κυπρογενέος, προσώπου, προαγωγοῦ. ¶Κύπρος, μέτρον σιτήρεον ὃ κεφάλαιον ἀριθμοῦ. ¶Κυπτάζειν, λαξίζειν, στρατεύειν καὶ ἐνασχονεῖν, ἐπικύπτειν, καὶ χρονίζειν. ¶Κύπτει, κάμπτει ἑαυτὸν κλίνει. ¶Κυπτὸν, ταπεινούμενον.

Κυρβάζωμεν, κρύψωμεν. ¶Κύρβαντες, κορύβαντες.

Κυρβάσια, ἐπὶ πλείων κροῦσιν. ¶Κυρβασία, ὀρθὴ τιάρα, ταύτην δὲ οἱ περσῶν βασιλεῖς μόνοι ἐχρῶντο, καὶ κορυφὴ ἀλέκτορος. ¶Κυρβάσαι, ἀποσκιρτᾶν.

Κύρβεις, στήλη τρίγωνος, ἢ ξύλινος ἄξων, ἐν ᾧ τὸ παλαιὸν οἱ νόμοι ἐγράφοντο. ¶Κύρει, ἐπιτυχεῖν, ἐστοχάζετο. ¶Κύρει, ὑπάρχει τυγχάνει. ¶Κυρεῦσαι, ἢ γυρεῦσαι φυτεῦσαι. ¶Κυρήβια, τῶν κριθῶν τὰ ἀποβρέγματα, καὶ κυάμων λέπυρα, καὶ τὰ τῶν κέγχρων ἄλφιτα. ¶Κυρῆναι. κυρηναῖοι λίθοι.

Κυρήνη, πόρνη τὶς οὕτως ἐκαλεῖτο δωδεκαμήχανος, διὰ τὸ τοσαῦτα σχήματα ἀφροδισίων ποιεῖν. ¶Κυρία, ἐκκλησία, μία κυρία ἐκκλησία ἤγετο ἀθήνησιν, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονεῖν ἔδει. ¶Κυριάζεις, ἀποκακεῖς. ¶Κυρίας, ἐπὶ κατὰ φύσιν ὑπαρχούσης δυνάμεως. ¶Κυριβάζεσθαι, λοιδορεῖσθαι, διαμάχεσθαι.

Κυριβάσασθαι, διαμαχέσασθαι, ἀπὸ τῶν κερῶν καὶ τῶν τράγων, ἔνθεν καὶ τὸ κυρίττειν. ¶Κυριβάτης καὶ κύριβος, ὁ ἀσελγὴς ἐν τῷ λοιδορεῖν. ¶Κυρίζεσθε, ὑβρίζεσθε. ¶Κύριθρα, προσωπεῖα ξύλινα. ¶Κυρίξειν, ἢ κυρίττειν κέρασι μάχεσθαι. ¶Κύριον, ἴδιον, αὐθεντικὸν γραμμάτιον. ¶Κύρις, ὁ ἄδωνις, ὃ πλέγμα τὶ χοινίου ὃ κυρτίς. ¶Κυρίσσει, κερατίζει τύπτει μετὰ τῆς κεφαλῆς ἢ βοᾶ. ¶Κύριθον, τὴν σφαῖραν.

Κυριττοί, οἱ ἔχοντες τὰ ξύλινα πρόσωπα κατὰ ἰταλίαν καὶ ἑορτάζοντες τῇ κορυθαλλίᾳ γελοιασταί.

Κυρίττειν, πλήσσειν. ¶Κυρίττολος, κορύπτης, πλήκτης. ¶Κορίττον, ἐν γαστρὶ ὄν.

Κυρίττοντες, κερατίζοντες κεφαλαῖς πλήσσοντες.

Κυρίως. βεβαίως, ἰσχυρῶς, ἀσφαλῶς. ¶Κυριότης ἡμέρα ἐν ᾗ τελοῦνται τὰ συμφωνηθέντα καὶ ἐπιστεχθέντα. ¶Κυρκανᾷ, κυκᾷ, ταράσσει. ¶Κύρμα, κύρημα ἐπίτευγμα. πολλοῖς ἐγκεκυρηκὸς πράγμασι.

Κύρνα. κρανία. ¶Κυρνίατα, ἃ ἐπὶ κύρνον ᾤκησαν τυρρηνοί. ¶Κύρνικα, κῶλα. ¶Κύρνοι, οἱ νόθοι.

Κυροῖ, βεβαιοῖ πιστοῖ. ¶Κύρον, οὔτ' εἶπον οὐδὲν πρὸς σὲ κῦρον ὦ γύναι σοὶ ἀνῆκον, εἰς σὲ τεῖνον. ¶Κῦρος, ἐξουσία, ἢ παῖς. ¶Κῦρος, ἀπὸ τοῦ ὑπὸ κυνὸς τεθράφθαι. ἢ ἀπὸ τοῦ ἡλίου, τὸν γὰρ ἥλιον οἱ πέρσαι κῦρον λέγουσιν, ἄλλοι βόθυνον, καὶ προσῆκον, καὶ ὄνομα ποταμοῦ τὸ κύρειον. ¶Κυρράνη, ὄνομα γυναικείας θεοῦ.

Κυρράσσειν, τοῖς κέρασιν ἐπιτυχεῖν κρούσαντα.

Κύρσαι, ἐπιτυχεῖν. ¶Κύρσαν, ἐνέτυχον.

Κυρσανίας, λακωνικῶς. ¶Κυρσάνιοι, τοὺς κυρακίσκους οὕτως ἔλεγον. ¶Κύρσας, ἐπιτυχών. εὑρών, κύριος γενόμενος. ¶Κυρσηβίδες, τὰ τῶν μελισσῶν ἀγγεῖα. κυψελίδες. ¶Κύριος. ἄρχων. βασιλεύς.

Κορσίον. μειράκιον. ¶Κύρτα, οἰδοῦντα μεμισημένα ἔνιοι δὲ οὐκ ἀγαθά. ὑπὸ δὲ τῶν ταραντίνων, κόπρον. καὶ τὰ ἔντερα τὰ δεκτικὰ κόπρων καὶ σκυβάλων τῶν βρωμάτων. ¶Κυρτεὺς, ἁλιεύς. ¶Κυρτιάδαι, δῆμος τῆς ἀκαμαντίδος φυλῆς. ¶Κύρσαι ἢ κυρῆσαι τοῖς κέρασιν ἐπιτυχεῖν. εὑρεῖν. ¶Κυρτίας, κελτοὶ τὰς ἀσπίδας. ¶Κυρτίς, ὀρνιθοτροφεῖον.

Κυρτὸν, τὸ κυρίως κυρτὸν, καὶ τὸ ὑψηλὸν καὶ μετέωρον κῦμα. ¶Κύρτος, ἀγγεῖον χοινῶδες ᾧ οἱ ἁλιεῖς χρῶνται καὶ τάλαρον. ¶Κυρῶ, τυγχάνω.

Κυρώδε, ὀλίκρανα. ¶Κυρῶ, κρατύνω βεβαιῶ.

Κυρωτῆρες, ἄρχοντες. ¶Κῦσαι, τῷ στόματι φιλῆσαι. ¶Κυσαμένη. κυέσασα ἄκυθον ἤτοι τὸ ἀτόκιον.

Κυσανίζει, ὁμιλεῖ. ¶Κύσας, φιλήσας. ¶Κῦσεν, ἐφίλησεν. ¶Κυστέρη, πυθμὴν χάσμα. ¶Κυσήγη, ῥοιά. ¶Κυσθοκορώνη, νύμφη. ¶Κυσίαι, παχητίαι. ¶Κυσοβακχαρεῖς, ἤγουν τὸν κυσὸν μερίζων, ἢ τῷ κυσῷ μεριζόμενος. ¶Κυσοδοκνία, ψωρία.

Κυσολάκων, ἀρίσταρχος φησὶ τὸν κλεινίαν οὕτω λέγεσθαι τῷ κυσῷ λακωνίζοντα. τὸ δὲ τοῖς παιδικοῖς χρῆσθαι λακωνίζειν ἔλεγον. ¶Κυσολαμπὶς, ἡ περιλαμπομένη ταῖς νυξὶ κανθαρίς. ¶Κυσονίπται, πόρνοι ἀπὸ τοῦ περιακολουθοῦντος. ¶Κυσὸς, ὁ πυγὸς, ἢ γυναικεῖον αἰδοῖον. ¶Κυσοχήνη, εἶδος δεσμοῦ οἱ δὲ θυρυπρωκτίαν. οἱ δὲ ξύλον, ἐν ᾧ ἁμαρτάνουσαι αἱ πόρναι ἐδεσμεύοντο. ¶Κύστροι, ἀγγεῖα τῶν μελισσῶν καὶ τυρίσκοι. ¶Κύστη, ἄρτος σπογγίτης.

Κύστιον, τὸ ἁλικάκκαβον. ¶Κύστις, ἡ φῦσα. ¶Κύτη μεγίστη. ¶Κύτινοι, τῆς ῥοιᾶς τὰ πρῶτα ἐξανθήματα. ¶Κύταρον, ζωμάριδος. ¶Κύτταροι, οὕτω τὰς τρύμας τῶν κηρίων ἔφη ἀρχαῖος. τινὲς δὲ σφῆκας, καὶ τὰ τῆς πεύκης καὶ πίτυος προανθοῦντα στροβίλια, καὶ τὰ πυθμένα. καὶ τὸ ἀκδίσμα αἱ βάλανοι, καὶ τῶν βαλάνων τὰ ἀγγεῖα. ¶Κύτος, σῶμα ὄγκος χώρημα βάθος

Κύττοι, τὸ δεκτικὸν χώρημα καθὼς ποτήριον, ἢ εἶδος ἄνθους διονυσιακοῦ. ¶Κύτωρον, πόλιν παφλαγονίας. ¶Κυφέλλα, τὰ νέφη. νεφέλη γνοφώδης, ὁμίχλη, ὁμιχλῶδες κατάστημα. ¶Κύφδρον ἢ κυφὸν κεφαλὸν κρίτων. ¶Κυφὸν, καμπύλον, κυρτόν. διὰ γῆρας ἐπικεκυρτωμένον. κύφων δὲ ξύλον βασανιστικὸν κολαστήριον ᾧ κατέτεμνον τοὺς θανάτῳ κατακεκριμένους. ¶Κύφων ὅπερ ἔνιοι συνάγχην καλοῦσιν, δηλοῖ δὲ καὶ δεσμὸν ξύλινον τάσσεται δὲ καὶ ἐπὶ πάντων τῶν δυσχερῶν καὶ ὀλεθρίων. ἔστι δὲ καὶ χιτῶνος εἶδος, καὶ κυφωνισμὸς ἐπὶ τῶν τιμωριῶν. καὶ ἐπικεκαμμένη ῥάβδος κύφων. ¶Κυγχράνος, εἶδος ὀρνέου. ¶Κύψαι, ἀπάγξασθαι. ¶Κυψέλαι καὶ κυψελίδες, ὁ ἐν τοῖς ὠσὶν ὑποσυνιστάμενος, καὶ τὰ σιτηρὰ ἀγγεῖα, καὶ τὰ κοῖλα σκεύη, καὶ τοῦ ὠτὸς τὸ ἔγκυλον, καὶ τῆς καμίνου μέρος τι. ¶Κυψέλη, πλεκτὸν ἀγγεῖον μελισσῶν. ¶Κυψέλικες,

Κυματοφορτίδες, κόγχοι. ¶Κυματωγὴ, ῥαχία. αἰγιαλοῦ ὑπαγωγή. ¶Κύματα ὑδάτων, ἐπιδρομαὶ βίαιοι. ¶Κυόματα, τὰ γεννώμενα, καὶ τὰ ἐν ταῖς κοιλίαις ἔτι ὄντα. καὶ δένδρα ἢ ὄρη. ¶Κύμβαι, ὄρνιθες. ¶Κύμβαλον, ἀκρόταλον. ¶Κυμβαλικὸς τρόπος. τὸ πελέκει κακουργῆσαι. ¶Κύμβαλον, βακύλλιον βαβούλιον εἶδος ὀργάνου μουσικοῦ.

Κύμβας, ὄρνιθας, καὶ κοίλας καὶ περιφερεῖς καὶ εἴδη ποτηρίων. ¶Κύμβαχος, ἐπὶ κεφαλῆς καὶ ἄνω τοὺς πόδας, καὶ τὸ ἀνώτατον μέρος τῆς περικεφαλαίας.

Κύμβη νεὼς εἶδος καὶ ὀξύβαφον καὶ πήρα.

Κυμβίον, εἶδος ποτηρίου καὶ πλοίου. ¶Κύμβοι, τὰ ἐμπλόματα. ¶Κύμβινον, τὸ ἐπὶ μικρολόγων ἔταττον. ¶Κύμβος, κοῖλος μυχὸς, βυθὸς ἢ κεραμίου πυθμήν. ¶Κυμβατευταὶ, ὀρνιθευταί.

Κύμηχα, κύαμον. ¶Κύμινδις, εἶδος ὀρνέου. ¶Κυμίνδαλα, καταστροφὴ ταραντῖνοι. ¶Κυμινοπρίσται, οἱ φειδωλοὶ ὁμοίως καὶ καρδαμογλύφοι. ¶Κυνάγχη τέχνομεν, ἔνιοι τὸν διὰ χειρῶν δεσμόν. οἱ δὲ τὸ κυνάγχα αὐτὶ τοῦ κλέπτα. καὶ νόσημα κυνῶν καὶ ἀνθρώπων πνιγμὸς, καὶ εἱρκτή. ¶Κυμορρόον, τὸ ὑπὸ τῶν κυμάτων ῥοῦν. ¶Κυνάδα, κυνόσβατον, ἣ φυτὸν ὅπερ τὰς αἶγας νέμεσθαι φασίν. ¶Κυνάδες, αἱ ἀπὸ μαγδαλιᾶς. ¶Κυνάδης. ποσειδῶν ἀθήνησιν ἐτιμᾶτο. ¶Κυνάδης, ἀνελεύθερος.

Κυναιδὸς, λίαν ἀναιδής. ¶Κυνακίας, ἱμάντες οἱ ἐκ βύρσης τοῦ σφαγιασθέντος τετράχηλοι ἀπόλλωνι βοὸς ἐπαθλα ἀδμητός. ¶Κυναλωπὴ, κυνοφθόρος. οἱ δὲ δηλοῦντες κύνα ἄδικον ἀπέδοσαν. ¶Κυναλώπηξ, φιλόστρατον λέγουσιν οὕτω τὸν ἀθηναῖον κωμωδοῦντες, ὅτι τοὺς δὲ ἀλώπεκος καὶ κυνὸς λακωνικοὺς κύνας φασὶ γίνεσθαι. ¶Κυνάμυια, ἀναιδὴς ἰταμὴ ἢ θρασεῖα. ὁ μὲν γὰρ κύων ἀναιδὴς, ἡ δὲ μυῖα, θρασεῖα.

Κύνδος, φυτόν τι. καὶ μή ποτε ἡ κυνόσβατος διὰ τὸ τραχὺ ἀκανθῶδες κύνα γὰρ ξυλίνην τὴν κυνόσβατον ὁ θεόφραστος λέγει. ¶Κύνας ἀργοὺς, λευκοὺς, ὅ ταχεῖς κύνας. ¶Κυνδάλη, παιδιά τις, καὶ οἱ μὲν ὑπομνηματισταὶ, κυνδάλας, τὰς σκυτάλας ἀπέδοσαν, οἱ δὲ τὰ γεωμετρούμενα χώματα κακῶς κυνδάλοις γὰρ ἔλεγον τοὺς πασσάλοις καὶ κυνδαλοπαίστην τὸν πασσαλιστήν. ¶Κυνδὸς, ἄπαικτος, ἀπαράλλακτος.

Κύνδων, ποταμὸς ἐν ἑλλησπόντῳ οἱ δὲ ἐν πελοποννήσῳ. ¶Κυνεάκος, κυνόδων. ¶Κυνεγκέφαλος, ὁ ἐπὶ ῥάχεως ἀπὸ κεφαλῆς εἰς τὰ αἰδοῖα φορούμενος τόνος. ¶Κυνέη, κυρίως μὲν, ὁ ἐκ κυνείου δέρματος περικεφαλαία, καὶ ἡ οἰκία.

Κυνεῖ. φιλεῖ, προσκυνεῖ. ¶Κύνειον θάνατον, ἄγαν φοβερόν. ¶Κυνελφεῖ, κρύπτει. ¶Κυνέουν, ἐφίλουν. ¶Κυναῖος, ἀναιδής. ¶Κυνέσπασαν, ἔδεδυσαν, ἔνιοι κυνέσπασαν, τὸ αἰδοῖον ἐπιτείναντες οἷον ἐπέσπασαν. ¶Κυναιείου, ὁ κυνείου, ἀργυλύκου.

Κύνες, τοῦ ἵππου τὸ ὀπλῆς μέρος, καὶ ἧλοι, καὶ ἀναιδεῖς καὶ οἱ δράκοντες. ¶Κύνεσι, τοῖς κυσί.

Κυνετίαν, ὅτι ἄρεως κόρην ἡ ἀθηνᾶν ὁ πειθώ.

Κυζηθμὸς, ἡ ἀσαφὴς τῶν κυνῶν βοή. ¶Κυνῆ, περικεφαλαία πέτασος πῖλος ἀρκαδικὸς ἢ οἰκία.

Κυνῆ βοιωτία. ἐγένοντο γὰρ διάφοροι. ἀλλ' αἱ ἐν βοιωτίᾳ καλαὶ κυναῖ, ἃς οἱ κατ' ἀγρὸν ἐφόρουν.

Κυνηδὸν, ὡς κύων. ¶Κυθάνει, κρύπτει. ¶Κύνθιον προσωπεῖον ξύλινον. ¶Κυνίας, πῖλος ὁ χείρ.

Κυνίζει, μετὰ βλακίας περιπατεῖ. ¶Κυνίξεις, ἀκροβολισμοί. ¶Κυνίσφολον, ἀπαντητικόν.

Κύννα, ὄνομα πόρνης. ¶Κύννιος, ἀπόλλωνος ἐπίθετον. ¶Κυννίδαι, γένος ἀθήνησιν, ἐξ οὗ ὁ ἱερεὺς τοῦ κυννίου ἀπόλλωνος. ¶Κυνοβάμων, ἵππος τις οὕτω προσαγορεύεται. ¶Κυνοβλῶπις, κύνειον ὀρῶντες. ¶Κυνόγλωσσον, πόα τις. ¶Κυνοδέσμη, δεσμὸς ἀκροποσθίας. ¶Κυνεῖς, ἀναιδεῖς κυνώπας. ¶Κυνοθαρσὴς, ἀναιδής. ¶Κυνόκεντρον πόα τις. ¶Κυνοκεφάλαιον, πόα τις. ἣν τινὲς ἀνεμώνην καλοῦσιν. ¶Κυνόμαλα, τὰ κοκκύμηλα. ¶Κυνόμυια, ἀναιδὴς καὶ ἰταμὴ καὶ θρασεῖα. τοιαῦτα γὰρ τὰ ζῶα ὁ κύων καὶ ἡ κυνόμυια.

Κυνοπρίστις, ζῶόν τι. ¶Κυνοραισταὶ, κρότωνες, οἱ τοὺς κύνας πιπίζοντες. ¶Κυνοραϊστέων, τῶν κροτώνων ἀπὸ τοῦ ῥαίειν ὅ ἐστι φθείρειν. ¶Κυνόροδον, κρίνον, ὅμοιον ὑακίνθῳ. ¶Κυνόρχιας, βόλου ὄνομα κυνὸς τυφλοῦ ἢ πόλεως. ¶Κυνόσαργες, τόπος ἱερὸς, ὠνομάσθη δὲ ἀπὸ τοιαύτης αἰτίας. διόμου φασὶ θύοντος ἡρακλεῖ, κύων ἁρπάσας τὰ μηρία, ἔφυγε διωκόμενος. ἐκλήθη δὲ ὁ τόπος οὕτως, ὃ ἀπὸ τῆς λευκότητος τοῦ κυνὸς ἢ τοῦ τάχους. ¶Κυνὸς, μέλη τοῦ οὐρεῖσθαι. ¶Κυνοσσόοι, θηρευταί. ¶Κυνὸς, ἀναιδοῦς. ¶Κυνόσουρα, φυλὴ λακωνικὴ καὶ ἄκρα τοῦ μαραθῶνος πρὸς τὴν εὔβοιαν τετραμμένη, καὶ ἡ μικρὰ ἄρκτος, καὶ πᾶς χερσονήσου τόπος. καὶ οἱ κυδωνιᾶται οὕτω καλοῦνται. ¶Κυνόλφη, σίλφη.

Κυνοῦπις, ἀρκτὸς μακεδόνες. ¶Κυνοῦραι, ἀστράγαλοι. ¶Κυνσεία, ὅπου μὲν χειμῶνος κῦμα ἐκβάλλει.

Κυνοῦχος, θυλάκιον, βαλλάντιον, ἢ μαρσίππιον.

Κυνοφθαλμίζεται, ἀναιδῶς ἐμβλέπει.

Κυνόφαλοι, κορίνθιοι φυλή. ¶Κύντατα, οἰκτρότατα.

Κύντατον, ἀναιδέστατον, οἰκτρότατον, αἰσχρότατον.

Κύντερον, ἀναιδέστερον, χαλεπώτερον, χεῖρον.

Κυνεῖν, τὸ ἀσπάζεσθαι. ¶Κυνύπισμα. τὸ ἀπὸ στεμφύλων πότον κύπριοι. ¶Κυνώ. ἀσφαλτά τις καὶ οἶνον ἀπηκεκένωται. ¶Κονὼν, ἀναιδέστατη.

Κυνώλης, ἐξώλης. ¶Κυνώπες, ἀναιδέστατοι.

Κυνώπιδος, ἀναιδοῦς ὄμμασι.

Κυνῶπις, ἀναιδὴς ἰταμή. ¶Κύος, κύημα, ἔγκυον τὸ ἐν γαστρί. ¶Κύπαι, εἶδος τι νεὼς ἢ αἱ ἐξ ὕλης καὶ χόρτου οἰκήσεις. ¶Κύπελλον, μεμετρασμένον.

Κυπάρα, ἡ ἐν σικελίᾳ κρήνη ἀρέθουσα. ¶Κυπαρίσσιαι εἶδος ἀλεκτρυόνων. ¶Κυπαρισσηὶς, ἢ κυπάρισσος, πόλις καὶ τὸ δένδρον. ¶Κύπαρος. κυπάροις τὰ κοῖλα ἔλεγον ἀγγεῖα καὶ χωρητικά. διὰ τοῦτο καὶ τὰς τῶν σφηκῶν καταδύσεις, καὶ τὰς τῶν αἰγιλόπων βαλάνοις ἐκ μεταφορᾶς κυπάροις λέγουσιν, ὁ δὲ θεόφραστος, προάνθησίν τινα τῆς πεύκης ἢ τῆς πίτυος, κύπαρον προσαγορεύει. ¶Κυπασσὶς, περίζωμα καὶ χιτῶνος εἶδος. ¶Κυπάττοι, κίναιδοι μαλακοί. ¶Κύπελλα, ποτήρια. ¶Κύπελλον, εἶδος

ταράσσει, θορυβεῖ. κυκᾷ. ¶ Κυδοίμων, θορυβῶν, ταραχῶν. ¶ Κῦδος, δόξα. ἀρετή, νίκη. τιμὴ ἀριστεία. λοιδορία κακολογία. ¶ Κυδρή. ἔνδοξος, σεμνή, τιμία ἔντιμος. ¶ Κυδρός, ἔνδοξος καὶ τὰ ὅμοια ζῴων εἰῶν πεποιθώς * οὖρυ ποδῶς συγκοπὴν δὲ τοῦ κύδρηθι καλλίστρατος πεποιθώς. ¶ Κυδύλιον, ἔνδοξον.

Κ ύδωνες, ἔθνος. ¶ Κυδώνιον, μέγα καὶ ἀξιόλογον ἢ ἀπὸ τῆς λόγου δῆλον λαίδρον καὶ τὸ μῆλον. κυδωνία δὲ, πόλις κρήτης. καὶ τὸ φυτόν. ¶ Κυέει, ἐγκυμονεῖ, ἐν γαστρὶ ἔχει. κύει. ἐγκύμων ἐστὶ, γεννᾷ.

Κ υέουσαν, ἔμβρυον ἐν τῷ ἔχουσαν. κύουσαν. ¶ Κυζηθμός, ἡ ἀσπὶς τῶν κυνῶν βοή. ¶ Κυζικηνοὶ στατῆρες. διὰ τὸ βοῶν ὡς εὖ κεχαραγμένοι, πρόσωπον δὲ ἦν γυναικὸς ὁ τύπος. ¶ Κύημα, τὸ κατὰ γαστρὸς ἢ προβολὴ τῶν φυτῶν. ¶ Κυηρόν, ἔγκυον ἁπαλὸν βλαστόν. ¶ Κύησιν ἐν γαστρὶ ἔχειν.

Κ ύθε, ἔκρυψεν ἐκάλυψεν. ¶ Κυθήρεια, ἡ ἀφροδίτη καθ' ὅμηρον μὲν οὐχ ὅτι προσέκυρσε κυθήροις, ἀλλ' ὅτι κευθόμενον ἔχει ἐν ἑαυτῇ τὸν παρὰ ἐρωτικῆς φιλίας ἐξηρτημένον κεστὸν ἱμάντα, ἤγουν τὸν ποικίλον. ἢ ὅτι οἱ ἐρῶντες ἐν αὐτοῖς κρύπτουσι τὸ ἐρωτικὸν πάθος.

Κ υθηρογενέσι. κρυφογενέσιν. ¶ Κύθηρα, νῆσος κρήτης καὶ πόλις θεσσαλίας τινὲς δὲ νῆσον προμαλέου, προμάλεον δὲ, ἀκρωτήριον ἐπὶ λακωνικῆς.

Κ υθηρεῖον ἐκ κυθήρων. ¶ Κυθηροδίκη, ἀρχὴ τις. τὰ ξενικὰ διοικοῦσα. ¶ Κύθηρος, δῆμος τῆς πανδιονίδος φυλῆς. ¶ Κυθήρων, ἀφροδίτης ἡ πόλις.

Κ υθμώλας, ἐξώλης, ἔνιοι δὲ πεποιῆσθαι τὴν λέξιν φασὶ ἀπὸ κύθμου τῆς νόσου, ἀπολέσθαι δὲ αὐτὴν ὑπὸ ἀμφιβύωνος. ¶ Κυθωνύμου, αἰσχρὸν κλέος ἔχοντος ἢ οὗ ἄν τις ἐπικρύψειε τὸ ὄνομα διὰ τὰς συμφορὰς καὶ τὰς πράξεις, ἢ ἀξίου κεκρύφθαι.

Κ υθνόν, τὸ ἄκιον φάρμακον καὶ πολύκεθνα, πολύσπερμα, κυθνὸν γὰρ τὸ σπέρμα. ¶ Κυθώδης, δυσώσμου.

Κ ύνταται, οἰκζότατα. ¶ Κυΐσκει, συλλαμβάνει.

Κ υΐσκεται, ἔγκυος γίνεται. ¶ Κυκᾷ, ταράσσει, ἢ τὰ κάθυγρα ἀλφιτα. ¶ Κύκαλα, δῆμος τῆς αἰαντίδος φυλῆς. ¶ Κυκεῶ, κυκεῶνα. ¶ Κυκεῶ, πόμα ἐκ πολλῶν βοτανῶν συγκείμενον φαρμακίας περὶ τὸν δηλητήριον. ¶ Κυκεῖ, ταράσσει. ¶ Κύκημα, τάραχος.

Κ υκηθήτην, ἐταράχθησαν δυϊκῶς. ¶ Κυκήθραν, ταραχήν. ¶ Κυκεῶ, κυκεῶνα, ἐξ οἴνου καὶ μέλιτος καὶ ὕδατος καὶ ἀλφίτων ἀναμεμιγμένον πόμα κατὰ ἀποκοπὴν ἐπὶ νῦν συλλαβῆς, τὸ δὲ αὐτὸ καὶ μετὰ τοῦ ι κυκειῶ. ¶ Κυκήσεις, ταράξεις, κυκεώνων τῶν ταραχῶν.

Κ υκήσομεν, ἐπαναξόμεν. ¶ Κύκηδος, τὸ ἐλάχιστον.

Κ ύκλα, οἱ κύκλοι τροχοὶ ἢ χοροί. ¶ Κυκλάζει, κύκλῳ περιέρχεται. ¶ Κυκλάδες, στρογγύλοι. ¶ Κυκλάμινος, πόα τις ὑπὸ τῶν ῥιζοτόμων. ¶ Κέκλυτε ἢ κέκλυτε ἀκούσατε. ¶ Κύκλευμα, εἶδος τίμαρος ἐξ ξύλων συγκείμενον. ¶ Κυκλήσομεν, ἀνάξομεν ἐπ' ἁμαξῶν κομιοῦμεν. ¶ Κύκλιοι, αὐλοί. οὕτω τινὲς ἐκάλουν, εἶεν δ' ἂν οἱ χορικοί. ¶ Κύκλιον, διδάσκαλον κυκλείων, χορὸν διδάσκοντα. ¶ Κύκλιοι, χοροί.

Κ υκλοβόρος, ποταμός, τινὲς δὲ χαράδραν μετὰ ψόφου ῥέουσαν. ¶ Κύκλοι, τροχοί, ὀφθαλμοί. ¶ Κύκλος,

περίβολος καὶ ἐν ἀγορᾷ τόπος ἔνθα σκεύη καὶ σώματα πιπράσκονται καὶ ἐν ταῖς κωμῳδίαις ὑπόξοχόν τι κατασκεύασμα, καὶ παρὰ τοῖς γεωμέτραις ἐπίπεδον σχῆμα ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. καὶ εἶδος ἱππασίας. ¶ Κυκλοτερὲς περιφερὲς ἐπικαμπές.

Κ ύκλοις καὶ τροχοῖς τὰ τείχη τροχὸν δὲ τὸ τεῖχος, ὡς σοφοκλῆς ἡρακλεῖ κυκλώπειον τροχόν.

Κ υκλοφορούμενος, κατὰ κύκλον φερόμενος. ¶ Κυκλυγάλεων, γλίσχρων σμικρολόγων. ¶ Κυκλώπων, ἔθνος, ἐπειδὴ κύκλωπες ἐτείχισαν τὰς μυκήνας.

Κ υκλώπων χαλκέων. ¶ Κύκνος, ὄρνεον. ¶ Κυκοίας, προγόνοις. ¶ Κυκύιζα, γλυκεῖα κολόκυντα.

Κ ύκυον, τὸ νεκρόν. ¶ Κυκῶν, ταράσσων ἀναξίων θρηνῶν. ¶ Κυκνοῦντες, θρηνοῦντες. ¶ Κυκλοστάθμοις ὑψηλοῖς. ¶ Κύλα, τὰ ὑποκάτω τῶν βλεφάρων κοιλώματα τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μῆλα τὰ ὑπώπια. ¶ Κυληβίς, κολοβή. ¶ Κυλικίας ἰδιώτης ἀπὸ τόπου. ἰόβας. ¶ Κυλικήρυτον αἷμα, ὡς τὸ κοτυλήρυτον οἷον πολύ. ¶ Κυλίκρανον, πολέμων φησὶν ὅτι οἱ ὤμοις κέχαρα γκέλοι ὥσπερ κύλικες. οἱ δὲ οἱ ὑπὸ τοῖς οἱ ἡρακλεῶτας ἀπὸ τίνος ὠνομάσθαι. ¶ Κυλινδεῖ, ἐπιφέρει, κυλίει. ¶ Κυλίνδεσθαι, ὁμοίως. ¶ Κύλινδροι ὄφεις καὶ σφραγῖδος εἶδος καὶ πόλεμοι καὶ λίθοι στρογγύλοι. ¶ Κυλινδόμενος, κυλιόμενος. περιστρεφόμενος. ¶ Κυλίνδιον, προσωπεῖον ξύλινον. ¶ Κύλιξ. κοτύλη ποτήριον. ¶ Κυλίχνη, φιάλη καὶ ἡ ἰατρικὴ πυξίς.

Κ υλιχνίδες, πυξίδες, ἄλλοι, λίβαμα τείδες, ἕτεροι, ἀγγεῖα κεράμεα, ἄλλοι, κύλικας, ἄλλοι πυξίδας ἰατρικάς. ¶ Κύλλας, κύλαξ ἠλεῖοι. ¶ Κύλλαβοι, ὑπώπια. ¶ Κυλλαίνει, σημαίνει. ¶ Κύλλαιος, βόστρυχος.

Κ υλλαβίς, δίσκος, ἢ γυμνάσιον ἐν ἄργει. ¶ Κυλλάστις, ἄρτος τις ἐν αἰγύπτῳ ἀπὸ ῥιζῶν ἐξ ὀλύρας.

Κ υλλαίνει, τοὺς ὀφθαλμούς. ¶ Κυλλήβια, κολοβόντα, οἱ δὲ τὰ κέρατα κολόβια παρ' ἱππώνακτι.

Κ υλαίνων κάτω, σοφοκλῆς φαίδρα τὰ ὦτα καταβαλὼν ἅπερ οἱ σαίνοντες ποιοῦσιν ἐσπέσ' οὐρὰν ὦτε κυλαίνων. ὃ τὸ οἷον οὐρῇ μὲν ὅ οἱ ἔσηνε. ὃ οὔατα κάββαλεν ἄμφω. ¶ Κυλλήνη, ὄρος ἀρκαδίας. ¶ Κυλλήνιος, ὄνομα κυνῶν. ¶ Κύλλια, ὑπώπια μέλανα. ¶ Κυλινδεῖσθαι, κυλίεσθαι. ¶ Κυλλοποδίων, χωλὸς μονόχειρ. ¶ Κυλλός, χωλός. καμπύλος.

Κ όλλοβος, ξηρὰς συκῆ. ¶ Κύλλου πήρα, ζητοῦσι διὰ τὸ πρεσβεῖον κύλλου πήραν ἀριστοφάνης εἴρηκεν ἐν δράμασιν ἢ κενταύρῳ. τὸ δὲ πρηνέων κύλλου πήρα. ἔστι μὲν χωρίον ἀθήνησιν ἐπιφορές, καὶ κρήνη. αὐτὶ δὲ τὸ πήραν, πήρα μὲν ἔφη. ¶ Κυλλώνειον, ἄγος ἀπὸ ἱστορίας. τοῦτο δὲ λέγει σαφῶς θουκυδίδης. ¶ Κῦμα ὕδατος ἐπιδρομὴ βιαία καὶ τὸ ἔτι ὂν ἐν τῇ κοιλίᾳ καὶ τὸ γεννώμενον κύημα. ¶ Κυμάδας, ἐγκύους. ¶ Κυμάγχη, ἡ λύκτη. ¶ Κυμαίνεται, ταράσσεται. ¶ Κυμαίνουσι ταράσσουσι. οἰδαίνουσι. ὑποβλύζουσι.

Κ ύμαρος, κόμαρος, βόστρυχος. ¶ Κύματι, κωφῷ ἤχῳ. ¶ Κυμάτια, τὰ χείλη διὰ τὸ κυμαίνειν, ἢ αἱ ὑπεροχαὶ παρὰ τέκτοσι καὶ λιθοποιοῖς. ¶ Κύματι κωφῷ, τῷ μὴ ἠχοῦντι, ἀλλ' ἀρχομένῳ μεγεθοῦσθαι.

Κτέρεα, ἐντάφια. ¶Κτέρες, νεκροὶ καὶ ἀκτέρειστοι οἱ ἄταφοι. ¶Κτερίζω, κτῶμαι, σκυλεύω ἐνταφιάζω. ¶Κτερεΐσαι, καὶ κτερεΐξαι, θάψαι ἐνταφιάσαι. ¶Κτέρεα, πάντα τὰ εἰς τιμὴν τοῖς κατοιχομένοις ἐπιφερόμενα. ¶Κτήδων, τελόδεις.

Κτήματα, πάντα τὰ ὑπάρχοντα. ¶Κτήνεα, χρήματα. ¶Κτήνη, βοσκήματα. ¶Κτηνωδέστερα, ἀλογώτερα, κτήνη γὰρ τὰ ἄλογα. ¶Κτησάμενος, λαβὼν ἔχων. ¶Κτῆσις, πλοῦτος. ¶Κτήτορες, οἰκοδεσπόται, κτίσται. ¶Κτιδέα, γένος περικεφαλαίας, ἡ κτὶς δὲ ἐστι ζῶον ὅμοιον ἰκτῖνι. οὗ τὸ δέρμα ἔνθετον εἰς περικεφαλαίας. τινὲς δέ φασι δορὰν λύκου. ¶Κτιλεύσασθαι, ἢ κτιλώσασθαι, συνηθῆναι.

Κτίλος, τιθασὸς πρᾶος ἡγεμών. ¶Κτίλον, συνήθη.

Κτίλος, ὁ προηγούμενος τῆς ποίμνης κριός. ¶Κτιμένη, κατῳκισμένη, ἡ πόλις θετταλίας. ¶Κτιμένη, τὸ οἰκούμενον. ¶Κτίσαι, ἱδρύσαι, οἰκῆσαι, ἄρξασθαι.

Κτίσμα, ποίημα οἰκοδόμημα. ¶Κτίστης, ποιητὴς πλάστης. ¶Κτίτωρ, κτίστης. ¶Κτίτω, κτίσωμεν.

Κτίσω, θύσω, ἀπάρξομαι ποιήσω. ¶Κτυπεῖ, τῇ χειρὶ κρούει. ¶Κτυπέων, κτυπῶν, βροντῶν.

Κτυπία. ὁ ἐπιθαλάμιος κτύπος. ¶Κτυπίων, τὸ ἐπικρουμάτων τοῦ θαλάμου ἃ ἐπικτυποῦσιν ἔξωθεν. ὅταν συγκατακλίνηται τῷ νυμφίῳ ἡ γαμουμένη.

Κτύπος, ψόφος, βροντή. ¶Κτύμαι, ἢ κρῖναι, χωρὶς σοὶς προγονικῶν ἱερείων ἢ δῆμος μεμερισμένος.

Κτωμένοις, κεκτημένοις.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Υ.

Κύαθος, στεγῶν μικρὸν μεῖζον, ἢ αὐτλητήριον. ¶Κυάθοις, σκαφίοις λίαν ὀξέα σιδηρᾶ. ὁ δὲ κύαθος δέχεται δὲ ὑγροῦ τινὸς οὐγγίας δύο.

Κυαίνων, ἔγκυος ὤν. ¶Κύαμος, ὄσπριον. ἢ ὁ κλῆρος καὶ τὸ ὑπὸ τὴν θηλὴν τοῦ μαστοῦ πρῶτον συνιστάμενον γάλα, καὶ τὸ αἰγύπτιον κιβώριον λεγόμενον καὶ καλούμενον. ¶Κυαμοτρὼξ, ἐν ταῖς διαψηφίσεσι, κυάμοις ἐχρῶντο, καὶ ἐλάγχανον κυάμῳ καὶ τοὺς τὸν λευκὸν κύαμον λαβόντας εἰληχέναι ἐνόμιζον.

Κυάμῳ, δικαστικῇ ψήφῳ. ¶Κυαμίτης, ὁ πάγκος καλούμενος. ¶Κυαμεύειν, κληροῦσθαι.

Κυάμῳ, πατρίῳ σοφοκλῆς μελεάγρῳ, ὡς καὶ τῶν ἀπολῶν τὰς ἀρχὰς κυαμευόντων. ἐκλήρουν δὲ ἀνατὰς κυάμοις, καὶ ὁ τὸν λευκὸν λαβὼν, ἐλάγχανεν, ἀνάγει δὲ τοῖς χρόνοις ὡς καὶ ἐν ἰνάχῳ κυαμοβόλον, δικαστήν. ¶Κυανέη, μέλαινα φωκαί.

Κυανέῃσι, φωκαῖς μελαίναις. ¶Κυάνεος, μέλας σκοτεινός. ἐλέλικτο δράκων μέλας, ἐν τῷ ἀναφορεῖν.

Κυανέων, μαύρων αἰθιόπων. ¶Κυανὸν, εἶδος χρώματος οὐρανοειδές. ¶Κυανόπεζα, μελανόπους.

Κυανὸς θαλάττιον ὕδωρ καὶ ὄρνις. ¶Κυανοχαίτης, μελανόθριξ ποσειδῶν. ¶Κύαρ, τὸ τῆς ῥαφίδος τρῆμα καὶ τὸ τῆς κώπης τοῦ μήλου. ¶Κυάρη, ἡ ἀθηνᾶ. ¶Κυβάβδε, αἷμα ἀμαθούσιοι. ¶Κύβαμος, θεός. ¶Κυβαΐζοντες, λάκωνες. τὸν ἐνθουσιῶντα ἢ τὸν ἑρμῆν. ¶Κυβάσαι, κατακρέψαι. ¶Κύβας, σορός. ¶Κύββα, ποτήριον. ¶Κύβεθρα, τὰ τῶν μελισσῶν.

¶Κυβεία τόπος. εἰς ὃν συνίεσαν κυβεύσοντες ὁ νῦν τόπος δεξιός. ¶Κύβελα, ὄρη φρυγίας καὶ ἄντρα καὶ θάλαμοι. ¶Κυβέλη, ἡ μήτηρ τῶν θεῶν.

Κυβερνᾷ, θύει διοικεῖ. ¶Κυβερνήσεις, προνοητικαὶ ἐπιστολαὶ καὶ φρονήσεις. ¶Κύβεσις, ἡ κίβυσις πήρα.

Κυβεῦσαι, πῆξαι πεβλίσαι. χλευάσαι.

Κυβευτὴν. σοφὸν κυβευτὴν, ἀλλὰ μὴ στενὸν τυχεῖν τὸν τοῖς κύβοις χρώμενον, ἐπιστήμην δὲ τινὰ ἐδόκουν. τῷ δὲ δεξιῶς χρῆσθαι, ἐπιστημονικωτέραν τὴν πεττείαν τῆς κυβείας ἐνόμιζον. ¶Κύβεβις, ἄλλος κίναιδος μανικῶν. ¶Κοβῆκαι, θεοφορεῖται, κορυβαντιᾷ. ¶Κυβήκη, ἡ μήτηρ τῶν θεῶν καὶ ἡ ἀφροδίτη, καὶ ὑποδήματα παρὰ ἀρκάσιν ἢ καὶ φρυγῶν, παρ' ὃ καὶ ἱππῶναξ φησὶ καὶ διόσκουρος.

Κυβήκη καὶ θρηίκη, βένδιν, ἄλλοι δὲ ἄρτεμιν.

Κύβικος, ὁ κατεχόμενος τῇ μητρὶ τῶν θεῶν. κυβηλικὸν, ζόπην. ¶Κυβηλιστὰς καὶ κοβάλοις, τοὺς κακούργους λέγει. ¶Κυβηλὶς, μάχαιρα. ἄμεινον δὲ πέλεκυν ᾧ τὰς βοῦς καταβάλλουσι. ¶Κυβηλίσαι, πλεκῆσαι, κύβηλις γὰρ ὁ πέλεκυς.

Κυβιστῆρας πηδητὰς τινὲς ὀρχηστὰς ποικίλους.

Κυβηκὴ, πραγματεία κύβευμα. ¶Κυβηλὶς, τινὲς τὴν τυροκνῆστιν φασὶν, ἔπαιξεν δὲ ὁ κρατῖνος παρὰ τὸ χαλκιδικὰ κιλίσκουσι θεοὶ ἄνδρας δὲ κύμινδιν.

Κυβίζων κυβευτήν. ¶Κύβισαι, σκήνωμα. ¶Κυβήναις, γλαυξί. ¶Κυβησίαν, πήραν. ¶Κυβησίνδα, ἐπὶ κεφαλὴν ἢ τὸ φορεῖν ἐπὶ νώτου ἢ κατὰ νώτου.

Κυβιστής. κήλη. ¶Κυβιστίζω, ἐπὶ κεφαλὴν ῥίψαι.

Κοβιτίζω, τοῖς ἀγκῶσι πλήττω.

Κυβιτὸν, ὁ ἀγκών. ¶Κυβὸν, τετράγωνον.

Κύβος, πᾶν τετράγωνον, ἢ σχῆμα γεωμετρικὸν, καὶ ἀριθμός τις, καὶ ᾧ οἱ κυβευταὶ χρῶνται. ἐκαλεῖτο δὲ τοῦ βόλου σχῆμα καὶ παρὰ τοῖς μεταλλικοῖς, κύβος, καὶ οἱ σαλαμίνιοι λέγουσι κύβον, τὸ τοῦ ἱματίου σημεῖον, πάφιοι δὲ τὸ τρύβλιον. ¶Κύβλα, κῶλα, ἢ ὀσφὺς, ἢ μεσάλα ὀστᾶ καὶ ὠλέκρανα. ¶Κυδαθηναιεύς, ἔνδοξος ἀθηναῖος. ¶Κυδαθηναιεύς, δῆμος τῆς πανδιονίδος φυλῆς ἐν ἄστει. ¶Κυδάγχας, μάχας. λοιδορίας. ¶Κυδαγχόμενα, λοιδορούμενα.

Κυδάζει, ταράσσει, λοιδορεῖ. ¶Κυδάζεσθαι, λοιδορεῖσθαι. ¶Κυδαζόμενα, λοιδορησάμενα.

Κυδαίνει, τιμᾷ ἀξιοῖ. θαυμάζει ἐγκωμιάζει.

Κυδέναν. τὴν γλαῦκα. ¶Κυδαίνεται, δοξάζεται, σεμνύνεται. ¶Κυδαλίμη, ἔνδοξος τιμία.

Κυδαντίδαι. δῆμος τῆς πτολεμαΐδος φυλῆς.

Κύδει, ἀρετῇ. ¶Κύδερ, τάφος. ¶Κύδαρος. ναὸς εἶδος. ¶Κυδέτρειν, ἐπιφρονεῖν. ¶Κυδιγάων, τῷ καθ' ἑαυτὸν ἀξιώματι. ¶Κυδήνειν, ἐδόξασεν, ἐμετεώρησε κατὰ διάνοιαν. ¶Κυδιάνειρα μεγάλοις καὶ ἐνδόξοις τοὺς ἄνδρας ποιοῦσα. ¶Κυδιάνειρα ἡ τοὺς ἄνδρας δοξάζουσα. ¶Κυδίας, τὰ ἄνθη τῶν ὀδόντων. ¶Κύδιμος, ἔνδοξος σεμνὸς τίμιος.

Κύδιον, κρεῖττον αἱρετώτερον. ¶Κυδιόων, σεμνυνόμενος χαίρων. δόξῃ ἐπαιρόμενος. ¶Κύδιστε, ἐνδοξότατε σεμνὲ τιμιώτατε. ¶Κύδνος, κύκνος. ¶Κυδοιμός. πόλεμος θόρυβος ταραχή. ¶Κυδοιδοπᾷ,

καπυρώτατον, κατακεκονδυλωμένον. ¶ Κρομμύαν, τὰ κρομμυοπωλία. ¶ Κρόμμυον, τὸ πρώτον ὄψον ἐπὶ τῷ ποτῷ προτράγιον ἐρεθιστικὸν τοῦ οἴνου, τὸ δριμὺ κρόμμυον. ¶ Κρόνια, ἑορτὴ ἑκατομβαιῶνος μηνὸς κρόνῳ. ¶ Κρονίδαρ, πολυετής. ¶ Κρονικαὶ λῆμαι περὶ τὴν παροιμίαν γέγονε τὴν χύτραις λημᾶν καὶ κολοκύνταις ἐπὶ τῶν ἀμβλυωττόντων.

Κρόνιον, ἑορτὴν ἢ παλαιάν. ¶ Κρονιώσσον, παλαιόν.

Κρονίωνας, παλαιοὺς ἀνθρώπους.

Κρονικώτερα, ἀρχαιότερα. ¶ Κρόνοι, παλαιοί.

Κρόνου πυγὴ τὸ ἀρχαῖον καὶ ἀνέαθη τὸν κέρας ἀπὸ τοῦ κρόνου. ¶ Κροντᾶ, καταστήπεται. ¶ Κροντίδαι, μάντεων γένος. ¶ Κρότωνας, ὁμοίως.

Κρὸξ, κρόκος. ¶ Κρόπιον, ἀξίνη δίστομος.

Κρόσσαι, κρόσσας κλίμακας ἄλλας ἐπ' ἄλλαις. τινὲς δὲ τὰς κεφαλίδας τῶν τειχῶν, ἢ προμαχῶνας, ἢ στεφάνας τῶν πύργων, ἢ τὰ κρηπιδώματα. καὶ ἐν κροσσοῖς ἀρχαίοις, τὰ κατώτατα τῶν ἱματίων ὃ καὶ βέλτιον. καὶ γὰρ τὸ ὄνομα ἐπὶ κλίμακος ἐγνώκει ὁ ὅμηρος, ταῦτα δὲ πάντα πολεμικὰ ὄργανα. ¶ Κροσσοὺς, τὰ κάτω τῶν ἱματίων τὰ ῥαμματώδη. ¶ Κρόσταλλος, εἶδος ὑέλλου. ¶ Κρόστινα, φυλακτήρια.

Κρόσσας πύργων, τὰς ἀναβαθμίδας τῶν τειχῶν.

Κροταλίζει, κρούει ταῖς χερσίν. ¶ Κρόταλον, περίτριμμα, κρότημα. ¶ Κρόταφος, σιδηρᾶ σφῦρα ἄκμωνος, τὸ ἑτέρου ὀξὺ ἔχουσα, ἐκ δὲ τοῦ ἑτέρου κρόταφον. ¶ Κροτεῖ, κρούει. ¶ Κρόταφος, ἡ κόρρη.

Κρότημα, ὃ τῶν δελφίνων τάσσεται. ¶ Κροτήσας, κτυπήσας ταῖς χερσίν. ¶ Κροτήσατε χεῖρας, ἐπαινέσατε ταῖς χερσίν. ¶ Κροτήσομεν, ἐπαινέσομεν.

Κροτητά, ἐκ πεπαιγμένα εὐτίνακτα, ἐπιτετριμμένα.

Κρότοι, εὐφημίαι ἔπαινοι. ¶ Κρότωνες, ὁμοίως.

Κρότωνοι, κρότωνες. ¶ Κροτωνία, σταφυλὴ αὐλίς.

Κρότων, οὕτω καλεῖται. ὃ τινὲς κίκι αἰγύπτιον, οἱ δὲ σησαμίδα ἀγρίαν. καὶ τὸ ζῶον τὸ ἐν κυσὶ καὶ βουσὶ γινόμενον, ἄλλοι δὲ πυρετός. ¶ Κροτώνη, τὸ ἐπιγινόμενον τοῖς δένδροις μάλιστα τῇ ἐλαίᾳ. ¶ Κρότωνος, ὑμέτερος. ¶ Κρουνοῖο τοῦ βορβόρου.

Κροῦμαι, μύξαι. ¶ Κροῦναι, τὰ ἄφορα δένδρα.

Κροῦναι, κρῆναι τέλειαι. ¶ Κρουνοὶ, ῥεῖθρα ὀχετοὶ ὑδάτων ἐκβολαί. ¶ Κρουνοφόρον, οὕτω καλεῖταί τι τῶν ἐν ταῖς ναυσίν. ¶ Κρουνῶν, ῥευμάτων.

Κρούπανα, ξύλινα ὑποδήματα καὶ κλεῖς καὶ κρουπέζια καὶ κρουπεζοφόρος ὁμοίως. ¶ Κρουπαλίας, κλινίδας. ¶ Κρουπεζούμενος, τὰ ξύλινα σανδάλια κρουπέζια λέγεται. καὶ ὑποδήματα ξύλινα μεθ' ὧν τὰς ἐλαίας πατοῦσι, θέλει δὲ δηλοῦν τοὺς ῥαχίας πόδας ἔχοντας. ¶ Κρούπεζα, ὑψηλὰ, ἢ ξύλινα ὑποδήματα, ἢ γυναικεῖα. ¶ Κρύπτει, σκώπτει.

Κρουσιμέτρων, κρουσιμέτρων, ἀπὸ τῶν ἐν γῇ μετρεῖν ἀπατώντων. ¶ Κρουσιμετρεῖν, ἐλλιπῶς μετρεῖν καὶ ἐνδεῶς. οἱ γὰρ φαύλως μετροῦντες συνέκρουον τὰ μέτρα εἰς τὸ ἀποπίπτειν τὰ μετρούμενα, ἐντεῦθεν καὶ τὸ παραλογίζεσθαι παρακρούεσθαι φασίν. ¶ Κρουστὸς, ἐλλειπής. ¶ Κρουσίθυρος, μέρος τι οὕτως ἐκαλεῖτο.

Κροῦσιν τὴν ὑπόκρισιν τὸν παραλογισμόν, καὶ μουσικὸν ὄνομα καὶ τὴν πρὸς τὸ λέγειν ἐν ταῖς ζητήσεσιν ὑπόκρουσιν. ¶ Κροῦσις, τὴν πρὸς τὸ λεγόμενον ἐν ταῖς ζητήσεσιν ἀντίῤῥησιν καὶ παράκρουσιν οὕτω φασίν.

Κρουστεῖται, κοκκίζει. ¶ Κρυβάζει, ἀποκρύπτει.

Κρύβδα, κρυφαίως. ¶ Κρύβδην, λάθρα. ¶ Κρυβολὸς, κρυπτὸς πύργος. ¶ Κρύβεις, νεκροί.

Κρυβησία, νεκυσία. ¶ Κρυβότας, τετελευτηκότας.

Κρυερὸν, ψυχρὸν κρυσταλλῶδες. ¶ Κρυερὸν, φρικτὸν, μισητὸν, ἀπαλὲς φοβερὸν, ἐλεεινὸν, οἰκτρὸν, δεινὸν, χαλεπὸν. πονηρὸν, κακὸν, δυσχερές. ¶ Κρύμα, ἔυρυμα. ¶ Κρυμνὸς ἢ κρυμὸς, πάγος ψύχος, μέσα ῥῖγος. ¶ Κρυμοῖ, ῥιγᾷ. πέφρικε. ¶ Κρυόεσσα, φρικτὴ μισητὴ τραχεῖα. ¶ Κρυόεσσα, ἰωκὴ ἡ φρικτὴ καὶ φοβερὰ βοή. ¶ Κρύος. ῥῖγος. ψύχος.

Κρυπτάδιη, λαθραία κρυφιμαία. ¶ Κρυπτεύομαι, ἐνεδρεύομαι. ¶ Κρυπτάδιος, ἀρχαῖος. ¶ Κρύσταλλος, τὸ πεπηγὸς ὕδωρ ὑπὸ κρύους. ¶ Κρύφαλον, σακκάκανον. ¶ Κρυφαδὸν, κρυφίως.

Κρυφῆ, λάθρα, ἀδήλως. κρυπτῶς. ¶ Κρυφίνους, ὕπουλος. ¶ Κρυψίνους, δόλιος, πανοῦργος.

Κρυώδεις, φρικώδεις. ¶ Κρώβον. δρέπανον.

Κρώβυλος, ὁ ὁμαλὸς τῶν παίδων, ἢ ὁ κόρυμβος ἐπὶ ἐμπλοκῆς ἢ ὅταν ἀνίμη εἰς μέσον ἀπὸ μέσου τοῦ μετώπου ἐπὶ τὴν κορυφήν, οὕτω δὲ καὶ ὁ ῥήτωρ ἡγήσανδρος, καὶ διότι ἐκαλεῖτο κρώβυλος καὶ ὁ μαλλὸς τῶν αἰδοίων.

Κρωβύλου ζεῦγος, παροιμία ταττομένη ἐπὶ τοῖς ὑπερβαλλούσῃ κεχρημένοις πονηρίᾳ. μετενήνεκται δὲ ἀπὸ πορνοβοσκοῦ τινός. ¶ Κρώζειν, ὡς κόραξ κράζειν. ¶ Κρωδιτὴς, ὁ δειρός.

Κρωκαλέον, παλαιὸν πανοῦργον. ¶ Κρωμακόεν, κρημνῶδες. ¶ Κρώμαξ, σωρὸς λίθων. ¶ Κρώμνα. πόλις παφλαγονίας καὶ θετταλίας. ¶ Κρώζει, κράζει. ¶ Κρώπιον, δρέπανον. τινὲς δὲ διὰ τοῦ β κρόβιον. ¶ Κρωσσοί, ὑδρίαι. σταμνοὶ λήκυθοι.

Κροτάνδροι, βάναυσοι πολῖται καὶ ἐθελοθρησκῶται.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Τ.

Κτά. ἢ ἔκτα ἔκτεινε. ¶ Κτᾶν. κτᾶναι, φονεύειν, ἀναιρεῖν. ¶ Κτάνειν, κτένειν.

¶ Κτάνθεν, ἀπώλοντο. ¶ Κτάρα, ἰχθὺς, βραχύτερος πάντων. ¶ Κτᾶσθαι, ἀναιρεθῆναι, κτανθῆναι. ¶ Κτᾶται. ὠνεῖται. ¶ Κτάτεσιν, ἢ κτεάτεσιν κτήμασι. ¶ Κτᾶρ, ἐκτήσατο. ἀπέθανεν. ¶ Κτεανόχης, * πένης. ¶ Κτέανον, κτῆμα. ¶ Κτεάνων, κτημάτων. ¶ Κτέαρ, δῶρον κτῆμα. γέρας. σκεῦος. ¶ Κτεάτεσι, κτήμασι, χρήμασιν. ¶ Κτείνει, φονεύει. ἀναιρεῖ. ¶ Κτεὶς κτένιον. ¶ Κτεατίσασθαι, κτήσασθαι. ¶ Κτένας, τοὺς τῶν χειρῶν καρποὺς καὶ τῶν ποδῶν, καὶ τὰ στήθη. μεταφέρονται ἀπὸ τῶν εἰς τὰς τρίχας ἐπιτηδείων κτενῶν, λέγονται δὲ καὶ τὰς νωτιαίας πλευράς.

Κτένια, τῶν κιθάρων οἱ ὑπερέχοντες ἀγκῶνες λέγονται. ¶ Κτενούμεθα, ἀναιρούμεθα.

Κτενωτή, ὑφαντή. ¶ Κτενωτὴν, τρίχα τὴν ἐφαπτίδα. ¶ Κτενωτὴν, τὴν ὑφαντήν. τρίχα δὲ, ἐπεὶ τὰ ἔρια τρίχες εἰσὶν τῶν προβάτων. ¶ Κτέρας, κτῆμα.

Κ ρησίπαιδα, ἐν σαμιακῇ θυσίᾳ ἡ λέξις φέρεται. δῆλον ὅτι μέρη ἱερείων λέγεται. ¶ Κρήσσας, κρητικός, ἀπὸ κρήτης. ¶ Κρησφύγετα, τὰ πρὸς τοῖς χειρὸς στενὰ καὶ ὀχυρώματα σπήλαια. οἱ διαλανθάνοντες τόποι. ¶ Κρῆτα, τόπον. τὸ παιδικοῖς χρῆσθαι.

Κ ρήτηθεν, ἀπὸ κρήτης. ¶ Κρητῆρα, ὁ φάρυγξ, καὶ τὸ οἰνοχόον ἀγγεῖον. ¶ Κρατῆρας, τοὺς κρατοῦντας.

Κ ρατῆρα, στήσασθαι ἐλευθέριον. εἰώθασι γὰρ δὲ ὑπὲρ ἐλευθερίας ἱστάναι τοὺς πολεμίους ἀπωσάμενοι.

Κ ρητήριον, ἐπίχυσις. κατακρῆσαι γὰρ τὸ καταχέαι.

Κ ρητίζειν, ἀντὶ τοῦ ψεύδεσθαι καὶ ἀπατᾶν. ἔταττον δὲ τὴν λέξιν ἀπὸ τοῦ τοὺς κρῆτας ψεύστας εἶναι.

Κ ρητικόν, ἱμάτιον. λεπτὸν καὶ βραχύ. τὰ γὰρ τοιαῦτα, κρητικὰ ἔλεγον, καὶ γένος ὀρχήσεως. ¶ Κρητικόν, μέλος, οὕτω κρητῶν ῥυθμοὶ ἐλέγοντο ἀπὸ κρητῶν καὶ γένος ὀρχήσεως. ¶ Κρῖ, κριθή. εἶδος ὀσπρίου. ἢ ἄλφιτα, ἢ γένος τι. ¶ Κριαδέμεν, γεννᾶν, βοιωτία δὲ ἡ λέξις. ¶ Κριβάνας, πλακοῦντας τινάς.

Κ ρίβανος, ὁ βαῦνος τῶν κριθῶν κριθαῖς γὰρ τὸ πρότερον ἐχρῶντο καὶ βαύνοις τὰς καμίνους ἔλεγον. καταχρηστικῶς δὲ καὶ ὁ λέβης. ¶ Κρίγδανον, πέλτη, ἀσπίς.

Κ ρίγη, ἡ γλαύξ. οἱ δαίμονες, εἴδωλα.

Κ ρίδιον, ὁ μικρὸς κριός. ¶ Κρίες, ἡ χελιδών.

Κ ρίζει, ὀξὺ αὐλεῖ. ¶ Κρίζειν, κεκραγέναι. ¶ Κριζόν, ἐπίλεκτον διάφορον. ¶ Κρίζαος, ψώρα, κρίζα. ¶ Κρίθα, κρίθινον καὶ ἵππου ἀρρώστημα.

Κ ρίθη, πυρόν. ἢ τὸ τοῦ ἀνδρὸς μόριον, ἢ ὀφθαλμῶν ἐπανάστασις παρὰ ἰατροῖς. ¶ Κριθόγιδον, ἀπόβρεγμα κριθῆς. ¶ Κριθόκανον, σπέρμα μελανθίῳ ὅμοιον.

Κ ριθοφυλακία, ἀρχὴ ἐπὶ τοῦ ἐξαγωγῆς τῆς κριθῆς ἢ σίτου. ¶ Κρίθον, ἐπώνυμον ἀνδροκιδάλου.

Κ ρίκα, κρίκον. ¶ Κριθῶν, ὄχλος ἐν σοφωνίῳ, παρέθηκε δὲ παίζων τὸ ἀργύρειον. ¶ Κρικαδᾶν, τὸ ἐμβαλλάξαι τοὺς δακτύλους ὥσπερ κρυβούς.

Κ ρίκεν, ἐψόφησεν, ἔτριξεν. ¶ Κρίκος, κίρκος ἔνθα ἡ κώπη εἰσέρχεται. ¶ Κρῖ λευκόν, κριθὴν λευκήν.

Κ ρίμα, ἀνταπόδοσις θεοῦ. ¶ Κρίματα, ψῆφοι δίκαι.

Κ ριμνῆστις, πλακοῦντος εἶδος. ¶ Κριμνοῖς, λευκάς τινας βητάνας. ¶ Κριμνός, ἡ κριθή. ¶ Κρυμνεῖ, ῥιζοῖ πέφυκεν. ¶ Κρίνα, ἄνθη καὶ λίπνοα ὀσμώδη ζοντα, ἢ μάζα. ἄμεινον δὲ θυμιάματα, ἢ τὸ μέλι, φυρατὸν ἢ δὲ τὸ λευκόν. ¶ Κρῖναι, τάξαι, χωρίσαι. δοκιμάσαι, δικάσαι, ἐπιλέξασθαι. ¶ Κρίναιμι, ἐπιλέξαιμι. ¶ Κρινάμενοι, ἐπιλεξάμενοι.

Κ ρινάμενος, ἐπιλεξάμενος. ¶ Κρίνας, ἐπιλέξας, χωρίσας. ¶ Κρίνατο, ἐπελέξατο, ἐδίκασεν.

Κ ρῖνε, δίκαζε καὶ τὰ ὅμοια. ¶ Κρίνειν, ἀριθμεῖν. χωρίζειν, ἀνακρίνειν, συγκρίνειν, ἔνιοι, κρινώμεθα ἀντὶ τοῦ μαχώμεθα ἢ διαλεγώμεθα. ¶ Κρινεῖς, διαχωρίσεις. ¶ Κρίνθη. διεκρίθη, ἐχωρίσθη. ¶ Κριθέντας, χωρισθέντας. ¶ Κρίνη, κνίδη. ¶ Κρίνομαι, δικάζομαι. ¶ Κρινόμεθα, μαχόμεθα, διαλυόμεθα.

Κ ρινομένοις, ἀνακρινομένοις ἀποθνήσκοντας. ¶ Κρῖνον, τὸ ξηρόν, τάσσεται καὶ ἐπὶ πτωχοῦ, καὶ νεκροῦ καὶ ἐκπεπτωκότος. καὶ σχῆμα χορικῆς ὀρχήσεως.

Κ ρίνοντες, διαχωρίζοντες. ¶ Κρίξαι, ἠχῆσαι, φωνῆσαι. ¶ Κρίον, αἴγειον. ¶ Κρειόντων, βασιλευόντων. ¶ Κριός, ῥόπαλον πολιορκητικόν. καὶ ὁ τῶν προβάτων ἄρσην ὄργανον. ἀσπίς. ἀθηναῖοι δὲ τὰς τραχείας κόγχας καλοῦσι κρίους καὶ παρὰ ταραντίνοις τὰ μεταλλικὰ ἀναγράφεται κριός. καὶ παρὰ τοῖς ἀρχιτέκτοσι μέρος τι τοῦ κορινθίου κίονος.

Κ ριός, ἀστλόκερως, ἦν ἐν τῇ ἀκροπόλει κριὸς ἀνακείμενος μέγας χαλκοῦς, ἀστλοκέρων δὲ αὐτὸν εἶπε πλάτων ὁ κωμικός, διὰ τὸ μέγαν εἶναι καὶ συναριθμεῖ αὐτῷ τόν γε δούρειον ἵππον. τὸ γὰρ ἀσελγὲς οὐ μόνον ἐπὶ τοῦ ἀκολάστου ἔταττον οἱ παλαιοί, ἀλλ᾽ ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου καὶ γὰρ ἄνεμον ἀσελγῆ λέγουσιν ὡς εὔπολις. ἄμεινον δὲ τὸν ἀσελγόκερων δέχεσθαι εἶναι τὸν κρείττονα τῶν κιόνων ἐξυβρίζοντα τοῖς κέρασιν.

Κ ριός, τροφεῖα ἀπέτισε παροιμία ἐπὶ τῶν ἀχαρίστων. ἐπὶ τὰς φάτνας γὰρ οὗτοι πλήττουσιν οἱ κριοί.

Κ ριοῦ δικαιονία, ὅταν προπαίσωμεν παιδία διακινῆσαι, λέγομεν δώσω σοι εἰ τύχῃς ἀστραγάλους, ἢ ἰσχάδας, καὶ ὁ κριὸς τὸν εἶπε, * κατέλειψε τοὺς ἀστραγάλους σοι δώσω. ¶ Κριοφάγος, θεός τις ᾧ κριοὶ θύονται.

Κ ρίσα, πόλις φωκίδος. ¶ Κρίσαμις, κῶος ἦν πολυθρέμματος τούτῳ φασὶν ἐγχελὺν ἐπιφαινομένην καθ᾽ ἕτος τὸ κάλλιστον τῶν προβάτων ἀφαρπάζειν. τὸν δὲ τὸν κρίσαμιν ἀνελεῖν. φαινομένην δὲ αὐτὸν ὄναρ κελεῦσαι καταθάψαι αὐτήν, τὸν δὲ μὴ φροντίσαντα, πανγενῆ ἀπολέσθαι.

Κ ρίσεως, δοκιμασίας. ¶ Κρισίαι, τάξεις ἱππικαί.

Κ ρίσιν, ἀκολουθίαν. ¶ Κρίσις, ἀνάκρισις.

Κ ρισσός, ἡ ἐν ταῖς δρυσὶ γινομένη διάφυσις, ὅθεν ῥέει ὁ ἰξός, ἢ ἡ ἐν τοῖς ἄρθροις διάφυσις σκληρὰ ἐν ὀζώδης.

Κ ριστήριον, φυλακεῖον. ¶ Κριτάν, κριτήν. ¶ Κρίτανος, τέρμινθος. ¶ Κρῖτας, ὀδόντας. ¶ Κριτήριον, δοκιμαστήριον, δικαστήριον. ¶ Κριτικὸς ἐνθυμήσεων, διακρίνων λογισμούς. ¶ Κριτός, ἄριστος ἐκλελεγμένος ἐπίλεκτος. ¶ Κριῶθεν, ἀπὸ δήμου. ἔστι γὰρ ὁ κριωθεὺς δῆμος, φυλῆς τῆς ἀντιοχίδος.

Κ ροαίνων τοῖς ποσὶ κρούων ὁ ἐπιθυμῶν. ¶ Κροβάντιον, πλοῖον. ¶ Κροβυζοί, γένος θρακῶν.

Κ ρόβαλος, ὁ ὁμαλὸς τῶν παίδων, καὶ αἱ τρίχες τῶν αἰδοίων. ¶ Κροιός, ὁ στάδιος ἀθηνάς. ¶ * Κρείουσι, σατῦρες τινὲς κρόκα ἢ κρόκη. ¶ Κρόκη, τέμματος εἶδος ἢ ῥοδάνη. ¶ Κρόκαι, παραθαλάσσιοι ψῆφοι. ¶ Κροκάλαι, ψῆφοι ἀκταὶ ἄμμος.

Κ ρόκαλον τὸ πανοῦργον παιδίον. ¶ Κροκόδειλος. τὴν τύλην καὶ τὸ ζῶον καὶ τὸ ἐν τῷ νείλῳ, καὶ τὸ χερσαῖον. ¶ Κροκόπεπλος, κροκοειδῆ ἱμάτια ἔχουσα.

Κ ρόκος, τὸ κροτεῖν, καὶ ἀλεκτρυόνες οἱ τὸν τράχηλον τοῦ νῶτον ἔχοντες κρόκη. ¶ Κροκότας, ζῶον, τετράπουν αἰθιοπικόν. ¶ Κροκίδες, γνάφαλα.

Κ ροκυλεγμός, τὸ κολακευτικῶς τὰς κροκίδας ἀπολέγειν τῶν ἱματίων. ¶ Κροκύλεια. πόλις. ¶ Κρόκις, ἡ ἐνίδνιος βοτάνη. ¶ Κροκώδης, τινὲς ὡς δυσλύτων ὄντων τῶν ἐκ τοῦ κρόκης δεσμῶν, ἔνιοι δὲ ὡς κρόκου φυομένου ἐκεῖ. τινὲς δὲ κροκώδη, ἐκ κροσσῶν συνεστραμμένων. ¶ Κρολίαζε, πλησίαζε θᾶττον.

Κ ρόμβος, ὁ κόνδυλος καὶ ὁ καπυρός. ¶ Κρομβότατον,

Κ ράνεια, λεπτοκάρυα. ¶ Κρανέεσθαι, τελέσαι, τελειῶσαι. ¶ Κρανέσι, ϖολυκεφαλαίοις. ¶ Κρανέω. ἐπιτελέσω. ¶ Κράνεος. ϖολυκεφαλαίας.

Κ ρανία, τόξον εἶδος δένδρου ϖολυκεφαλαία. ¶ Κρανέξαι, ἐπικεφαλὸν ἀποῤῥῖψαι. ¶ Κράνιοι, διὰ κεφαλαιώσεως αὗται τέσσαρες κράνιοι. ¶ Κράνιον, ϖλατύ, ὑψηλόν. σεμνόν. ἰσχυρόν. ὀχθώδης καὶ ἡ κεφαλὴ ἢ γυμνάσιον. ¶ Κράνος. ϖολυκεφαλαία.

Κ ράντωρ, βασιλεύς. ¶ Κραντῆρες, ὀδόντες, οἱ ὕστερον φυόμενοι, οἱ λεγόμενοι σωφρονιστῆρες. οἱ δὲ, τόπον κεφαλαιώσεως. ¶ Κραντῆρες, οἱ κραίνοντες καὶ ἐπιτελοῦντες. ¶ Κράξαι, βοῆσαι ἠχῆσαι. ¶ Κράσος, ἐν ᾧ τὴν γῆν σκάλουσι. καὶ ἡ σκαλευομένη ἄμπελος.

Κ ράπαθος, ἡ κάρπαθος. ¶ Κράπαθα, τὴν κάρπαθα. νόσον. ῥόδον. ¶ Κραπαπαλίας, αἰνεμώδης καὶ ἀσθενής. καὶ αὐῒ χύρα λέγεται. ἄμεινον δὲ ληρώδη.

Κ ραπάταλλοι, ἰχθύες τινές. ¶ Κραπάταλλος, παρὰ τοῖς ῥωμαίοις, ὁ νόμισμα. ¶ Κραρᾶ, πέπονθε τὴν κεφαλὴν, οἱ δὲ βοῶν πυρετούς, καὶ ἀκροστόλια νεῶν.

Κ ρᾶς, κρέας. τινὲς δὲ κεφαλό. ¶ Κράσβολα, κόλλαβοι δερμάτινοι. ¶ Κράστεα, ἀλευρωτίς.

Κ ράσπεδον, κεφαλαῖος, καὶ κράτεσθαι. ¶ Κράσις. κέρασμα. ¶ Κράσπεδα, τὰ ἐν τῷ ἄκρῳ τοῦ ἱματίου κεκλωσμένα ῥάμματα, καὶ τὸ ἄκρον αὐτοῦ. ¶ Κραστῆναι, διάκονοι γυναῖκες. ¶ Κρατηθεῖσαι, τῶν ἐνηλάτων αἱ κεφαλαὶ καὶ συμβουλαὶ καὶ τὰ ἄκρα.

Κ ράστιν, ἀττικοὶ διὰ τοῦ γ. οἱ νῦν γράστιν φασίν, ἔστι δὲ ὁ χλωρὸς χόρτος. ¶ Κρατώδετον, σφενδόνην δεδεμένην. τὰ δὲ ἄκρα τῆς σφενδόνης κεφαλὰς ἐκάλουν.

Κ ρᾶτα, κεφαλήν. ¶ Κραταιᾶς, ἰσχυρᾶς. ¶ Κραταίπενον, βοτάνη μεθ' ἧς πλέκουσιν. ¶ Κραταιγὸς δένδρον. ¶ Κραταιγίαλοι, στεῤῥοὶ κατὰ κύτην που τέσιν τὰ ὅπλα. ¶ Κραταιΐς, προσηγορεύεται τὸ κύριον ὄνομα τῆς μητρὸς τῆς σκύλλης. τὸ δὲ ϖοιητικὸν ἐπὶ τοῦ σισύφου προσηγορικόν. ¶ Κραταίλεον, ἔδαφος ἐκ σκληροῦ λίθου γεγονός.

Κραταίλεον, ἡ νιόβη. ¶ Κραταιόν, οὖδας. λιθόστρωτον ἔδαφος. ¶ Κραταίπεδον, ἰσχυρὸν ἢ λιθόστρωτον ἔδαφος. ¶ Κρατεῖ, μένει. κρύπτει. κυριεύει δυναμεῖ ἄρχει. ¶ Κράτει, δυνάμει. κεφαλῇ.

Κ ρατέει, κρατεῖ καὶ ἄρχει. ¶ Κρατέοντα, κρατοῦντα ἰσχύοντα. ¶ Κρατερόν, ἰσχυρὸν δυνατόν.

Κ ρατεροφόρος, γενναῖος. ¶ Κρατερόφρονος, βουληφόρου. ¶ Κρατερόδοντες, καρτερούμενοι.

Κ ρατερώματα, μίξις χαλκοῦ καὶ κασσιτέρου.

Κ ρατερώνυχες, ἰσχυροὺς ὄνυχας ἔχοντες. ¶ Κρατευταί, ὀβελίσκοι. ¶ Κρατευτάων, τῶν βάσεων, ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται πρὸς ὄπτησιν. ¶ Κράτει, νίκῃ ἀρχῇ ἐξουσία. ¶ Κρατῆρες, σιτλία, σκυφία.

Κ ρατηρίσκοι, οἱ τοῦ ὀφθαλμοῦ οἱ καὶ μόκωνες λέγονται.

Κ ρατί, κεφαλῇ. ¶ Κράτιστα, καλὰ κρατούμενα.

Κ ρατιστεύει, δυναστεύει, κυριεύει.

Κ ράτιστος. ἰσχυρότερος, δυνατώτατος.

Κ ρατός, τῆς κεφαλῆς. ¶ Κράτος, βασιλεία, ἰσχὺς, δύναμις δόξα ἐξουσία. ¶ Κράτος λιμένος, τῆς ἀρχῆς τοῦ λιμένος. ¶ Κρατύνει, κρατεῖ. ¶ Κρατύνεσθαι, ὀχυροῦσθαι. ¶ Κρατυνάμενος, ὀχυρωσάμενος. ¶ Κρατυνθέν, κρατηθέν, βεβαιωθέν.

Κ ρατυντῆρα, κατισχύοντα. ¶ Κρατύς, ἄρχων ἐξουσιάζων. ¶ Κραυαίνει, φροντίζει. ἐπιθυμεῖ.

Κ ραύαρ, ὁ ἰσχυρός. ¶ Κραυγή, βοή, ἢ νόσημά τι παιδίοις ἐπιφυόμενον, ὃ καταβλάπτει τοῖς παιδίοις. ἢ δὲ ὁ κραῦξ ἐξαιρετικῶς ἐστιν ἡ λεγομένη βασκανία.

Κ ραυγίας, ἵππος, ὁ ὑπὸ κραυγῆς καὶ ψόφου ταρασσόμενος. ¶ Κραυγάζει, βοᾷ, καλεῖ.

Κ ραυγός, δυσκολάπτου εἶδος. ¶ Κραυγόν, ποιὸς ὄρνις. ¶ Κραυρότερον, ξηρότερον.

Κ αυροᾶν, νόσος μελισσῶν, ὅταν σκώληκας καὶ ῥάχνας ποιῶσι. ¶ Κραῦσον, τὸ πῦρ. ¶ Κράφα, ᾧ οἱ κεπουροὶ τοὺς βολοὺς ἀπαιτοῦσιν. ¶ Κρεάγρα, ἐν ᾗ αἴρεται τὰ κρέα. ἁρπάγη, καὶ λύκος ἐν ᾧ τὰ ἐκ τῶν φρεάτων ἀνέλκουσι. ¶ Κρεάνας, ἐλπίδας.

Κ ρέας, καὶ τὸ σῶμα ἔλεγον, καὶ τὸ διδόμενον τοῖς ἀρεοπαγίταις ὑπὸ τῆς ἐξ ἀρείου πάγου βουλῆς, κρέας ἐλάμβανεν. ¶ Κρέατα, κρέα. ¶ Κρέασι, συμποσίοις.

Κ ρεῖον, ἀγγεῖον, εἰς ὃ κρέα βάλλεται.

Κ ρείουσα, καλλιστεύουσα. ¶ Κρεῖσσον, κρεῖττον, βέλτιον. κάλλιον. ¶ Κρείττονας, τοὺς ἥρωας οὕτω λέγουσιν. δοκοῦσι γὰρ κακότυχοί τινες εἶναι, διὸ καὶ οἱ παριόντες τὰ ἡρῷα, σιγὴν ἔχουσι μὴ τι βλαβῶσι. ἢ οἱ θεοί, ἢ αἰσχύλος αἴτνα. ¶ Κρειττόνων, αἱρετῶν.

Κ ρείων, βασιλεύων ἄρχων. κρατῶν. ἰσχύων. ἡγεμονεύων

Κ ρέκει, κιθαρίζει. ¶ Κρέκελος, θρῆνος. ¶ Κρέκοντα, κορκύζοντα. ¶ Κρεμῶ, κρεμάσω. ¶ Κρέμων, ἐκρέμασα. ¶ Κρεμβαλιάζειν, κογχύλια καὶ ὀστᾶ ἅμα συγκροτοῦντας ἐρισμόν τινα ἦχον ἀποτελεῖν τοὺς ἀρχομένους. ¶ Κρέμβολα, ἐφ' οἷς τὰς κρόκας ἐντυλίσσουσιν αἱ γυναῖκες. ¶ Κρέμμυον, κρόμμυον. ¶ Κρέξ, κορυφαία καὶ ὄρνεόν τι ὃ τοῖς γαμοῦσιν οἰωνίζεται. τάσσεται δὲ καὶ ἐπὶ τροχοῦ.

Κ ρήγυον, ἀγαθὸν ὠφέλιμον ὑγιές. ¶ Κρήδεμνα, τὰ χείλη. ¶ Κρήδεμνον, ἐπιβόλαιον, ὃ ἐστι κεφαλόδεσμος ᾧ χρῶνται αἱ γυναῖκες κατὰ μεταφοράν, καὶ τὰ τείχη λέγεται κρήδεμνα, στεφάνη καὶ κόσμος.

Κ ρήδεσμον, κεφαλόδεσμον. ¶ Κρήηνον, τέλεσον ἐπιτελείωσον. ¶ Κρήηνεν, ἀπετέλεσεν, ἐτελείωσεν.

Κ ρηθεῖν, κακολογεῖν. ¶ Κρηθμόν, λάχανον. ¶ Κρήϊα, ζώδια. ¶ Κρήϊνον, κρεοθήκη. ¶ Κρήϊον, ἐπίκοπον, κρεοδόχον λέβητα. ¶ Κρημνοβάτης, νευροβάτης. ¶ Κρημνός, ὄχθος, ἐξοχὴ πέτρας καὶ ὄρους βάθος, χάος. ¶ Κρηνάρχης, ἀρχὸς ἐπὶ τῆς ἐπιμελείας ὑδάτων. ¶ Κρηνῶν, πηγῶν ὑδάτων. ¶ Κρήνη, πηγή, ὕδωρ ἀγώγιμον. ¶ Κρήηνον ἔλδωρ. τελείωσον τὸ ἐπιθύμημα. ¶ Κρηνίας, τοὺς κεφαλῶνας τινές. ¶ Κρηνιῶν, καρηβαρῶν. ¶ Κρηνοφύλαξ, ὁ τὴν κρήνην φυλάσσων. ¶ Κρηπίδων, καὶ βάθρων βωμῶν. ¶ Κρηπίς, ὑποβάθρα. θεμέλιος. ὑπόδημα. λέγεται δὲ καὶ τὸ ἐπίθημα τῶν ἐγχύτων πλακούντων, καὶ περὶ τὴν ἀρχιτεκτονίαν διὰ κτίσεως ἐφ' οὗ οἱ στυλοβάται. ἀπὸ ταύτης οἱ ποιηταὶ τὰς καταρχὰς καὶ θεμελίους λέγουσιν. ¶ Κρῆσαι, κεράσαι, ἐπιχέαι. ¶ Κρησίαι. καλλίονες.

ραι, κόραι. ¶Κουράνια, ἐκ μελίνης ἄλφιτα.

Κουράς. ἡ ἐν τοῖς ὀροφώμασι γραφή. ὀροφικὸς πίναξ. παρὰ δὲ αἰσχύλῳ ἐμ μνημονεύσιν, ἀμφιβάλλει ἐγκουράδα, ἐστὶ δὲ ἐγκουρὰς, ὀροφικὸς πίναξ. ¶Κουρότροφοι, νεότροφοι. ¶Κουράτωρ, ξοφεύς. παιδοκράτωρ.

Κουράων, παρθένων θυγατέρων. ¶Κουρέην, τὴν ἀκουπίτην ἢ ἀκοπλτήν. ¶Κουρεὺς, ὄρνις ποιὸς ἀπὸ τοῦ φθέγγεσθαι ἐμφερὲς ἠχῷ γυναικοῦ μαχαιρείου.

Κουρεῶτις, μηνὸς τοῦ πυανεψιῶνος ἡμέρα ἐν ᾗ τὰς ἀπὸ τῆς κεφαλῆς τῶν παίδων ἀποκείροντες τρίχας ἀρτέμιδι θύουσιν. ¶Κούρη. κόρη. ¶Κουρῆτες, τῆς μὲν δευτέρας συλλαβῆς ἐκτεινομένης, οἱ τὴν πλευρῶνα κατοικοῦντες, διὰ τὸ κουρικῶς ἀνασείεσθαι τὰς κόμας. κούρητες δὲ προπαροξυνομένου τοῦ ὀνόματος, νεανίαι. καὶ ἔθνος κρητῶν. ¶Κουρήτεσσι, κρησίν.

Κουρήτων, ἔθνος κρητῶν. ¶Κουρήτων, στόμα, ἐδόκουν ἐπὶ μάντεις θεσπεσιωδὸν στόμα. ¶Κουριᾶν, κομᾶν κουρᾶς ἐπιδεῖσθαι. ¶Κουρίας, ὀροφικὸς πίναξ.

Κουρίδες, καρίδες, ἢ τὰς μικρὰς ἐγχλώροις, τὰς δὲ ἐρυθρὰς καμμάρους. ¶Κουριδίας ἐκ παρθενίας γαμετῆς. ¶Κουρίδιον, παρθένιον, καὶ τὸν ἐκ παρθενίας ἄνδρα. λάκωνες δὲ κουρίδιον καλοῦσι, παρὰ δὲ αὐτοῖς τετράχειρον ἀπόλλωνα. ¶Κουρὶξ, ἀπὸ κόμης.

Κουρίζων. ἀκμάζων. νεάζων. νέος ὑπάρχων.

Κουριζομέναις, ὑμεναιουμέναις γαμουμέναις, διὰ τὸ λέγειν τῷ κούροις τε καὶ κόραις, ὅπερ νῦν παρεφθαρμένως ἐκ κόρων λέγεται. ¶Κουρὶξ αἰνομένως. ἀπὸ κόμης λαμβανομένους, ἢ νεανικῶς παρὰ τὸν κοῦρον, ἢ τῶν τριχῶν παρὰ τὴν κουρὰν, ἢ τῆς κόμης ἁπρὶξ, ἄρξασθαι λίαν, καὶ βία. τινὲς δὲ ἀνδρικῶς καὶ νεανικῶς.

Κούριξαν, ἀπέκειραν. ¶Κουρεῖον, σοφοκλῆς αἰδρο μέσῳ ἡμιουτονκούρειον ἠρέθη πόλει, νόμος γὰρ ἐστὶ τοῖς ἐν βαρβάροις θύειν πλεῖν βρότειον ἀρχῆθεν γένος τῷ κρόνῳ.

Κουριῶν. κουρᾶς δεόμενος καὶ διαφέρειν φασὶ κομᾶν καὶ κουριᾶν. τὸ μὲν γὰρ κομᾶν ἐστὶν ἐπιμελούμενον τρίχας ἔχειν. κουριᾶν δὲ τὸ κατὰ συμφορὰν ἄλλως καθιέναι κόμην. ¶Κοῦροι, παῖδες νέοι ἄρρενες. ¶Κοῦρος, παῖς. νέος. υἱὸς ἄρρην. νεανίας. νήπιον. ¶Κουροτέροισι, κούροις. νέοις.

Κουρότερος, νεώτερος. ¶Κουροτρόφος, παιδοτρόφος. ὑφ' ἑτέρων ἡ δημήτηρ. ¶Κουρῶν, πρέπων. ¶Κουστωδία, βοήθεια στρατιωτική.

Κουστωδίας, τῆς τοῦ δεσμωτηρίου ἐπικειμένου στρατεύματος ἢ συναγωγῆς. ¶Κούταρον, τὸ ὀπισθίων τοῦ βοὸς ἡ σὰρξ ὑπὲρ τὰ ἄρθρα. ¶Κουτίδες, συκαλλίδες. ¶Κουτίδια, δίκτυα. τὰ πρὸς τὰς συκαλλίδας. ¶Κοῦφα, τὰ μὴ βαθέα. ¶Κουφίζει, μετεωρίζει. ¶Κόφινος, μεῖζον χωροῦν χοὰς ξεῖς.

Κουφικὸν τρόπον, τὴν κομητικὴν ὄρχησιν. ¶Κουφολογία, φλυαρία. ¶Κοῦφον. κόπον μετέωρον.

Κοῦφος, ἐλαφρός. ταχύς. γοργὸς εὔκαιρος. ¶Κουφόσκευος, ὁ βαστάζων τὴν πανοπλίαν. ¶Κουχίον, καὶ οὐχί. ¶Κοχλίαι, τὰ αἰσθιόμενα χόα, καὶ τὰ ἐν τοῖς ὀργάνοις ξύλινα. ¶Κόχλος, τοῖς θαλαττίοις ἔχεων πρὸ τοῦ τῶν σαλπίγγων εὑρέσεως, καὶ ὁ στρόμβος. ¶Κοχὺ, πολὺ πλῆθος. ¶Κώχυδ' ἐρρίχ-

ρῶς καὶ μετὰ ψόφου καὶ λάβρως. ¶Κοχυδεῖν, ὑπερχεῖν. ¶Κοχῶναι, τὸ ἱδρὸν ὀστοῦν τὸ τῆς ῥάχεως πρὸς τῷ δακτυλίῳ, οἱ δὲ τοῦ ἱδροῦ ὀστοῦ τὰ ἑκατέρωθεν μέρη. τίθεται δὲ ἐπὶ τῶν ἰσχίων. ¶Κόχωνα, τὰ ἰσχία. καὶ τὰ ὅμοια. ¶Κόψα, ὑδρεία. ¶Κόψενα, παρασάτης. χαλκός. ¶Κόψεν, ἔπληξεν ἐπάταξε τὴν θύραν, ἔκρουσε. κατέαξεν. ¶Κοψία, χύτρα.

Κόψεσθε, προσοχθιεῖτε. ¶Κόψιχος, εἶδος ὀρνέου. ὁ κόσσυφος παρὰ ἐνίων λέγεται. τάσσεται δὲ καὶ ἐπὶ τοῦ θαλασσίου. ¶Κοῶ, αἰσθάνομαι. ¶Κοεῖ, αἰσθάνεται.

Κὸρ, εἶδος. ¶Κὼρ, εἴδους.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ρ.

Κράανον, τέλεσον. ¶Κραάρα, κόσκινον ἢ ὄρυγμα. ¶Κράβος, ὁ λάρος. ¶Κράγιον, σύντεμμα ἐν κεφαλῇ. ¶Κραγὸν, κραυγήν.

Κράγον, βοήθημα καὶ ὄρος. ¶Κραγὼν, ἔνυδρον ζῶον. καὶ εἶδος καρίδος. ¶Κραγγὼν, κίσσα.

Κραδεύειν, κραδαίνειν, σείειν, τινάσσειν.

Κραδαίνει, σείει, τινάσσει. ¶Κραδαινόμενον, σειόμενον, τινασσόμενον, ταρασσόμενον. ¶Κραδαίνων, ὁμοίως.

Κράδαλοι, κλάδοι συκῆς. ¶Κραδάων, σείων.

Κράδεμνον, κάλυμμα. στεφάνη, μίτρα, τὸ ἐπικράνιον στεφάνωμα. ¶Κράδη, συκῆ, κλάδος, καὶ ἀγκυρίς, δι' ἧς ἐνήπτοντο οἱ ἐν ταῖς τραγικαῖς μηχαναῖς ἐπιφαινόμενοι. ¶Κραδησίτης, φαρμακὸς, ὁ ταῖς κράδαις βαλλόμενος. ¶Κραδία καὶ κραδίη, καρδία.

Κραδίην ἐλάφοιο δειλότερον. ¶Κραδίης, καρδίας.

Κραδίης νόμος, νόμον τινὰ ἐπαυλοῦσι τοῖς ἐκπεμπομένοις φαρμάκοις, κράδαις καὶ θρίοις ἐπιραβδιζομένοις. ¶Κραδίης, τυρὸς ὁ ὑπὸ τοῦ ὀποῦ ἐπὶ κράδης πηγνύμενος. ¶Κραδοφάγος, συκοφάγος. ἰσχαδοφάγος. σημαίνει δὲ ἐπὶ τὸν ἄγροικον. ¶Κραῖρα, κεφαλὴ καὶ ἀκροστόλιον. ¶Κραίνειν, τιμᾶν βασιλεύειν.

Κραίνουσιν, πληροῦσι, παρέχουσιν, τιμῶσι, βασιλεύουσιν.

Κραίνων, ὁμοίως. ¶Κραιπάλη, ἡ ἀπὸ τῆς χθιζῆς μέθης κεφαλαλγία. ¶Κραιπαλῶσαι, μεθύσαι.

Κραιπνὰ, ταχέα ὀξέα. ¶Κραιπνὸν, ταχὺ ὀξύ.

Κραιπνοῖσι, ταχέσιν. ὀξέσιν. ¶Κραιπνότερος, ὀξύτερος, ταχύτερος. ¶Κραῖρα, ἡ κεφαλὴ, ἡ κραίρα καὶ ἀκροστόλιον. ¶Κραῖροι, στόλοι νεῶν μέτωπα κεφαλαί. ¶Κρακαλίδαι, τῶν κρεισσόνων βασιλεῖς ἢ δάφορον γένος. ¶Κράμβατα, κεράσματα. ¶Κραμβατέλος, ξηρὸς ἐστὶ καπυρός. ¶Κράμβαλα, μνημεῖα.

Κραμβαλίζουσιν, καπυρίζουσι, καταστείουσιν. ¶Κράμβη ῥάφανος, ἢ ἕτερα λάχανα. ¶Κράμα, κέρασμα καὶ εὔκρατον. ¶Κραμβίον. τὸ κώνειον. ¶Κράμβον, καπυρόν τινα γέλωτα καὶ ξηρόν φασιν ἢ τὴν κράμβην. ¶Κραμβότατον, καπυρώτατον. ¶Κραμβέστατον, ἤ τινος τῶν ζώων. ¶Κράνα, κεφαλή. ¶Κρᾶναι, κρῆναι, τελεῖται, ἐν αἷς τῶν ὑδάτων, καὶ ἐπιτελέσαι.

Κραναῆς, τραχείας. ¶Κραναοίκορον, μοῖρα τις τοῦ ἱερείου. ¶Κραναὸν, ὑψηλὸν ταχύ. ¶Κραναοῦ, υἱὸς ῥαρός. ¶Κραναὴν πόλιν τὰς ἀθήνας ἀπὸ κραναοῦ. ¶Κρανέα, χηλευτὰ πλεκτὰ ἐκ σχοίνου, ἢ ἄλλης τινὸς ὕλης μαλάκια. ¶Κραναῖ, τὰ πρὸς κεκολλημένα σπόγγια, εἰς ἃ τὰ ὕδρα ἐμβάλλεται.

νῶδες, ὀζῶδες. ¶Κόρυξ, νεανίσκος. ¶Κορυπτόλοπτον, κέρατισμόν. ¶Κορυπτόλης, κερατιστής.

Κόρυς, θελγός. ¶Κόρυς, περικεφαλαία. ¶Κορύσσει, κρύπτει, μάχεται, ταράσσει, αὔξει, καθοπλίζει.

Κορύσσεσθαι, ἐπαίρεσθαι. ¶Κορύσσεται, καθοπλίζεται, ὑψοῦται. ¶Κορυσσαμένη, καθοπλισαμένη.

Κορύσσων, ὁπλίζων καὶ τὰ ὅμοια. ¶Κορυστής, ἀγαθὸς ἢ ὁπλίτης. ¶Κορύστιοι, οἱ γορτύνιοι ἢ ὁπλῖται.

Κορυσῦν, τὸ ἐπίμεστον. ¶Κορύτῃ, τῇ κεφαλῇ.

Κορυφῇ, κορυφῇ ἀκρωρείᾳ. ¶Κορύφαινα, ποιὸς ἰχθύς.

Κορυφαῖος, τέλειος, ἡγεμών. κόρυμβος, οἱ δὲ μᾶλλον τὰ τῶν παιδίων κορυφάνια. ¶Κορυφή, κεφαλή. λόφος. ἀκρωτήριον. ¶Κορυφαιστής, κόσμος γυναικεῖος τὸ περὶ τὴν κεφαλὴν χρυσίον, καὶ κεκρυφάλου τὸ μέσον ῥάμμα. ¶Κορυφεῖ. καταῤῥεῖ. ¶Κόρυφος, κόρυμβος γυναικεῖος. ¶Κορυφοῦται, αὔξεται, ὑψοῦται. ¶Κορυφώσεται, ἐκτελέσεται. ¶Κορφῶς, ἐλαφρῶς. ¶Κόρχορον, λάχανον ἄγριον καὶ στίχος.

Κορωνά, ὑψηλά. ¶Κορωναῖος. ἀμπέλου ἢ συκῆς εἶδος. ¶Κορώνη, κόραξ, καὶ τὸ ἄκρον τοῦ τόξου εἰς ὃ ἡ νευρὰ δέδεται καὶ ὁ κρίκος τῆς θύρας καὶ τὸ ζῶον, καὶ ὄρνεον, καὶ ἰχθὺς καὶ λάρος, καὶ εἶδος στεφάνου.

Κορώνη τὸν σκορπίον, παροιμία ἐπὶ τῶν δυσχερέσι καὶ βλαβεροῖς ἐπιχειρούντων. ¶Κορῶναι, ἀλίαι αἴθυιαι, κολυμβίδες, τὰ περιφερῆ σχήματα. ¶Κορωνίς, τὸ τελευταῖον τῆς οἰκοδομῆς ἐπίθεμα.

Κορώνεια, πόλις βοιωτίας, ἀκρώρεια, τέλος.

Κορωνίδες, καμπυλόπρυμνοι ναῦς. καὶ οἱ ἐκ τῶν ἴσων πεπλεγμένοι στέφανοι, κυρίως δὲ τὰ βλαστήματα.

Κορωνιδεύς, ὁ τῆς κορώνης νεοττός.

Κορώνιος, μηνοειδῆ ἔχων κέρατα βοῦς. ¶Κορωνίς, καμπύλη πρύμνη ἢ στεφανίς. ¶Κορωνισταί, οἱ τῇ κορώνῃ ἀγείροντες, καὶ τὰ διδόμενα ὑπ᾽ αὐτῶν κορωνίσματα. ¶Κορωνιῶν, γαυριῶν. ¶Κόρωνος, ὑπερήφανος. ¶Κορωνόποδες, πόα τίς ἣν καὶ κορακόποδα λέγουσιν. ¶Κόρωνος, ὀρθόκερως ταῦρος.

Κόρων, τὸ ἐπικεκαμμένον τοῦ ῥυμοῦ. ¶Κόστα, κριθαί.

Κόσκαβος, σκεῦος συμποτικὸν ἐφ᾽ οὗ τὰς λάταγας ἔβαλλον ἐρίζοντες. ¶Κοσκέλανον, τὸ βραχὺ καὶ τὸ δίκαιον. ¶Κοσκέλεφοι, κόλαφοι, ἢ κοσκέλεφοι.

Κοσκινόμαντις, εἰς κοσκίνου κατασκευὴν ἔμφρονος.

Κόσκικοι, οἱ καρικίδιοι ὄρνιθες. ¶Κοσκυλμάτια, τὰ τῶν βυρσῶν περικομμάτια. ¶Κοσκυλματίοις, κολακευματίοις, ἢ παραλογισμοῖς. ¶Κοσμᾶν, ἐρίζειν ἀγνωμονεῖν. ¶Κοσμεῖν, τιθέναι. ¶Κοσμῆσαι, διατάξαι, στῆσαι, στεῖλαι. ¶Κοσμησάμενος, παρατάξαμενος. ¶Κοσμήτης, κουρεὺς ἐνταφιαστής.

Κοσμήτορες, ἡγεμόνες. ¶Κοσμίοις, αὐτεπιλόπτοις.

Κοσμιωτάτη, εὐκαλλωπιστος. ¶Κόσμος, καλλωπισμός. κατασκευή. τάξις. κατάστασις, στρατηγὸς κεκοσμημένος κάλλος. ¶Κόσμου, ἐμπύρωσις, ὄρχησις ἢ ὑπόθεσις. ¶Κοσσάβοις, κοτλάβοις. ¶Κοσυμβωτὴν, προστατὴν. ¶Κόσυμβε δεσμός, ἀνάδεσμα ἢ ἐγκόμβωμα, καὶ ὅπερ αἱ κελοσταὶ φοροῦσιν, ὅμοιον ἀσπιδίσκῳ, καὶ περίζωμα αἰγύπτιον, καὶ τὸ ἐγκομβοῦσθαι.

Κόσσυφος, ὄνομα πτηνοῦ. ¶Κοστά, κριθαί.

Κοστὸς, εἶδος ἀρώματος. ¶Κοσίας, κοιλίας κόμβος. ¶Κόσβαροι, οἱ ἐπὶ θυσιῶν τεταγμένοι.

Κοσύμβη, καὶ κόσυμβος, ἐγκόμβωμα, καὶ περίζωμα αἰγύπτιον, καὶ ἐγκομβοῦσθαι. ¶Κοσσόλυφος, βόθυνος, ὄχθος. ἀνάστημα γῆς, ἢ σπέρμα. ¶Κοτέει, ὀργίζεται καὶ ὑπωπιᾷ. ¶Κοτεῖν. δυσχεραίνειν, χαλεπαίνειν. ¶Κοτεῖται, ζηλοῦται, ἐπιθυμεῖται.

Κοτέοντες, ὀργιζόμενοι. ¶Κοτέων, ὀργιζόμενος.

Κοτεσσάμενος, μεμψάμενος, χολωθείς.

Κοτέσσεται, χολωθείη. ¶Κοτήεις, στέφανος δὲ ἐλαίας ἢ ὀργίλως διακείμενος. ¶Κοτεῖ. φθονεῖ, ζηλοῖ. ¶Κοτίκας, ἀλέκτωρ. ¶Κοτίλλουσα, τίλλουσα. ¶Κότινος, ἀγριέλαιος, ὁ δὲ ἀγριελαίας στέφανος ὀλυμπιακός. φασὶ γὰρ ἀνδρῶν κότινον εἶναι.

Κότιξις, μέλας τι εἶδος. ¶Κοτίλλιον, αἰδοῖον αἰδρός. ¶Κότις, κότος ὀργὴ ἔχθρα χόλος ἐστὶν ἔμμονος καὶ ἡ ἐγκειμένη ὀργὴ εἰς κακοποιΐαν.

Κοτταμία, πλινθεία, ἢ λογωτεία. ἄμεινον δὲ νοεῖν ἔπαθλον τοῦ ἄριστα κοτταβίσαντος, ἔπιπτε γὰρ τὸ καταλειπόμενον ἐν τῷ ποτηρίῳ ἐκχέοντες καὶ πειρώμενοι ψόφον ἀποτελεῖν. ὁ δὲ ἐπιτυχὼν μάλιστα τοῦ ψόφου ἐνίκα. ¶Κοτταβίζει, οἶνον ποτηρίῳ ἀναρρίπτει.

Κοτταβία, αὐλόθειξ. ¶Κοττάβινος, ὑπόθεμα λάκωνες ἐν ᾧ οἱ κότταβοι ἐγίνοντο. ¶Κότταβος, λάταξ, δυσειπίδος πληθύνει. καὶ παιδιὰ παρὰ ἀττικοῖς ἀπὸ σικελίας παραδοθεῖσα. ¶Κόττανα, εἶδος συκῶν μικρῶν. καὶ ὁ παρθένος παρὰ κρησὶ κοττάνα. ¶Κοττάρια, τὰ ἄκρα τῆς κέγχρου. ¶Κοττεῖν, τύπτειν, δαρατεῖν. ¶Κόττικοι, αἱ περικεφαλαῖαι. ¶Κοττίδικα, πλατάγη κρόταλον. ¶Κοττοβολεῖν, τὸ παρατρέχειν τινὰ ὄρνιν. ¶Κοττάναθρον, ἔνθα οἱ ὄρνιθες κοιμῶνται. ¶Κόττος, ὄρνις καὶ ἵππων δὲ τινὲς οὕτως ἐλέγοντο. ¶Κοττυλαιοὶ, κατοικίδιοι ὄρνεις. ¶Κοττύβη. τὸ φυόμενον ἐμφερὲς μύκητι. ¶Κοτύλαια μικρὰ παρὰ τὴν κοτύλην. ¶Κοτύλη. εἶδος μέτρου, καὶ τρύβλη, ἢ τὸ κοῖλον τοῦ χειρὸς, καὶ πᾶν κοῖλον, ὅθεν καὶ εἰς ὅπερ ἡ τοῦ μηροῦ κεφαλὴ ἐμβαίνει, κοτύλη καλεῖται. ¶Κοτυληδὼν πόας εἶδος. ¶Κοτυληδόνες αἱ τοῦ πολύποδος πλεκτάναι. ¶Κοτυληδὼν, ὅσαις ἐπὶ τοῦ πολύποδος τῶν πλεκτανῶν, αἱ γὰρ ἐν ταῖς ποσὶν αὐτοῦ κοιλότητες, κοτυληδόνες λέγονται.

Κοτυλήρυτον πολὺ, ὥστε κοτύλῃ ἀρύσασθαι.

Κοτυλίσκος, κρατηρίσκος. ᾧ χρῶνται οἱ μύσται, καὶ τὸ κοίλωμα. τινὲς, τὰ μόνωτα ποτήρια, καὶ πλακοῦντος εἶδος, ἢ βόθρος εἰς ὃν τὸ αἷμα τῶν τῇ γῇ θυομένων ἐνέβαλλον. ¶Κότυνα, σκύβαλα. ¶Κοτυτώ, ὁ μὲν εὔπολις κατ᾽ ἔχθος τὸ πρὸς τοὺς κορινθίοις φορτικόν τινα δαίμονα διατίθεται. ¶Κοῦα, ἐνέχυρα. ¶Κούασμα, σκῆμα. ¶Κούαμα, μέλαν λάκωνες. ¶Κουάσαι, ἐνεχυριάσαι. ¶Κουβηζὸς, στιβεύς. ¶Κούκα, πάππον, ἢ κυκεῶνα. ¶Κουλεόν, ἰακῶς τὸ κολεόν.

Κουλεὸς. ξιφοθήκη. ¶Κουλιβατίαν, κλητίαν τὴν σιδηρῖτιν πόαν, ὃν ἐλξίνην ἔνιοι. ¶Κουλιβὸς, ἡ πίτυς. ¶Κουμάσιον τὸ τῶν ὀρνίθων οἴκημα.

Κούνημα, κόκκον ἢ ὁ κύων. ¶Κουνοῦνες, κώνωπες.

Κουπίτιον, καμάρα ἡ ἐπὶ τῶν ἁμαξῶν γινομένη. ¶Κου

τῶν μίμων γελοῖα καὶ παίγνια. ¶ Κορδαξίας, ὀρχήστεως. ¶ Κορδύλη, κορύνη, ῥόπαλον· ἢ δὲ ἐπάνω τοῦ κασίδος, ἢ πανοῦργος. ¶ Κορδύλος ἰχθῦς ποιός.

Κόρδυς, πανοῦργος. ¶ Κόραξι, πόρθει.

Κορέει, πληροῖ, χορτάσει. ¶ Κορεία, θεραπεία. καλλονή. ἡ θυσία τῇ κόρῃ τελουμένη. ¶ Κορεῖν, κοσμεῖν, καθαίρειν. ¶ Κορεῖον, περικράνειον. ¶ Κόρεν, κορυφὸ ἔπαλξις καινή. ¶ Κορέννυται χορτάζεται.

Κορέσαι, διαργάσασθαι. πληρῶσαι. χορτάσαι.

Κορέων, κορύσκων ἐξυβρίζων. ¶ Κορζία, καρδία πάλαιοι. ¶ Κόρη, νύμφη, ἣν ταῖς παρθένοις ἔπεμπον καὶ παρθένος καὶ ἡ ὄψις. ¶ Κόρην, παρθένον. ὀφθαλμὸν καὶ παῖδα. ¶ Κόρημα, κάλλυντρον ὃ τινὲς σάρον. ¶ Καθίλας καὶ κόρθιν, τοὺς σωροὺς καὶ τὴν συστροφήν. ¶ Κορθίλαι, συστροφαί. σωροί.

Κόρθιλος, ὄρνις, ὃν τινὲς βασιλικόν.

Κόρθυς, σωρός. ¶ Κόρθυας, τὰ κατ' ὀλίγον δράγματα. ¶ Κορθύεται, διεγείρεται καὶ εἰς ὕψος αἴρεται, μετεωρίζεται, φθάσει, ὑψοῦται. ¶ Κορθύεται, αἴρεται εἰς ὕψος. ¶ Κορθῶ, βλάβη. ¶ Κορίαλλαι, τρίγλαι ἰχθύες. ¶ Κορίαννον, τὸ κόριον καὶ γυναικεῖον κοσμάριον χρύσεον. ¶ Κορίζομαι, ὑποκορίζομαι. ¶ Κόριον, τὸ κορίανδρον, ἢ μᾶλλον κορίαμβλον. ¶ Κορικῶς, γυναικῶς ὡς κόραι.

Κορινθιάζειν, μαστροπεύειν, ἑταιρεύειν. ¶ Κορίνθιαι. αἱ πόρναι, καὶ αἱ ἀπὸ Κορίνθου τῆς πόλεως γυναῖκες.

Κόρινθος, πόλις Ἑλλάδος. ¶ Κορίνθιος ξένος, ἐπὶ τῶν τὰς ἀλλαγὰς ποιούντων. ¶ Κορίννους, κονιορτὸν ἐγείρουσιν, ἀπὸ τοῦ περὶ ὀνειπίδη ἀμεβοίας τοῦ Βελλεροφῶντι ἐπιχεινούσης. ὡς ἢ Ἄτταλος ἐν τῷ περὶ προοιμίων, ἐπὶ τοῦ διακάλλος ὡς ὁ Βελλεροφόντης.

Κορινθοειδές, κορείῳ ἢ κόρῃ ἐοικός. ¶ Κόριον, μικρὸν κοράσιον, ὃ κορίσιον δὲ λάχανον. ¶ Κορίς, ἰχθῦς ποιὸς ἢ ποία. ἣν ἔνιοι χαμαιπύτην. ¶ Κορίσαι, ὑψῶσαι. ¶ Κόριψ, νεανίσκος. ¶ Κοριῶντα, γαυρούμενον.

Κόρκορα, ὄρνις περγαῖοι. ¶ Κορκόδρυα, ὑδρόρυα.

Κόρκορος, εἶδος ἰχθύος, ἢ λάχανον ἄγριον. ¶ Κορκορύγη, κραυγὴ βοὴ ταραχὴ μετὰ θορύβου. ¶ Κορκοραία, μάστιξ δοκεῖ ἐκείνη χαλεπωτάτη εἶναι, καὶ παιδευομένων μάστιξ. ¶ Κορκορεύεται, ἀπονεῖται.

Κορμάζειν, τέμνειν. περικόπτειν. ¶ Κορμεῖται, κοσμεῖται.

Κορμὸς, πλάτη ἀπὸ τοῦ εἰς ὀλίγον κεκορμᾶσθαι, πλάτη δὲ εἶδος πλοίου ἡ ἕδρα καὶ κώπη καὶ τὸ εἰς βραχὺ συντετμημένον ξύλον. ¶ Κορκούτης, αἰδοῖον ἀνδρεῖον. ¶ Κόρνος, κέντρον, μυρσίνη, σικελοί. ¶ Κορνώπιδες, κώνωπες. ¶ Κορὸν, τὸ ἄκρον τοῦ τόξου ἢ κερκίον. ¶ Κόροιβος, ἠλίθιος καὶ μωρός. ἐπὶ γὰρ τῶν μωραινόντων ἔταττον τὸν κόροιβον, ἀπὸ Κοροίβου τινὸς μωροῦ καὶ ἠλιθίου μετάγοντες, οἷον οἷον τὸν Μύγδονος εἶναι παῖδα τοῦ Φρυγός. ¶ Κοροῖπις, ἀλώπηξ. ¶ Κοροκοσμία, τῶν παρθένων.

Κορωνίδες κακῶν. κεφάλαια κακῶν καὶ αἱ εἰς ἀπεθὸν ὑπερβολαί. ¶ Κόρος, πλησμονή, χορτασία, τρυφή. παῖς. κάλλωπον, ἢ μέτρον τι σιτικὸν καὶ πλέγμα μυρσίνης πεποιημένον. ¶ Κορθύεται, ὑψοῦται, κορυφοῦται. ¶ Κόρος, πλῆθος ἀνθρώπων καὶ τὰ νέα βλαστήματα καὶ μέτρα. ¶ Κόρη. τράχηλος ἢ τὸ ὀπίσω τοῦ τραχήλου ἢ κρόταφος. ¶ Κόρριον, μικρὸν κοράδιον. ¶ Κορσεὺς, κουρεύς. ¶ Κοράφοις, ὑποπεργαίοις. ¶ Κόρσαι, αἱ τῶν ὀφρύων τρίχες καταφέρουσαι εἰς τοὺς ὀφθαλμούς, ἢ γνάθοι, ἢ κορυφαί. ἄκραι οἱ δὲ κεφαλὰς ἐπάλξεις προμαχῶνας, στεφάνας πύργων ἢ κρόταφοι ἢ κλίμακες. ¶ Κόρσακις, τράγος περὶ Κρατῖνῳ. Δίδυμος ἤκουεν ἀπὸ τοῦ κόρσης, κόρσαι γὰρ τῆς Κιλικίας. ¶ Κόρση, κεφαλή. ἔπαλξις. κλίμαξ, κρόταφος. ¶ Κορσίπιον, ῥίζα τις. ἢ νόμισμα παρ' Αἰγυπτίοις τὸ κόρσαιον λεγόμενον.

Κορσίς, πυγή. ¶ Κορσὸν, κορμόν. ¶ Κορσοῦν, κείρειν. ¶ Κορτεῖν, κροτεῖσθαι. ¶ Κορσωτήριον, κουρεῖον. ¶ Κορτερά, κρατερά, ἰσχυρά. ¶ Κόρτηρ, πάρθοι ἐσθῆτα καλοῦσιν, ἣν λαμβάνουσι παῖδες εἰς ἄνδρας ἀφικόμενοι. ¶ Κόρτος, ὁ ἐν τοῖς κυσὶ κρότων.

Κορτύνιοι, οἱ Ἀρκάδες, ἢ ἡ Κόρτυς, τῆς Ἀρκαδίας.

Κόρυς περικεφαλαία. ¶ Κορυβεντιᾶ, ἐντελετεῖ.

Κορυβαντιώσης, μαινομένης. ἢ ἐπιθετικῶς δαιμονιζομένης. ¶ Κορυβαντισμῶν, καθαρισμῶν. ¶ Κορύβας, ῥέας ἱερεύς. ¶ Κορυστεῖν, κορατίζειν. ¶ Κορύγης, κῆρυξ δειλεῖς.

Κορυδαλλὸς πετεινὸν ζῶον, καὶ δῆμος τῆς Ἀττικῆς, ἢ κόρυδος παρ' ἐνίων. ¶ Κορυδεύς, ὄνομα κύριον. οὗτος ἐκωμῳδεῖτο ἐπὶ δυσμορφίᾳ, καὶ οἱ παῖδες αὐτοῦ.

Κόρυζα, μύξα, κατάρροις περὶ κεφαλὴν πάθος.

Κορύζει, ξαίνει μωραίνει. ¶ Κορύζων, μεμωραμένος.

Κόρυθα, περικεφαλαίαν. ¶ Κορυθάϊκι, τῷ τὴν περικεφαλαίαν εὐκίνητον ἔχοντι, ἢ σείοντι. οἷον πολεμιστῇ. ¶ Κορυθαίολος, μαχητὴς ἀπὸ τοῦ αἰολεῖν τὴν κόρυν, ὅ ἐστιν ἐπισείειν. ἢ ποικίλην ἔχων περικεφαλαίαν, ἢ εὐκίνητος. ¶ Κορυθαλία, δάφνη ἐστεμμένη. τινὲς τὴν εἰρεσιώνην. ἄλλοι δὲ ὑπόβρειον θεόν.

Κορυθαλλίστριαι, αἱ χορεύουσαι τῇ κορυθαλλίᾳ θεᾷ.

Κόρυθα, περίδρομον. τὸ περιβόλαιον στέφανον.

Κόρυθες, περικεφαλαῖαι, περὶ τὸ κάρα. ¶ Κορυθία, αὐλητεία. ¶ Κόρυθοι, περικεφαλαῖαι. ¶ Κόρυθος, εἷς τις τῶν τροχίλων. ¶ Κόρυθος, φάον, περικεφαλαίας. ¶ Κόρυθας, περικεφαλαίας.

Κορύθων, ἀλεκτρυὼν, αἱ νεανίδες. ¶ Κορυλλίων, ὄρνιθος εἶδος. ¶ Κώρυκος, θυλάκιον ἢ πήρα.

Κόρυμβα, τὰ ὑπ' ἐνίων ἄφλαστα τὰ ἀκροστόλια τὰ ἄκρα τῶν πρυμνῶν. τὰ ἀπεξυσμένα πρὸς κόσμον τῶν νεῶν ἄκρα, καὶ ἐπικεκαμμένα ἄνω κατὰ τὴν πρύμναν καὶ κατὰ τὴν πρῷραν. ¶ Κόρυμβον, τὴν ἀκρόπολιν ἢ περὶ κεφ' ὕψος ὄν, τὴν γὰρ ἐπὶ κεφαλῆς τοῦ ὄρους ὕλην, καὶ καθόλου πάντα τὰ μετέωρα καὶ εἰς ὕψος ἀνατείνοντα, κορύμβους λέγουσιν, ὅθεν κόρυς κύρβις. κυρβασία.

Κόρυμβος, ὁ καυλὸς τοῦ ἀσπαράγου. ¶ Κορυμβάσι, περιδρόμοις, δι' ὧν συνάπτει γύργαθος καὶ κεκρύφαλος καὶ δεσμοί. ¶ Κόρυμνα, κόσμος τις γυναικεῖος. περιτραχήλιος. ¶ Κορύναι, μύξαι. ¶ Κορύνη, σιδηροβαρὲς ξύλον. οἱ δὲ, ῥόπαλον. οἱ δὲ, κολόροβον. οἱ δὲ, ξύλον ἐπικαμπές. ¶ Κορύνησις, βλάστησις. ¶ Κορυνήτης, κορυνομάχος, ῥοπαλομάχος. ¶ Κορυνθεὺς, κόφινος. κάλαθος ἀλεκτρυών. ¶ Κόρυνθος, μάζης ψωμός. ¶ Κορυ

τοῦ νομισάς, ἀλλ' ἤδη καὶ ἐπὶ τῶν καινῶν πολιτῶν.
Κομμάραι, ἢ κομάραι, καὶ εἶδος μακεδόνες. ¶ Κομμαρεύων, θηρεύων μοχθῶν. ¶ Κόμμοι, ὀδόντες γόμφιοι, ἢ κόμποι. ἢ κοπροί. ¶ Κρότος, κόσμος.
Κομμοῦν ὡραΐζειν τὸ σῶμα. ¶ Κομμώσεις, πλεκτάναι. ¶ Κομμωθῆναι. κοσμηθῆναι. ¶ Κομμώτρια, ἡ πλέκτρα. ¶ Κόμμωσις, ὁ τοῦ σώματος ὡραϊσμός. καὶ ὑπὸ τῶν μελισσουργῶν, ὁ τοῦ σμήνους διάχρισις.
Κομμῶσαι, κοσμῆσαι. ¶ Κομμώτρια, ἡ κοσμοῦσα τὰς τρίχας καὶ ψιλοῦσα. κουρεύουσα. ¶ Κομπάζει, καυχᾶται. ¶ Κόμπαλος, παλαιστροφύλαξ. Κομπαλικεύουσι, προσαλαζονεύουσι. ¶ Κομίζειν, καὶ καπαλαζονεύειν. ¶ Κομπεῖ, μεγαλορρημονεῖ ψοφεῖ.
Κόμποι, ὀδόντες γόμφιοι. ¶ Κόμποις. ὑπερηφάνοις
Κόμπος, ψόφος κτύπος. ἦχος ὀδόντων ¶ Κομπώδης, ἀλαζονικόν. ¶ Κομψά, τὰ στρογγύλα. ¶ Κομψεία, ποικιλολαλία ἡ πανουργία. οἱ σκόλυμοι, ἔνιοι. τὰ τῶν κοσσύφων κρέα, οἱ δέ, γένος λαχάνων ὅπερ τινὲς ἱπποσέλινον καὶ σμυρνίον. ¶ Κομψεύεται, κολακεύει, σεμνύνεται, πιθανοποιεῖ. ¶ Κομψόν, ἔντιμον σπουδαῖον γελοιαστήν, τωθαστήν. πανοῦργον. λάλον. στωμύλον, σκωπτικόν. ἐπίχαριν. ¶ Κομψότερον, βελτιώτερον. ἐλαφρότερον. ¶ Κομψοῖς, βελτίστοις πανούργοις, σπουδαίοις, ἐντίμοις. καλούς. ¶ Κωμῳδοῦντες, θριαμβεύοντες, πομπεύοντες. ¶ Κομῶσα γέμουσα. ¶ Κοναβῆσαι, ἠχῆσαι, ψοφῆσαι. ¶ Κόναβος, ἦχος. ψόφος. κρότος. ¶ Κόναι, φόνοι. ¶ Κονάειχον, γλαφυρόν. ¶ Κονδόν, εὐτραφῆ. πίονα. δραστήριον. ¶ Κονδότερον, δραστικώτερον. ¶ Κονάσσουσα, κονιορτὸν ἐγείρουσα. ¶ Κόνδοι, κόραι, ἀστράγαλοι. ¶ Κόνδυ, ποτήριον βαρβαρικὸν κυμβίον.
Κονδυλίζει, κολαφίζει. ¶ Κόνδυλος, ἕτερόν τι τοῦ κολάφου. ¶ Κονδυλούμεναι, ἀνοιδοῦσαι, καθάπερ ἐπὶ τῶν βρασσομένων ὑπὸ τοῦ πυρὸς ὑδάτων.
Κονεῖ, σπεύδει, τρέχει. ¶ Κονεῖν, ἐπείγεσθαι, αἰσθάνεσθαι. ἐνεργεῖν. ¶ Κονείδης τινὸς ἰθαγενῶν. ¶ Κονείδης, θησέως παιδαγωγός. ¶ Κόνις, τέφρα. σποδός.
Κονῆται, θεράποντες. ¶ Κονθυλαί, αἱ ἀνοιδήσεις.
Κονία, σμῆγμα σποδός. ¶ Κονίαν, μαζονόμον. ¶ Κονίασις, ἀσβέστωσις. ¶ Κονιαταί, ἀσβεστικοὶ καὶ οἱ χρῖται. ¶ Κονίζεσθαι, κυλίεσθαι, φθείρεσθαι, κονιορτοῦσθαι. ¶ Κόνι, ἡ κόνις, ἄμμος μάχη ἀκαθαρσία.
Κόνιν αἰθαλόεσσαν, τέφραν μάχην ἀγῶνα καὶ σποδός.
Κονίοντες, ἀνύοντες. λευκαίνοντες. ¶ Κονίποδες, ὑποδήματα μοιχικά. ¶ Κονιορτόποδες, ἀγροῖκοι ἐργάται. ¶ Κόνις κονιορτὸς καὶ τὰ ὅμοια.
Κονίσαι, ἀνύσαι. ¶ Κονισάλεος, κεκονιορτωμένος.
Κονίσαλοι, ἀφροδίσια. ¶ Κονίσαλος, κονιορτὸς σκίρτησις σατυρικὴ ἢ τῶν ἐντεταμένων τὰ αἰδοῖα.
Κονίσασθαι, ἀγωνίσασθαι. ¶ Κονίσουσι. κονιορτοῦ πληρώσουσιν. ¶ Κόννα, σποδός. ¶ Κοννάβησαν, ἤχησαν. ¶ Κονναβίζει, ἦχον ἐπιτελεῖ. δεσμεύει.
Κόνναρον, καρπὸς δένδρου ὅμοιος παλιούρῳ.
Κοννεῖν. συνιέναι. ἐπίστασθαι. ¶ Κόννις, ἀλείτης πενίαν ἔχων καὶ παρ' ὧν ἄθεστος. ¶ Κόννος, ὁ πώγων, ἢ ὑπήνη ἢ χάρις. ¶ Κοννοῦσι, γινώσκουσιν. ¶ Κοννοφόρων. σκυλλυφόρων. ¶ Κόννου ψῆφον. παροιμία ἐπὶ τῶν μηδενὸς ἀξίων. ¶ Κωνοειδὴς εἰς ὀξὺ λήγων.
Κοννόφοσιν, ἄφοσιν. ¶ Κονσιστόριον, θεῖον συνέδριον.
Κονσουλάριος, ὑπατικός. ¶ Κόντιλος, εἶδος ὀρνέου ἢ ὄρτυξ. ἔστι δὲ καὶ ὄφις. ¶ Κονοῦσα, τὰ ἄλευρα οὕτως ἐκάλουν. ¶ Κόντος, δόρυ. ¶ Κοντουβερνάλιος, συστρατιώτης. ¶ Κόντῳ πλεῖν. πρὸς κόντῳ ζεῖν.
Κόνυζα, βοτάνη ἄφυλλος. τινὲς δὲ φυτὸν πολύφυλλον ἱκανῶς. διὸ καὶ στιβάδας ἐξ αὐτοῦ ἐποίουν. ἔστι δὲ ὅτε ἐν ταῖς στέγαις ἐπέβαλον ἐξ αὐτῶν ἀντὶ ὠλενῶν καὶ ἐπὶ τὰ δακρώματα. ¶ Κοννεῖν, συνιέναι, ἐπίστασθαι.
Κόοι, τὰ χάσματα τῆς γῆς καὶ τὰ κοιλώματα.
Κοπάδες, τὰ ἐπικεκομμένα δένδρα. ¶ Κόπανον, ξύλον ἐρεταλυτικόν *. ¶ Κόπασον, ἡσύχασον.
Κόπελλα, αἰδοῖα. καὶ τὰ ὀστώδη τοῦ στόματος. ¶ Κοπετός. κόμμος. θρῆνος μετὰ ψόφου χειρῶν. ¶ Κόπηθρον, φυτὸν λαχανῶδες ἄγριον. ¶ Κοπίσονται φονευθήσονται. ¶ Κοπίαι, ἡσυχίαι. ¶ Κόπιες, κεῦξαι ὀρνίθια. ¶ Κοπίζειν, ψεύδεσθαι. ¶ Κοπιῶς, ὑψηλοῦ τόπου. ¶ Κόπις, μερίς. δεῖπνον. μάζα. ἄρτος. κρέα. λάχανον. ὠμόν. ζωμός. σῦκον. τράγημα. θερμός.
Κοπτά, μελίπηκτα. ¶ Κομπάτιον, μονόφθαλμον.
Κοππατίας, ἵππος κεκαυμένος, ἐντετυπωμένον ἔχων σημεῖον τὸ κόππα. ὅ ἐστι ἀπεστραμμένον ρ καὶ σ.
Κόπος, κοπιασμός. ¶ Κοπρεῦσαι, φυτεῦσαι.
Κόπρος, ἥτε τῶν κτηνῶν ἡ εἰς τοὺς κήπους βαλλομένη τέμενος μέσας κοπρήσαντας, καὶ ἡ στάσις τῶν βοῶν, καὶ ἡ κόνις κυλινδεῖ. καὶ τὰ κόπρον. ¶ Κοπρόσυρα, τὰ συρόμενα κόπρια. ¶ Κόπτει, πενθεῖ. ¶ Κόπτει δὲ δεσμούς. τοὺς ὅλους κατεσκεύαζε καὶ ἐνήργει.
Κόπρου τῆς βασκανίας, ἣν ἔνιοι μάνδραν καλοῦσιν.
Κόπτη, θαλάσσιον πράσον. ¶ Κόπρειος, τῆς κύπρου.
Κόπτειον, θακῶν σκύβαλον. ¶ Κοπτομένου, ταλαιπωρουμένου. ¶ Κόπτων, τύπτων ἐλαύνων.
Κοραγεῖν, τὸ ἀπάγειν τὴν κόρην. ¶ Κορακεύς, εἶδος ἰχθύος. ¶ Κορακίας, ὁ μέλας καὶ κολοιὸς καὶ κορακῖνος ὁμοίως. ¶ Κορακόνιοι, εἶδος ὀρνίθος.
Κόρακος πέτρα. τόπος ἐν Ἰθάκῃ κληθεὶς, ἐντεῦθεν, ὁ Κόραξ παῖς ὢν Ἀρεθούσης διὰ τὸ θανεῖν. οὐ φέρουσα δὲ τὴν λύπην ἡ μήτηρ αὐτοῦ, ἀπήγξατο. καὶ ἀπὸ τούτου κόρακες πέτρα ὠνομάσθη. ἀπὸ δὲ τῆς μητρὸς κρήνη τῆς Ἰθάκης Ἀρέθουσα. ¶ Κορακοφοροκλείδης. ἔστι γὰρ ἱεροκλείδης.
Κοράλλιον, λίθος θαλάσσιος ἐρυθραῖος. ¶ Κόραννος, βασιλεὺς μακεδονίας. ¶ Κόραξ, τὶ γινωσκόμενον ζῶον, καὶ ἕτερον στεγανόπουν καὶ ἰχθὺς ποιός. καὶ τῶν ἀλεκτρυόνων ἄκρα ῥύγχη. ¶ Κοράξαι, ἄγαν προσλιπαρῆσαι. πεποίηται παρὰ τοὺς κόρακας.
Κοραξοί, σκυθῶν γένος καὶ τὸ γυναικεῖον αἰδοῖον.
Κόραξ ὑδρεύσει. παροιμία ἐπὶ τῶν δυσχερῶς τινῶν τυγχανόντων. ¶ Κόρας, ὀφθαλμούς.
Κορασεῖ, ὀρχεῖται, καὶ ἄκλητα ἐλήλυθε. ¶ Κοράττειν, κορακεύεσθαι. ¶ Κοραύλη, ἀπόστημα.
Κορύνη, ῥόπαλον. ¶ Κόραφος, ποιὸς ὄρνις.
Κόρμα. ἡ τοῦ κόρματος καὶ κορυβαντίας αἰτία.
Κόρδαξ, εἶδος ὀρχήσεως ἀσέμνως κωμικῆς. ¶ Κορδακίζουσα αἰσχρὰ ὀρχουμένη. ¶ Κορδακισμοί, τὰ

ατμήματα δερμάτων, ἀφ' ὧν ἕψεται ἡ κόλλα τοῦ βοός. ¶ Κόλλα, τοῦ βοὸς τὸ νεωτάτον δέρμα ἐξ οὗ τὸ κολλᾶν. ¶ Κόλλοπες, οἱ κόλαβοι, ὑποδέουσι αἱ χορδαί, τὸ ἢ νεωτάτον ἢ τὸ τραχήλιον τοῦ βοὸς κόλλοψ, διὰ τὸ εἰς κόλλαν ἐπιτήδειον. ¶ Τοὺς σκληροὺς δὲ καὶ πεπορνευκότας παῖδας, ἐντεῦθεν κόλλοπας φασίν.

Κολλήεντα, κακῶς κεκολλημένα, ἢ τὰ ἐκ συμβλημάτων ἡρμοσμένα. ¶ Κολλυτάς, σανίδας, τὰς θύρας τὰ θυρώματα. ¶ Κολλίδαι, γένος ἰθαγενῶν.

Κόλιξ, ὁ περδίδυμβρον. ¶ Κόλλικας, εἶδος τι ἄρτου.

Κολλικονόμον, τὸν κόριδακα. κόλλικα. λέγονται καὶ κορδακίσματα. ¶ Κόλλοπι, κολοβῶ. ¶ Κολλοπίζειν, καθέλκειν. ¶ Κολλοπῶσαι, κατακολλῆσαι.

Κόλλου, ἄρτος. ¶ Κόλλοψ. τοῦ νώτου ἡ φορίνη, καὶ τῆς κεφαλῆς τὸ ἄκρον. ¶ Κόλλυβα, τρωγάλια.

Κολλυβιστής, τραπεζίτης, κόλλυβος γὰρ εἶδος νομίσματος, καὶ ὁ ἐν τῷ χαλκῷ κεχαραγμένος βοῦς.

Κολλύρα, θεόφραστος ὑπὸ τῶν ἐκ τέφρας πεπλασμένων, ὅθεν ἕλκουσι. ¶ Κολλυρίων, ὄρνις ποιός.

Κολλύχνιον, καθαρὸν λέπισμα. ¶ Κολοβάθρινα, τὰ κολλοβαφῆ. ¶ Κολοβοῖ. ἐπικόπτει. ¶ Κολλοβός, κονδὸς σμικρὸς ὀλιγοστὸς ἢ ἐστερημένος, ὁ νόμος τῆς κιθαρῳδικός. ¶ Κολοιβάζειν, ἀτάκτως ἐσθίειν.

Κολοίδιον, περιξιρίδιον. ¶ Κολοίδρου ξύλον μάχας ποιούντων ἐπεστφερόμενον. ¶ Κολοιή, φωνή.

Κολοιοί, σκοπὶς μικραὶ κορώνιαι. ¶ Κολοιός, ὅς οὐ ταχὺ ἄρχεται ἐν ἀλεξανδρείᾳ. ¶ Κολοίπημα, ἄπλυτον κάθαρμα. ¶ Κολοίτια, δένδρον τι.

Κολοί, τύποι κακοί. ¶ Κολοίφρυξ, ταναγραῖος ἀλεκτρυὼν ἀπὸ ὄρος βοιωτίας. ¶ Κολοκάνοι, ἐπιμήκεις καὶ λεπτοί. ¶ Κολοκτρύων, ἀπὸ τοῦ κολωνοῦ, ἀλεκτρυόνες μεγάλοι γίγνονται. ¶ Κολοίστιον, ξηρόν.

Κολόκυμα, τὸ τυφλὸν κῦμα, οἱ δὲ τὸ σκώληκα καλούμενον τὸ μικρὸν κῦμα. ¶ Κολοκώνας, τὰς βαλβίδας τινές. ¶ Κολόν. κολυστόν. μέταν τράγον κέρατα οὐκ ἔχοντα ἀλλὰ ἡ τῶν κεράτων ἔκφυσις, αὐτὸ μόνον ἔχει τὸ ζῶον, καὶ μετά ποτε εἰς τὸ τέλειον κέρας φοροῦν. ταύτας δὲ καὶ κολόκρους ἔλεγον. δηλοῖ δὲ καὶ τὸ ἔντερον καὶ τὸ κολοβόν, παρὰ δὲ ὁμήρῳ. τὸ κολοβὸν τὸ κεκολοβωμένον. ¶ Κόλος. κολοβός, ἢ μάχη ἀκόρεστος θόρυβος νοσώδης πρὸς κολοβός. ¶ Κολοσσοί, ἀγάλματα ὑπερμεγέθη ἀνδριάντων. ¶ Κολοσταθμός, ἔπαυλις κατάβασιν ἔχουσα τὸν πυλῶνα.

Κολοσσία, ἀνδριάντος σκιὰ καὶ τὸ εἰς ὕψος ἀνάστημα.

Κολοσυρτεῖ, θορυβεῖ τὰ ἐράσῃ. ¶ Κολοσυρτός, θόρυβος συρφετὸς κονιορτὸς ὄχλος ἀναφορά. ¶ Κολασᾶν, θορυβεῖν. ¶ Κουλαύει, κατασείει, σάττει, κωλύει, ἐμποδίζει, κολοβοῖ. ¶ Κολούεται, ἐλαττοῦται. ¶ Κολουρέη, κολοβῇ νεωτάτῃ. ¶ Κολουρία, τῇ ἀποτομίᾳ. ¶ Κολουρίτις, γῆ σκελοί.

Κόλουρον, κολοβὸν μάστιγα. ¶ Κόλου, κώλυον λάκωνες. ¶ Κολουμβᾶ, θορυβεῖ. ¶ Κωλοιά, ψωμούς.

Κολοῦσθαι, κολοβοῦσθαι. ¶ Κολούσματα, κλάσματα. ¶ Κολούων, μειῶν ἐλαττῶν. ¶ Κολοφών, ὁ κολοιός, καὶ ἰχθὺς ποιὸς θαλάσσιος. ὁ δὲ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον, καὶ ἐπὶ πάθων ἤτοι συμφορῶν λαμβάνεται ὁ τὸ ὄνομα πόλεως κεφάλαιον καὶ τὸ τέλος ἤγουν τὸ πέρας τοῦ πράγματος. ¶ Κολοφώνια, ὑποδήματα κοῖλα καὶ μεταλλικὸν τι. ¶ Κολόχειρ, χείραρπος κόλπον ἀνειμένην τὸ κατὰ τὸ στῆθος μέρος ἀνέλκουσα ἵνα τὸν μαστὸν δείξῃ. ¶ Κόλποι, κοῖλος τόπος παραθαλάσσιος. ¶ Κόλπασθαι, ἱκετεῦσαι.

Κόλυβος, ἔπαυλις. ¶ Κολυκρίζοντες, ἐκτελούντων. ¶ Κολυμβητάς, τοὺς ἐκ τῶν φρεάτων ἀναπίμποντας τοὺς κάδους. ¶ Κολυμβίς, ὄρνις ποιός.

Κόλυμβοι, αἱ κολυμβάδες τὰ ὄρνεα, ἢ ζωΰφια ἐν κολυμβήθραις. ¶ Κορύρας, ἀρτίδια μικρὰ καθαρά.

Κολύμφατος, φλοιός. λεπίδιον. ¶ Κολυρίζοντες, ἐκκενούντων. ¶ Κολυττός, ὄνομα δήμου. ¶ Κολύφαινον, φλοιὸς λεπύριον. ¶ Κολυφρόν, ἔλαφον.

Κολῶ, κολάσω. ¶ Κολῶναι, αἱ πόλεις βοίας.

Κολωμένους, κολώπαντας. ¶ Κολωνός, παροιμία, ὀψὲ ἦλθες, ἀλλ' εἰς τὸν κολωνὸν ἴεσο, ἐλέγετο δὲ ἐπὶ τῶν μισθαρνούντων. ¶ Κολωνία, τάφος ἠλεῖοι.

Κολώνη, τόπος ὑψηλός, καὶ ἐπανάστημα γῆς βουνοειδές, ἢ πόλις μεγάλη. ¶ Κολωνός, τόπος ὕψος ἔχων.

Κολῷον καὶ κολῷτον, ὁ κολῳός, θόρυβος ἀταξία ταραχή. ἡ μεταφορὰ ἀπὸ τῶν ζώων. ¶ Κολώπου, τόπος ἐν τῷ ἄστει. ¶ Κόλωψ, ἀμφιάτωρ. ¶ Κολοφώνιον, πέρας. ἔσχατος τέλος. ¶ Κολοτέα, δένδρον τι.

Κομᾷ, γαυριᾷ μεγαλοφρονεῖ, ἢ χλοοφορεῖ ὃ ἀπαλλεῖται.

Κόμαι, τρίχες. ¶ Κομαίθα, ἡ τυχοῦσα γυνή. ¶ Κομαίονται, κομηθήσονται. ¶ Κομάκτωρ, ἡ λέξις, παρὰ ῥίνθωνι ἐν μηδείᾳ. ¶ Κομανίαν, πορνείαν ψίλειαν. ἄνοιαν. ¶ Κόμαρος, φυτόν τι ὅπερ φέρει καρπὸν μιμαίκυλον. ¶ Κομάς, θεραπείας καὶ τὰ συοφόρβια.

Κόμβα, κορώνη παρὰ πολυρρηνίοις. ¶ Κομβακεύεται, κόμποις λέγει. ¶ Κόμβαλα, πέσματα τινά. ¶ Κόμβη, καρότων μήτηρ. ¶ Κόμβοισαν, ποιὸν ἔχον ἀπὸ τελέσαι. ¶ Κομβολύτης, βαλανοτόμος. ¶ Κόμβωμα, στόλισμα, σκείρωμα. ¶ Κομβίζων, φυσῶν.

Κόμβος, κόσυμβος τὸ ἔκπωμα. ¶ Κόμβας, ὀδόντας γομφίους. ¶ Κομβώματα, τὰ ἐν ταῖς ῥάβδοις μικρὸν τόρνον ἔχοντα, ὑπὸ πεταλέων. ¶ Κομβάσασθαι, στολίσασθαι. ¶ Κομεῖν, ἐπιμελείας ἀξιοῦν. ¶ Κόμειν, κομεῖν ἐπιμελεῖσθαι θεραπεύειν, ὅθεν καὶ κόμη καὶ ἱπποκόμος. ¶ Κομενταρήσιος, τὰς ἐγγραφὰς τῶν ἐγκλημάτων δεχόμενος. ¶ Κόμαι, αἱ τρίχες τῆς κεφαλῆς καὶ χωρίον. ¶ Κομιδή, ἡ ἐπιμέλεια θεραπεία.

Κόμης, ἄρχων, ἡγεμών. ¶ Κομβῶσαι, ἀναλαβεῖν.

Κομητά, ἀυχητά. ¶ Κομήτης, ἀστὴρ καλὰς τρίχας ἔχων, ἢ ἀστήρ. ¶ Κομία, δισωχία. ¶ Κομία, ὑπὸ γλώσσης λαμβάνειν τοῦ ἀφεθῆναι. ¶ Κομιδῆ, ἄγαν. πάνυ σφόδρα. παντελῶς, ἡ συλλογὴ ἢ λῆψις ἡ ἐπιμέλεια.

Κομιζέ, ἐπιμελείας ἀξίου. ¶ Κομίζεται, νομίζεται, λέγεται ὥσπερ ἐστὶν ἐν τυμπανιστρίαις. ¶ Κομίζων, βαστάζων ἐπιφέρων. ¶ Κομίσαι, φέρειν σῶσαι, θρέψαι. ἀναλαβεῖν, ἀνακγεῖν, ἐπιμελείας ἀξιοῦσαι. ¶ Κομιστάς, ἐπιμελητάς. ¶ Κομίστρια, ἐπιμελήτρια. τροφός. ἐμπλέκτρια. ¶ Κομιούμενος, ὠνησόμενος. ¶ Κομιστή. τροφή. ¶ Κόμματα, ἕνα τῶν ἐπτά. ¶ *Κομμακευθεῖ. οὐ μόνον ἐπὶ

δὲ λεπτὸν, ἑξακισχιλίοστων ταλάντων. ¶ Κόθροις οἱς ὁμεῖς λέγομεν κρονικούς τινας. τὸ ἀρχαῖον αὐτοῦ ἐμφανίζοντες ἀθηναῖοι. λαμπρὸς περὶ πίνει. ¶ Κοθύμαλον, τὸ στρουθίων μῆλον, οἱ δὲ κυδώνιον, οἱ δὲ ἄνθους εἶδος, οἱ δὲ, κόσμος περιτραχήλιος. ¶ Κοδύνεια, σῦκα χειμερινά. ἢ καρύων εἶδος περσικῶν. ¶ Κοθεῖ, αἰσθάνεται νοεῖ. ¶ Κόθημα, εἶδος τοῦ αἰδοίου καὶ κότυλον ὁμοίως. ¶ Κόθορνος, ὑπόδημα, ἀμφοτέροις τοῖς ποσὶ πεποιημένον. τινὲς δὲ καὶ ἀνδράσι καὶ γυναιξὶν ἐφαρμόττειν φασὶ τὸ ὑπόδημα τὸ κόθορνον. ¶ Κοθοῦειν, ἀλώπηκα. ¶ Κόθουρος, ἀργὸς, ἄκεντρος. ¶ Κολοβοῦρος, σιτοκοῦρος, ἀχρεῖος, κακοῦργος ἀλώπηξ.

Κ οθώ, βλάβη. ¶ Κωθωνίδια, λῖμος. ¶ Κωθωνίσαι μεθύσαι, κώθων γὰρ τὸ μέγα ποτήριον. ¶ Κώθων, περιφορὲς καὶ μέγα ποτήριον. ¶ Κοία, κλέμμα.

Κ οιδά, κοῖλα. ¶ Κοιάζει, ἐνεχυράζει. ¶ Κοιάς, σφαίρας ἢ λίθοις. ¶ Κοίατον, συνήθες. ¶ Κοιᾶται, ἱερᾶται. ¶ Κοίελος, τὸ ἐν τοῖς κυάμοις θηρίδιον.

Κ οίζειν, τὰ χοιρίδια μιμητικῶς λέγεται. ¶ Κοίημα, γέννημα. ¶ Κοίης, ἱερεὺς καβείρων ὁ καθαίρων φονέα, οἱ δὲ κόης. ¶ Κοῖκες, ἐν αἰθιοπίᾳ φοινίκων εἶδος, ἢ τὰ πεπλεγμένα ἐκ τῶν φύλλων τοῦ δένδρου σκεύη φορμοί. ¶ Κοικύλλειν, περιβλέπειν, κῦλα γὰρ τὰ ἐπάνω τῶν ὀφθαλμῶν. οἱ δὲ, τὸ περιστρέφεσθαι καὶ διατρίβειν περιβλεπόμενον, ἄλλοι φθονεῖν. ¶ Κοιλάδας, πεδία λιβάδας. ¶ Κοιλάς, τὸ ἔνδον ἢ ὁ βαθεῖα γῆ. ¶ Κοίλασι, βαθείαις. ¶ Κοιλία, ὀχετὸς ἐν κυρήνῃ, ἢ τὸ ἐκ ξύλων οἴκημα. ¶ Κοιλὶς δῆμος ἀττικός. ¶ Κοίλισκον, κοῖλον. ¶ Κοιλώμασι, ταπεινώμασιν. ¶ Κοῖλον τοῦ πόλος δεῖξαι, ἐπὶ τῶν εἰς φυγὸν τρεπομένων. ¶ Κοῖλον, λόχον, τὸν δύνειον ἵππον. ¶ Κοιλότερα, βαθύτερα. ¶ Κοιλοπίτυξ. ὁπλίτης. τινὲς δὲ οἰστός. ¶ Κοιλῶπαν, περίζωμα. ¶ Κοῖλος, θυρεὸν οὐκ ἔχων θύρας.

Κ οῖλυ, τὸ καλόν. ¶ Κοιλώπα, δένδρον τι.

Κ οιμάστριος, κοιτών. ¶ Κοιμηθέντι, κατακλιθέντι. οὐ πάντως ἀποθανόντι. ¶ Κοιμηθῆναι, κατακλιθῆναι, ἀποθανεῖν. ¶ Κοιμίζει, κατακλίνει. ¶ Κοινὰ χόρηγα, κοινὴ δημοσία. ¶ Κοινίον, πορνίον. ¶ Κοινοβούλας τοῖς συνέδροις. ¶ Κοινοδήμιον, τὸ δημόσιον ἢ τὸ δικαστήριον. ¶ Κοινολογεῖται, κοινῇ διαλέγεται.

Κ οινοκαθέτας, συνθηκοφύλακας. ¶ Κοιμὸν, βδελυκτόν. ἀκάθαρτον. ¶ Κοινὸς, δεσπότης, καὶ μέρος τι ἐπὶ νεώς, δῆμος. ἀδελφὸς σοφοκλῆς ἀντιγόνῃ, ὦ κοινὸν αὐτάδελφον ἰσμήνης κάρα, καὶ ἐν ὑδροφόροις. τὸ λύκοινον ἀμφιτρίτην. ¶ Κοινῶνας, κοινωνούς.

Κ οινῶσαι, προσανενεγκεῖν. ¶ Κοινὸς, ἑρμῆς, παροιμία ἐπὶ τῶν κοινῇ τι εὑρισκόντων. ¶ Κοῖον, ἐνέχυρον.

Κ οιόλης, ὁ ἱερεύς. ¶ Κοιοφόρος, ἔγκυος ἐγγαστρωμένη.

Κ οιππὸι βάπτειν, σπέρμα ἀγαθοί. ¶ Κοιρανέων, κοιρανοῖς καθιστάς. ὁ τὰ τοῦ κοιράνου ἔργα ἐπιτελῶν, κελεύων βασιλικῶς ἢ βασιλεύων. ¶ Κοίρανος, ὁ ἐπικρατῶν καὶ ἡγεμονεύων βασιλεύς. ¶ Κοίσκαι, δίκαιοι

Κ οιωσοὶ, κορμοί. ¶ Κοιτού. γυναικῶν ἐπιθυμίαι.

Κ οιτάσαι, κατακοιμῆσαι. ¶ Κοίτη, κίστη. ἐν ᾗ τὰ βρώματα ἔφερον. αἱ δὲ μικραὶ κοιτίδες. ¶ Κοιτὶς, ἡ

μικροτέρα κίστη ἐν ᾗ ὁ γυναικεῖος κόσμος ἀπετίθετο.

Κ οιτομιάνει, εἰς τὴν κοίτην ἐγκοιμᾶται. ¶ Κοῖρος, ὁ ἐν τῇ κοίτῃ ὕπνος, καὶ θηλυκῶς ἡ κοίτη. ¶ Κοιτὸν τὸ σωμάτιον. ¶ Κοιφὸν, κοῖλον. ¶ Κονιόστηρ, ἀφιδρώστηρ, καθιδρώστηρ. ¶ Κόγκαλος, ῥόμβος. στρόβιλος, πύκη. ¶ Κοκκίδα, αἴγειρον. ¶ Κοκκόαξ, κορώνη. ¶ Κοκκοῦσαι, συκῆ. ¶ Κοκκοβάρη, γλαύξ. ¶ Κοκκοθραύστης, ὄρνις ποιός. ¶ Κοκκόνοι, οἱ πυρῆνες τῶν ἐλαιῶν. ¶ Κόκκος, ἐξ οὗ τὸ φοινικοῦν βάπτεται καὶ αὐτὸ τὸ χρῶμα καὶ τὸ γυναικεῖον μόριον. καὶ ὁ τοῦ σίτου κόκκος. ¶ Κόκκου τινὸς τοῦ σίτου κεγχραμίδα, καὶ ἐπιβόημα οἰωνόμου. ¶ Κοκκολύζειν, συλλαβίζειν. ¶ Κοκκοποιὸν, κοκκοβαφές.

Κ όκκυ, τὸ ἐλάχιστον. ¶ Κοκκυβίας, ὄνομα κύριον.

Κ όκκυγος, ἐπὶ ἀπονοηθέντων πλειόνων ἐτῶν καὶ ὀλίγων ὄντων. ¶ Κοκκυγίαν ἄνεμον οἱ κροτωνιᾶται.

Κ οκκύζει, τεράσει, φωνεῖ ὀξέως. ¶ Κοκκυμήλα, ὁ καρπός. ¶ Κόκκυξ, τὸ ζῶον, ὁ τὸ ὄρνεον, ἢ ὁ βοτάνη καὶ ὁ πρόβολος καὶ τοῦ ὑγροῦ ὀστίου τὸ πρὸς τοῖς ἰσχίοις καὶ λόφος. καὶ περικεφαλαία. ¶ Κόκκις, λόφος.

Κ όκκωνες, οἱ κόκκοι ἐπὶ ῥοιᾶς καὶ ὅπεν ἰξός. ¶ Κοκρύδεκοι, κύκλοι. ¶ Κοκρίδων, ληστῶν, κλεπτῶν.

Κ οκκίαι, οἱ πάπποι ἢ οἱ πρόγονοι. ¶ Κῶλα, ὅσα μέλη, ὅ ὅπλα. καὶ εἶδος ὀρχήσεως, ὁ καὶ ξιφισμός.

Κ ολαβρίζειν, σκιρτᾶν. ¶ Κολαβριζομένη, κώλοις ἁλλομένη. ¶ Κόλαβρον, τὸ χοιρίδιον. ¶ Κολάζειν, πραΰνειν ὀγκᾶσθαι. ¶ Κολακοφορ. κλείδης, ἱεροκλείδης ὃν ἐπὶ πονηρίαν κωμῳδοῦσιν. ἕρμιππος μὲν ἐν κέρκωψι. φρύνιχος δὲ ἐν κωμασταῖς. ὁ δὲ ἀσκληπιάδης, κλεώνυμον εἶναι ὑπέλαβεν, οὐδὲ τὸ τέλειον τοῦ ὀνόματος ἐπιστήσας. ¶ Κολάττειν, κόλακα. ¶ Κολακώνυμος, κλεώνυμος λέγεται κολακώνυμος, κόλαξ ὤν. ¶ Κολάπτει, κλώθει πρὸς τῷ γόνατι, ἢ γλύφει. ¶ Κόλασις, τιμωρία.

Κ ολασσία, ἀνδριάντος σκιά, καὶ τὸ εἰς ὕψος ἀνάστημα.

Κ ολαφιζόμενος, ῥαπιζόμενος. ¶ Κόλαφος, κόνδυλος. παρὰ δὲ ἐπιχάρμῳ ἐν ἀγρωστίνῳ καὶ παιδοτρίβαις ὄνομα. ¶ Κόλεα, ποιά τις ὄρχησις. ¶ Κολεάζοντες, ὠθοῦντες. ¶ Κολύοντες, περαίνοντες.

Κ ολεάμος, ματαιόφρων. ¶ Κολεασμὸς, τὸ περαίνεσθαι, πεποίηται δὲ ἀπὸ τοῦ κόλου, καὶ ἀπὸ τοῦ καθιέναι εἰς τὸ κόλον. τοῦτο δὲ κολεάζειν ἔλεγον. ¶ Κολέοχος, κακόσχολον ὄνομα. ¶ Κολεῖν, ἐλθεῖν. ¶ Κολεκάνοι, τοῦτο ἐπὶ μύκοις καὶ λεπτότητι ἐτάσσετο. στράτις δὲ ἐν τῷ φορτικῷ δραματίῳ τοῖς τί οὐκ ἄξει τις ἔξω τὸν ἀπηυστημένην μητέρα τῶν διδύμων κολέκαν λέγων.

Κ ολεὸς, ὁ θήκη τοῦ ξίφους, καὶ λάρναξ καὶ ὑδρία. ¶ Κολεραὶ, νόθαι, νωθρά. ἔνιοι δὲ πρόβατα τραχέα. ¶ Κολεάσαι. αὐτόματα. ¶ Κολεμὶς. ἄρτεμις, ἀπὸ κολέμου τοὔνομα λαβοῦσα. ¶ Κολοβῶσι, καταπατοῦσιν ἀπὸ τῶν τὰς ἐλαίας πατούντων. ὁ δὲ λέγεται κολέξαν. ἔνιοι δὲ ἐνάλλονται εἰς τὸ κόλον, ὃ δηλοῖ εἰς τὴν γαστέρα.

Κ ολοβάζει, ἐσθίει. καταπίνει. ¶ Κολία, ὀρχήσεως εἶδος, καὶ ἐπικύλεια. καὶ μεῖζόν τι. καὶ τὸ ἡμικόλιον, ἃ τὰ ἐκ μέλιτος βασίλια. ¶ Κολιᾶν, ἑλίζειν, ἀγνωμονεῖν. ¶ Κολιάσαι, ὀρχήσασθαι. ¶ Κόλλεα, πε

Κ νέωρον, φυτὸν τὸ τοῖς θεσμοφορίοις ὑποστρώννυται, καὶ ὃ εἰς κάθαρσιν χρῶνται καὶ γυναικεῖον μόριον.
Κ νεῖ, κόπτει. ¶Κνῆθος, κνηθός.
Κ νηθόμενοι, τὴν ἀκοὴν ζητοῦντες τι ἀκοῦσαι καθ' ὁδὸν ὄμ.
Κ νῆκις, κνηκοειδὴς τοῦ ἀέρος κατάστασις, καὶ δέρρις λεπτὴ καὶ νεφέλιον λεπτὸν, καὶ μελανία καὶ ἔλαφος.
Κ νῆκις ἐπινένοθε, μελανία τις τῷ σώματι, ἄλλοι δὲ τὸ τῶν νεφῶν εἶπον. ¶Κνηκὸν, τὸ κροκίζον χρῶμα τοῦ τοῦ ἄνθους, ὅτι δὲ περὶ καρποῦ τὸ λευκόν.
Κ νῆκος, λευκὸς ἢ εἶδος τι ἀσπέρματος καὶ πυρός.
Κ νῆμαι, τὰ διερείδοντα ξύλα τὴν χοινικίδα τοῦ τροχοῦ, αἱ κερκίδες, αἱ τῶν τροχῶν ῥάβδοι, χαλκέας κατὰ κνήμας. καὶ ὁδοὶ αἱ ὁμαλοὶ ἢ αἱ ἀντώδεις, ἢ ἡμῶν κνῆμαι ὄρθιαι τὰ σκέλη, ὑπὸ δὲ κνήμησι τάραξε.
Κ νημαργὸς, κνημώδης παχύκνημος.
Κ νήμη, μέρος ποδός. ¶Κνήμησι, τοῖς τραχέσι τόποις καὶ δυσβάτοις. ¶Κνημίαι, φθοραὶ καὶ τὰ ὀρθὰ ξύλα τῶν θρόνων ὅπου ἐστὶ περὶ κλίνην.
Κ νημίας, τὰ ἀντικνήμια καὶ τὰ περὶ τῶν θρόνων ἑκατέρωθεν ξύλα διὰ τὴν καθέδραν πεπηγότα, καὶ τὰ ἐν τοῖς ἁρματίοις τροχοῖς, καὶ τὰ ἐπὶ ἁμάξης ὑποθέματα.
Κ νημοῦμαι, φθείρομαι. ¶Κνημοῖς, ὄρεσι. τραχέσι καὶ δυσβάτοις τόποις. ¶Κνημωθῆναι, φθαρῆναι.
Κ νημῶσαι, ἀποληχῶσαι. φράξαι, φθεῖραι, κλεῖσαι, ἐλθεῖν. ¶Κνοστὴρ, φονεὺς ἀλειτήρ.
Κ νεῖν, κνήθειν. ¶Κνῆστις, κοπὶς σιδηρᾶ ξυστὴρ ἐν ᾧ ξύουσι τὸν τυρὸν, τινὲς δὲ καὶ τὴν ῥάχιν ἀκούουσιν. ἔνιοι τὸ ἀκνεῖν. ¶Κνηστὸς, ἀγρὸς ἀρτεμίδωρος.
Κ νηστὴν, τὸν κνεωρόν. ¶Κνίδαι, σκνῖφαι ἐν πόα τῇ.
Κ νιδᾶται, δάκνεται, ἴσως ἀπὸ τῆς πόας.
Κ νίδας, νόσος ῥόδων. ¶Κνίζει, λυπεῖ.
Κ νιζόντων, κνίδῃ μαστιγούντων.
Κ νίζων, ὁ κνιζείων λυπῶν ἢ συκάμινα τέμνων.
Κ νίπα, πτίλη. ¶Κνιπεῖν, σείειν, ξύειν, μέλαθρα καὶ δοκούς. ¶Κνιπὸς, ὄμματα περιβεβρωμένα καὶ ζωΐφια τῶν ξυλοφάγων. ¶Κνιπίδας, πέρασμα δοράς. ¶Κνίσα, ἀτμὸς καπνὸς τῶν θυσιῶν καὶ τὸ λίπος τοῦ ἱερείου καὶ ὁ ἐπίπλοος. ¶Κνίσαι, φθεῖραι, ὀλέσαι, λυπῆσαι. ¶Κνισαλέω, περικνίσω.
Κ νίσης, τῆς ἀναθυμιάσεως ὁ τοῦ λίπους.
Κ νισῆεν, θυώδης. ¶Κνισμὸς, ζηλοτυπία ὁ μέλλων τι κνισμῷ ἀυλούμενον. ¶Κνισολοιχὸς, λίχνος.
Κ νιστά, λάχανα συγκεκομμένα. ¶Κνίφεα, κνῖδες.
Κ νὶξ, ζῶον πτηνὸν, ὅμοιον κώνωπι.
Κ νοῦς, ὁ ἐκ τοῦ ἄξονος ἦχος, λέγεται δὲ καὶ κνοή, καὶ ὁ τῶν ποδῶν ψόφος. ὡς αἰσχύλος σφιγγί. τινὲς δέ φασιν κνοῦν μὲν ἦχον. χνόην δὲ μέρος τοῦ ἄξονος ἢ χοινικίς.
Κ νῦ, τὸ ἐλάχιστον. ¶Κνύειν, κνήθειν. ξύειν.
Κ νύζα, κνησμὸς ἀπὸ τοῦ κνύζεσθαι περὶ τῶν κυνῶν καὶ ἡ κόνυζα κατὰ συγκοπήν. ¶Κνύζεσθαι, μοχθεῖν κλαίειν ἀφανίζεσθαι. ¶Κνυζηθμὸς, ἰδίωμα ἦχου φωνῆς καὶ κλαυθμός. ¶Κνυζὸν, ἀέρα ἐπινέφελον καὶ πνευματώδη. ¶Κνυζοὶ, οἱ τὰ ὄμματα πηροῦντες.
Κ νυζούμενον, στένοντα, ἡ φωνὴ κυνῶν, ὁ κνυζηθμὸς λεπτὸν φθεγγομένων. ¶Κνυζῶσα, συνάξασα, κακώσασα.
Κ νύζωψ, λάχανον ὅμοιον σελίνῳ.

Κ νυθὸν, σμικρόν. ¶Κνυπῶσα, θειγκώσα.
Κ νύθος, ἄκανθα μικρά. ¶Κνώδακες, οἱ ἐν τοῖς φυσητῆρσιν ἀσκοί. ¶Κνώδαλα, κυρίως τὰ θαλάττια θηρία, κινώδαλα παρὰ τὸ ἐστὶν τὰ ἐν τῇ ἁλὶ κινούμενα. ὅμηρος δὲ περὶ χερσαίου φησὶν κνώδαλον θηρίον ἢ ζῶον μικρόν. ¶Κνώδαξ, κέντρον, ἄξων, γνώμων, ὀρθὸν χρυσοχοϊκὸν, καὶ χαλινόν. ¶Κνώδη χωρία θηρεία. ¶Κνώδων, ὁ ἀκμὴ τοῦ ξίφους καὶ τοῦ δόρατος.
Κ νῶος, ἡσυχία πάντων. ¶Κνώσσειν, ὑπνοῦν καθεύδειν κοιμᾶσθαι ῥέγχειν. ¶Κνώμενοι, κνηθόμενοι.
Κ νωπεύς, ἄρκτος, ἔνιοι κνουπύς.
Κ νωσός. πόλις. ¶Κνωσσίοντι, καθεύδοντι.
Κ νωσάκαλα, τὰ ὁρμητικά.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ο.

Κ οᾶ, ἀκούει, πυνθάνεται. ¶Κοάλεμος, ὀλέθριος, ἀνόητος. ¶Κοαλλοδεῖν, λυδοὶ τὸν βασιλέα. ¶Κοαλιεῖν, βάρβαρον ἔθνος.
Κ όαλοι, βάρβαροι. ¶Κόαξ, βάτραχος.
Κ όαρον, ἐλάχιστον. ¶Κοάσαι, αἰσθέσθαι.
Κ οάχλικας, ἄρτους. ¶Κόβαλα, κολακεύματα πανουργήματα. ¶Κόβαλος, πανοῦργος κακοῦργος στωμύλος λάλος, ἀφ' οὗ καὶ ὁ κομψὸς ἔνιοι μάταιος ἄλλοι κροταφιστὴς ἄστατος ταυτάστὸς ἀπατεὼν κακοῦχος. ¶Κόβδος, ἄνθρωπος. ¶Κοβέρα, γελοῖα.
Κ όβερος, γελοιαστὴς, σκώπτης, λοιδορητής.
Κ οβελίσκον, βυβλίον. ¶Κόγκαλος, κονιορτός.
Κ ογκυλεύοντες, κογκύλιον ἐκπιάζοντες. ¶Κὸγξ ὀμπὰξ, ἐπιφώνημα τετελεσμένοις, καὶ τὸ δικαστικῆς ψήφου ἦχος ὡς ὁ τῆς κλεψύδρας, παρὰ δὲ ἀττικοῖς βλόψ. ¶Κογχαλίζειν, πεποίηται ἀπὸ τοῦ ἤχου τῶν κόγχων. ¶Κόγχας, ἢ χήμας καὶ τὸ μεῖζον.
Κ όγχναι, αἱ ὄγχναι. ¶Κόγχην διελεῖν, παροιμία περὶ τοῦ ῥαδίως τι ποιῆσαι.
Κ όγχης, περὶ τοῦ ἄξιον οὐ τελείαν ἐπιθήκην.
Κ ογχίτης, εἶδος λίθου. ¶Κόγχον διελεῖς, ἴσον ἐποίησας. ¶Κόγχος, κοχλίας. ¶Κογχυλαγόνδη, γυναῖκες νύμφαι. ¶Κογχύλαι, κηκίδες.
Κ ογχύλιαι, τὰ ὄστρεα καὶ πορφύραι. ¶Κογχυλίας, λίθος σκληρὸς ἔχων ἐν ἑαυτῷ κογχυλίοις τύπους.
Κ όδαλα, ἰχθῦς, κεστρεύς. ¶Κοδαλεύεσθαι, ἐνδιατρίβειν. ¶Κοδαλεύομαι, ἐνδιαμοχθῶ.
Κ οδαλευομένω, ἀρεσκευομένη, ἀπραγοῦσα.
Κ οδομαί. αἱ φρυκτωρίαι. ¶Κοδράντης. τὸ πᾶν ἢ τὸ τέταρτον τοῦ ὀβολοῦ. ἢ λεπτὸν, τὸ δὲ λεπτὸν ἑξακισχιλιοστὸν ταλάντου, ὅ ἐστι νόμισμα ἐν ᾧ κόκκοι τρεῖς. τὸ δὲ τάλαντον, λίτραι ἑκατὸν εἰκοσιπέντε ὁ δὲ κοδράντης, νομίσματα τρία ὁ δὲ ἔσχατος κοδράντης, τὸ τέταρτον τοῦ ὀβολοῦ. ¶Κοδομεύει, φρύγει τὰς κριθὰς ἢ ἔργῳ οἰκοδομεῖ. ¶Κοδομεύειν, τὸ ἐν ἰπνῷ φρύγειν, ἢ τινὶ ἀγγείῳ. ¶Κοδομεὺς, ὁ ἐπιστάτης τῶν φρυγόντων τὰς κριθὰς φρύγων.
Κ οδομὴ, ὄνομα θεραπαινίς, ἀπὸ τοῦ κοδομεύειν, ὅπερ ἐστὶν ἐν ἰπνῷ φρύγειν. ¶Κοδομία. ἰπνία φρυκτία ἀλετρεία. ¶Κοδράντης, τὸ πᾶν, ἢ λεπτὰ δύο, τὸ

Κ λητὴ, νοστεία. ¶Κλητῆρες, μάρτυρες.

Κ ληθὴν, κεκλημένον. ¶Κλεινὸς, ὁ διὰ ὀνόματος κεκλημένος ἢ ὁ ἔνδοξος. ¶Κλειτοὶ, κλήτορες.

Κ ληζὸν, καλούμενον κλῆσιν. ¶Κλήτωρ, κόρυξ, ἄγγελος, ὑπηρέτης. μάρτυς. ¶Κλίβα, τεῖχος.

Κ λίμακες, πάλης εἶδος. ¶Κλιματηφόρος, ὁ ἐπὶ κλιμακίου τιθεὶς τὸν νεκρὸν, κλιμακίας τις τῶν πυρῶν. ¶Κλιμακίσκοι, πάλαισμα ποιόν.

Κ λιμακτῆρες, οἱ τῆς κλίμακος βαθμοί. ¶Κλίματα ὑποδήματα. ¶Κλίναι, τροπαὶ τῶν μαχομένων, καὶ τὸ παραδέχεσθαι ἔξωθεν ὑπό τινος καὶ τὸ συνηθές.

Κ λῖναν, ἔτρεψαν τὸ ὑπεχώρησαν. ¶Κλίνθη, κατεκλίθη, ἐπέκλινεν. ¶Κλινθῆναι, ἀνακλιθῆναι, ἀνακλῖναι. ¶Κλινὶς, ἐπὶ τῆς ἁμάξης νυμφικὸ καθέδρα. ¶Κλίνουσι τάλαντα μεταβάλλει τὰ ζυγά.

Κ λινθότην, ἐκλίνθησαν. ¶Κλεόθρα, εἶδος δένδρου ἢ μοχλός. ¶Κλινοπετεῖς, ἐπὶ δίφρου καθήμενοι.

Κ λεινὸς, ἔνδοξος ἀγαθὸς καλός. ¶Κλινόστιχον, τὴν ψαλίδα. ¶Κλιντήρ. δίφρος ἀνακλιτός.

Κ λιντῆρες, δίφροι κλῖναι. ¶Κλίνη, κράββατος.

Κ λινίδιον, ὑποκοριστικῶς τὸ αὐτό. ¶Κλισία, κλίνη σκηνή. ¶Κλισιάδες, αἱ δίπτυχοι θύραι κλισίαι.

Κ λισίαι, αἱ αὔλειοι πυλῶνες. ¶Κλίσις, σκηνὴ καθέδρα καὶ ἡ ἔπαυλις, ἀπὸ τοῦ κλίνεσθαι ἐν αὐτῇ τὰ θρέμματα, καὶ πρόθυρον νίκανδρος, κλισία στήλη, οἱ δὲ, κρηπίδα ἐν ᾗ οἱ θρόνοι ἔκειντο. Διονύσιος δὲ ποσειδῶνος οἶκον. ¶Κλισίον, πανδοχεῖον. ἡ βάσις, ἐφ' ᾧ τίθεται ὁ θρόνος. ¶Κλισίον, παραστάς. προβάτων καὶ βοῶν στάσεις, καὶ εἴσοδος, ἔνιοι τὰς τοῦ πυλῶνος θύρας πλατείας εἰς ἃς δύναται ζεῦγος βοῶν εἰσελθεῖν.

Κ λισμοὶ, θρόνοι ἢ ἀνάκλιντρα. ¶Κλίσις, ὀνομασία.

Κ λίτα, στοὰ, ἢ ἐλαίας εἰς τὸ κατακλίνεσθαι.

Κ λιτὺς, τόπος κατωφερής. ¶Κλιτὺς καὶ κλιτύες τὰ ἀποκλίματα τῶν ὀρέων ἢ τὰ καταφορὰ τῶν ὑδάτων ἢ κλίμακες. ἢ ὀρλόφοι. καὶ αὐλῶνας καὶ φάραγγας. ¶Κλιμαδὸν, ὁ δερματίνος δίφρος.

Κ λοιὸς, μέρος τι ἐπὶ νεὼς, ἢ περιτραχήλιος δεσμός. κολλάριον, ἢ τοι μανιάκης. ¶Κλοιστὸν, κλωστόν.

Κ λοιωτὰ, δεσμοῖς διεζευγμένα, κλοιὸς γὰρ εἶδος δεσμοῦ περιτραχηλίου. ¶Κλοιώτης, ὁ δεσμώτης,

Κ λυριμωγεῖς, ἀκουσταὶ θρήνου. ¶Κολοιοί. εἶδος ὀρνέων. ¶Κλονεῖ, ταράσσει, φθείρει, φοβεῖ.

Κ λονεῖται, φθείρεται, ἔρχεται. ¶Κλονέονται, ταράττονται. ¶Κλονέοντο, ἐθορυβοῦντο, ἐταράσσοντο, καὶ τὰ ὅμοια. ¶Κλῶνες, αἱ ἐκφύσεις τῶν δένδρων.

Κ λόνιον, ἰσχίον, ῥάχις, ὀσφὺς τὰ αὐτὰ καὶ τὰ ὅμοια.

Κ λόνος, ταραχὴ πολέμου ἢ σεισμός.

Κ λονούμενος, ταρασσόμενος. ¶Κλοπεύειν, παρακλέπτεσθαι: ἀπατᾶν κλεψιπατεῖν στρατεύεσθαι.

Κ λονιστὴρ, παραμήριος μάχαιρα παρείγχιον.

Κ λοποτὴς, διαλλάκτης ἀλαζών.

Κ λύδων, πέλαγος. ¶Κλυδὼν, χώρα καὶ ἡ τοῦ ὕδατος φορὰ ἢ κυμάτων σφοδρότης.

Κ λυδωνίζεται, ταράττεται, περικρούεται.

Κ λυδώνιον, πέλαγος, χειμὼν, καὶ θόρυβος πραγμάτων.

Κ λύει: ἐπακούει. ¶Κλύειν, ἀκούειν, αἰσθάνεσθαι

μάλιστα δέ τ' ἔκλυον αὐτοῦ. ¶Κλύζει, πλημμυρεῖ, ῥέει βρύει. ¶Κλῦθι. ἄκουσον.

Κ λύμενος, ἰατρός. ἀφυής. ὃν ἀριστοφάνης φησὶν ἀναμεμίχθαι παρὰ μορσίμῳ διὰ τὸ καὶ τὸν μόρσιμον ἰατρὸν εἶναι ἀφυῆ, ἦν δὲ καὶ τραγῳδοποιὸς ἀφυὴς ὁ μόρσιμος. λέγεται δὲ καὶ ὁ κισσὸς ὡς ἀντίμαχος, κισσοῦ τε κλυμένοιο καὶ ἀμπελίνης. ¶Κλῦτε μευ, ἐπακούσατέ μου.

Κ λυτοὶ, ἔνδοξοι ἀγαθοὶ καλοὶ τίμιοι περιβόητοι ἢ πανταχοῦ κηρυττόμενοι. ¶Κλυτόδε, κλυτοῦ παῖ. ¶Κλυτόπωλῳ, ἐνδοξοπώλῳ, ἱππεὺς ἀγαθός. ¶Κλυτότοξῳ, παρὰ κατὰ τὴν τοξείαν ἐνδόξῳ. ¶Κλυτὸς, ὄρνις ὁ ἀλεκτρυών. ¶Κλυτοτέχνης, περιβόητος διὰ τὴν τέχνην.

Κ λύων, ἐπακούων. ¶Κλωγμὸς, ὁ διὰ τῆς γλώττης περὶ τὸν οὐρανίσκον ψόφος, ὃν λάκησιν τινὲς φασὶν ὅμοιον οἱ ὀνηλάται ποιοῦνται κυρίως.

Κ λῶδις, κλέπτης. ¶Κλώδωνας, τὰς μιμαλλόνας, μαινάδας, βάκχας. ¶Κλώζειν, τὸ ἐκβαλεῖν ἐκ τῶν θεάτρων. κλωγμοὺς ἔλεγον, καὶ τὰ μιμήσεις τῶν συνομένων ἐν τοῖς στόμασι ψόφων, οὓς πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ποιητῶν. ¶Κλώθει, κατακλᾷ, νήθει, ἐπιμηκύζει βλαστάνει, καλῶς αὔξεται.

Κ λῶθες, μοῖραι. ¶Κλεοκυλᾶ, τὸ καθῆσθαι ἐπ' ἀμφοτέροις ποσίν. ¶Κλωμακόεν, κρημνῶδες δύσβατον. ¶Κλωμακόεσσαι, πολλὰ ἀποκλίματα ἔχουσαι, ἀφ' οὗ τὴν τραχεῖαν καὶ ὀρεινὸν σημαίνει ἢ κρημνώδη, ἢ δύσβατον. ¶Κλῶν, συντρίβων κατακλῶν.

Κ λώνακα, ῥάβδον καὶ τὰ κλιμακώδη χωρία.

Κ λώναξ, κλάδος. ¶Κλῶντες, σπῶντες, συντρίβοντες. ¶Κλωπᾶσθαι, ἐπιθυμεῖν θέλειν, καὶ τὸ λάθρα ἀψοφητὶ ἰέναι καὶ πράσσειν καὶ κλέπτεσθαι

Κ λώπεια, ὄρχησίς τις ὡς ἰόβας ἐν τετάρτῳ θεατρικῶν. ¶Κλῶπες, κλέπται. ¶Κλωποσμένη, λάθρα ἀψόφως περιιοῦσα ἐφιεμένη παρὰ τὸ κλέπτεσθαι οὕτως τὸ προθυμεῖσθαι δὲ οὕτως ἔλεγον:

Κ λώσκων, ἐπικλώθων. ¶Κλωστὴρ, τὸ κεκλωσμένον ῥάμμα. ¶Κλώψ, κλέπτης.

Κ μητὰ, πεποιημένα, πεπονημένα,:

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ν.

Ναίδαλλεται, κνήθεται: ¶Κνάζει, βοηθεῖ.

κ ¶Κνακὸς, ψαρὸς, ἵππος. ¶Κνακὸν, λευκὸν, πυρρόν. ¶Κνάμπτει, κάμπτει, καταξαίνει κατέχει. ¶Κνάξ. γάλα λευκόν.

Κ νάμπτομαι, κακοῦμαι, καταπονοῦμαι, καταξύομαι.

Κ ανάπτειν, κελεύω γλῶσσαν συνέχειν ἐντὸς τῶν ὀδόντων κελεύω τὴν γλῶτταν. ¶Κναπτόμενον, ξαινόμενον

Κ νάσαι, ὀλέσαι, λυπῆσαι. ¶Κναστήριον, ἐνόλαιον λάκωνες. ¶Κνάφοι, ἀκάνθαι, αἷς κνάπτεται τὰ ἱμάτια. ¶Κνάφου δίκην, ὅταν ἐν κύκλῳ οἱ κναφεῖς περιέλκωσι τὰ ἱμάτια περὶ τὸν λεγόμενον κνάφον, ἔστι δὲ τοῦτο φυτὸν ἀκανθῶδες.

Κ νεομένων, πονουμένων. ¶Κνέφαλον, τύλη. ἣν δὲ ἡμεῖς τύλην, ἀττικοὶ τύλιον καὶ πῖλος τὸ προσκεφάλαιον, ἢ τύλη. ¶Κνέφας, ἑσπέρα σκοτία νὺξ κενὴ φάους. ¶Κνέφος, σκότωσις.

Κλαδαρῶν, κλάδων. ¶ Κλαδαρόρυγχος, ζοχίλου εἶδος. ¶ Κλαδάσαι, σεῖσαι. ¶ Κλαδάραχοι φαρμοί. ¶ Κλαδάδες, ζυγά. αἰολεῖς. ¶ Κλαδόνες, κλάδοι.

Κλάδος, ὄζος. ¶ Κλαδεῖ, λαιδρὸν φθέγγεται.

Κλάει, δακρύει, κλαίει. ¶ Κλαζομένιοι, οὕτω κωμῳδοῦνται, δοκοῦσι γὰρ ἐπικύπτοντες πρὸς τὴν ἅλα.

Κλαζομένιος, οὗτος ἡρακλείδης ὁ κλαζομένιός τε καὶ ὁ βαθὺς καλούμενος. ¶ Κλάζοντες, κραυγάζοντες.

Κλάζων, βοῶν, κλαγχάζων, κλαίων, ἢ κελεύθων αὐτὶ τοῦ σημαίνων τῷ ψόφῳ τὴν πορείαν. ¶ Κλαιήσει, κλαύσεται. ¶ Κλαιόν, τὸ κανοῦν καὶ κλαῦς. μοχλός.

Κλάβακας, ὁ κάχληξ. ¶ Κλάξαι, κλεῖσαι. ¶ Κλαμαράν, πλαδαρὰν ἀσθενῆ. ¶ Κλαμμίς, ἀναδενδράς.

Κλαμυστῆσαι, βοῆσαι, καλέσαι. ¶ Κλᾶν, κάμπτειν. ἐμπολίζειν. τέμνειν ἀμπέλους ὅπερ ἡμεῖς κλαδεύειν.

Κλανία, ψέλλια βραχιόνων. ¶ Κλαπάζειν, χρονίζειν.

Κλάρακι, ἐλαφρῶς καθεύδει. σικελοί. ¶ Κλάρας, φοίνιξ τὸ δένδρον. ¶ Κλάρις, αἱ ἀπὸ ἐδάφους ἐσχάραι.

Κλαρία, κληρία κλήματα ἀμπελόφυλλα. ἢ χωρίον κλῆροι. ¶ Κλάριον, ἀμπελόφυτον καὶ ἐπίθετον ἀπόλλωνος. ¶ Κλάριοι, κλάδοι, δοῦλοι.

Κλαρά, ψελλία. ¶ Κλαρῶται, εἵλωτες. ¶ Κλάσθρον, κλεῖθρον. ¶ Κλάσματα, συντρίμματα, θρέμματα. ¶ Κλαστήριον, δρέπανον τὸ τῆς ἀμπέλου.

Κλαστής, ἀμπελουργός. ¶ Κλαυκίθων, λαμπρυνόμενος τὰς ὄψεις. ¶ Κλαυθμυριζομένων, κλαιόντων.

Κλαυμυριόμενον, κλαίοντα, ταραντῖνοι. ¶ Κλαυμαρεῖται, ἢ κλαίει. ¶ Κλαῦσιν, ἀγῶνα ἄνθος τι.

Κλαυτάν, ποιὰν φωνήν. ¶ Κλέα, τὰς ἀνδραγαθίας. κλέος γάρ ἡ δόξα καὶ ἡ φήμη καὶ ὁ λόγος. βοηθήματα ῥήματα. ¶ Κλεαινόν, ὀνομαστόν. ¶ Κλεαινῶν, ὀνομαστῶν ἐνδόξων. ¶ Κλεῖδα, ὑποδήματος εἶδος κρητικόν.

Κλεῖδας, ἀκρατεῖς κύπριοι. ¶ Κλειθῆ, πολυξάπη.

Κλεῖθρα, μοχλοὶ ἀσφαλείας πύλαι. ¶ Καλιά, νεοσσιά. ¶ Κλεηδόνα, κληδόνα, φήμην δόξαν. ¶ Κλεῖ, ἐπαινεῖ ὑμνεῖ. ¶ Κλειδοῦχος, γυνή. ¶ Κλειδία κλινάριον μικρὸν λακωνικόν. ¶ Κλειμάζειν, παλαίειν. σκελίζειν ἀπατᾶν. ¶ Κλείμακες χωρίον θυβρίας.

Κλιμακτὴρ κλίμαξ βαθμὸς ἢ χωρίον. ¶ Κλείματα, ὑποδήματα. ¶ Κλεινός, ὡραῖος ἔνδοξος ὀνομαστός.

Κλεῖν, κλείειν, λέγειν, ἐπιφημίζειν. ¶ Κλεινοί, οἱ εἰς τὰ παιδικὰ ἐπὶ κάλλει ἁρπαζόμενοι παῖδες.

Κλείνιμι, ᾄδιμι. ¶ Κλείομαι, ἐπικαλοῦμαι.

Κλείουσαι, ὑμνοῦσαι. ¶ Κλειόων, πυλῶν ὅπου ζεύγνυσιν ἢ τόπος εἰς στάσιν. ¶ Κλειπεις, κόσμος τις τοῦ καλουμένου γείσου. ¶ Κλεῖρος, κλειδίον. ¶ Κλείσατε εἴπατε. ¶ Κλείσις, ἡ σκηνή. ¶ Κλεισμός, θρόνος. κλίνη. κλιντήρ. ¶ Κλειτομέρη, καὶ ἡ οὐράνιος ἄρκτος. ¶ Κλειταγόρα. ᾠδῆς τι εἶδος καὶ λεσβία τὸ γένος. ¶ Κλεῖται. λέγεται. ὑμνεῖται. ᾄδεται.

Κλειτόρ, ὕδωρ, ποταμὸς ἀρκαδίας. κλείτωρον φασὶν εἶναι κρητικόν. ¶ Κλειτεῖ, κλίματι γωνίᾳ. ἢ ἀγαθὴ δόξα ἢ ὀνομαστή. κλειτή. ¶ Κλειτορίς, τῆς γυναικείου αἰδοίου ἡ ὑποδερίς. ἔνθεν καὶ τὸ κλειτοριάζειν τὸ ψηλαφᾶν. ¶ Κλεισός, ὁ ἔνδοξος. ¶ Κλέζω, καλῶ φωνῶ. ¶ Κλέθος, κληδόνα. ¶ Κλεμμάδην, κλοπαίαν. ¶ Κλέμμιν, δίφρον. ἀνάκλιτον.

Κλεμμίς, χελώνη. ¶ Κλεμμύειν, κηρύσσειν. ¶ Κλέομαι, ἐπικαλοῦμαι, εὔχομαι. ¶ Κλέος, δόξα. τιμή φήμη ἀγαθὴ ὄνειδος ὅ ἐστιν ἔπαινος. ¶ Κλέπας, πρότερον πλῶδες ἢ δασὺ ἢ ὑγρόν. ¶ Κλέπει, πορεύεται, ἐπιθυμεῖ, ἐξαπατᾶται. ¶ Κλέπτεσθαι. θέλειν ἐπιθέσθαι, πορεύεσθαι, ζητεῖν, ἐπιθυμεῖν.

Κλέπος, ὄψιλον. νωτερόν. δασύ. καὶ φώριον κλέμμα.

Κλέπτε, παραλογίζου. ¶ Κλέπτε νόῳ, παραλογίζου τῇ διανοίᾳ. ¶ Κλεπτομένη, χλευαζομένη. ¶ Κλεύθομαι, κελεύθομαι, παραγίνομαι ὁδεύω. ¶ Κλεύσομαι, κελεύσομαι ὁδεύσω. ¶ Κλευσόμεθα, ἀκούσομεν φθεγξόμεθα. ¶ Κλεῦ τοῦ πεῦ τλαν. ¶ Κλέψαι, κλέπτειν, τὸ τῶν ἀλλοτρίων ἐπιθυμεῖν. ¶ Κλεψίαμβοι. ἀριστόξενος, μέλη τινὰ παρὰ ἀλκμᾶνι.

Κλεψίρρυτον, ὕδωρ, τὸ τῆς κλεψύδρας, αὕτη δέ ἐστι κρήνη. ἀθήνησιν ἀπὸ τῆς ἀκροπόλεως ἐπὶ σταδίοις εἴκοσιν ὑπὸ γῆν φερομένη, εἰς ἣν τὰ ἐμβαλλόμενα πάλιν θεωρεῖται ἀρχομένων τῶν ἐτησίων. ¶ Κλεψύδρα, κρήνη, ἥτις τὸ πρότερον ἐμπεδὼ προσηγορεύετο, σημαίνει δὲ καὶ τὸ σκεῦος ἔχει δὲ τὰς ῥύσεις ἀνατελλούσας εἰς τὸν φαληρέαν λιμένα. ὡρολόγιον. ὄργανον. ἐν ᾧ αἱ ὧραι μετροῦνται. ¶ Κλεωνίδαι ῥαφαῖ εἶδος τι γένος. ἀπὸ τοῦ ἐγκλεωνίδαις εἶναι. ¶ Κλῆδα, φραγμοί.

Κλήδων, καλῶν ἐξ ὀνόματος. ¶ Κλήδην, ἐλθόντα ἐπὶ τὴν ἑκάστου σκηνήν. τὸ καλέσαι πρός τινα ἐλθόντα ἐν δημοσίᾳ κηρύσσοντα. ¶ Κληδόν, σωρόν. ¶ Κληδονῆσαι, ἀκονῆσαι φήμην τινὰ μαντεύσασθαι. ¶ Κληδόνος. πρεσβείας. ¶ Κληδοῦχος, γυνή, ἀπὸ τοῦ τὰς κλεῖς τῆς οἰκίας ἔχειν. ¶ Κληδόσι, φήμαις.

Κλήδων, κλέος. δόξα. φήμη. ¶ Κληῖδας, τὰς κλεῖδας.

Κλήθρη. δένδρου εἶδος. ¶ Κληΐδες, τῆς νεὼς τὰ ζυγά ἐφ᾽ ὧν οἱ ἐρέσσοντες κάθηνται, ἐνίοτε δὲ καὶ ἡ κλεῖς, καὶ θύραι παρὰ τὸ ἐπικλείεσθαι. τάσσεται δὲ καὶ ἐπὶ τοῦ ἀνθρωπείου μέρους, καὶ παρὰ ἐφεσίοις τῆς θεοῦ τὰ στέμματα κληῖδε τὴν κατακλεῖδα. ¶ Κληϊζόμενος φημιζόμενος. ¶ Κληῖσι, ταῖς κατακλείσεσι τῶν πρυμνῶν. ¶ Κληϊστοί, κλειστοί, ἢ κλείθροις ἠσφαλισμένοι. ¶ Κλῆμα, ὑπόδημα. ¶ Κλημακόεσσαν, τραχεῖαν ἢ ὀρθήν. ¶ Κληματίδες, αἱ ἐκ τῶν κλημάτων δέσμαι. ¶ Κληνίδιον, κράββατος ὑποκοριστικῶς.

Κλείνιος. ἔνδοξος. ¶ Κλεθόμαι καλοῦμαι. ¶ Κληπικοί, ἰσχυροὶ ἐν ἄστει. ¶ Κληροδοσία, κλῆρος μερίς. ¶ Κληροδοτεῖται, λαχμῷ δίδοται. ¶ Κλῆρος, τὸ βαλλόμενον εἰς τὸ λαχεῖν, ἢ ψῆφος ἢ οὐσία. ἢ μέρος καὶ σκωλήκιον τι ἐν μελίσσαις γινόμενον. ¶ Κληροῦται, διαιρεῖται. ¶ Κληρουχία, δεσποτεία.

Κληροῦχος, ὁ δεσπότης καὶ ὁ γεωργός. ¶ Κλήρων, μερίδων. ¶ Κληρώσαι, μερίσαι. ¶ Κλησιάδες. τὰς θύρας τῆς σκηνῆς. ¶ Κλησιάσομεν, συνάξομεν.

Κλισιάων, σκηνῶν. ¶ Κλίτεσι, ταμείοις, σκηναῖς.

Κλητεύει, καλεῖ εἰς δικαστήριον. ¶ Κλητεύσεις, μαρτυρεῖς. ¶ Κλητήρ, ὁ εἰς δίκην καλῶν, ὁ κλητεύων καὶ μαρτυρῶν τοῖς καλοῦσιν εἰς δίκην.

Κλητῆρα, τὸν καλέσαντα, ἴσως φρουροῖς.

Κλητεύων, μαρτυρῶν τοῖς καλοῦσιν δικάζεσθαι.

τῶν θεῶν. ¶ Κιμμέριοι, σκύθαι καὶ ἔθνος περὶ τὸν ὠκεανόν. ¶ Κίμμυρος μικρολόγος, ἢ μακρολόγος.

Κιμψάντων, ἐρεισάντων. στηριξάντων.

Κιμήλια, σκεύη λῷστα καὶ τὰ ἀπόθετα χρήματα.

Κίμωσις, φίμωσις. ¶ Κιμμώνια, ἐρείπια, ἔνθα ἦχε μόνον οἱ βραχυνόμενοι. ¶ Κιναβεύματα, πανουργεύματα. ¶ Κινάβραν δυσωδίαν τῶν τράγων.

Κίναδος, θηρίον δόλιος. ¶ Κιναθίας κρυπτός.

Κιναθίζειν, ἰλλάζειν, ἀποθησαυρίζειν κατὰ μικρὸν συλλέγοντα. ἔνιοι, μινυρίζειν καὶ κινεῖν. ¶ Κινάθισμα, κίνημα πλήθους πτερύγων. ἐξ οὗ πλῆθος παραγίνεται, ὑπακούεται. ¶ Κιναίδιον, ὄρνεον ἴυγξ.

Κίναιδος, ἀσελγὴς πόρνος. ¶ Κινάκεσθαι, μικρολογεῖν. ¶ Κινάνδρα, ἀλώπηξ. ¶ Κίναρχος, ἄψυχος. ¶ Κινυρίζεσθαι, θρηνεῖν μετὰ τοῦ τρύζειν καὶ κινεῖσθαι. ¶ Κινασουίδες, ἰχθῦς. ¶ Κινάψυρα, ψύχος, τὸ ἅμα ἡμέρᾳ κύπριοι. ¶ Κιναφεύειν, πανουργεύεσθαι. ¶ Κίνδα, πόρνη. ἀσχημοσύνη.

Κίνδαξ, εὐκίνητος. ¶ Κίνδακας, εὐκινήτους.

Κινδαύει, κινεῖται, κρατίζει. ¶ Κινδάφη, ἀλώπηξ.

Κινδαφίων, πανούργων, ἀλωπέκων. ¶ Κινδαψοί, ὄρνεα καὶ ὄργανα κιθαριστήρια καὶ ἰνδοί. ¶ Κίνδυνος, ὁ ἐν πρώραις. στελίς, οἱ πολέμιοι ὅτε τὸν πρώραν εὐθέως ἐφάλλονται. στελὶς δὲ ἡ καθέδρα. ¶ Κίνδρμοι, οἱ μικροὶ ἰχθύδια. ¶ Κίνημα, κίνησις ταραχή. ὁρμή, χόλος, κόρος ἡ ὀργή. ¶ Κίναιδος, ἀσελγής.

Κιννάβαρι, εἶδος χρώματος ἀληθινοῦ ὃ λέγομεν κόκκινον ὃ παρὰ τοῖς ζωγράφοις. ¶ Κιναβρεύματα, ἀποκαθάρματα ὄζοντα. ¶ Κιναθίδα, χρίσμα γυναικεῖον. ¶ Κιννάμωμον, ἓν τῶν λιβανωτῶν ὃ τῶν ἀρωματικῶν λιβάνιον καὶ ὄρνις καὶ πόα εὐωδεστάτη. ¶ Κιννυθίδες, τὰ μικρὰ ὀρνιθάρια.

Κινύρας, τοὺς κακούργους ἵππους. ¶ Κινηθέντος, ὁρμηθέντος. ¶ Κένσος, εἶδος νομίσματος, ἐπικεφάλαιον. ¶ Κινύρα ὄργανον μουσικὸν κιθάρα οἰκτρά.

Κινυράδαι, ἱερεῖς ἀφροδίτης. ¶ Κινύρας, ἀπόλλωνος καὶ φαρνάκης παῖς, βασιλεὺς κυπρίων.

Κινύρεσθαι. θρηνεῖν κλαίειν. ¶ Κινυρή. ἁπαλή. νέα. λεπτή, οἰκτρά, θρηνητική. ¶ Κινυρόν. λεπτόν. καπυρόν: ὀξύ. οἰκτρόν. ¶ Κίνυσθαι, κινεῖσθαι, ἐγείρεσθαι, ἄρχεσθαι, ἰέναι. διανοεῖσθαι, αἰσθέσθαι, ὁρμᾶν.

Κίνυται, τὰ αὐτά. ¶ Κινύζεδος, κινητικός, χαράδρος. ¶ Κινύφιον, τὸ ἐν αἰγύπτῳ ἀπὸ κίνυφος τοῦ ποταμοῦ. ¶ Κινώ. κίνησις, συνεχής.

Κίνωσις, χρυσόφρυς. ¶ Κινώπετα, κνώδαλα. θηρία.

Κιξάλλαι, κλέπται. ¶ Κιξάλλης, φώρ. κλέπτης, ἀλαζών. ¶ Κιξαλλία, πανουργία κακοτεχνία. ¶ Κίξαντες, ἐλθόντων, πορευθέντες. ¶ Κίξαν, εὗρεν. ἔλαβον. ἤνεγκεν. ¶ Κίξιος, τέττιξ. ¶ Κιονίδα, σταφυλήν. ¶ Κίουρος, ἐμβολεύς. οἰσύινος κόφινος. ὧ τὴν σῖτον ἀναβάλλουσιν οἱ ναυτικοὶ ἢ μᾶζον τι.

Κίρα, ἀλώπηξ λακώνων. ¶ Κίραφος, ἀλώπηξ.

Κίρβα, πήρα φθειρά. ¶ Κιρβιαῖον, ἔθνος ἐχόμενον λυδῶν. ¶ Κίρεται. φθείρεται. δαπανᾶται.

Κιρίς, λύχνος, ὄρνεον, ἡ ἀηδών, λάκωνες. ¶ Κίρκασμα, τοὺς βότρυας. ¶ Κίρκοι, κρίκοι ἅρπαγες, πάντα τὰ ἐπικαμπῆ κίρκοι λέγονται. ¶ Κίρκος, κρίκος, ἱέραξ κωπηλάτης καὶ ἀπὸ αἰγιροῦ ἡ βλάστησις.

Κιρνᾷ, οἰνοχοεῖ. ¶ Κιρρά, ἰχθῦς ποιός. ¶ Κιρρόν. πῦρ ἐρυθρὸν ξανθόν. ¶ Κίρρος, ὄρος καὶ οἶμα καὶ πόμα γάλακτος λακώνων. ¶ Κίρυλος, ἰχθῦς ποιός. καὶ ὀρνέου εἶδος. ¶ Κιρσός, πάθος τι περὶ τὸ στόμα ὅπερ τινὲς ἰξίαν καλοῦσιν, ἄλλοι κρωατόν.

Κίρων, ἀδύνατος πρὸς συνουσίαν καὶ αἰδοίου βλάβην καὶ ἀπεσκολυμμένος, καὶ κυρίως μὲν ὁ σάτυρος καὶ ἐπτοημένος ὁ γυναικείας καὶ μὴ δυνάμενος χρῆσθαι.

Κίς, ζωΰφιον, ἐν τοῖς ξύλοις καὶ τῷ σίτῳ γινόμενον.

Κίσθος, θάμνος, ἧς τὸ μὲν, ἄρρεν, τὸ δὲ, θῆλυ.

Κίσιρις, ὄρνις ποιός. ¶ Κίσσυρα, πικρὰ τὸ ἦθος παλίγκοτος κῶοι. ¶ Κίσσα, ἐπιθυμία. ὄρνεον καὶ ἰχθῦς ποιός. καὶ τὸ γυναικεῖον πάθος.

Κισσίνη, πόλις καὶ ὄρος ἐν θράκῃ. ¶ Κίσσιοι, ἔθνος περσῶν. ¶ Κίσσηρις, βουνεύρων. ¶ Κισσός, ὁ κισσὸς ἀχαιοί. ¶ Κισσοέτιοι, οἱ κνώσιοι. ¶ Κισσός, εἶδος φυτοῦ, ἡ βλάστημα ἑλισσόμενον. ¶ Κισσοῦς, ὄρος ἐν μακεδονίᾳ, καὶ πόλις θράκης. ¶ Κισσηΐς, κισσέως θυγάτηρ. ¶ Κισσουάλλα, κισσάλα ἱερόμμινα.

Κισσύβιον, τὸ ἐκ κισσίνου ξύλου ποτήριον, καὶ ὁ σκύφος.

Κίσημα, τόξευμα ὀϊστός. ¶ Κιστέρνα, λάκκος φρέατος βάραθρα ἢ βυθός. ¶ Κίστας, κυρτάς. ¶ Κισσίτη, τέλη. ¶ Κίστη, ἀγγεῖον πλεκτὸν εἰς ὃ βρῶμα ἐνετίθετο καὶ ἱμάτια, κιβωτός. ἢ ἀπαλός. ¶ Κιτρίον τὸ ἰνδικὸν μῆλον. ¶ Κιτται, πρόγονοι. ¶ Κιττᾶν, ἐπιλείχεσθαι τὸ τῶν γυναικῶν ἐπιθυμεῖν. ¶ Κίτταλος, μυρρίνη. ¶ Κιττάναλον, ἡ κρήστρα. ¶ Κίττανος, ἡ κονιακὸ τύπανος. ¶ Κίτταρις, διάδημα ὃ φοροῦσι κύπριοι. οἱ δὲ τὰ διαδήματα φοροῦντες κίττοι λέγονται. ¶ Κίττεον, ὁ κίττος λάκωνες.

Κιττόν, καλὸν λάκωνες. ¶ Κίττυλα, τὰ κελύφη τῶν καρπῶν. ¶ Κιττῷ, καλῷ χρηστῷ ἀγαθῷ.

Κιτύμινα, γλαυκά. ¶ Κιφφός, μανικός. ¶ Κιχάνειν, εὑρίσκειν, καταλαμβάνειν. εἰσπράττειν. ¶ Κιχεῖν, κιχῆσαι καταλαμβάνειν. εὑρεῖν. ἐνέγκαι. ¶ Κιχεὶς καταλαβών. ¶ Κιχείω, τὸ καταλαμβάνω καὶ καταλήψομαι. ¶ Κιχῆλαι, αἱ κίχλαι τὰ ὄρνεα.

Κιχῆναι, κιχήσεσθαι. λαβεῖν. ¶ Κιχήσατο, εὗρε κατέλαβεν. ¶ Κιχήσεσθαι, καταλήψεσθαι.

Κίχησις, ἡ λῆψις. ¶ Κιγκὸς εἰς ὃ ἐμβάλλεται ὁ λιβανωτὸς, κύπριοι. ¶ Κίχλη, ἰχθὺς θαλάσσιος καὶ ὄρνις. ¶ Κιχλίσκουσι, γελῶσι μειδιῶσι. ¶ Κιχληβῶπις, ἀνδράχνη. ¶ Κιχλισμός, γέλως σφοδρός.

Κιχόρεια, λάχανα ἄγρια. ¶ Κιχρῶσι, δανείσει.

Κιχυβεῖν, δυσωπεῖν, νυκτιπλωτεῖν. ¶ Κίψει, κακοποιεῖ. ¶ Κίων. ὁ στύλος καὶ τὸ ἐν τῷ στόματι ὃ καλεῖται σταφυλή. ¶ Κιών, ἐλθὼν βαδίζων πορευθείς.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Λ.

Κλαγγή, φωνὴ ἦχος βοὴ, ἢ κλαγγὴ ὀρνέων.

¶ Κλαγγηδόν, κατὰ κραυγάς. ¶ Κλαγγεῖν κλάγξαι, φθέγξασθαι. ¶ Κλάγξαντος, κράξαντος. ¶ Κλαγγός. γάλα κριτῶν.

Κλάδαν, κλάδον ῥάβδον. ¶ Κλαδεῖ, σείει κινεῖ.

Κλαδεόμματι, ἔνσεισται τὸ ὄμματα. ¶ Κλῆρος,

μελιασῶν ἀπεάκρεις. ¶ Κηφισιῶδες, τετυφωμένοι κατεσποδασμένοι. ¶ Κηφισιεῖς γένος ἰθαγενῶν.

Κ ηφισίς. λίμνη. ¶ Κηφισός. ποταμός. ¶ Κηχὶ, ῥύπος. ¶ Κηχρᾶ, δανείζει. ¶ Κῆχος, τόπος, καὶ ποίκηχος τοῖ γῆς ἄλλοι κῆγχος. ¶ Κηώ. σύνθεσις. ¶ Κηώδει εὐώδει, τεθυμιαμένῳ ἀπὸ τοῦ καίεσθαι τὰ θυμιάματα, ἔνθεν δ' εὐώδης. ¶ Κηώδης, τεθυμιαμένον, εὐώδες, εὔπνουν, φωτεινόν.

Κ ηῶεν, μέλαν καθαρόν. εὔοσμον: τεθυμιαμένον.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ι.

Ιανθὶς, ἑταίρα. ¶ Κιάν. χαλᾶ.

Κ ¶ Κιάντωρ, κίναιδος. ¶ Κίασθαι, κεῖσθαι. ¶ Κίαρ, ἐκινεῖτο. ¶ Κίβαλος, διάκονος.

Κ ίββα, πήρα αἰπολοί. ¶ Κιβδηλιᾶν, ὠχριᾶν.

Κ ιβδηλιῶντας, ὠχροὺς ὑπὸ τοῦ κιβδήλεως ἐνοχλουμένους: ἔστι δὲ κιβδηλὶς ἐν τοῖς μετάλλοις σκωρία. ἀφ' ἧς παμφύλιοι κίβδηλον. μοχθηρὸν φαῦλον, ψεῦμα. νόθον, ἀδόκιμον. ¶ Κίβδης, κακοῦργος πηλὸς χειροτέχνης. ¶ Κιβικία, κιβίνδα καὶ τὰ νῶτα.

Κ ίβισις, πήρα. κύπριοι. ¶ Κιβλεῦραι, στοχάσασθαι.

Κ ίβον, ἐννεὸν πάφιοι. ¶ Κιβώειον, αἰγύπτιον ὄνομα ἐσθ' ποτηρίου. ¶ Κιβωτὸς, λάρναξ ξυλίνη, ἢ σορός.

Κ ίγκασος, κυβευτικός τις βόλος.

Κ ιγκλίδες, θύραι ἃς ἡμεῖς καγγελωτὰς λέγομεν.

Κ ιγκλίζειν, κινεῖν, πειράζειν. ¶ Κίγκλος ὄρνεον πυκνῶς τὴν οὐρὰν κινοῦν, ἀφ' οὗ καὶ τὸ κιγκλίζειν ὁ ἐστι διασείεσθαι. τινὲς δὲ σεισοπυγίδα. ¶ Κιγκρᾶ, κιρνᾷ. ¶ Κιγκράμας, ὄρνεον. ¶ Κίγκρεται, κνίζεται ὀδύρεται. ¶ Κιγχάνειν, εἰσπράττειν λαμβάνειν. ¶ Κιγχάνω, τυγχάνω. ¶ Κιγκλίζει, σαλεύει μοχλεύει κινεῖ. ¶ Κιγκλὶς, ὁ τοῦ δικαστηρίου κάγγελος. ¶ Κιγκλισμὸς, αἰσχρὸς γέλως μετὰ ἀταξίας. ¶ Κίδαλον, κρόμμυον. ¶ Κίδαρις, πῖλος βασιλικός, ὃν καὶ τιάραν, ἔνιοι δὲ κίταριν λέγουσι, ἢ στρόφιον, ὃ οἱ ἱερεῖς φοροῦσιν, ἔστι δὲ ἐκ σμύρνης καὶ λαβύζου, ἡ δὲ λάβυζος, ἔστι πολυτιμοτέρα αὐτῆς τῆς σμύρνης. καὶ ὄζει ἥδιστον, καὶ θυμίαμά ἐστιν κάλλιστον παρὰ βασιλεῖ ἐκ τούτων ἡ κίδαρις πέπλασται, ἢ ἐκ τριχῶν ὕφασμα, ἢ περικράνιον περίθεμα κεφαλῆς, εὐκόσμιον, καλὸν εἶδος καμαλαυκίου. τινὲς δὲ περικράνιον πίλινον. ¶ Κιδαφεύειν, πανουργεῖν, κίδαφος γὰρ, ἀλώπηξ. ἢ ἐσθίειν ἀπὸ τῶν κιόνων.

Κ ιδαφίων, πανοῦργον. κίδαφον γὰρ τὴν ἀλώπεκα λέγουσιν, ἔνιοι δὲ παρὰ ῥινκίας φασὶ πεποιῆσθαι τὴν λέξιν καὶ δηλοῦν τὸν διαβιβρώσκοντα.

Κ ίδαφος, δόλιος, καὶ ἡ ἀλώπηξ.

Κ ιδνᾶσθαι. σκεδάννυσθαι, σκορπίζεσθαι. ¶ Κιδνὸν, ἐνθάδε πάφιοι. ¶ Κιδνοτέροις ἢ ἀκιδνοτέροις, ἀσθενεστέροις. ¶ Κίδναι, αἱ ἐγχώριοι πεφρυγμέναι κεῖ θαί. ¶ Κίε, βάδιζε πορεύου. ¶ Κίειν, πορεύεσθαι. ¶ Κιέλλη, φέγγος, αὐγή. φῶς. πάχνη. ὁμίχλη. ¶ Κίεν, ἐπορεύετο πορεύου.

Κ ίενεν, ἐπετέλεσεν. ¶ Κίεσ, θηρεία. στροφάς.

Κ ίθαρις, κιθάρα κιθάρισμα. ¶ Κιθαριστήριοι, αὐλοί τινές. ¶ Κιθαρὸς, στῆθος πλευρὰ καὶ ἰχθύς.

Κ ίθον, πῶμα πίθου. ¶ Κιθωνέα, ἐπίθετον ἀρτέμιδος. ¶ Κικαῖος, ἴσον ἐλλύχνιον τῶν καρπῶν λέπος. ¶ Κικαμία, ἐστὶ λαχάνῳ καυλίδι ὅμοιόν τι. ¶ Κίκη. φυτόν. ¶ Κίκελος, ζοφός. ¶ Κίκιμον, ἐπὶ κορώνης τὸ κόπριον. ¶ Κίκδρος. ὁ χερσαῖος κροκόδειλος. ¶ Κίβερροι, ὠχροὶ μακεδόνες.

Κ ικίννης, δῆμος ἐπὶ ἀκαμαντίδος φυλῆς. ¶ Κικίννα, τειχόπλαστος. ¶ Κικιρδής, στικτή. ¶ Κίκιρρος ἀλεκτρυών. ¶ Κικκάβινον, ἐλάχιστον οὐδέν.

Κ ίκκα. ἀλεκτορίς. ¶ Κίκκασος, ὁ ἐκ τῶν παραμηρίων ἱδρὼς ῥέων ἢ βόλου ὄνομα. ¶ Κίκκη, στωμυλία, ἢ ἀπὸ τῶν αἰδοίων δυσοσμία. ¶ Κικκιδῶσαι, μινθῶσαι. ¶ Κικκιλονδίς. παιδὸς ἀφόδευμα.

Κ ικκὸς, ἀλεκτρυὼν κλέπτης διαχώρησις. ¶ Κίκλω τὴν ἄρκτον τὸ ἄστρον φρύγες. ¶ Κικλίσκει. καλεῖ.

Κ ικλησμὸς, γέλως. ¶ Κίκονες, γένος θρακῶν.

Κ ικνία, μικρὰ φθειρία. ¶ Κίκνον, θηρίον.

Κ ικοβαυλιτίδες, κογχυλίου τι γένος μέλαν, καὶ τὰ ἐκ στέαρος σκωλήκια. ¶ Κίκκος, ὁ νέος τέττιξ.

Κ ικερβιντίς. ἀνδράχνη. ¶ Κικυμῆις, γλαύξ.

Κ ίκυμος. λαμπτὴς, ἢ γλαυκὸς ὁμοίως καὶ κίκυβος.

Κ ικυμώττειν, δυσβλέπειν. ¶ Κικυνεὺς, δῆμος ἐπὶ ἀκαμαντίδος φυλῆς. ¶ Κίκυς, δύναμις.

Κ ίκων, ὁ κίκων ἀμυθάονος ἦν αὐλητὴς αἴσιον προθεωρῶν. ¶ Κικλάει, καλεῖ. ¶ Κιλάειος, ὁ ἥλιος.

Κ ιλίας, στρουθὸς ἄρσην. ¶ Κίλικες, οἱ ὑποπλακίοις θήβας οἰκοῦντες, ἢ δημόται. ¶ Κιλικίζεσθαι, κακοηθίζεσθαι. ¶ Κιλίκειοι, ἀθροὶ ῥυπαροὶ μεγάλοι. ¶ Κιλίκειοι, λόγοι, οὗτοι ἀναφέρονται εἰς κύρβασιν, ἢ κυρβασίαν, ἢ ἔργοι δασεῖς καὶ τὰ ἐκ τριχῶν συντιθέμενα κιλίκια. ¶ Κιλίκιος, ὄλεθρος πονηρὸς, πονηροὶ γὰρ οἱ κίλικες. ¶ Κιλικίους, πικρᾶς τιμωρίας. ¶ Κίλικι. λιμῷ ὀλέθρῳ, ἔλεγον γὰρ κιλίκιον ὄλεθρον. ¶ Κίλλιξ βοῦς, τὸ ἓν κέρας ἔχων ἀπεστραμμένον. ¶ Κίλλα πόλις ἔνθα ἱερὸν ἀπόλλωνος. ¶ Κίλλαι, ἀστράπαλοι ἢ ὄνοι.

Κ ιλλακτὴρ. ὀνηλάτης, κυνηγός. ¶ Κιλλαμαρίζειν, καλλωπίζειν. ¶ Κίλλια, εἶδός τι λαχάνου, ἢ ἀκάνθαι τῶν ἐχίνων, ἢ πηγὴ ἡ κρήνη, ἢ ὄρος τῆς ἀττικῆς, χωρίον δασύ, ὅπερ διαφόρως προσαγορεύουσιν, οἱ μὲν, κάλλιον, οἱ δὲ, κυλίαν, ἄλλοι κυλύπεδαν.

Κ ιλιβάντις, τραπεζῶν βάσις καὶ ὑποθήματα ἢ τρισκελεῖς τράπεζαι. ¶ Κιλλικύριοι, οἱ ἐπεισελθόντες γεωμόροι. δοῦλοι δὲ ἦσαν οὗτοι καὶ τοὺς κυρίους ἐξέβαλον.

Κ ιλλικὼν, προδότης οὕτως ἐπωνομάζετο, ἀχαιὸς μὲν τοὔνομα, κιλλίκων δὲ ἐπικαλούμενος ὃς μίλητον προέδωκε τοῖς βασιλέως στρατηγοῖς.

Κ ίλλιξ, ἀμνὸς ἢ βοῦς, τὸ ἓν κέρας ἔχων διεστραμμένον.

Κ ιλλὸν, εἶδος τριχώματος φαιοῦ. ¶ Κιλλός. ὄνος καὶ τέττιξ πρωϊνὸς ὑπὸ κυπρίων. ¶ Κίλλυρος, συσσιτίς. ¶ Κίμαι, χυλὸς πίεινος. ¶ Κιμαὸς, χυλὸς μοραίας. ¶ Κιμβάζει, στρατεύεται.

Κ ίμβαζε, στράτευε, κίμβαξ γὰρ ὁ ἀσπίς. ¶ Κιμβερικὸν, χιτωνίσκου εἶδος πολυτελοῦς, ὃ λέγεται στατίς.

Κ ιμβεύει, ὁδοιπορεῖ. ¶ Κιμβικία, πανουργία ξενισμός. ¶ Κιμβίξ, σκυφία μικρολογία.

Κ ίμβρος, νοῦς φρύγες. ¶ Κιμμερὶς, θεά, ἡ μήτηρ

ἐπιμελέσομαι. θεραπεύσω. ¶Κεδέων, αἰνιῶν.

Κ ἐδνοι, φίλτατοι, φροντιστικώτατοι, ἀναγκαιότατοι.

Κ ἐδομαι, φροντίζω, οἰκτείρω, λυποῦμαι. ἀνιῶμαι. ὀρ γίζομαι. ¶Κῆδος, κηδεία, πένθος. λύπη. φθορά, συγγένεια. νηστεία. θεραπεία. φροντίς. ¶Κηδεῦν, ἀνιῶν κακοποιεῖν. ¶Κῆθα, τάφος. ¶Κόθεια, κη θάρια τὰ ὀξύβαφα ἐν οἷς τοὺς κύβους ἔβαλλον.

Κ ηθεῖν, βοηθεῖν, συντρέχειν. ¶Κηθίδιος, διθύραμβον.

Κ ηθεον, συνεπορεύοντο. ¶Κηθοί, βοηθοί.

Κ εῖα, καθάρματα. ¶Κηκαδεῖ, λοιδορεῖ χλευάζει.

Κ ήκρανον, ἐκεκράγεισαν. ¶Κοκάς. κακὸ, τιμωρός. κακολόγος. δύσφημος. ¶Κῆκες, λάροι.

Κ ηκίει, πιδᾶ, ἀναδύει. ¶Κηκίειν, ἀναφέρεσθαι καὶ διϊδροῦν. ¶Κόκιεν. ἀνέφερεν ἀνέπιδα.

Κ ηκίς. ἀτμίς. σύμμα, καὶ ὁ καρπὸς τῆς δρυός. κῶοι δὲ καὶ τοὺς ἀκάρπους στάχυας καὶ στερητικούς.

Κ ῆλα, βέλη, θεῖα σημεῖα, ξύλα, ὅθεν καὶ καλόποις, καὶ κολώνειον καὶ ἱδρὰ ἀγάλματα καὶ πυρετός.

Κ ολάδες, αἶγες αἱ ἐν τῷ μετώπῳ σημεῖον ἔχουσαι τὸ λοειδές. ¶Κηλαίνειν, θέλγειν. νοσεῖν.

Κ ηλάς, νεφέλη ἄνυδρος καὶ χειμερινὴ ἡμέρα καὶ αἴξ, ὅτι κατὰ τὸ μέτωπον σημεῖον ἔχει τὸ λοειδές.

Κ ηλάστραι, σκαφίδες, ἀγγεῖα ποιμενικὰ ἃ δελφάκα.

Κ ολει, πραΰνει, θέλγει, πείθει, καταμαραίνει.

Κ ολάδησαν, ἤχησαν, ἐβόησαν. ¶Κηλέῳ, καυστικῷ, θερμῷ λαμπρῷ. ¶Κηλείῳ, ὁμοίως.

Κ όληθρα, φίλτρα, παραμύθια. ¶Κηληθμῷ, θέλγω, τέρπω, τέρψις, χαρά. ¶Κηλήνη, μέλαινα.

Κ ολήτειρα, ὁ συγχάσεια. ¶Κηλητηρίοις, τὰς ψυχὰς θεραπευούσαις. ¶Κήλησις, ἡ δι' ᾠδῆς ἡδονή.

Κ ηλῖδες, μολυσμοί. ¶Κηλίς. ἕλκος οὐλή. ὄνειδος ῥύπος, καὶ εἶδος αἰσχρὸν ἐν ἱματίῳ. κολὸν, ξορόν.

Κ ολοῖ, εὔχεται θεῷ. ¶Κηλούμενος, ἐν ἱματίῳ περιπόμενος. ¶Κηλοῦν, εὔχεσθαι.

Κ ήλυσμα, ἀγγεῖον, ἀσθενές. ¶Κηλώνια, ἀντλοτήρια ξύλινα. ¶Κηλώνειον, ξύλον ἐν ᾧ ἕλκεται τὸ ὕδωρ.

Κ ήλων, ὁ ἐν τῇ νηὶ λεγόμενος, καὶ ὀχευτὴς ἵππος καὶ ἅμ πλημα. ¶Κήμιψ, φλὲψ κνώδης ἐν μέτραις.

Κ ημός, πλεκτὸν ἀγγεῖον, ἐν ᾧ λαμβάνουσι τὰς πορφύρας. ἔστιν δὲ ὅμοιον ἠθμῷ καὶ ἐν αὐτῷ τὸ δέλεαρ. ἄλλοι δὲ καὶ τὸ ἐπιτιθέμενον τῇ τῶν δικαστῶν ὑδρίᾳ πεπλεγμένον πῶμα παρόμοιον χώνῃ. καὶ ὁ περιτιθέμενος τοῖς ἵπποις εἰς ὃν αἱ κριθαὶ βάλλονται. ἢ γυναικεῖον προκόσμημα καὶ εἶδος χαλινοῦ.

Κ ημοστόμης, τῷ χαλινῷ ἐμφορῆς.

Κ ήμωσις, φίμωσις. ¶Κόνεον, καθαρόν.

Κ ηνσήτωρ: ὁ τὴν γῆν μετρῶν. ¶Κηνσουεῖ, ἐκεῖ.

Κ ηνσός, βοτάνη τίς. τὸ δὲ τέλος κινσὸς διὰ τοῦ ι.

Κ ήνυσμα, τὸ κενὸν τοῦ σώματος. οἷον σκιά, καὶ εἴδωλον, φάντασμα. ἀσθενὲς καὶ ἀγγεῖον. ¶Κηνυσσόμενος, εἰδωλοποιούμενον. ¶Κηνύει, καλεῖ. ¶Κηνῶ, ἐκεῖ.

Κ ῆξ, ὁ λάρος κατὰ ἀπίωνα. λέγεται δὲ καὶ καύηξ. τινὲς καὶ ἐφυίαν ἀποδιδόασιν, οἱ δὲ κέπφον. οἱ δὲ, διαφέροντα ἀλλήλων. ¶Κήπιδος, σκέλος παροιμιῶδες ὂν τὸ πέρδικος σκέλος. ¶Κηπίων, κήπων, κηδόμενος. ¶Κηποκόμος, κηπουρός.

Κ ῆπος, παράδεισος ἢ εἶδος κουρᾶς παρὰ πέρσαις, ὃν οἱ θρυπτόμενοι ἐκείροντο ὡς ἐπίπαν ἐν μιᾷ μαχαίρᾳ. καὶ τὸ ἐφήβαιον τὸ γυναικεῖον, καὶ ζῶον ὅμοιον πιθήκῳ.

Κ ήρ, περισπώμενον καὶ οὐδετέρως λεγόμενον, ἡ ψυχή. ὀξυτονούμενον δὲ καὶ θηλυκῶς ἐκφερόμενον, ἡ θανατηφόρος μοῖρα ὁ θάνατος: ¶Κῆρα, ψυχήν, θάνατον.

Κ ηραίνει, φθείρει. μεριμνᾷ. φροντίζει. δυσθανατεῖ.

Κ ηραίνοντα, βλάπτοντα. ¶Κηραίνειν, βλάπτειν.

Κ ηρ ἀπονήσσων, παραφρονῶν. ¶Κήρας, ἀκαθαρσίας μολύσματα, βλάβας. ¶Κήραφις, κάραβος.

Κ ῆρες, ψυχαί. συμφοραί, μοῖραι θανατηφόροι.

Κ ηρέσιον, ὄλεθρον νοσητήριον. ¶Κόρεσι φορέοις, τοῖς ὑπὸ τῆς εἱμαρμένης μετενηνεγμένοις ὁ ἀπαυστησομένοις, ἐνθένδε ὑπὸ τῶν μοιρῶν.

Κ ηρί, εἱμαρμένῃ. ¶Κηρί, ψυχῇ. ¶Κηρείαις, ἐπιθανάτια ὑπετετυλισμένα. ¶Κηρῖναι, μάστιγος γίνονται τιμὴς κηρῖναι, ὥσπερ οἱ λεγόμενοι κηρεῶνες.

Κ ήρινθος, ἡ λεγομένη ἐριθάκη. ἔστι δὲ τροφὴ ἣν παρατίθενται ἑαυτᾶς αἱ μέλισσαι. καὶ πόλις εὐβοίας ἢ ἕλκος ποιόν. ¶Κηρίον, τὸ τῶν μελισσῶν καὶ εἶδος πλακοῦντος. ¶Κηριοῦσθαι, ἐκπλήττεσθαι.

Κ ηρίφατοι, ὅσοι νόσῳ τεθνήκασιν. ¶Κηρίῳ βύσαντες, εἰς τὸ στόμα τῶν παίδων ἐπίθησαν κηρίον ὑπὲρ τοῦ μὴ βοᾶν ὁπότε ὑποβάλλοιεν. ¶Κηριωθῆναι, ὑπὸ σκοτοδίνου ληφθῆναι. ¶Κηρίωμα, ὁμίλημα. ἔστι γὰρ τὸ κηρίον ὃ προσεικάζει τοὺς ὀφθαλμοὺς τῶν ἀηδόνων.

Κ ηρόθι, ἐκ ψυχῆς. ¶Κηρόν, λεπτόν. νοσηρόν.

Κ ηροπαίζουσι. βασταζουσι.

Κ ηροσταίων, παλαιῶν. ¶Κηρούει, ἐκεῖ κρῖται.

Κ ηρυχίδαι, γένος ἐν μιλήτῳ ἀπὸ κηρούχου.

Κ ηρόθεν, ἐκ τῆς ψυχῆς. ¶Κήρτεα, τὰ κέρδη.

Κ ήρυκες. οἱ ἄγγελοι, οἱ διάκονοι οἱ τὰς ὑπηρετικὰς ἐπιτελοῦντες πράξεις, ἐκαλεῖτο δὲ καὶ γένος ἰθαγενῶν ἀπὸ κήρυκος τοῦ ἑρμοῦ φανίας, ἢ τοὺς ἐιρεινάζοντας τοῖς ἑρμοῖς κόρυκας λέγουσι. ¶Κηρυκίνη, ἡ καταρωμένη. ¶Κηρύκιον, σκῆπτρον, ἐφ' ᾧ ἀναβὰς κηρύσσει. ¶Κήρυσμα, ἀγγεῖον ἀσθενές.

Κ ηρύκιον, ὄρος τῆς ἐφέσου, ἐφ' οὗ μυθεύουσι τὸν ἑρμῆν κηρύξαι τὰς γονὰς ἀρτέμιδος. ¶Κήρυλος, ἄρσην, ὄρνις συνουσιαστικός, τινὲς δὲ ἀλκυόνα. ¶Κήρυξ, ἄγγελος. διάκονος πρεσβευτής. ¶Κόρυξας, ἀντὶ τοῦ ἐκήρυξας. ¶Κηστόν, ἔνοδμον. ¶Κῆτα, καλαμίνθη. ¶Κῆτει, ναίει, ἐρημίᾳ στερήσει.

Κ ητῶν, θυννῶν φορά. ¶Κήτειοι γένος μυσῶν, ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ κήτεος ὁ μεγάλοι.

Κ ητήνη. πλοῖον μέγα ὡς κῆτος. ¶Κήτιον, μέγαν καὶ ᾧ τὰς ψόφοις διωθοῦσιν. ἐν τοῖς κλητωρείοις, καὶ ἐμέτηρειον ἀπὸ λαχάνου ἀγρίου, ὅπερ ἀντὶ πυρώνκασίεσαι εἰς τὸ στόμα ὡς κρατῖνος ἐν ὥραις σημαίνει. καὶ ὄδυσμα, καὶ τὸ νεαρὸν κρόμμυον. ἔνιοι, μέλος τι. οἱ δὲ, τὰ ὀψαρτυτικὰ συντιθέντες, διὰ τοῦ γ φασὶ γήτιον.

Κ ῆτος, θαλάσσιος ἰχθὺς παμμεγέθης, δηλοῖ δὲ καὶ ἀπειρίαν. ¶Κητώεσσα, ὑγρά, κοίλη. μεγάλη, ἔνυδρος, καλαμινθώδης, οἱ δὲ ὅτι ἐκεῖ ἡ θάλασσα συνεχῶς κήτη ἐκβάλλει. ¶Κηφὴν. μυῖα ἄκεντρος ἀργὴ μὴ γεννῶσα. ¶Κηφῆνας, τοὺς ἄρρενας τῶν

πίκται δὲ ἀπὸ τῶν ὑψαυχενούντων ταύρων.

Κέρξαι, κόψαι, ἢ σχίσαι ξύλα. ¶ Κέρξω, ἀσπανόμ ὑχμισ μα. ¶ Κέρσαι, κόψαι, τεμεῖν, κεῖραι, γαμῆσαι καὶ δρασῆεια. ¶ Κέρσις, γάμος. ¶ Κέρτα, πόλις ὑπὸ ἀρμενίων. ¶ Κερτομεῖ, χλευάζει, γελᾷ, ὑβρίζει. ¶ Κερτομίας, ἐρεθιστικός. ¶ Κερτομία, παίγνια προβασκάνια ἐρεθισμοί. παραλογισμοί. ψεῦσται καὶ γελασταί. ¶ Κερύχχη, εἶδος πλακοῦντος.

Κερχάλεον, σκληρὸν ξηρὸν διψαλέον.

Κέρχανα, ἢ κερχάνεα, ὀστᾶ καὶ ῥίζαι ὀδόντων.

Κερχνεῖ. τραχύνει. ¶ Κέρχνη, ἡ ἐκ τῆς μελαίνης ἔψημα. ὁ τὰ ὦτα τῶν ἰχθύων καὶ ὀρνέου εἶδος, καὶ ἡ μελίχροια. ¶ Κερχνώμασι, τραχύσμασι κυκλώμασι γαλισμοῖς. καλοῦσι δὲ οὕτω πολλὰ τὰς ὑπὸ τῶν ἀσπίδων κόσμον, καὶ ποτήριον ποίκιλον. λέγονται δὲ καὶ νικακίδες. ¶ Κερχνωτά, τετορνευμένα. ἀπὸ τῶν χείλους τῶν ποτηρίων ὡς περὶ κερχνοειδῆ ποικίλα. τραχεῖα πολύπαστα. ¶ Κερῶ, κεράσω. τελειῶ.

Κερωνία, δένδρον ἢ συκῆ αἰγυπτία. ¶ Κέρως, κέρατος. ¶ Κερῶνται, κεῖνονται. ¶ Κέσκειθεν. ἐκεῖθεν. ¶ Κεσκίον, στυπεῖον, τὸ ἀποκτένισμα τοῦ λινοῦ.

Κέσκος, πόλις κέσκον οὐκ ἔχουσα. καὶ ποταμὸς κιλικίας, ὅθεν καὶ παροιμία γίνεται πόλις κέσκον οὐκ ἔχουσα. εἴρηται δὲ ἐπὶ τῶν νοῦν μὴ ἐχόντων. καὶ σκυβεύντας οἴνας, ἀπὸ σκυβέλων τόπου παμφυλίας.

Κέστρ, νεανίας ἀρκῖοι. ¶ Κεστὸν ἱμάντα. τὸν ποικίλον ἱμάντα. ὁ χιτῶνα ποικίλον. ὁ τὸν τῆς ἀφροδίτης ἱμάντα, καὶ ὁ διακεκεντημένος χιτών. ¶ Κέστρα. ἀμυντήριον, ὅπλον, σφύρα, καὶ εἶδος ἰχθύος.

Κεστρεύειν, κεχηνέναι πεινῶντα. ¶ Κεστρεῖς, τοὺς κεχηνότας καὶ πεινῶντας, κεστρεῖς λέγουσι, ἐπεὶ τοὺς ἀθηναίους οὕτως ἔλεγον ἢ προσηγόρευον, τὸ γὰρ ζῶον αὐτὸ λαίμαργόν τε ἐστὶ καὶ ἄπληστον. ¶ Κεστρίαι, σιδηραῖ.

Κεστρινικαὶ βόες, αἱ ἐν χαονίᾳ. ὁ γὰρ χαονίας πρότερον κεστρίνος προσηγορεύετο, ἔστι δὲ μοῖρα τῆς ἠπείρου διαφόρους ἔχουσα βοῦς. ¶ Κέστρος, ἡ πρώτη ἔκφυσις τῶν σπερμάτων, καὶ ἀκόντισμα. καὶ ἡ ἐν τῇ γλώττῃ τραχύτης. ¶ Κέστρωσις. βαφικὴ μιμουμένη.

Κεστρωτὸν, ξύλον βαρὺ ἔχον τὸ κέντρον. οὐκ ἔχει δὲ σίδηρον οὐδὲ ἀκμήν. εἰώθασι δὲ οἱ βυτηροῦν πυροῦν τὰ ἄκρα τῶν αὐτῶν ξύλων ἕνεκα τοῦ ἀπολέσθαι πυρίκαυστον. ¶ Κεῦθε. κρύπτε. ¶ Κεύθεα, κοῖλα κρύφια. ¶ Κευθμὸς, καταδύσις πυθμὴν θησαυρὸς, κοῖλον ἢ κοίλας. ¶ Κευθμῶνες, καταδύσεις, ἀπὸ τοῦ κεύθειν ὅ ἐστι κρύπτειν, κρύφιοι τόποι.

Κέφαλα, κεφάλαιον ἢ κόσμος τῶν νέων, ἢ κεφαλὸ ἢ συγκρίθμησις ἢ ζήτημα ἄκρον.

Κεφαλαίωσον, συντόμως συνάγαγε. ¶ Κεφαλίδαι, γένος ἀθήνησιν. ¶ Κεφαλὴ, τὸ σύνηθες. καὶ ὄνομα σῶμα ψυχὴ ὕψος. ¶ Κεφαλῖνος, ἰχθῦς ποιός. ¶ Κεφαλῖται, οἱ γωνιαῖοι λίθοι.

Κεφαλλῆνες, ἔθνος παρὰ τὴν ἰθάκην. ¶ Κέφαλοι, τῶν κεστρέων τινὲς οὕτω καλοῦνται. ¶ Κέφαλον. μέρος ἐν τῷ πλοίῳ, ἢ κόσμος, ἢ τὰ ἐρείσματα,

Κεπφωθεὶς, καταγελασθείς. εἴρηται δὲ ἐπὶ τῶν ἀλόγως δίκην αὐτόντως συνεπαγομένων.

Κέχανδε, χωρεῖ διὰ πλῆθος ψοφεῖ. ¶ Κεχανδότα, χωροῦντα. ¶ Κεχάνια, σύκα, τὰ αὐτόματα κεχηνότα.

Κεχαραγμένος, ὠργισμένος. ¶ Κεχάραντο. ἐχάρησαν ἢ ἐχώρησαν. ¶ Κεχάρημαι, χαίρω ἢ χωρῶ.

Κεχαρηότα θυμῷ, χαίροντα τῇ ψυχῇ. ¶ Κεχαροίατο, χαίροιεν ἡσθεῖεν. ¶ Κεχαρισμένα, ἄρεστα, προσφιλῆ. ¶ Κεχαρισμένος, ἄρεστος, προσφιλέστερος, μετὰ χαρᾶς πάντα ποιῶν. ¶ Κεχαροίατο, χαρεῖεν.

Κεχειροτόνηται, προβέβληται. ¶ Κεχειρωμένοι, δοτημένοι, κεκρατημένοι. ¶ Κεχήλωμαι πόδας δέδεμαι, συνέρραμμαι τοὺς πόδας, χηλεύειν γὰρ τὸ ῥάπτειν, ἢ χήλινον τὸ πλεκτὸν, ὁ ἀνακρέων δὲ χήλευμα, τὸ σπαρτίον σοφοκλῆς πανδώρᾳ ἢ σφυροκόπῳ.

Κεχηνέν. ἔχασκε τὸ στόμα ἤνοιγε προσδόκως ἐμβλέπει.

Κεχηνότας, χαύνους χαίνοντας ἐννεούς.

Κεχιλιῶσθαι, χίλια ἐζημιῶσθαι.

Κεχλιδότα, αὐχοῦντα, ¶ Κεχλαδᾶν, χάσκειν.

Κεχλαδοῦσι. χάσκουσι. ¶ Κεχλαδέναι, ψοφεῖν, προσλαλεῖν. ¶ Κεχλίασμα, τεθέρμασμα.

Κέχλοιδεν, δέλκεται. ¶ Κεχλιδιασμένοις, δελκυσμένοις. ¶ Κεχμάζει, αὐθίζει. αὐθεῖ, ἵσταται.

Κεχολωμένον. πικρὸν ὠργισμένον.

Κεχηλώσεται, ὀργισθήσεται. ¶ Κεχραμαί, εἶδος πορνείας. ¶ Κεχραμένη, ῥεροπωμένη παραγεγραμμένη, πικραινομένη. ¶ Κεχρηματίσθαι, πεφροντικέναι αἰσχύλος. ¶ Κεχρημένος, ἐνδεὴς ὢν χρήζων ἢ τιμωρηθείς. ¶ Κεχρησμῳδημένα, μεμαντευμένα προφητευθέντα, λεχθέντα μετὰ θείας ἀποφάσεως.

Κέχρικεν, ἐγκέχρικεν, ἐκονίασεν, ὁ ἐγκεκέντρικεν.

Κεχρῖσθαι, πτωλόχεσθαι. ¶ Κεχρισμένα, ἠλειμμένα.

Κεχρυσωμένος, τετιμημένος. ¶ Κέω, σκέπει. λάκωνες. ¶ Κεώδης, καθαρός. ¶ Κεῶσιν, ὄζον θυῶδες.

Κεῶν. κοιμησόμενος. ¶ Κεωρεῖν. παχοπᾶν.

Κεώσαρ. κόρατο.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Η.

Κηδάζει, καθαίρει. κηδαλίζει. ¶ Κηδάνει, μεριμνᾷ. ¶ Κήδαλον, αἰδοῖον. κέρας σκάλαθρον. ¶ Κήδεα, λῦπαι. ¶ Κήδεν, ἠνία. ἔβλαπτεν. ¶ Κηδέρ. πένθος. ¶ Κήδεα, μέριμναι. λῦπαι. ἀνῖαι χαλεπαί. ¶ Κῆδε δέ. ἐλύπει δέ. ¶ Κηδεῖ. λυπεῖ. ¶ Κηδεία, οἰκειότης.

Κηδεῖμμακοπαθεῖν ἀνιᾶν λυπεῖν. ¶ Κηδείαν, ταφήν.

Κήδειος, προσήκων φροντιστής. ¶ Κηδείοις τοὺς προγόνοις ἢ κατ᾽ ἐπιγαμίαν οἰκείους ὁ συγγενεῖς,

Κηδεμόνες, φροντισταὶ διοικηταὶ καὶ οἱ κατ᾽ ἐπιγαμίαν οἰκεῖοι ἢ συγγενεῖς. ¶ Κηδεμόνες, φροντισταὶ διοικηταὶ καὶ οἱ κατ᾽ ἐπιγαμίαν οἰκεῖοι. ¶ Κήδεος, κηδεσμος, ἀπὸ κηδεμονίαν ποιῶν. ἢ φροντίδος ἄξιος.

Κήδεσθαι, φροντίζειν λυπεῖσθαι.

Κηδεσταὶ, πενθεροὶ οἱ τῆς κόρης γονεῖς καὶ οἱ τῶν γαμούντων οἰκεῖοι ἐκδιδόντες καὶ συγγενεῖς καταχρηστικῶς.

Κήδεται. φροντίζει ἐπιμελεῖται βοηθεῖ. ¶ Κηδεύειν, φροντίζειν, ἐνταφιάζειν, ἐπιμελεῖσθαι βοηθεῖν.

Κηδεύοντα, ἐπισκοποῦντα. κοδόμενον. ¶ Κηδεύσομαι,

Κεραΐζεα τὴν κόμην καλλωπιζομένην. ¶ Κεραϊζόντα, οἳ εἰς κέρατα ἔλαιον ἄγουσι. ¶ Κεραΐζεσθαι ἄδου συμφοραῖς. ¶ Κέραιρε, κεράννυε, κέρασον.

Κεραιοῦχον, δικαιοδότην, ἀπὸ τοῦ ἐν τοῖς ποιοῖς κεραιοῦχον. ¶ Κέραιρε, κέρασον. ¶ Κέραιας, κορώνη.

Κεραιος, σταυρός. ¶ Κεράμβηλον, κάπου πρόβασκάνιον, καὶ θηρίδιόν τι ὃ περὶ τὰς συκὰς διομενόμενον ἀποδιώκει τῇ φωνῇ τοὺς κνίπας. ἔνιοι τοὺς κανθάρους ὡς κέρατα ἔχοντας τὸν κέραμβον.

Κεράμβυξ, ζῶον κανθάρῳ ὅμοιον. ¶ Κεραμεύς, ὁ πάντα ποιῶν τὸν κέραμον. ¶ Κεραμεῖα, ἔνθα τὰ ὀστράκινα σκεύη πιπράσκεται. ¶ Κεραμεικός, πλατεῖαι πλευραί. ἀγορὰ δὲ ἀθήνησιν εὐτελὴς ἐν τῷ κεραμεικῷ, ἐν ᾧ τύπτουσι πλατείαις χερσὶ τοὺς μὴ τρέχοντας καὶ τοὺς ἄλλοις ἀγωνιστὰς γέλωτα χαλεῖν.

Κεραμεοῦν, ὀστράκινον. ¶ Κεραμεύς, ὁ λυκοῦργος.

Κεραμεικὴ, μάστιξ, τὸν ὀστρακισμὸν λέγουσι. μάστιξ μὲν διὰ τὸ βασανίζειν τοὺς ὀστρακιζομένους καὶ κολάζειν, κεραμεικὴν δὲ διὰ τὸ ἐκ κεράμου τὰ ὄστρακα εἶναι.

Κεραμεικός, τόπος ἀθήνησιν ἔνθα αἱ πόρναι προεστήκεσαν, εἰσὶ δὲ δύο κεραμεικοί ὁ μὲν ἔξω τείχους, ὁ δὲ ἐντός. ¶ Κεραμεῖας. δημοσίους.

Κεραμείνῳ, εὐτελεῖ ἢ ἀπὸ κεράμου. ¶ Κεράμιον. τὸ τοῦ οἴνου ἢ ὕδατος σταμνίον. ¶ Κέραμος, πίθος καὶ πᾶν ὄστρακον. καὶ δεσμωτήριον καὶ ὀχύρωμα καὶ πόλις καθ' ἑαυτάς, ἤδη δὲ ἐπὶ χρώματος. ¶ Κερανίξαι, κολυμβῆσαι, κυβιστῆσαι. ¶ Κεράννυε, κέρασον.

Κεραννῦντος. κιρνῶντος. ¶ Κεραόν. τέλειον ἢ κέρατα ἔχοντα. ¶ Κεραοξόος, κερατοποιός.

Κεραός, ἔλαφος ἢ εὔκερως. ¶ Κέραξ, θρὶξ τόξων καὶ αἰδοῖον. ¶ Κέρας, κεφαλή. θρίξ, σάλπιγξ. δύναμις. ἢ πολέμου μέρος καὶ ἡ ὑπεροχή. ¶ Κεράσαι, μῖξαι, ἑνῶσαι, συνάψαι. ¶ Κερασβόλα, ἄκαρπα τὰ ἑψητὰ ὄσπρια, οἱ περὶ τὰ κέρατα τῶν βοῶν δεσμοί, καὶ οἱ ἐν ταῖς ἀρχαίαις λύραις κόλλαβοι.

Κέρας, ὄρθιον ἢ νευρὰ εὐελπίδης ἐν αὐγῇ. ¶ Κέρασος, δένδρον ὃ φύεται ἐστραμμένοις, χοινίον δὲ ποιεῖ ὁ φλοιὸς αὐτοῦ. μετ' οὗ αὐτὸ νεύρων δεομένοισιν.

Κεραστίας, ἡ κύπρος ποτέ. ¶ Κερατοφόρος, κερατηφόρος. ¶ Κεράσχειλοι, οἱ ἐπικαμπῆ ἔχοντες τὰ χείλη. ¶ Κέρατα, τῆς φάλαγγος τὰ ἄκρα ἢ μέτωπον μέρος, καὶ ἡ τῶν κεράτων χρῆσις. ¶ Κερατεστεῖς, οἱ τοὺς ταύρους ἕλκοντες ἀπὸ τῶν κεράτων, καλοῦνται δὲ καὶ κεραελκεῖς. ¶ Κερατουργός, ὁ ταῖς κιθάραις κερατοποιός. ¶ Κέρατος φυτὸν ὃ πρὸς τὰ τόξα ἐχρῶντο. ¶ Κερατωνία, συκῆ αἰγύπτου. κεραβλοπία, τὸ λαγωβόλον. ¶ Κεραυνίας, ὁ κεκεραυνωμένος. ¶ Κεραύνιος, ἐμβρόντητος καὶ ζεὺς ἐν σελευκίᾳ, καὶ ἱμάτιον ποιόν. ¶ Κεραυνός. ψόφος. κτύπος, βροντή. ἀρρωστία καὶ τὸ τοῦ διὸς ἀμυντήριον καὶ καῦσα. ¶ Κέραφος, χλευασμός. κακολογία. ¶ Κερβαλά, ἀσθενῆ μεγάλα.

Κερβέρειοι, ἀσθενεῖς, φασὶ δὲ καὶ τοὺς κιμμερίους κερβερίους, καὶ τὴν πόλιν, οἱ μὲν, κερβερίαν καλοῦσιν, οἱ δὲ κιμμερίην, ἄλλοι δὲ κίμμην, ἔστι δὲ τόπος ἐν ᾅδου κερβέριος τρικάρηνος. ¶ Κερβοροκίνδυνος, πάρτρος

ὠχρός. καὶ κύων μέγας ᾅδου. ¶ Κερβολοῦσα, λοιδοροῦσα, βλασφημοῦσα, ἀπατῶσα.

Κερδαίνει, πείθει. ¶ Κερδαῖος, ὁ ἐπὶ κέρδει τοῖς πειθοῦσι καθ' ὅσον ἐκβέβρασται. ¶ Κερδαλέος, πανοῦργος ἐπικερδής. συνετός. ¶ Κερδαλέην, δόλιον, πανοῦργον, ἢ κέρδη πολυποιοῦντα καὶ ὠφελείας ἢ ποικίλον.

Κερδαλεώτερον. ἐπικερδέστερον.

Κερδαλεόφρων, ἐκ παντὸς κερδαίνειν φρονῶν διὰ δόλου. κερδοῦς φρόνημα ἔχων τουτέστιν ἀλώπεκος. ὅθεν ὁ δόλιος. ¶ Κερδαλῆ, ἀλώπηξ. ¶ Κερδία, πανουργία. ¶ Κέρδεσι, πανουργίαις. ¶ Κερδείαν, ἀλωπεκίαν. ¶ Κέρδιον, συμφορώτερον, ὠφελιμώτερον. ¶ Κέρδιστος, συνετώτατος, φρόνιμος, πανουργότατος. ¶ Κερδωπέ. ὄσπρια. ¶ Κέρδος, σύνεσις τέχνασμα, ὠφέλεια. ¶ Κερδοσύνη, σοφία, τέχνη σύνεσις, πανουργία. ¶ Κερδώ κερδίστη ἀλώπηξ. ¶ Κερέα, ἀρχὴ γράμματα.

Κεραΐζε, πόρθει. ¶ Κερεῖ. ξυρεῖ. ¶ Κερεῖς, θερίσεις.

Κερητίζει, βασανίζει. ¶ Κέρκα, ἀκρίς.

Κερδάλια, ἐπιτάφια ἐντάφια. ¶ Κερκάς, κρέξ, τὸ ὄρνεον. ¶ Κέρκαξ, ἱέραξ. ¶ Κέρκαφα, ἐγγύη.

Κερκέτης, τὸ μικρὸν πλοιάριον ἀπὸ τῶν εὑρόντων.

Κερκέται, ἔθνος ἰνδικόν. ¶ Κερκίδας, δονακίνας, ἐπεὶ ταῖς αὐθηλαῖς ἐχρῶντο εἰς κερκίδας.

Κερκιθαλὶς, ἐρωδιός. ¶ Κερκίς, ἡ ἐπὶ πίτυος κορυφὴ ἢ αἰγείρου καὶ εἶδος ὄρνιθος. ¶ Κέρκνος, ἱέραξ ἢ ἀλεκτρυών. ¶ Κέρκος, θηρίδιον τὰς ἀμπέλους βλάπτον. ἡ οὐρὰ καὶ ἀνδρεῖον αἰδοῖον, ἢ ἀλεκτρυὼν, ἢ ἀρουραῖος μῦς. ¶ Κερκοῦρος. εἶδος πλοίου ἢ ἰχθύος.

Κερκοψ, ταινιώδης ἢ εἶδος θηρίου μεγάλην οὐρὰν ἔχοντος. ¶ Κέρκος διπλῆ αὐτῇ καὶ δικέλαδος καὶ διθύρανος, ἐχρῆν δὲ αὐτῇ μᾶλλον ὁ ἐν κώδ πρυτάνεσι.

Κέρκυρα, νῆσος. ¶ Κερκυραία, μάστιξ, περιττὴν τινα τὴν κατασκευὴν εἶχον αἱ κερκυραῖαι μάστιγες, οἱ δὲ καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι. εἶχον δὲ ἐλεφαντίνους κώπας, καὶ τὰ μεγέθη περιττὰ ἦσαν. ἀριστοφάνης δὲ, εὐπραγοῦντας τοὺς κερκυραίους φησὶν ἀριστοτέλης, πιέζεσθαι ἢ γίνεσθαι. ¶ Κερκυραῖοι ἀμφορεῖς, τὰ ἀδριανὰ κεράμια. ¶ Κέρκωπες, ποικίλοι πονηροὶ πανοῦργοι. ¶ Κερκωπίζοντες, κατασπῶντες.

Κερκώπη, μικρὸν τέττιγιον τὸ καλαμαῖον λεγόμενον. γῆν γὰρ γυναῖκα τεττίγων φασίν. οἱ δὲ τέττιξ θήλεια, μὴ φωνοῦσα. ¶ Κερκώπων, δολίων. πονηρῶν καταστρεφόντων. κακούργων. τεττίγων. ¶ Κέρματα, χρήματα, θραύσματα. ¶ Κέρματα, εἰς λεπτὰ διαιρεῖ. ὅθεν μικρὰ συντρίβει. ¶ Κέρμηλος, ἀφ' οὗ χαλκὸς γίνεται. ¶ Κέρνα, ἀξίνη. ¶ Κέρνεα, τὰ τῇ μητρὶ τῶν θεῶν ἐπιθυόμενα. ¶ Κέρνος, στεφανίς. ἀγγεῖα κεραμεᾶ. ¶ Κερνοφόρος, ὁ τὰς θυσίας ἄγων. ¶ Κεροβάτης, ὁ πάν. ἤτοι ὅτι κέρατα ἔχει. ὁ οἱονεὶ κερατοβάτης τὴν βάσιν ἔχων κερατίνην.

Κεροδίκα, τόξα. ¶ *Κεράμεναι, λυπούμεναι. ἢ ὥσπερ παιόμεναι. ἔπειτα κατὰ τὰ ζάγου ἔχειν.

Κεροπλάστης, λεπτουργὸς ἢ τειχοκοσμητής.

Κερουλκός, ὁ τοῖς κέρασιν ἕλκων τὸ ἄροτρον. καὶ ὁ κέρασι νῦχος κάλως. ¶ Κερουτίαι, γαυρίαι, μετεω

ἐπιμόνως κειμένην. ¶ Κεκρύφαλος, εἶδος κοιλί
ας τῶν μηρυκαζομένων ζώων, ἢ βακάθιον δισμώτει
χον. ¶ Κεκρυφάλοις, τὰς τῶν ἵππων κορυφὰς ὅ
ρας καὶ κορυφάντρας. ¶ Κέκτηκε, τέτηκεν.
Κ εκτισμένοι, πεφημισμένοι, κατεσφραγισμένοι.
Κ εκύθωσι, κρύψωσι. ¶ Κεκρυπτάκασιν, ἀσχολοῦντ)
Κ έκολται, δῶρα τὰ τῇ χειρὶ ἑλκόμενα.
Κ εκύκω, καμπύλω. ¶ Κεκυσδόσθαι, ἐκτετιμῆσθαι.
Κ εκοφότα, ταπεινοῦντα. ¶ Κεκωδωνισμένοι, πεπει
ρασμένοι καὶ ἐξητασμένοι, μετῆκται δὲ ἀπὸ τῶν πε
ριπολούντων καὶ τοῖς κώδωσι διαπειρωμένων, εἰ οἱ
πρώτως ταῖς φυλαῖς τεταγμένοι ἐγρηγόρασι.
Κ εκωδώνισται, πεπείρασται, ἐξήτασται, δεδοκίμασται.
Κ εκόνισται, πεπίστωται, κέκλυσται. ¶ Κεκώπηνται,
σφαγεὺς ὁ ὤθει κώπης. ¶ Κεκώπηνται, ἡ ναῦς, καὶ τὰ
ἐνέρι μέσω ἔχειν τὰ ξίφη. ¶ Κελαδεῖ, βοᾷ.
Κ ελαδεινὸ. κραυγή. βοὴ ὁ κυνηγὸς ἐπιθετικῶς.
Κ ελαδεινῶς, θορυβωδῶς. ¶ Κελάδησεν, ἤχησεν.
Κ έλαδος, ἦχος μουσικός. κραυγή. βοή. θόρυβος.
Κ ελαδῶν, ἠχῶν, μέλπων, ἢ ποταμὸς ἀρκαδίας.
Κ ελαινεφὸς, ὁ μελαίνων τὰ νέφη. ¶ Κελαινεφὲς, ἅμα
μέλας, παραγώγως ἢ συνθέτως ὁ κελαινὰ συνάγων
τὰ νέφη. ¶ Κελαινὴ, μέλαινα. ¶ Κελαινιόων,
μελαινόμενος. ¶ Κελαινόν, μελαινόν. ¶ Κελαι
νόλωπα, κόρασια. ¶ Κελαινοπέθιμον, τὸ μὴ φανε
ρὸν, τὸ δόλιον. καὶ τῇ ψυχῇ δύσνουν. ¶ Κελαιοῖς,
ἤχοις. ¶ Κελαρύζει, ἠχεῖ, φωνεῖ. ὁ συνεχῶς ῥεῖ, ἔστι
δὲ ἰδίωμα ἤχου. ¶ Κελαρύζεται μετὰ φωνῆς ἠχή
σει. ¶ Κελάρυξεν, ἰδίωμα ψόφου. ¶ Κέλε, τέρ
πε. ¶ Κέλεαι, κελεύεις. ¶ Κελεαί με, κελεύεις
με. ¶ Κελέβη, ποτηρίου εἶδος θερμηροῦ, καὶ ποι
μενικὸν ἀγγεῖον. ¶ Κελεῖς. ἀξίνη. ¶ Κελεβρὰ,
λεπτὰ καὶ νεκρὰ κτήνη. ¶ Κελενδρυον, δρύϊνον, κε
λαιὸν, λέγεται δὲ καὶ μισκέλενδρον, ἢ τὸ μακρόν.
Κ ελαινὸν, σκοτεινὸν μέγα. ¶ Κελαιὸν, ὄρνιν ποιόν.
Κ ελέοντας, εἰς ἱστόποδας, καὶ τὰ ὁπωσοῦν μακρὰ ξύλα
δοκοὺς, ἱστοὺς ἢ πτῆρα, οὕτω φασὶν, σικελοὶ δὲ τὰ ξύλα
Κ ελεὸς, ὄρος ἀθηναῖος. ¶ Κέλευθο, δίδυμος περιε
λεύθου ψυχή. ¶ Κέλευθοι, ὁδοί.
Κ ελευθείας, τὰς ἐνοδίους δαίμονας.
Κ ελευθιόντων, ὁδευόντων. ¶ Κελευθιόων, πρὸς ὁ
δὸν ἔχων τὴν διάνοιαν. ¶ Κέλευθος, ὁδός.
Κ ελεύθρας. κελεύσεως. ¶ Κέλευσον πρόσταξον.
Κ έλευστρα, ἢ κελεύστα, ἅμαξα ἡμιονική. ¶ Κελευστιό
ων, κελευστικῶς ἔχων. ¶ Κελεύματα παυλιᾶς εἰ
δος καὶ ἀγάλματα. ¶ Κέλεξον, ὦ τοὺς ἰχθύας θη
ρεύσειν ἐν τοῖς ποταμοῖς. ¶ Κελετίζειν, τοῖς ἵπποις
ἐπιβαίνειν. ¶ Κελημοσύνας, κελεύσεσιν.
Κ έλης, ἵππος καὶ ἱππαστὴς ἢ μέρος καὶ εἶδος τι πλοίου νε
ὼς ἢ μονάτωρ. ¶ Κελητιᾶν, κελητίζειν, ἱππεύειν.
Κ ελλὰς, μονόφθαλμος. ¶ Κέλλειν, τὸ εἰς γῆν ἐκτιθέ
ναι τὴν ναῦν ἢ ἐξοκείλλειν. ¶ Κέλλικας, δημό
τας. ¶ Κελλίων, ὁ τῶν ὅλων φύσις. ¶ Κελλὸν,
στρεβλὸν, πλάγιον. ¶ Κέλλωσαι, πλαγιάσαι.
Κ ελμάς. θέρμη. ἢ νεῦρον ἐλάφου. ¶ Κέλμις, παῖς
ἢ λήκυθος καὶ ὄνομα ἑνὸς τῶν ἰδαίων δακτύλων.

Κ ελοίμην, κελεύοιμι. ¶ Κελόμην, ἐκέλευον.
Κ έλομαι, κελεύω. ¶ Κέλσαι, ἐκκεῖλαι, ὁρμῆσαι. κα
ταλαβεῖν, ἐντρεπίσαι, ἐξοκεῖλαι, συγκλεῖσαι. εἰλῆσαι.
Κ ελτοὶ, ἔθνος ἕτερον γαλατῶν. ¶ Κελύφανα, λεπί
σματα. ¶ Κέλυφος, ὀστίον λεπτὸν, κυρίως δὲ καὶ
τὸ τῆς ὀπώρας καὶ τῶν δενδρέων. ¶ Κελλωναεῖς,
ἔθνος σκυθικὸν ἢ κελχοί. ¶ Κελῶ, ὁρμήσω.
Κ έλωϊ, πυρὶ τῷ καυστικῷ. ¶ Κέλωρ, ἔγγονος υἱός.
ἐκτομίας, γάλλος. σπάδων. ¶ Κελλώρειον, παιδί
ον. ¶ Κέλωρ, φωνή. ¶ Κελωρύειν, κεκραγέναι.
βοᾶν. ¶ Κελωρύσας, φωνήσας. βοήσας.
Κ εμὰς, νεβρὸς ἔλαφος. τινὲς δὲ, δορκάς. ¶ Κεμα
σῖνας, ἰχθύας. ¶ Κεμαντὰ, καθαρὰ θυώδη.
Κ εν, ἄν. ¶ Κεμμὰς, ἔλαφος νέος. ¶ Κέμμερος,
ἀχλύς. ὁμίχλη. ¶ Κέμμης, ὄρειον. ¶ Κέμμις,
πόλις ἐν αἰγύπτῳ. ¶ Κέμμορ, μέγα κῆτος.
Κ εμπός. κοῦφος ἐλαφρὸς ἄνθρωπος. ¶ Κεμφὰς,
ἔλαφος. ¶ Κέμωρ, ἑτερόφθαλμος. ¶ Κενὰ,
ἀπόκενα. ἄκυρα. ¶ Κενεὰ, κενὰ μάταια. κύπριοι
δὲ ἀναδενδράδας. ¶ Κενέαφος, κενὸς ἐλαφρός.
Κ ενεαυχέες μάταια καυχώμενοι ἢ κενῶς αὐχοῦντες.
Κ ενέβεια, τὰ θνησίδια καὶ νεκειμαῖα κρέατα,
Κ ενῆς, ματαίας. ¶ Κενέβας, σπόγγος.
Κ ενεμβατεῖ, ματαίως πατεῖ. ¶ Κενεὸν, κενὸν, ἄ
πρακτον. ¶ Κενεών. ὁ περὶ τὰς λαγόνας τόπος,
τὸ διάκενον μέρος τῶν ὀστέων ἀρσενικῶς. ¶ Καινὴ δό
ξα, κενοδοξία. ¶ Κενίσαι, κεντρίσαι.
Κ ενὸν, τὸ κενωθὲν μάταιον. ¶ Κενοφωνίας, ματαιο
λογίας. ¶ Κενόπας, ἄντρως. ¶ Κενῶσι, κενεῶσι,
λαγόσι. ¶ Κένσαι, κεντῆσαι, κτίσαι. κελεῦσαι.
Κ ενταυρίσκος, ἀγροῖκος, ἄγριος. ¶ Κενταυρικῶς,
ἀγροίκως, ἀγρίως. ¶ Κένταυροι, λησταὶ καὶ οἱ αὐν
ᾶνες καὶ οἱ παιδεραστεῖ ἀπὸ τοῦ ὄρρου. ¶ Κένταυρος
ὄρρος. ¶ Κεντήματα, ζημιώματα. ¶ Κενταπα
πίτη, χωρίον τι. ¶ Κέντορες, κεντρισταὶ ἐν τῷ
ἐλαύνειν, ἐλατῆρες. ¶ Κεντριάδαι, τῶν περὶ τὰ
μυστήρια. ¶ Κεντρίνη, φωνεῖν. γένος τι ζώου.
Κ ενρηνεκέας, εὐπειθεῖς ταχεῖς καὶ διηνεκῶς κεντριζο
μένοις. τοῖς κέντροις εἴκοντας καὶ πειθομένοις.
Κ έντρον, δόρυ, μάστιξ. καὶ τὸ ἐν σιδήρῳ ἀδαμάντινον.
Κ εντρότυπος, μοχθηρός. φαῦλος, ἢ κεντροποιός. πανοῦρ
γος. ¶ Κεντυρίων, ἑκατόνταρχος. ¶ Κέντωρ.
ἡνίοχος. ¶ Κενωθῇ, μάταιος ἀποφανθῇ.
Κ εραϊσταὶ, κομῆται, πολεμικοί. ¶ Κεραϊστής. κομή
της. ἁλιεύς. εἶδος ὄφεως καὶ ὁ κέρατα ἔχων.
Κ ενόν φάσις. τυφλόν. ¶ Κέοιτο, κεῖτο. ¶ Κέπφος,
εἶδος ὀρνέου κουφοτάτου περὶ τὴν θάλασσαν διαζῆ
βοντος ὃ εὐχερῶς ὑπὸ ἀνέμου μετάγεται. ἔνθεν λέγε
ται ὀξὺς καὶ κοῦφος ἄνθρωπος κέπφος.
Κ επφωθεὶς, ἐπαρθεὶς. ἀπατηθείς. ¶ Κέρα, κέρα
τα. θρίξ. ¶ Κέρα. ἀσλαὶ τὸν θρίγκα. λαμπρὲ τῷ
τόξῳ ἀπεκλόμενε. ¶ Κεραία, ἐν τῷ πλοίῳ οὕτω τί
καλεῖται. ¶ Κεραΐδες, τῶν προβάτων τὰ θήλεα
τὰ ἔνδον ὀδόντας ἔχοντα. ¶ Κεραΐζειν, κτείνειν. πορ
θεῖν, διαρπάζειν, διαφθείρειν. ¶ Κεραΐσαι, διέφθει
ραν. ¶ Κεραΐζων, ἀναιρῶν, πορθῶν, φθείρων.

Κεγχρώμασι, ταῖς περιφερείαις καὶ τοῖς κατασκευάσμασιν. ¶ Κεδάσας, διασκορπίσας. ¶ Κέδασεν, διεσκόρπισεν. ¶ Κεδᾶται, σκεδάννυται.

Κέδματα, αἱ χρονιώτεραι διαθέσεις. νόσοι περὶ τὰ ἄρθρα. οἱ δὲ, περὶ τὰ γεννητικὰ μόρια. ἱπποκράτης.

Κεδνὰ, ἀγαθὰ, συνετὰ. πιστὰ. φροντιστικά. κόσμια. σεμνά. σώφρονα. καλά. τίμια. ¶ Κέδρακε, ῥιγοῖ, πέφρικεν. ¶ Κεδράντης, τὸ πᾶν, ἢ λεπτὰ δύο τὰ χρυσᾶ. ¶ Κεδρείδης, ὁ καρπὸς τῆς κέδρου.

Κέδριον ἔλαιον δένδρος. ¶ Κεδρώσεις, οἱ κυδωνιᾶται.

Κέδρον, ἀττικοὶ οὐδετέρως λέγουσιν. ¶ Κέδρος, ῥάβδος κιβωτὸς λάρναξ, ἢ δένδρον ἄκαρπον.

Κέδροπα, τὰ ὄσπρεια. ¶ Κεῖα, καθάρματα.

Κειάμενοι, καύσαντες. ¶ Κείαντες, καίοντες.

Κείνας, καύσας. ¶ Κείαντο, ἔκειντο. ¶ Κεήσας, τῇ μάστιγι νύξας. ¶ Κεθμῶνες, φωλεοί.

Κεῖα, κακά. ¶ Κίον, ἐπορεύοντο. ¶ Κεῖθι, ἐκεῖσε, εἰς ἐκεῖνον τὸν τόπον. ¶ Κεῖε, τέθνηκεν. ¶ Κεικύνη, συκάμινος. ¶ Κειμήλια, τὰ ἀπόθετα χρήματα ἀπὸ τοῦ κεῖσθαι, καὶ τὰ ἐν πλαισίοις, μεταφορικῶς δὲ καὶ ἐπὶ σώματι τίθεται. ¶ Κείνη, ἐκείνη, κενή.

Κείνης, ἐκείνης. ¶ Κεινῇσι, ματαίαις κεναῖς.

Κεινὸν, κενὸν ἢ ἐκεῖνον. ¶ Κεῖν᾽ ὄχεα, ὅταν κενὸν ἅρμα ᾖ. ¶ Κείοντες, κοιμησόμενοι. ¶ Κεῖρα, γενεὰ ἢ ἡλικία. ¶ Κείρει, τέμνει. κατεσθίει. ¶ Κειριάδαι, δῆμος φυλῆς ἱπποθοωντίδος. ¶ Κειρίαι, κειριαί. ¶ Κειρίδες, κηρίδες ὄρνεα. ¶ Κειριόνου, ἐπίκορος ὅτι ὁ τόπος. ¶ Κεῖρις, ὄρνεον ἱέραξ οἱ δὲ ἀλκυόνα. ¶ Κείροντες, ἀναλίσκοντες. ἐσθίοντες.

Κείρυλος, ὃν ἔνιοι, κήρυλον λέγουσι. ἔστι δὲ ὄρνεον, ὃ δὲ ἀντίγονος τῶν ἀλκυόνων τοὺς ἄρρενας κηρύλους φησί.

Κεῖσε, ἐκεῖ, εἰς ἐκεῖνον τὸν τόπον. ¶ Κεῖσθαι, ὑποκεῖσθαι ἐνέχυρα. ¶ Κεισιβδηλούμενοι, νοθροί.

Κείσομαι, πείσομαι. ¶ Κεισὸς, βοτάνης εἶδος.

Κεῖσα, κίστα λάκωνες. ¶ Κεῖται, ἀεὶ ἐπὶ κακοῦ τίθεται ἀντὶ θανάτου ἢ ἀπραξίας. ¶ Κεῖτο, πέπτωκε. ¶ Κίχοις, καταλάβοις. ¶ Κειῶδες, εὐώδες. ¶ Κείων, κοιμησόμενος. ¶ Κειώσασθαι, καθήρασθαι. ¶ Κεκαδησόμεθα, διασκορπισθησόμεθα, χωρισθησόμεθα. ¶ Κεκαδεῖν, χωρίσαι, στερῆσαι, σκεδάσαι. ¶ Κεκάδεσθαι, φείδεσθαι, ἐνδαπανᾶν.

Κεκαδῆσαι, βλάψαι, κακῶσαι, φείσασθαι, στερῆσαι.

Κεκαδὼν, χωρίσας, στερήσας, φροντίσας. ¶ Κεκαυνοτόμηται, νεωτέρισται. ¶ Κεκαλαμινθωμένοι, καλάμη γεγονότες. ¶ Κεκάλακας, καλὴ γέγονας ἢ ἐκάλεσας. ¶ Κεκαλμένον, ἐπὶ γῆς ἐκπεπλευκός.

Κεκρανὶς, βάτου δρία. ¶ Κεκαρμένον, περικεκομμένον ἢ κεκοσμημένον. ¶ Κεκάρπωκε, τετελείωκε ἢ ἀπέκαυσε. ¶ Κεκαῦσθαι, κατεσκευάσθαι, κεκοσμῆσθαι. ¶ Κεκασμέναι, κεκοσμημέναι, δεδοξασμέναι, τετελειωμέναι. ¶ Κέκασται, κεκόσμηται, κατεσκεύασται, κρατεῖ, ὑπερέχει, ὥπλισται, τέτακται, πέποιθε, δεδόξασται. ¶ Κεκαυτηριασμένοι βεβασκανισμένοι μὴ ἔχοντες τὴν συνείδησιν ὑγιῆ.

Κεκαφηότα, ἐκπεπνευκότα. κάπος γὰρ τὸ πνεῦμα, καὶ κῆπος ὁ περιπνεόμενος καὶ εὐήνεμος τόπος. ἔνθεν καὶ καπίλαρ ἀπὸ τοῦ διασπᾶσθαι αὐτοὺς τὰς ἐν τῇ κεφαλῇ τρίχας ὑπὸ τοῦ πνεύματος. καὶ γὰρ καὶ αὐτὸ ἡ κεφαλὴ ὑπὸ ῥωμαίων κάπουτ κέκληται, ἀπὸ τοῦ ὑψηλοτέραν οὖσαν τοῦ ἄλλου σώματος αὐτὴν περιπνεῖσθαι.

Κεκαφηότι. ἐκπεπνευκότι.

Κεκεῖνα, κισσός. ¶ Κεκεπφωμέναι, ἐπηρμέναι.

Κεκερτόμηται, κεχλεύασται. ¶ Κέκευθαι, κέκρυπται. ¶ Κέκει, φροντίζει, ἀλγεῖ. ¶ Κεκηλίδωσαι, μεμίανσαι. ¶ Κεκῆνας, λαγωοὺς κρῆτες.

Κεκορωμένη, κεκακωμένη. ¶ Κεκησᾶς, βοᾶς.

Κέκηφε, τέθνηκεν. ¶ Κεκιβδηλευμένοι, ἄτιμοι, ἀχρεῖοι. ἀδόκιμοι. νόθοι. ¶ Κέκιλος, ἰσχνόφωνος.

Κεκλεισμένος, ἐπικαλούμενος. ¶ Κεκλαμένον, κεκλαδευμένον. ¶ Κεκλασμένον, ἀποκεκλασμένον.

Κέκλεο, κάλεσον. ¶ Κεκλεῖ, καλεῖ. κελεύει, κέκληται. ¶ Κέκλετο, παρεκελεύετο, ἐκάλει, ἐβόα, προεκαλεῖτο. ¶ Κεκλέατο, συγκεκλημένοι ἦσαν.

Κεκληγὸς, ψοφοῦν. ¶ Κεκληγὼς, ψοφῶν, βοῶν φωνῶν, κραυγάζων ἐπικαλούμενος. ¶ Κεκλίαται συνεληλασμένοι εἰσίν. ¶ Κεκλιμένοι, περικεκλεισμένοι, περιεχόμενοι. ¶ Κεκλειμένοι, προσαναπεκείμενοι. ¶ Κεκλίαται, κεῖνται. ¶ Κεκλόμενοι, κελεύοντες. ¶ Κέκλευ, κάλεσον. ¶ Κέκλυθι, ἐπάκουσον. ¶ Κέκλυτε, ἀκούσατε, ἀκούετε. ¶ Κέκλυτέ μευ, ἐπακούσατέ μου. ¶ Κεκλωσμένου, διανενησμένου. ¶ Κεκμᾶται, κεκοπίακεν. ¶ Κέκμηκε, πεπόνηκε, τέθνηκεν. ἀπείρηκε, κεκόπωται.

Κεκμήκει, ἀπειρήκει ὑπὸ κακῶν. ¶ Κεκμηκὼς, κεκοπιακώς. ¶ Κεκμηῶτες, κεκοπιακότες. ¶ Κέκνηκεν, ὑπὸ κακῶν ἀπειρήκει. ¶ Κεκνισμένοι, καρποὶ ὑπὸ ἐρυσίβης διεφθαρμένοι, ἢ κνιποὶ τοὺς ὀφθαλμούς. ¶ Κεκοισυρωμένη, ἐκπεπληγμένη ἢ περιεσταλμένη. ¶ Κεκοκκυγωμένον, κεχρισμένον χρώματι κοκκυγίνῳ, ὅ ἐστι πορφυροῦν ἀπὸ κοκκυγίας δένδρου.

Κεκολαμμένη, γεγλυμμένη. ¶ Κεκολᾶσθαι, μώλωπας ἔχειν. ¶ Κεκολλυρωμένον. λευκῷ κεχρισμένον. ¶ Κεκομψευμένης, κομψὸν, τὸ σεμνὸν ἢ ἀστεῖον ὅθεν λέγεται τὸ ῥῆμα. ¶ Κεκονδυλωμένον, διηρθρωμένον. ¶ Κεκόηκεν, ἔγνωκεν ὅτι κεκακούργηκεν ἢ πεφόνευκεν. ¶ Κεκονιαμένος, κεκονιορτωμένος. ¶ Κεκόπακεν, ἐπαύσατο.

Κέκοπας, ἔκοπας ἢ κονδύλοις ἔχων. ¶ Κεκορυθμένος, καθωπλισμένος ἀπὸ τῆς κόρυθος. ¶ Κεκορυσμένα, μεμετεωρισμένα, ὡπλισμένα. ¶ Κεκόσμηται, τέτακται, κεκάθαρται. ¶ Κεκοτηότι, ὠργισμένῳ, κεχολωμένῳ. ¶ Κεκράανται. ἐπιτετέλεσται. ¶ Κεκραγήσει, κραυγάσει. ¶ Κεκραγῖναι, ἄγριαι θρίδακες. ¶ Κεκραμένας, κεκαρμένας. ἢ εὐκράτους. ¶ Κέκρανται, τετέλεσται. ¶ Κεκραιπαληκώς. εὐφραινόμενος, ἢ εὐφραμμένος.

Κέκρηται, ἥρμοσται. ¶ Κεκρηότα, κεκραότα.

Κεκριμένη, διακεχωρισμένη, τεταγμένη, σαφής. εὔδηλος, ἐπίλεκτή. ¶ Κέκραγε, βοᾷ φανερῶς, διαμαρτύρεται. ¶ Κεκροπίδας, ἀθηναίους τοὺς ἀποικίας. ¶ Κεκρουμένῳ, ἐνδεεῖ καὶ οὐ πλήρει.

Κέκροψ, ἀπατεὼν, ἢ πίθηκος. ¶ Κεκρυμμένην.

Κ ατοπτρα, ἀόρατα. ¶ Καροπτρίζεται, ἐν αἰσθήσει φαντάζεται ἢ ὁρᾷ. ¶ Καρρογᾶν, ὑποφαρμάζειν.

Κ αρογῶν, πεπαλαιωμένος. ¶ Κάρρα, ἡ καταρρόα βωμὸς ἐνόδιος. ¶ Καταρρωδῶ, φοβοῦμαι, πτοοῦμαι πτήσσω. ¶ *Κατορουβὰν, ἡ ἀγρα. ¶ Καρρυχὰς, θησαυρούς. ¶ Καρρεφνᾶται, σκοτεινὴν ποιεῖ.

Κ ατορχούμενος, καταπαίζων. ¶ Καρρώρυκται, κατακέχωσται. ¶ Κατ' ὄσσων, κατ' ὀφθαλμῶν.

Κ αταχθόνιοι. νεκροί, καταγειοι.

Κ ατυλάδα, τὴν καταπλουτοῦσαν καὶ εἰργασμένην, βέλτιον δὲ, τὴν κατόλεθρον ἢ ζοφώδη καὶ συστροφὰς ἔχουσαν ἀνέμων. ¶ Κατ' οὐρὰν, κατ' ὄπισθεν. ¶ Κατουρίσας, ἀθρόως πάντα κάλων λαθεὶς καὶ μὴ διαμελλήσας. ¶ Κατοφρυωμένος, μεγαλοφρονῶν.

Κ άτοχα, τοῦ ξυπάνου τὸ κατεχόμενον. ¶ Κατόχιμοι κατεχόμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων.

Κ άροχοι, λίθοι οἱ ἐπὶ μνήμασι τιθέμενοι. καὶ οἱ ἱερεῖς ἑρμοῦ καὶ οἱ ὑπὸ νόσων κατειλημμένοι ἢ ἐνθουσιῶντες, ἢ ἔνθεοι. ¶ Καταξαγαᾶν, καταμωκήσασθαι.

Κ αξεὶς. ὄρνις ποιός. ¶ Κάξοπεν, κάταντες.

Κ αξός, κακός. ¶ Καταρρίζει, οἷον ποτηρίῳ ῥίπτει.

Κ αζάροντες, οἱ βόαγροι λάκωνες. ¶ Κατευκανάθη, ἐρράγη. ¶ Κατ|ύειν, συρράπτειν. ¶ Κατ|ύεται, συντίθεται. τὸ τῶν βυρσῶν περικόσμιον συσκευάζεται ὡς ἐκ τῶν κατ|υμάτων. ¶ Κάτ|υμα. ἀποίτη, δόλος, συσκεύασμα, δολιότης. ¶ Κατ|ὺν, ἀπόξυσμα δερματίου. ¶ Κατώδυνος, λυπηρά. ¶ Καταθίσκονες, καταβάλλοντες. ¶ Καταθούμενος, ἀναξεπόμενος. ¶ Καταδάρξας, ἐπὶ πτέρναν ἐκάθισας. ¶ Κατωκάρα, κάτω κεφαλὴν ἔχοντα

Κ αταλιγωρήσαντες, ἀμελήσαντες. ¶ Καρλιαθῶν, καταπεσών. ¶ Κατώλυξα, κατέξανα. ¶ Κατωμαδίοιο, κατὰ τοῦ ὤμου βαλλομένου. ¶ Κατωμαδὸν, κατὰ τῶν ὤμων. ¶ Κατωμιστὴς, ὁ ἀπὸ τοῦ ὤμου ῥίπτων ἐπὶ τὴν γῆν ἵππος. ¶ Κατώμοξεν. κατεσπάραξε, κατέψησεν. ¶ Κατωνάκη, ἱμάτιον ἔχον ἐκ τῶν κάτω μερῶν ῥάκος προσερραμμένον. ὅ ἐστι μηλωτή. δοκοῦσι δὲ τοῦτο ἀμφιέννυσθαι ἀθηναῖοι τῶν περὶ πεισίστρατον τυράννων ἐπαναγκασάντων, ἵνα ὑπὸ εὐτελείας μὴ κατίωσιν εἰς τὸ ἄστυ οἱ πολῖται.

Κ ατωπιάσαι, κατηφῆσαι. ¶ Κατωραΐζεται, σεμνύνεται. ¶ Κατωρὴς, κάτω ῥέπων ¶ Κατωρυξωσιν, ταφῶσιν. ¶ Κατώρυχες, κατωρυγμένοι.

Κ ατωρχήσαντο, κατεχάρησαν. ¶ Κατωτίδας, ἃ περὶ οἱ νομεῖς κατὰ τῶν ὤμων φοροῦσι δέρματα.

Κ ατωφερὴς, ὁ κάτω φερόμενος. ¶ Κατωχάνης, ὁ κάτοχος τοῦ ξυπάνου κυρίως. ¶ Κατοχεύει, πιλᾶ ἐπικάθηται. ¶ Κατώχοντο. κατέβησαν, κατήγοντο. ¶ Καυάζοντα, ἀποσκάζοντα.

Κ αυαλέον, ἢ καυαλὲς ὑπὸ αἰολέων τὸ ἄνθος, ἢ κατακεκαυμένον, κάπυρον. ξηρόν. θερμόν. ¶ Καυαλὸς, μωρολόγος. ¶ Καύαξ, λάρος. ¶ Καυάξαι, συντρίψαι. ¶ Καυχρὸν, κακὸν κάπυρον.

Κ αυκαλίας, ὄρνις ποιός. ¶ Καυκιάλης, βοτάνη τὶς ὁμοία κορίῳ καὶ ὄρνις. ¶ Καυκὸν, καυλίον, καὶ ἄγριον λάχανον. ¶ Καύκωνες, ἔθνος βάρβαρον.

Κ αυλὸς, τὸ ἄκρον τοῦ δόρατος τὸ ἀπεξυμμένον. εἰς ὃ ἐμβιβάζεται τὸ κοῖλον τοῦ δόρατος τὸ συνήθως ἐπὶ τῶν φυτῶν. ¶ Καυλίον, ὃ κατανέμονται, οἱ ἰχθύες, καὶ τὸ κιόνων μέρος. ¶ Καῦμα, κατάκαυμα. ἢ θύμα, ἢ πύρωσις. ¶ Καύμαρος ἰνδαλίμου, τὸ θερμότατον ἢ ἰδρωτοποιοῦν. ¶ Καυνάκαι, στρώματα ἢ ἐπιβόλαια ἑτερόμαλλα. ¶ Καύνιος ἔρως ἐν καύνῳ τιμᾶται καὶ ὁ σφοδρός. ¶ Καυνὸς, κακὸς, σκληρὸς, κλῆρος, καὶ πόλις ῥόδου. ¶ Καυρὸς, κακός.

Κ αύσαλις, ὁ πυρετός. ¶ Καῦσος, ἡ μέλαινα ἡ ὑπέρυθρος. ¶ Καύστριος, ποταμός. ¶ Καυστηρῆς, καυστικῆς. θερμῆς, ὀξείας, δριμείας, διαπύρου.

Κ αῦσις, ἡ ἔκφυσις τῶν σταχύων. πυροὶ ἀδρυνόμενοι καὶ χόρτος, τὸ δὲ αὐτὸ καὶ ἀμφίκαυστις καὶ ἐπώνυμον δήμητρος. κρατῖνος δὲ, ἐπὶ τοῦ μορίου ἔταξεν αὐτό. καλεῖται δὲ καὶ ἔνστρα καὶ στόμα. ¶ Καύτινα, καὶ εἰς ῥύπισμα. ¶ Καυθὴν, θυσία τὶς οὕτω καλουμένη καὶ ἐσχάρα ἐστὶν ἔνθα καίουσιν. ¶ Καυχαλίς, φλύκταινα. ¶ Καυχᾶται, κομπάζει. ¶ Καφὰ, λουτὴρ λάκωνες. ¶ Καφάσιος, μῆν.

Κ αφάζειν, γελᾶν. ¶ Καφάζοι, καγχάζοι γελᾷ.

Κ αφὰν, κηφῆν. ¶ Κάχαρις, δασύς. καὶ πλαγγὼν, καὶ χρυσαλλὶς τὸ κοροκόσμιον, ἢ χαρίζεσθαι μὴ δυναμένη, ἢ οὐκ εὔχαρις. ¶ Καχίλα, ἄνθη κύπρειοι.

Κ αχλάζει, ψοφεῖ ζύζει. ¶ Καχλαίνει, ἐκ θορύβου ταράσσει. ¶ Καχλὶς, συμβουλή. ¶ Καχλάζει, κιχλίζει. ἀθρόως γελᾷ, τετάρακται: γίνεται δὲ ἀπὸ τῶν κυμάτων, ἐπαίρεται. φλεγμαίνει. ¶ Κάχλικος, τοῦ κόχλου. ¶ Καχνάζει, καγχάζει. ¶ Καχρυδίων, πεφρυγμένων κριθῶν κυρίως. καταχρηστικῶς δὲ καὶ πάντα τὰ πεφρυγμένα καὶ βοτάνη ἡ λιβανωτίς, ἡ τῆς πεύκης ἡ βλάστησις, καὶ πυροί τινες.

Κ αταχρίσω, συγχέω, ταράξω καὶ καταχεύσω ὁμοίως.

Κ αψάκιον, γλωσσόκομον. ¶ Καψάμενος, ἐλαττώμενος ἵππου. ¶ Καψιδράκιον, εἶδος χιτωνίσκου.

Κ αψιπέδαλος, ὁ μετὰ τῶν τὰ ἄλφιτα μὴ διδόντων ἁλόμενος. ¶ Καψοὶ, οἱ ῥῖχοι.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ε.

Κ έαρος, ὄρτυξ. ¶ Κεάζω, λαχίζω, ἢ κλῶ.
¶ Κέαθοι, βοηθοί. ¶ Κέαρ, ψυχὴ διηρημένη.
¶ Κέαρνα σίδηρα τεκτονικὰ ἢ σκυτικὰ ἢ ἀξίνη.

Κ έασαι, σχίσαι, καῦσαι. ¶ Κεάσθη, ἐκλάσθη.

Κ εάσματα, κλάσματα, ῥήγματα, διαρρήγματα.

Κ εάσαι, διελεῖν συγχέαι. ¶ Κέαται, κεῖται.

Κ εβαλὴ, κεφαλή. κύλιξ. ¶ Κεβλήνη, ἡ ὀρίγανος.

Κ έβλος, κυνοκέφαλος κῆρος. ¶ Κέγχει, ἐπιδείκνει.

Κ εγχραμὶς, τὸ ἔνδον τοῦ σύκου σπερμάτιον.

Κ έγνωται, τέζωται. ¶ Κεγνῶσθαι, τεθραῦσθαι, τετρῆσθαι. ¶ Κεγχρανιπώλης, ζαγμαροπώλης.

Κ εγχρηλῶν, σπερμάτων ὁμοίων κέγχρῳ.

Κ εγχρίλης, τριόρχης. ¶ Κέγχρης, ὁ καρπός.

Κ εγχρίνη, τὸ ἐκ κέγχρου ἕψημα.

Κ εγχρὶς, ὀρνέου εἶδος. ¶ Κέγχρος, εἶδος βοτάνης καὶ σπερμάτιον μηλίνη ἐμφερές.

πικιλμένος. ¶ Κατεσόρεσι, κατέστρεψεν καὶ κα
θισόρησε, ἐθέλγετο. ¶ Κατεσφαρπάλισι, κατεπο
λέμησεν. ¶ Κατέστυγε, κατεσύγνασεν.
Κατέστυγον, κατεπλάγησαν, ἐμίσησαν. ¶ Κατεσο
γμμένως μεμισημένως. ¶ Κατέστειψεν, ἐσώρευσεν.
Κατεσφηκωμένον, περιεχόμενον. ¶ Κατεσφήκων
ται. καθήλωνται. ¶ Κατεσφραγίσθη, ἀπεκλεί
σθη, ἐσφραγίσθη. ¶ Κατέσχετο, κατῆλθε, περιεκρά
τησε. ¶ Κατεθήπεσαν, ἐθαύμαζον. ¶ Κατέ
ταςτον, κατεκοιμήθησαν. ¶ Κατετρίτουν, κατεῖ
χεν. ¶ Κατετλάτο, κατερλαμᾶν. ¶ Κατετυμ
βοχόησε, ἔθαψε. ¶ Καταῦτυξ, γένος περικεφα
λαίας. ¶ Κατευγμάτων, κατευχῶν. ¶ Κατευ
θικτήσεις, ἀψάμενος. ¶ Κατ' εὐθύ, κατ' εὐθεῖαν.
Κατευθυνομένη, διοικουμένη. ¶ Κατευκτὸν, τὸ ἐπί
τινι εὐχῇ ὑπόσχεσιν. ¶ Κατευμαρίζοντων, εὐχε
ρίζοντων, καθισώντων. ¶ Κατευμεγεθῶν, κατα
δυναστευόντων, ὑπερβαλλόντων νικῶν. ¶ Κατευμεγέθειεν,
καταδυναστεύσειεν. ¶ Κατευνάζει, κοιμίζει.
Κατευνάζεσθαι, κοιμίζεσθαι. πραΰνεσθαι. ¶ Κατεύ
ξασθαι, κατά τινος εὔξασθαι. ¶ Κατευρύνεται, με
γαλύνεται, πλατύνεται. ¶ Κατευρίσκω, κωλύω.
Κατεύχομαι, καταρῶμαι. ¶ Κατεύχου, κατα
ρῶ. ¶ Κατεφοίνιξας, ἔβαψας.
Κατέφυ, ἐγεννήθη. ¶ Κατεφωράθη. ἠλέγχθη.
Κατεφωρᾶτο, ἠλέγχετο. ¶ Κατέχειν, κρατεῖν, κω
λύειν, συνέχειν. ¶ Κατεχειροῦτο, ἐνίκα, ὑπέταττεν.
Κατέσχεθη, θεοφορεῖσθαι: ¶ Κατέχευε, κατέβαλεν:
Κατέθηκεν, ἥπλωσεν. ¶ Κατεχθραίνοντα, μισοῦν
τα. ¶ Κατεχμάσεως, καταχέων. ¶ Κατέχμα
σον, καταφόνευσον. ¶ Καταιονεῖσθαι, καταντλᾶσθαι
Καταιονεῖ, καταντλεῖ. ¶ Καταιόνηται. κατέχευε,
διεξάζοιμην ὅπλωσιν. ἐπέβαλεν. ἐπέθετο, κατέρρι
ψεν. ¶ Καταβολή. τὸ ἐπιβάλλον εὐεπίδης τιμέ
νῳ καὶ πλιάσιν. καὶ ἡ τοῦ πυρετοῦ περίοδος καὶ ὁρμή. ἡ
μερίς, καὶ ἰδίᾳ νόσος, καὶ τέλος τῶν χρεῶν. τὸ καθῆ
κον. θυσία. τελετή. τὰ νομιζόμενα. λέγεται δὲ οὕ
τως. ¶ Κατηκάσατο, κατηγυίσαν.
Κατηγλαϊσμένα, κατακεκοσμημένα. ¶ Κατηγορη
κότα, κατειπόντα. ¶ Κατῄδα, καταβεβρεγμένα.
Κατῄδεσεν αὐτόν, αἰσχυνθῆναι ἐποίησεν αὐτόν.
Κατηθαλωμένη. τεφρωθεῖσα. ¶ Κατηδεῖτην, κα
θωμιλησάτην. ¶ Κατείθηκα. κατέθηκα.
Κατῄκιζον, ὕβριζον. ἔξεον. ¶ Κατῃκισμένοις, βασα
νισθέντας, ὑβρισμένους. ¶ Κατῃκίσατε, εἰς τὸ σῶ
μα ὑβρίσατε. ¶ Κατῄκισται, αἰκία ἡ βλάβη συνέ
χεται. ¶ Κατηλαζονεύετο, κατεπαίρετο αὐτοῦ.
Κατῆλιψ, μεσόδμη, μεσότοιχον δοκός, ὁ ὑπό τινος
βαστάζουσα τὸν ὄροφον. οἱ δὲ, ἰκρίωμα τὸ ἐν τῷ οἴκῳ
ὃ καὶ βέλτιον. ¶ Καθηλέτης, ἐπήκοος: ¶ Κατή
λυσις, κατέλευσις. ¶ Κατηλέπουντα, φροντίδας
ποιοῦντα. ¶ Κατηλόκισται, κατέτειπται. ¶ Κα
τημαξευμένα, κοινά, καταπεπατημένα, κατατετριμ
μένα. ¶ Κατημελῶς. κατήκοος. ¶ Κατήμασ
σον, κατέξυον. κατεσπάραττον. ¶ Κατημύχθη, ἐσπα
ράχθη. ¶ Κατήναρε, κατέκτεινε. ¶ Κατηνδρισμένα

ἀπολωλότα. ἐκδεδαρμένα. ἐσκυλευμένα. σοφοκλῆς
αἴαντι μαστιγοφόρῳ. ¶ Κατηνδράφυξας, κατέκτει
νας. ¶ Κατήνοκα, κατενήνοχα. ¶ Κατηρτιβόλουν,
παρεκάλουν. ¶ Κατήνυσεν, ἀνάλωσεν. ¶ Κατη
πιῶντο, κατεπραΰνοντο. ¶ Κατηπιόωντο, ὁμοίως.
Κατήραμεν, ἤλθομεν. ¶ Κατηρειμμένος, πεπτωκὼς
καμπτόμενος. ¶ Κατηρειγμένος, κατηπειγμένος.
κατεστιγμένος. ¶ Κατηρείπετο, προσεκυνήθη.
Κατηρεφέας, καταστέγους. ¶ Κατηρεφές. κατεστεγα
σμένον κυρίως δὲ ἐπὶ τῶν ταπεινοστεγῶν κατηρε
φέας. οἱ δὲ πέτρας. ¶ Κατηρεφέστερον, κατεστεγα
σμένον μᾶλλον. ¶ Κατήρη, κρεμαμένην.
Κατηρείκοντο, κατεσχίζοντο. ¶ Κατήρειξαν, ἀνήλω
σαν. ¶ Κατήρυτον, κεκαλυμμένον καὶ κατεχόμενον
Κατήρτισας, κατέπαυσας, πέπληκας. ¶ Κατηρτίσω,
ἐποίησας, ἐτελείωσας. ¶ Κατήροσας, ἐφύτευσας.
ἐγέννησας. ¶ Κατῆρξε, συνέκλεισεν. ¶ Κατηρ
τυκώς. τελείως. κυρίως δὲ ἐπὶ τῶν ἀλόγων ζώων. ὁ
ταν ἐκβάλῃ πάντας τοὺς ὀδόντας. ¶ Κατήρυδες,
αἱ βρίθουσαι καὶ καταρρέουσαι ἄμπελοι. λέγει δὲ τὰς
χρυσᾶς ἀμπέλους πρόσσω οὐκ ἐκλαδεύον.
Κατῆσαι, κατακλῖναι, καθομιλῆσαι. ¶ Κατησά
την, κατεκοιλησάτην, καθομιλησάτην. ¶ Κατη
φέα, κατηφῆ σύννα. ¶ Κατήφεια, συννότης. ὄνει
δος. αἰσχύνη, αἰδώς, αὐδία. ¶ Κατήφησας, κατηνία
σας. ¶ Κατηφήσας, κατανιαθείς. ¶ Κατηφίη.
αἰσχύνη, συννότης. ¶ Κατηφόνες, κατάχυροι κα
τηφείας ἄξια πράττοντες. ¶ Κατηχίζειν, νουθε
Ἱέζεο, ἐκαθέζου. ¶ Ἴελος, ὁ τῶν ἐντέρων ταραγμός. ¶ Ἵεμαι, προθυμοῦμαι. βούλομαι. ὁρμῶ, τὰ αὐτὰ καὶ ἱεμένη. ¶ Ἱεμένοιο, καὶ τοῦ προθυμουμένη, ὁρμωμένη, καθημένη. ¶ Ἴεν ἦ ἕξειν ὑπάρχοιεν ἦσαν. ¶ Ἱέναι, πορευθῆναι. ¶ Ἱέντα, πέμποντα. ¶ Ἰεινὰ πεφυκά. Ἵενται, ὁρμῶσιν. ¶ Ἰαίνεσθαι, εὐφραίνεσθαι. ¶ Ἱέντας, ἀφιέντας, ἐξάγοντας, ἀκοντίζοντας, ἢ παραγινομένους.
Ἱερὰ, θυσία, κειμήλια ἢ σκηνὴ ἐν τῇ εἰς ἐλευσῖν' ἀγούσῃ ὁδῷ. ¶ Ἱεράγγελοι, θεωροὶ ἀγγέλλοντες τὰς πανηγύρεις. ¶ Ἱεράθυτα, ἅγια ἐπιθύματα μηρία καὶ ὅμοια θυσίας θύματα. ¶ Ἱεραὶ, ἄρχουσαι.
Ἱεράμοιβοι προφῆται θεῶν. ¶ Ἱερὰ νόσος ἐπιληψία. ¶ Ἱεραοιδὸς. ποιητής. ¶ Ἱερὰ πλῆθος ἡ δημότης. ¶ Ἱέρας, σημεῖον. ¶ Ἱεράς, ἁγίας.
Ἱερᾶσθαι, ἱερουργεῖν καὶ τὸ ἱερωσύνην ἔχειν.
Ἱεροσκοπεῖ, ἱερᾶται. ¶ Ἱερεῖα, θύματα, ἱερεῖα, ἅγια ἢ οὐ θέμις ἱέναι πρὸς ἄνδρα παρθένον.
Ἱερείαν, θυσίαν θῦμα. ¶ Ἱερεῖον, πᾶν τὸ θυόμενον θεῷ. ¶ Ἱερείτην, καθαρμοῦ δεομένην, ἱκέτην, αἰχύλος ἰξίωνι. ¶ Ἱερεῖα. ἁπαλά. ¶ Ἱερεύει, σφάζει. ¶ Ἱερεὺς, ὁ διὰ θυσιῶν μαντευόμενος.
Ἱερεῦσαι, θυσιάσαι. ¶ Ἱερεὺς διονύσου, εὔπολις αἰξὶν, ἰαπόνικον σκώπτων ὡς ἐρυθρὸν τῇ ὄψει.
Ἱέρευσεν, ἔθυσεν, ἐθυσίασεν. ¶ Ἱερῶσαι, ἀφιερῶσαι θεῷ. ¶ Ἱερὴ μεγάλη ἀγαθή. ¶ Ἱέρηα, ἱερέα.
Ἱερὴ ἲς τηλεμάχοιο, ὁ τηλέμαχος, εἴρηται δὲ περιφραστικῶς. ¶ Ἱερὴν, ἱερὰν μεγάλην. ¶ Ἱερεῖον, κώδιον. ¶ Ἱερῆες, ἱερεῖς. ¶ Ἱεροῖς, θείοις. ¶ Ἱεροκόμας, ὁ τῶν ἱερῶν ἐπιμελούμενος. ¶ Ἱεροῖο δόμοιο, ναοῦ μεγάλου οἴκου. ¶ Ἱερομηνία, ἑορτάσιμος ἡμέρα. ¶ Ἱερὰ, ἑορτὴ κατὰ μῆνα. ¶ Ἱερόλας, ἱστορεῖ σοφοκλῆς αἰχμαλώτοις, ὡς τὸ ἔθν γέροντας γεροιδὰν, ἢ γεροῦντα λέγει. ¶ Ἱερομνήματα, ὀχυρώματα. ¶ Ἱερομνήμονες, οἱ πεμπόμενοι εἰς πυλαίαν ἱερογραμματεῖς. ¶ Ἱερομύστοις, ἱερὰ μαντευομένοις. ¶ Ἱερὸν, ἔνυγρον, ἀγαθὸν, μέγα ὅσιον. καὶ ναός. ¶ Ἱερὸν ἡ συμβουλὴ, παροιμία ἐπὶ τοῦ ὅτι δεῖ καθαρῶς συμβουλεύειν.
Ἱερὸς ἰχθῦς, τὸν μέγαν καὶ ἄνθον λέγει, ἱερὸν δὲ τὰ μέγα. ¶ Ἱερὸν ὀστοῦν, τὸ ἐν τῷ στόματι ἡμῶν μετὰ τοῦ σπονδύλου κείμενον. ¶ Ἱερὸν μένος ἀλκινόοιο, ὁ ἀλκίνοος. ¶ Ἱεροποιοὶ, ἐπιμήνιοι. ¶ Ἱερὸν πόλεμον, ὃν ἐπολέμησαν λακεδαιμόνιοι πρὸς φωκέας ὑπὲρ τοῦ ἐν δελφοῖς ἱεροῦ. ἐβοήθησαν δὲ φωκεῦσιν ἀθηναῖοι καὶ παρέδωσαν τὸ ἱερόν. ¶ Ἱεροπρεπῶς, θεοπρεπῶς. ¶ Ἱέασα. γεγονῆα ἐνδελῆ καθ' ὑπόκειται
Ἱερὸς, σεμνὸς ἥμερος ἀγαθός.
Ἱερὸς ἀκτή. ἄλφιτα. ¶ Ἱερὸς γάμος, ἑορτὴ διὸς καὶ ἥρας. ¶ Ἱερὸς λόχος, ἐν τοῖς τακτικοῖς ἡ πρώτη ἀπολοχία. ¶ Ἱερόσυλος, τὰ ἱερὰ κλέπτων.
Ἱεροσυλημάτων, τῶν κλοπῶν τοῦ ἱεροῦ. ¶ Ἱερώτερος, θειότερος, ἅγιος. ¶ Ἱερουργεῖ, θύει ἱερὰ ἐργάζε

Ἴαμβοι, θάμνοι, κοῖται, νόμοι. ¶ Ἴαννα, τὰ βαλλόμενα ἀπὸ τῆς ἰέναι. ¶ Ἰάνθη. ἐχάρη. διεχύθη. εὐφράνθη. ¶ Ἰάνθην, ἰάνθης, τὰ αὐτά. ¶ Ἴανθον, ἄνθος καὶ χρώματι πορφυροειδές. ¶ Ἴαννα, ἐν μὲν αἰχμαλωτίσι σοφοκλέους ἀπὸ διαπερὶ ἑλληνικῆς ἐπεὶ ἴαννας τοὺς ἕλληνας λέγουσιν, ἐν δὲ τριπτολέμῳ ὡς γυναικὸς ὡς καὶ ἐν ποιμέσι. τινὲς δὲ τὴν ἑλένην. ἐπειδὴ κῶς δὲ οἱ βάρβαροι τοὺς ἕλληνας ἴωνας λέγουσιν, ἐν δὲ τρωΐλῳ, βάρβαρον θρήνημα τὸ ἰαῦ, ἢ ὄνομα γυναικός.

Ἰανοκρήδεμνος, ἰοῖς ὅμοιον τὸ ἐπικράνισμα. ¶ Ἰανόκροκα, λεπτά. ¶ Ἴανον, ἱμάτιον. ¶ Ἰαξάρτης, βοτάναι ποταμοῦ. ἔστι δὲ τῆς σκυθίας ἐμπίπτων εἰς μαιῶτιν λίμνην. ¶ Ἴωνες, ἀθηναῖοι, οἱ ἴωνες ἀπὸ ἴωνος, καὶ οἱ ἄποικοι αὐτῶν. ἔνιοι καὶ τοὺς θρᾶκας καὶ ἀχαιοὺς, καὶ βοιωτοὺς ἕλληνας.

Ἰάπερος, ἰωθὶ δασυνομῶ πρεσβύτερος ἀρχαῖος.

Ἰάπτειν, σπαράσσειν, αἰκίζεσθαι, βοᾶν, βλάπτειν.

Ἰάπτεις, βλάπτεις. ¶ Ἰάπυξ, ἄνεμος ἐλαφρός.

Ἴαρ, αἷμα ἢ μοῖρα. ¶ Ἰάκωβος ἀλφαίου ὁ καὶ θαλλαῖος. καὶ λευὶ παρὰ τῷ μάρκῳ. παρὰ δὲ τῷ ματθαίῳ λεββαῖος. παρὰ δὲ λουκᾷ ἰούδας ἰακώβου.

Ἰαροῦς, ἐπιστρέφων. ¶ Ἰάραξ, ἰχθύς ποιὸς διακοσμικώτερον, διὰ τὸ ἐοικέναι τῷ λύκῳ, καὶ λύχνος ὁ πρὸς τὰ ἱερά. ¶ Ἰάρδανος, ποταμὸς ἐν πελοποννήσῳ, ἢ ἀρκαδίας ἢ ἠλείας. παραρρέων τὴν πυλίων χώραν. ¶ Ἰάρειον, περίβαρυ βιοῦς.

Ἰαριγμὸν, χαρὰν καὶ θρουν κριτέον. ¶ Ἰαροπότης, αἱμοπότης. ¶ Ἰαροχείαν, τὴν ὀσφῦν ἰταλοί. ¶ Ἰαρόχειρ, καθαρὸς, θύσιμος.

Ἰαρπέλαμος, ἀκρόχειρος. ¶ Ἰάρωμα, κοσμάκειον. παιδικόν. μηνίσκοι καὶ τὰ τοιαῦτα.

Ἰάσκων, ἀφελόμενος. ¶ Ἰάσμα, δυνατὰ λαβεῖν ἴασιν. ¶ Ἴασιν, οἴχονται. ¶ Ἴασις, θεραπεία, γνῶσις. ¶ Ἰάσκειν, ἄγειν. ¶ Ἴασον ἄργος, ἡ πελοπόννησος ἀπὸ ἰάσου βασιλέως. καὶ ἡ ἀχαΐα.

Ἰάσπιδος, εἶδος λίθου ἢ ἰάσπις. ¶ Ἰασσῆν, θυμοῦσθαι δάκνειν. ¶ Ἰασί, ἑλληνιστί. ¶ Ἰασώ, παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ ἀριστοφάνης καὶ ἀμφιαράου θυγατέρα εἶναι ἰασώ. ¶ Ἰαρί, θεραπεῖαι.

Ἰατταταὶ, φεῦ. ¶ Ἰᾶται, θεραπεύει. ¶ Ἴαζαμεθοὶ θεραπείας. ¶ Ἰαζοί, νύμφαι τινὲς καλοῦνται καὶ πολλὴ ἰατρείαν θεράποντες. ¶ Ἰαζός, θεραπευτὴς ἢ ἐφαπτὶς, ἢ ἥρως ἀθήνησιν ἀρχαῖος. καὶ ὁ ἀπόλλων. ¶ Ἰαύει, κοιμᾶται. ¶ Ἰαυθμοὶ, ὅπου τὰ κτήνη αὐλίζεται καὶ κοίτη καὶ ὕπνος. ¶ Ἰαύειν, ἀναστρέφεσθαι. κοιμᾶσθαι, διατρίβειν, νυκτερεύειν.

Ἴαυον, ἐκοιμῶντο ἢ ἐκοιμώμην. ¶ Ἰαύεσκον, ἀνεπαύοντο, ηὐλίζοντο. ¶ Ἴαυσος, κοίτη ἀπὸ τοῦ ἰαύειν.

Ἰαύων, κοιμώμενος, διάγων, διατρίβων. ¶ Ἰαφθείς, φθαρείς. ¶ Ἰαφθῆναι, ἀποθανεῖν, πεσεῖν, φθαρῆναι.

Ἴαχε, φώνει, ψόφει, ἤχιζε. ¶ Ἰάχιον, σαλπιγκτὸν στεπτόν. ¶ Ἴαχεν, ἤχησεν, ἐβόησεν, ἐκραύγασεν.

Ἰαχεῖτω. θρηνείτω. ¶ Ἰαχεῖν. εὐδαιμονεῖν. ¶ Ἰάψαι φθεῖραι. ¶ Ἰάψειεν, προβάλοιεν, φθείρειεν.

Ἴαψε, προύθηκεν. ¶ Ἰαχῆς, φωνῆς, βοῆς, κραυγῆς

Ἴαψεν, ἔπεμψεν, ἔβαλεν, ἔδωκεν, ἔλειπεν, ἔφθειρεν, ἐνόκησεν. ¶ Ἰάψεται, νικήσει. βλάψει.

Ἰαωλκός, πόλις θεσσαλίας.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Β.

Ἴβα, σιώπα. ¶ Ἰβανεῖ, ἀντλεῖ. ¶ Ἰβανάζις, χοινίον ἡμίτεκον. ¶ Ἰβάνη, κάδος ἀντλήτειον. ¶ Ἴβανον, κάδον, σαμνίον, χαλκίον. ¶ Ἴβηνα, τὸν οἶνον κρῆτες, οἱ δὲ, βηλᾶ.

Ἴβην, σορόν. ¶ Ἰβάρβιον, χαλεπὸν, ἀνυπόστατον.

Ἴβηναι, σοροί. θῆκαι ὀστράκιναι, κιβωτοί, ἐνθυμοὶ, νεκροί. ¶ Ἴβηνος, πλησμονή. ¶ Ἴβηρ, χερσαῖόν τι θηρίον, ἀφ' οὗ καὶ ἴβηρες. ¶ Ἰβίβυος, παιανισμός. ¶ Ἰβηκτὴρ, ὁ παρὰ κρησὶν, ἴβειος. ἐμβατήριον ποιησάμενος ὁ περὶ ὀίσδων οὕτω καλεῖται.

Ἴβινος, ἀετός. ¶ Ἰβρίκαλοι, χοῖροι. ¶ Ἴβει, τινὲς τὸ βοᾶν. οἱ δὲ, τὸ πολύ. ἔστι δὲ λυδιῶν.

Ἰβυδῶσι, τοὺς εὐφημοῦντας. ἴβυς γὰρ ἡ εὐφημία.

Ἰβύει, τύπτει βοᾶ. ¶ Ἰβύκη, εὐφημία. ¶ Ἰβυκῆσαι, ἐπευφημῆσαι, βοῆσαι. ¶ Ἰβυκινήσαντες, ἀπὸ τοῦ ἴβυ παρῆκται ἡ λέξις, ὃ ἐστιν ἰωνικὸν ἐπίρρημα καὶ δηλοῖ τὸ πολὺ ὃ μέγα. τινὲς δὲ τὸ βοᾶν. οἱ δὲ, τύπτειν. οἱ δὲ εὐφημεῖν. οἱ δὲ δηλοῦν. ἔστι δὲ ὃ ὅρκος ἰωνικός. ¶ Ἰβύηχε. σεμνότης ἢ σωρὸς κρεῶν.

Ἴβυξ, ὀρνέου εἶδος, καὶ ἶβις. ¶ Ἴβυς, εὐφημία, στιγμή.

Ἰβῶν, εὐφημῶν, στάζων. ¶ Ἴγα, σιώπα κύπριοι.

Ἴγγια, εἰς. πάθαι. ¶ Ἴυγγι τινί. ἐπιθυμίᾳ τινὶ ἑλκομένη. ¶ Ἴγδην, ἄρσην. ¶ Ἴγδη, θυεία.

Ἴγδολης, ὁ ὑπὸ μέρη γεωργῶν ἢ ἰκμαλός. ¶ Ἴγκρος ἐγκέφαλος. ¶ Ἰγμαλέον, ὑγρὸν, δίυγρον.

Ἰγνὴ, βοή. ¶ Ἴγνητες, οὕτως ὠνομάζοντο, οἱ μετὰ τοὺς τελχῖνας ἐποικήσαντες τὴν ῥόδον. ¶ Ἰγνύα, ψυχὴ, ἢ τὸ τοῦ γόνατος ὄπισθεν μέρος. ¶ Ἰγνύει, καὶ ἰγνύην τὸ αὐτό. ἤγουν τὸ ἀντικνήμιον. ¶ Ἴγνυνται, ἤναίοντο. ¶ Ἴγνην, ἄρσην. ¶ Ἴδεων, τὸ εἰκέναι ἐν τῷ ἀστραγαλίζειν. ¶ Ἴδα, μάχη. ¶ Ἰδαία. ἡ ἀνδύμη ἀπὸ τῆς ἴδης. ¶ Ἰδαῖοι, δάκτυλοι, οἱ μὲν ἀπὸ τῆς φρυγίας. οἱ δὲ ἀπὸ τῆς κρητικῆς αὐτοὺς ὠνομάσθαι φασὶν ἴδης. ¶ Ἰδαῖος, ἐπιθετικῶς οὕτως ἐλέγετο ζεὺς, ἀπὸ ἴδης τοῦ ὄρους τρωϊκῆς. καὶ κύριον ὄνομα τοῦ τρώων κήρυκος. καὶ τοῦ δάρητος τοῦ ἱερέως τοῦ ἡφαίστου υἱοῦ. ¶ Ἰνδάλιμον, εὐειδές.

Ἰνδάλιμον καῦμα, τὸ ἱδρωτοποιόν. ¶ Ἰδάλιμος, ὄρνις ποιός. ¶ Ἰνδάλλεται, φαίνεται.

Ἴδαλτα, ἴδια τινά. ¶ Ἰδάνη, ξυφορά. εὐπρεπῆ.

Ἰδανὸν, εὐειδές, ὃ τὸ ἡδύοσμον, ὃ ἀχίλλειον ῥιζίον.

Ἴδαρ, βρῶμα. ¶ Ἰδάρνας, ὁ ἐκτομίας. οἱ δὲ, βάρβαρον, οἱ δὲ μάντεως ὄνομα, οἱ δὲ, πόλιν τῆς καρίας εἶναι ἰδάρνην, καὶ ἀπὸ ταύτης τοὺς μάντεις λέγεσθαι.

Ἴδας, εἶδος καὶ πάντα τὰ ὑψηλά.

Ἴδε, ἰδοὺ ἑκάστοτε. ¶ Ἰδέα, ἡ ὁμοιότης, μορφὴ. εἶδος καὶ τὸ ἐλάχιστον σῶμα θεωρία. ¶ Ἰδὲ, ἀντὶ τοῦ ὅπως. καὶ συνδεσμος ἴσος τῷ καί. ¶ Ἰδίαρος καλὸς αὐτοῦ σκελός. ¶ Ἴδεν. ἐθεώρησεν.

Ἴδιος, πνῖγος. ¶ Ἰδίεννοι. αἱ σύνευνοι.

Ἴδιπῦρ ἀφύη, ἀπρομία, τάττεται δὲ ἰωθὶ τῶν δεύτερος λαμβανόντων. ἐπεὶ δὲ καὶ τὴν ἀφύην τάχιστα ψε

σαι. ¶ Θύψαντα, πῦρ ἅψαντα. ¶ Θυώδεα, εὐώδη ἢ εὔοσμα. θυμιάματος ὀσμὴν ἔχοντα. ¶ Θυῶεν, εὐῶδες. ¶ Θύωμα, μύρον ἄρωμα. ¶ Θύων, σπένδων. θυσιάζων. ¶ Θυωθὶς, εὐωχηθίς. ¶ Θυώνη, ἡ σεμέλη. ¶ Θυωνίδας, ὁ διόνυσος παρὰ ῥοδίοις τοῖς συκίνοις φάλητας. ¶ Θυωρεῖσθαι, θυωθῆσθαι, εὐωχεῖσθαι. ¶ Θυρωρείτης, ζαπζίτης.

Θυωρὸν, ζάπεζαν, τὴν τὰ θύη φυλάττουσαν καὶ τοὺς ἱερεῖς καὶ μυρεψοὺς οὕτω. ¶ Θωμᾶς, ἄβυσσος ἢ δίδυμος. ¶ Θῶας, ταχείας ζημίας. θῶρας δὲ ὑαίνης καὶ λύκου γινομένοις. ¶ Θῶες, ὀρεσφιν, θηρία μικρὰ ἐν τοῖς ὄρεσι. ¶ Θωὴ, ζημία, βλάβη, ὅθεν ὁ ἀζήμιος ἀθῶος. ¶ Θωθῆναι, φαγεῖν, γεύσασθαι.

Θωκεῖ, κάθηται, ὁμιλεῖ. ¶ Θῶκος, καθέδρα, θρόνος. σύλλογος. ¶ Θῶμα. θαῦμα.

Θωμένοις, θοινωμένοις, εὐωχουμένοις

Θωμεῦσαι, συμμίξαι, συντάγειν. ¶ Θώμιγξ, λεπτὸν σχοινίον. ¶ Θώμιγγες, δεσμοί, ὁρμιαί. σχοινία. χορδαί. σπαρτία κανάβινα. ¶ Θῶμις, ὁ ἱκανῶς. ¶ Θωμίασει, νύσσει. δεσμεύει.

Θώμισον, σύμμιξον. ¶ Θωμιχθεὶς, μαστιχθείς.

Θωμὸς, σωρὸς σταχύων ἢ κορμός. ¶ Θῶνται, θοινῶνται, εὐωχοῦνται, εὐθυνοῦνται. ¶ Θῶξαι, μεθύσαι. πληρῶσαι, θηριωδῶς βοῆσαι. ¶ Θωὸς, ὄρνις ποιός. ¶ Θῶπες, κόλακες, εἴρωνες. ¶ Θωπικός, κολακευτικός. ¶ Θωπεία, κολακεία. ¶ Θώπτει, σκώπτει, θεραπεύει. ¶ Θωρηκτάων, ὁπλιτῶν.

Θώραξ, ὅπλον, πύργος, χιτών. στῆθος. σῶμα. λωρίκιον, σφραγιδοφύλαξ, καὶ ἕτερα σήμματα καὶ τὸ στῆθος ὑμῶν. ¶ Θώρηκες, τὰ αὐτά. ¶ Θώρηκος, γύαλον περιφραστικῶς τὸν θώρακα. τινὲς δὲ τὸ κοῖλον τοῦ θώρακος, ἢ τὸ κύρτος. γύαλον δὲ λέγεται τὸ ποικίλον. ¶ Θωρηκτῆσι, τεθωρακισμένοις. ζητοῦσι δὲ πῶς πληγέντος κατὰ τοῦ ὤμου τοῦ διομήδους, φησὶ θώρηκος γύαλον. πρὸς οὓς λεκτέον ὅτι πᾶν τὸ ποικίλον γύαλον λέγεται. τὸ δὲ θώρηκος γύαλον. οἱ δὲ, ἁλυσιδωτοὶ ἢ λεπιδωτοί. ἀνάγκη γὰρ τοὺς λεπιδωτοὺς καὶ κοίλους λέγειν, τὸν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα θαῦμα ἰδέσθαι. ¶ Θωρηκτῆσι, τεθωρακισμένοις.

Θώρηξις, οἰνοποσία, καὶ θώρηξις, καθόπλισις.

Θωρήσσεσθαι. καθοπλίζεσθαι ἀπὸ μέρους τοῦ θώρακος. μάχεσθαι, ἐριμάζεσθαι. ¶ Θωρηχθῆναι, καθοπλισθῆναι. ¶ Θωρηκίων, οὗτος τελώνης ἦν.

Θὼς, εἶδος θηρίου λύκῳ ὅμοιον. ¶ Θώσεσθαι, εὐωχηθῆναι, μεθυσθῆναι. ¶ Θῶσθαι, δύνασθαι.

Θωνᾶσθαι, εὐωχεῖσθαι, αἰσχύλος δικτυουλκοῖς

Θωστήρια, εὐωχητήρια καὶ ὄνομα,

Θωπάζει, ἐμπαίζει. χλευάζει.

Θῶται, εὐθύνεται, θωᾶται. ζέχει.

Θωΰσσειν, βοᾶν, μέλπειν, κηρύσσειν. θηριωδῶς ὁρμᾶν.

Θωχθεὶς, θωρηχθείς. μεθυσθεὶς, σοφοκλῆς διονυσίᾳ

Θὼψ, κόλαξ. ὁ μετὰ θαυμασμοῦ ἐγκωμιαστής. (κφ.

Θώψεις, θωπεύσεις, αἰσχύλος σισύφῳ, πέτρα κολιαθίς. ¶ Θωὼν. εἶδος θηρίου ὡς λύκος

ΑΡΧΗ ΤΟΥ Ι ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Α.

Ἴα, μία καὶ μόνη ἐστὶν αὕτη ἐστὶ φωνὴ καὶ βοή. ἐστὶ τὰ ἄνθη τὰ πορφυροειδῆ. ἢ βέλη. ¶ Ἴα, δασυνόμενον, τὸ ἄλφα. καὶ ὀξυνόμενον τὸν θεὸν σημαίνει καθ' ἑβραίους. ¶ Ἰάκωβος, πτερνιστής, πόνος. καὶ ἰωάννης καὶ ἰάκωβος, βοανεργὲς ἐκαλοῦντο, ὅ ἐστιν υἱοὶ βροντῆς. ¶ Ἰακὰρ, κύων ἀστήρ. ¶ Ἰάλλ, καθιὼλδ

Ἰάλδος. στρεβλός. ¶ Ἰαειδοῦς, ἄνθος βοτάνης.

Ἴειρε, πρόσφορε. ¶ Ἰάζθο, ἴδρυε. ¶ Ἰαζὴν, ἰσχύς. ¶ Ἰακλητὶ, πλευρά. ¶ Ἰακθίρει, διατρεῖ ἐπί τινι. κακῶς ἠκῶσι. ¶ Ἴαθος, πρόθυμος.

Ἰαθμὸς, κοίτη. ὕπνος. καὶ ὅπου τὰ κτήνη κοιμᾶται, καὶ αὐλὸς, οἱ δὲ αὐθμός. ¶ Ἰαίνεσθαι, διαχεῖσθαι.

Ἰαίνεται, χολοῦται, ἐπικραίνεται, παρὰ τὸ ἰὸν, φρύνιχος αἰγυπτίοις. ¶ Ἰαίνομαι, εὐφραίνομαι.

Ἰαιφόνος, μιαιφόνος. ¶ Ἰακαῖς, βοαῖς.

Ἰάκχα, στεφάνωμα εὐῶδες ἐν σικυῶνι. ¶ Ἰακχάζει, φυλλολογεῖ. καταβοᾷ. ¶ Ἴακχον, τὸν διόνυσον, ἢ μίαν ἡμέραν τῶν μυστηρίων ἐν ᾗ τὸν ἴακχον ἐξάγουσι καὶ ἡ ᾠδὴ ἣν οἱ μεμυημένοι ᾄδουσι. ἐστὶ ἥρως, καὶ ναὸς ἐν τῇ ἀττικῇ. καὶ ἄγαλμα, τινὲς δὲ καὶ αὐτὸν τὸν διόνυσον οὕτως ἔλεγον. ¶ Ἰάλαι, εὑρεῖν ἐντυχεῖν πέμψαι. ¶ Ἰάλασι, δεσμοῖς. ¶ Ἰαλεμίζειν, θρηνεῖν. ¶ Ἰάλεμοι, θρῆνοι, ὀρφανοί, στερόμενοι. θρηνητικοί, ἄνανδροι. δυστυχεῖς. ¶ Ἰάλεμος, υἱὸς καλλιόπης, καὶ ὁ κακοδαίμων ἐστὶ ὁ καλὸς καὶ ὁ στερόμενος ἐστὶ ὀρφανός. ἔνιοι δὲ, οὐδενὸς ἄξιος, ὡς ἰάλεμος χρόα. οἱ δὲ, οὐδενὸς ἀξία. ¶ Ἰαλέμου ᾠδὴ, ψυχρὰ οὐδενὸς ἀξία. καὶ παροιμία ψυχρότερος καὶ οἰκτρότερος ἰαλέμου. ¶ Ἰαλέμων, θρηνῶν. δυστήνων, ἀθλίων. ¶ Ἰαλία, φωνὴ κρητῶν. ¶ Ἰάλιον, ἐρέβινθον, ἢ τὴν θάλασσαν κρῆτες. ¶ Ἰαλλὶς, χεὼν ἐθνικῶς. ¶ Ἴαλλε, πρόπεμπε. ¶ Ἰαλλεῖ, παρέχει. ἐκτείνει, πέμπει, ἐπιβάλλει. εὑρίσκει. δίδωσι.

Ἰάλλοις, ἐμβάλλοις. πέμποις. ¶ Ἴαλλον, ἔπεμπον, ἐκτείνον, διέτεινον. ¶ Ἰάλοι, θάλαμοι.

Ἰαλύσια, τὰ ἐν ἰαλύσῳ νομίσματα. ¶ Ἰάλλω, προπέμπω. ¶ Ἴαμα, θεραπεία. ¶ Ἰαμβαυλεῖν, τὸ δι' αὐτοῦ παριαμβίζειν ἐν τῇ κιθάρᾳ καὶ ᾠδῇ.

Ἰάμβη, γυνή τις ἐφ' ᾗ ἡ δημήτηρ ἐγέλασε πενθοῦσα, ἀφ' ἧς ἰαμβίζειν. ¶ Ἰαμβίζειν, τὸ λοιδορεῖν, κακολογεῖν ἀπὸ ἰάμβου τῶν λοιδόρων.

Ἰάμβυλος, λοιδορητικός. ¶ Ἰαμβὶς, αἰσχύλος θεωροῖς ἢ ἰσθμιασταῖς τοῖς κιθαρίζουσιν ὁ αὐλὸς συνῇδε καὶ αἱ τοιαῦται κιθαρίσεις, ἐλέγοντο παριαμβίδες.

Ἴαμβοι, ῥυθμοί τινες καὶ μέλη ἐστὶ δάκτυλοι καὶ στίχοι. εἶδος ποιήματος. ¶ Ἴαμβος. ὄνομα πόλεως περὶ φοινίκην. ¶ Ἰαμβύκαι, ὄργανα μουσικὰ ἐν οἷς τοὺς ἰάμβους ᾖδον. ἡ δὲ σαμβύκη, ἕτερον ὅ τε εὑρημένον. ¶ Ἴαμοι, ἐβόα. ¶ Ἰαμεναὶ, οἱ ὑλώδεις καὶ ἔνυδροι τόποι καὶ πόαν ἔχοντες, ἀπὸ τοῦ αὐξάνεσθαι τὴν ὕλην τενάγη τέλματα. ¶ Ἰαμενὰς, τὰς πόλεις. ¶ Ἰαμενῇ, καθύδρῳ τόπῳ.

νον, δῆλόν. ¶ Θυμαμόρτας, ἡ νόσος ἐρετριεῦσ.

Θυμαρία, τῇ ψυχῇ ἀρεστά. ¶ Θυμαρές, εὐάρεστον. εὔκρατον. ¶ Θυμαρμενέων, καταθύμιον. ὁ αὐ.

Θύματα, σφάγια, ἀπαρχαί. ἱερεῖα. ὄργια. ¶ Θύμβρα τόπος τῆς ἰλίου περὶ τὸν θύμβρον λεγόμενον ποταμόν, οὕτως ὀνομασθέντα. τῆς ἀρχαίας πόλεως ἀπέχοντα σταδίοις δέκα, ὅπου γε τὸ ἱερὸν ἀπόλλωνος θυμβραίου.

Θυμβραῖος, ἀπόλλωνος ἐπίθετον ἀπὸ τόπου.

Θύμβρις, ὄνομα ποταμοῦ. ¶ Θυμβροφάγος, ἀντὶ τοῦ δριμυφάγος. ἡ γὰρ θύμβρα δριμὺ ἐπιβρῶμα.

Θυμέλαι, οἱ βωμοὶ καὶ τὰ ἄλφιτα τὰ ἐπιθυόμενα.

Θυμέλη, οὕτως ἐλέγετο ἀπὸ τοῦ θηλυσ τὸν βωμόν. οἱ δὲ τὴν ἐπίπυρον ἐφ᾽ οὗ ἐπιθύουσιν ἢ ἔδαφος ἱερόν.

Θυμηγερέων, ἀνακτώμενος τὴν ψυχήν. καὶ τὸν θυμὸν συλλέγων. ¶ Θυμηδία, θυμὸν αὐξάνουσα.

Θυμηδία, ἡδύτης, τέρψις, ἀρέσκεια, παρὰ τὸ ἡδύνειν.

Θυμήρεα, καταθύμια ἀρέσκοντα. ¶ Θυμοιτάδαι, δῆμος φυλῆς ἱπποθοωντίδος τῆς ἀττικῆς.

Θυμήρης, ἡδύτερος ἀρεστικὸν ψυχῇ. θυμὸς γὰρ ἡ ψυχή.

Θυμία. προθυμοῦ, ὀργίζου. ¶ Θυμικώτερος, ὀργιλώτερος μετὰ θυμοῦ. ¶ Θυμιχθείς. πικρανθείς.

Θυμοβόρον, χαλεπόν. ὑπὸ τοῦ θυμοῦ ἐσθιόμενον, ἢ τὴν ψυχὴν κατεσθίοντα. ¶ Θυμοβόροιο, ψυχοφθόρου.

Θυμοδακὴς, ἀψικάρδιος, λυπῶν τὴν ψυχήν.

Θυμοειδής. ὀργίλος θυμοειδής. ¶ Θυμολέοντα, γενναῖον, ἤτοι ἀνδρεῖον κατὰ τοὺς λέοντας, ἢ λεοντόθυμον.

Θυμομάντις, ὁ τὰ ἀποβησόμενα συλλογιζόμενος καὶ προγινώσκων ψυχομάντις καὶ συνετῶς προορῶν τὰ ἀποβησόμενα. ¶ Θυμὸν ἔδων, λυπούμενος πάνυ καὶ δακνόμενος τὴν ψυχήν. ¶ Θυμὸν ἀχεύων, τὴν ψυχὴν λυπούμενος. ¶ Θυμοραϊστέων, τῶν ψυχῆς φθαρτικῶν αἰθέρων πεφάγων.

Θυμορραιστὴς, θυμοφθόρος, ῥαῖσαι γὰρ τὸ φθεῖραι. καὶ ῥέξαι. ¶ Θυμὸς. ψυχὴ, ἡ προαίρεσις, ὀξύτης πνεύματος. ἐπιθυμία. ὀργή. λογισμός. ¶ Θύμον, τὸ σκόροδον. ¶ Θυμόσοφος, ὁ ἐκ φύσεως εὐμαθὴς, τὸ εὐφυὴς. ὀξυμαθής. ἐκ φύσεως σοφός. ¶ Θυμοφθόρα, τὰ τὴν ψυχὴν διαφθείροντα. ¶ Θυμῷ, ἐν ψυχῇ.

Θυμωθῆναι, θυμῷ ἀρέξας, καὶ ἰσχυρῶς θυμούμενος.

Θυνάσαι, τέμνειν, κόπτειν ἀφειδῶς. ¶ Θοινᾶται, εὐωχεῖται, κατεσθίει. ¶ Θύνεε, ὅρμα ἄγαν.

Θύνει, ὠθεῖται, φέρεται, τρέχει, χαίρει, ὁρμᾷ.

Θυννάδες, τεμάχη ταρίχου. ¶ Θυννάζοντες, κεντοῦντες, τοὺς γὰρ μεγάλους θύννους τριόδουσιν ἐλάμβανον. ¶ Θυννάσαι, ἀπολαῦσαι, ἐνθουσιάσαι.

Θυννίδες, θύννων τεμάχη ὑποκοριστικῶς. ¶ Θύννον. τὸν ὄρκινον λέγουσι, τὴν δὲ πηλαμίδα, θυννίδα.

Θῦνον, ἔσπευδον, ἔτρεχον. ¶ Θοῦνος πόλεμος, ὁρμὴ. δρόμος. ¶ Θυοδόκοι, βωμοί, οἱ τὰ θυμιάματα δεχόμενοι. ¶ Θυόεις, χωρίον ἐν εὐβοίᾳ. ¶ Θυόεν, εὐῶδες, τεθυμιαμένον. ¶ Θυόεν, νέφος αἰγιμόεις δὲ τεθυμιαμένον εὐῶδες. ¶ Θυοσκόεις, μάντεις.

Θύον, ὄνομα δένδρου. ¶ Θῦος ἱερὸν θῦμα. ¶ Θυοσκεῖν, ἱεροῖς προσέχεσθαι ἢ θεοῖς. ¶ Θυοσκόος, εἶδος μάντεως. διὰ σπλάγχνων τὸ μέλλον δηλοῦντος, οἱ δὲ τὸν δι᾽ ἐμπύρων ἱερῶν τὰ σημαινόμενα νοοῦντα.

Θυοσκόπος, ὁ διὰ τῶν σπλάγχνων ἢ θυμάτων μαντευόμενος. ¶ Θύπτης, ὁ τυρός. ¶ Θύραθεν, ἐκ θυρῶν ἔξωθεν ἔξω. ¶ Θύραζε, εἰς τὰ ἔξω τῆς θύρας, περὶ θύρας, ἢ εἰς τὴν θύραν, ἢ εἰς τὴν γῆν.

Θύραζε, κᾶρες, οὐκ ἔτ᾽ ἀνθεστήρια, παροιμία ἣν οἱ μὲν διὰ τὸ πλῆθος, οἰκετῶν τῶν καρικῶν εἰρῆσθαί φασι. ὡς ἐν τοῖς ἀνθεστηρίοις εὐωχουμένων αὐτῶν καὶ οὐκ ἐργαζομένων. ¶ Θύραθεν, ἔξωθεν. ¶ Θυραία, ἀλλοτρία, ξένη. ¶ Θυραία, καὶ ἡ μεταξὺ δύο οἰκιῶν θύρα. ¶ Θυρεὸς, εἶδος ἀσπίδος, καὶ θυραῖος ὁ ξένος. ὁ ἀλλότριος καὶ ὁ ἐξωτικός. ¶ Θυραίων, ἀλλοτρίων, καὶ μὴ συνοίκων. ¶ Θυράγματα, ἀφοδεύματα. ¶ Θύραν, τὴν πτύχας ἔχουσαν.

Θύραξ. πύργος, χιτών. ¶ Θύραυλοι, τῶν ποιμένων οἱ ἀπόκοιτοι. ¶ Θυράξαι. ἔξω τῆς θύρας διατρίψαι. ¶ Θυραυλοῦσι, περὶ θυρῶν διατρίβουσι.

Θυργανᾶν, κρίνειν. ¶ Θυργονίδαι, δῆμος τῆς ἀττικῆς.

Θύρδα. ἔξω ἀρκάδες. ¶ Θυρεατικοί, στέφανοί τινες παρὰ λακεδαιμονίοις. ¶ Θύρετρα, θύραι.

Θυρεὸς, ἀσπὶς ἢ σκουτάριον, καὶ ὁ ἐπικείμενος τῇ θύρᾳ τοῦ κύκλωπος λίθος ἀντὶ θύρας.

Θύρεζα, θυρώματα. ¶ Θύρετρα, θύραι. ¶ Θυρέτρας, φλιάς. ¶ Θυρηβόλιον, τὴν ἐπάνω οἴκησιν.

Θύρηθεν, ἔξω ἡμῶν. ¶ Θυρίς, ὀπὴ μικρά. θυρίδας ἀττικοί, τὰς τῶν γραμμάτων πτύχας καὶ δίθυρον λέγουσιν οὐ τρίθυρον, ἀλλὰ τρίπυλον. ¶ Θυροιγόν, θυρωρόν. ¶ Θυροκοπιστικόν, ἢ θυροκοπικὸν οὕτως ἐκάλουν. ¶ Θυροποιὸς, οὕτως ἐκάλουν ἀριστομένην ὁ κωμικὸς ποιητὸς σκωπτικῶς. ¶ Θυραυλεῖν, ἔξω θυρῶν αὐλίζεσθαι. ¶ Θύρσος, ῥάβδος. βακτηρία. βακχική, ἢ κλάδος καὶ αὐλητὴς οὕτως ἐκάλουν.

Θυρσοπλῆγες, οἱ ἐν τοῖς βακχείοις ἐνθεαζόμενοι.

Θύρσος, αὐλητὴς ἦν, γυναῖκα ἔχων ἑταίραν.

Θύρσου κινεῖ. ἀριστοφάνης ἐν νήσοις οὐ τοῦ αὐλητοῦ μνημονεύων, ἀλλ᾽ ἀντὶ τοῦ, φύλλα εἰπεῖν καὶ κλάδους.

Θύρσοι, κλάδοι λαμπάδες λύχνοι.

Θυρῶνας, τὰς σανίδας καὶ τὰς εἰσόδους.

Θυρωρὸς, ὁ παράνυμφος, ὁ τὴν θύραν τοῦ θαλάμου κλείων. ¶ Θῦσαι, ἀπάρξασθαι. ¶ Θυμιάσαι, θυσιάσαι.

Θύσανοι, κροσσοί, κόρυμβοι. ¶ Θυσανοῦρος, δασύκερκος ἄρσην. ¶ Θύσθλα, * δικράδιαι, ἔνιοι μὲν τὰ φερόμενα τοῖς βωμοῖς βακχικά. οἱ δὲ, τὰ φύλλα τῆς ἀμπέλου. ἄλλοι κλάδους, οἱ δὲ ῥάβδους. νάρθηκας, θύματα. χοάς. ¶ Θυσιάδες, ἔνθεοι, τὸν τῶν βακχῶν φωνὴν θυσιάδα φασίν. ἐλέγοντο δὲ καὶ αἱ τῇ περσεφόνῃ ἱερούμεναι. ¶ Θύσκα, κύεια. ¶ Θυσπολία, θυηπολία. ¶ Θυσανόεσσα, κροσσωτὴ αἰγίς, θύσανος γὰρ ὁ κροσσός. ¶ Θυσανόεντι, κροσσοῖς. ¶ Θύσια, ὅπλα νῆια. ¶ Θύσσεται, τινάσσεται. ¶ Θυσσόμεναι, σειόμεναι, τινασσόμεναι.

Θύστα. θυσία. ¶ Θυστέων. θηλειωδῶς ὁρμῶν.

Θυστάδες, νύμφαι τινὲς αἱ ἔνθεοι, καὶ βάκχαι.

Θύσται, οἱ ἱερεῖς παρὰ κρησί. ¶ Θυτηρίοις, θυμιατηρίοις. ¶ Θύστινον, τείχινον, οἱ δὲ μεσοτείχιον.

Θύτης, μάντις. ἱεροσκόπος. ¶ Θῦψαι, τὸ ἐπικλύσαι, ἀφ᾽ οὗ τὸ τεθυμμένον, ἄλλοι, τυφλῶσαι, καῦ

Θ ριαμβεύσας, πομπεύσας. ¶ Θρίαμβος. πομπὴ ἐπινίκιος. ἐπίλεξις νίκης. ἢ διονυσιακὸς ὕμνος ἰαμβικός.

Θ ριγκίον, ἁπαλωτέρα ζωφή. ¶ Θριγκῶσαι. πύλαι οὔπω καλοῦνται ἀθήνησιν. ¶ Θριγγός, ἡ στεφάνη τοῦ τείχους περίφραγμα ὡς περίβολος, ἤγουν τὸ ἀνώτατον τοῦ τείχους. οἰκοδομὴ ἐφ' οὗ καὶ ἡ στέγη κεῖται καὶ ὁ ὑπὸ τὴν κλινόποδα τοῦ τοίχου τόπος. ἢ περιχαράκωμα καὶ τειχός. ¶ Θριγχοῖς. φραγμοῖς.

Θ ριδακίναι, εἶδος μάζης παρὰ ἀττικοῖς, καὶ αἱ παρ' ἡμῖν θριδάκες, ἤτοι μαρούλια. ¶ Θριήσαι, καπρίσαι. ¶ Θριλλίζειν, θρυλλεῖν. ¶ Θρίολοι, ἱερεῖς.

Θ ρινακία. ἱερὰ ἡλίου ἡ νῦν σικελία, τρία ἄκρα ἔχουσα λιλύβαιον. πάχυνον. πελωριάδα. ἐν ᾗ φασὶ τὰς ἡλίου βοῦς εἶναι. ¶ Θρίναξ, πτύον σίτου, ἢ τρίαινα.

Θ ρινία, ἄμπελος ἐν κρήτῃ. ¶ Θριμμός, τρυγισμός. ¶ Θρῖον, βρῶμα σκευαστόν, διττὴ αὐτοῦ ἡ σκευασία. ἡ μὲν, διὰ ταρίχου. ἡ δὲ, διὰ ὠῶν ἐπιχεομένων μέλιτος συκῆς δὲ φύλλα οὐχ ἁπαλὰ ἐπετίθετο. ἔχουσι γὰρ τινα ὀσμήν, διὸ καὶ θρῖον ἐκλήθη.

Θ ριοῦς, λῆμος φυλῆς οἰνηΐδος. ¶ Θριοπόβρωτος, οἱ λάκωνες σφραγῖσιν ἐχρῶντο ξύλοις ὑπὸ σητῶν βεβρωμένοις κατασημαινομένοις ὁπότε βούλοιντο, φιλοστέφανος δὲ φησὶ πρῶτον ἡρακλέα χρήσασθαι.

Θ ρίσκον, ἔνθρον. ¶ Θρησκεία, λατρεία. ¶ Θρόνα, ἄνθη, ἀπὸ τοῦ ὄρα ἄνω. ¶ Θριπήδεστον. ξύλον ὑπὸ θριπῶν βεβρωμένον. οἱ γὰρ ἐν τοῖς ξύλοις σῆτες, οὕτως ἐκαλοῦντο. ¶ Θρίττον, ἀνθρώπων θρασύ. ἔστι δὲ ἀμετάφραστον. ¶ Θρίψ, γλίσχρος, φειδωλός.

Θ ριώ, λίπος ἑορτὴ ἀπόλλωνος, καὶ ἡ σύντροφος αὐτοῦ

Θ ρίωζε, εἰς θριάσιον πεδίον. ¶ Θροεῖ, λαλεῖ, ψοφεῖ. θορυβεῖ. ἠχεῖ, ἐκπλήττεται. ¶ Θρόδακα, θρίδακα κύπριοι. ¶ Θρόμβοι, αἷμα παχὺ πεπηγὸς ὡς βουνοί. ¶ Θρόνα, ἄνθη, καὶ τὰ ἐκ χρωμάτων ποικίλματα. ¶ Θρονίτης, πρώτιστος.

Θ ρόνον, τετράπουν, καὶ τὸν ἱερὸν δίφρον καὶ ἐκπεποικιλμένον. ¶ Θρόνος, ἀνάκλιτος δίφρος.

Θ ρόνωσις, κατάρχη παρὰ τοῖς μυουμένοις.

Θ ρόον, σκληρὰν φωνὴν λαλιάν. ¶ Θροῦς, θόρυβος, φθόγγος, ψόφος, ἢ τεταραγμένη φωνή. ¶ Θρώσκει, πηδᾷ, σκιρτᾷ. ¶ Θρόμβος, ὑψηλὸς τόπος.

Θ ροῦς, ὁ διὰ στόματος ἦχος, λαλιά, ψιθυρισμός.

Θ ρυαλλίς, ἐσχάρα λύχνος. ἀκτίς. καὶ τῶν φυομένων τι ἐξ οὗ ἐλλύχνια γίνεται, ἢ στυπίον ἐκ βοτάνης, ἤγουν τὸ ἐλλύχνιον. ¶ Θρίαμβοι, τρόπαια. θριασμός. φωνή. ¶ Θρυπτᾷ, κνᾶται, ξύει. ¶ * Θρυωρεῖς, ψιαθίς. ¶ Θρυέσσα ἀπὸ τῆς θρύου πόλεως. ¶ Θρυλλεῖ. ταράσσει. ὀχλεῖ. ¶ Θρύλλημα, ἄσημοι φωναί.

Θ ρυλλίχθη, συνετρίβη, συνεθραύσθη, ἀπεθρύφθη.

Θ ρύλλοι. ψιθυρισμοί. ὁμιλίαι. ¶ Θρυματίς. ἡ ὑφ' ἡμῶν ἐνθρυματίς. ¶ Θρυμίς, ἰχθῦς ποιός.

Θ ρύμματα, κλάσματα ἄρτου. ¶ Θρύον, πόλις ἐν ἀρκαδίᾳ. ἣν θρυόεσσαν ὅμηρος λέγει. καὶ εἶδος βοτάνης.

Θ ρυόνιον, πόλις λοκρίδος ἢ θρόνιον. ¶ Θρύπτακον. κλάσμα ἄρτου κριθίνου. ¶ Θρύπτεται, μαλακίζεται, τρυφᾷ, ἀσελγαίνει. κλᾶται. ¶ Θρυμμεύεται, ὑπερηφανεύεται. ¶ Θρύψαι, θραῦσαι, κόψαι, κλάσαι, καὶ ἀνακλάσαι, μαλάξαι. ¶ Θρίσκα, ἄγρια λάχανα. ¶ Θρυψικός, τρυφερός. μαλακός. αἰσχρός. χαῦνος. ¶ Θρυψίχρωος, τρυφερός. ¶ Θρώσκει, πηδᾷ, ἀφάλλεται. κολυμβᾷ. ¶ Θρώ. λιμός.

Θ ρῶναξ, κηφήν. λάκωνες. ¶ Θρώπτει. σκώπτει.

Θ ρώσκει, ἐκπηδᾷ, σκιρτᾷ, τρέχει. ἅλλεται, πίπτει ὀχεύει. ἔγκυον ποιεῖ. γεννᾷ. ¶ Θρῶσις, διαίρεσις. σπαρτίον, σειρά, καὶ ἡ κάτω σχοῖνος τοῦ δικτύου. ¶ Θρώσσει, γεννᾷ, φοβεῖται. ¶ Θρώσκω γνώμα, καλλίστρατος, ἀντὶ τοῦ αἰσθάνομαι νῦν κεῖσθαι λέγει. τινὲς δὲ ἀντὶ τοῦ ὀρῶσαι κατὰ τὸ πληθυντικόν. ¶ Θρώσκων, κνώδαλα ἐκθορίζων ἢ σπερματίζων. γεννῶν. αἰσχύλος ἀμυμώνῃ. ¶ Θρωσμός, ὑψηλὸς τόπος βουνοειδής. ἀφ' οὗ καταβαίνοντα, θορεῖν ἐστί. ¶ Θρόασον, ἄξενον.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Υ.

Θ ύα, ἀρτώματα κύπριοι. ἔνιοι τὰ ἀρώματα καλλίμαχος εὔπολις τὰ πέμματα. λέγεται δὲ καὶ τὰ θυόμενα τοῖν θεοῖν. ¶ Θυαλοῦντο, θυρῖς διαλαβεῖν. θυμιάσαι. ¶ Θυάματα, τὸ θυμὸν καὶ θυμιάματα. ¶ Θύαν, κάπραν ἤτοι ὗος.

Θ ύανον, τὴν θυώνην πέμμα δὲ ἐστὶν ἀντὶ βοός.

Θ ύαπαξ, ἱερόσυλος. ¶ Θύας, πιθίσκος.

Θ υγατριδῆ, ἐγγόνη. θυγάτηρ θυγατρός. ¶ Θυγατέρες δὲ τέκνα θυγατρός. ¶ Θύει, μαίνεται, ἀπάρχεται, ἐνθουσιᾷ. ¶ Θύεται, εὐθύνει, εὐφραίνεται.

Θ υόεις, τεθυωμένος, τεθυμιαμένος. ¶ Θύελλα, ἀνέμου συστροφὴ καὶ ὁρμὴ ἢ καταιγίς. ¶ Θύελλαι, τῶν ἀνέμων καταιγιώδεις πνοαὶ καὶ συστροφαί.

Θ υέεσσι, θυσίαις. ἢ θυμιάμασι. ¶ Θύεσσι, ποθὴν τὸ ἀπὸ ἀρωμάτων ὡς ἡρόδοτος. ¶ Θύεται, ἱεροσκοπεῖται.

Θ υεῶν, θυσιῶν. ¶ Θύη. θύματα, ἀρώματα.

Θ υηέντων, εὐόδμων. ¶ Θυηλάς, ἀπαρχάς, ἢ τὰς διὰ θυμάτων μαντείας.

Θ υηκόοι, ἱερεῖς. ¶ Θυηλὴν, θυσίαν. ¶ Θυήματα, τὰ ἐπιφερόμενα ἄλφιτα εἰς θυσίαν. ¶ Θυηπόλης ὁ περὶ τὰς θυσίας ἀναστρεφόμενος ἱερεύς.

Θ υιάς, βακχίς. οἱ δὲ, μαινάς. ¶ Θυῖος, ἀπόλλων ἐν μιλήτῳ. ¶ Θυίειν, πλήρες. ¶ Θυίοντες, ἀνθοῦντες

Θ υιῶδες, μανείς. ὁρμήσας. ¶ Θύιον. ὁρμ. ¶ Θυλάκια. ἀσκοὶ δερμάτινοι. ¶ Θυλακίζειν, τὸ ἀπαιτεῖν τι ἑπόμενον μετὰ θυλάκου ταραντῖνοι. ¶ Θύλαξ, προσκεφάλαιον. ¶ Θυλακοτρὼξ, μῦς, οἱ δὲ, ἀκρίς,

Θ υλακοφόροι, οἱ μεταλλεῖς. θυλάκοις περιφέροντες τὰ ἀρώματα, καὶ πήραις, ὅθεν ἐκαλοῦντο καὶ πυροφόροι. ¶ Θυλήματα, βεβρεγμένα μέλιτι ἄλφιτα. ἢ θυμιάματα ἤτοι βωμῶν. ¶ Θυλλίδες, αἱ θύλακοι. ¶ Θύλλα, κλάδοι, ἢ φύλλα ἢ ἑορτὴ ἀφροδίτης. ¶ Θύλλης, θύλακος, γοργός, ἔλυτρον.

Θ ύλον, ὀλέθριον, ὤριμον. ¶ Θῦμα, ἱερεῖον σφάγιον ὁλοκαύτωμα. ¶ Θυμαδίων, ἀθυμῶν. ¶ Θυμαίνεται, ὀργίζεται. ¶ Θυμαλγέα, λυπηρὰ τὴν ψυχήν. ἀλγεῖν ποιοῦντα, χαλεπά. ¶ Θυμαλώπες, οἱ ἀπὸ τῆς θυμιάσεως σπινθῆρες. ¶ Θυμάλωψ, ἡ λιγνυώδης τοῦ πυρὸς ἀναφορά. τινὲς δὲ ξύλον κεκαυμέ

ἐστὶ νυκτὶ θοῇσι ταῖς σπάναις ἢ ταχείαις, ἔνιοι δὲ κατὰ σχῆμα ὀξείαις. τὸ δὲ γῆς σκιά ἐστιν ἡ νύξ. αὕτη δὲ κωνοειδής. διὸ δὲ θοὸς ὀξύνεται. ¶ Θοιά, ζεῦγος ἡμιόνων. ¶ Θοιμάτιον, ἱμάτιον. ¶ Θοινᾶται, εὐωχεῖται, θοινᾶσθαι, εὐωχεῖσθαι. ¶ Θοίνη, εὐωχία, τροφή. καὶ ζυφό. ἡ τράπεζα. ¶ Θοινητήριον, κατὰ βρῶμα τροφή. ¶ Θολία, πέτασος εἰς ὀξὺ συνηγμένος σκιάδιον. ¶ Θολοῦν, ταράττεσθαι.

⊙ ολερόν, ταραχῶδες. ἀκάθαρτον, βορβορῶδες. τεταραγμένον. ¶ Θολερῶς προβαίνει, μὴ καθεστηκυῖαν καὶ ἀσφαλῆ πορείαν ἔχων. ἀλλ' ἀστάτως καὶ τεταραγμένως προϊών. ¶ Θολερόφρον, μέγα. ¶ Θολκάζει, χαλιναγωγεῖ. ¶ Θολόν, τεταραγμένον.

⊙ όλος, στρογγυλοειδὴς οἶκος, δι' ὀστράκων εἰλημμένος, ἢ τὸ τῆς σηπίας μέλαν. ¶ Θόλος, κυρίως μὲν καμάρα. καταχρηστικῶς δέ, οἶκος εἰς ὀξὺ ἀπολήγουσαν ἔχων τὴν στέγην κατεσκευασμένος. ἢ ὅπου οἱ πρυτάνεις καὶ ἡ βουλὴ συνεστιῶντο. θηλυκῶς δὲ ἔλεγον τὴν θόλον. καὶ τόπος ἐν ᾧ τὰ συμποτικὰ σκεύη ἀπόκειται.

⊙ ολοῦσα, σκοτοῦσα. ¶ Θολῶσαι, θολερῶσαι. στῆσαι. ταράξαι. σκοτίσαι. ¶ Θοναχία. ὀξεῖα.

⊙ οόν, ὀξὺ λαμπρὸν σκοτεινόν. ἰσχυρόν. ταχινόν.

⊙ οράνας. οἱ ἔξω παῖδες. ¶ Θοράτης, ἀπόλλων παρὰ λάκωσιν. ¶ Θόρε, ἐπήδησεν. ¶ Θορεῖν, πηδῆσαι, ὁρμῆσαι, ὀχεῦσαι. ¶ Θορμιλωκύς. ὀξιφίας ἰχθύς.

⊙ όρικος, δῆμος τῆς ἀκαμαντίδος φυλῆς, ὠνομάσθη δὲ ἀπὸ θορίκου κυπρίου. ¶ Θόρναξ, ὑποπόδιον, ἢ ἱερὸν ἀπόλλωνος ἐν τῇ λακωνικῇ ἀπὸ θόρνακος.

⊙ όρναξ, ἀπόλλων. ¶ Θόρνυσθαι, γεννᾶν, μίγνυσθαι. ὀχεύεσθαι. σπερμαίνειν, γεννᾶν. ¶ Θόρισμα, δὲ λευκρὶ ἰχθύσι. ¶ Θόρος, βάτης ἀφροδισιαστής. ὀχεία. ἡ ἔκκρισις τοῦ σπέρματος. ¶ Θόροιο, ὀχετοῦ.

⊙ όρυβος, ζάλη ταραχή. ¶ Θορών, πηδήσας, ὁρμήσας, δραμών. ¶ Θοῦ, θεὸς ἐπίσκοπον. ¶ Θουκυδίδης, ἱστορικὸν συγγραφεύς. ὄνομα κύριον. ¶ Θουλκότατον βαρύτατον. ¶ Θοῦπος, λόγος μῦθος ἐστίασις.

⊙ ουρά. ἡ ὀρετικῶς ἔχουσα καταφόρως καὶ θουραί.

⊙ ουραίην, ἀνδρείαν, θρασεῖαν, ἰσχυράν. ¶ Θουρήενος, λάγνου. ¶ Θούρην, βάτην. ¶ Θουριταί, αἱ τῶν ζώων μίξεις. ¶ Θουρίβα. ὀχεῖα. ¶ Θουρίδες. νύμφαι. μοῦσαι. μακεδόνες. ¶ Θούριδος ἀλκῆς, τῆς πολεμικῆς, ἀπὸ τοῦ θορεῖν ὅ ἐστι πηδῆσαι. ἀφ' οὗ καὶ θοῦρος ἄρης. ¶ Θουριομάντεις, τοὺς περὶ λάμπωνα φασίν. εἰς γὰρ σύβαριν τὴν ἀποικίαν λέγεται λάμπων ἀπαγεῖν, τινὲς δὲ μάντιν ὄντα. ¶ Θουρίων, ἐναργῶν.

⊙ οῦρον, πηδητικόν, ὁρμητικόν. πολεμικόν. θρασύ. μέγα. ἠρρωμένον. ¶ Θούχοινοι. ἠθόχοινοι, ἅρπαγες. πλάνητες. ¶ Θοωθείς, πλασθείς. ¶ Θοῶκοι, συνέδρια. ¶ Θοωθείς, πληθείς. ἐστιαθείς. πρεξυνθείς. εὐωχηθείς. ¶ Θοῶς, σφοδρῶς, ταχέως.

⊙ όωσα. μήτηρ κύκλωπος. ¶ Θοῶσαι, ὀξῦναι, λαμπρῦναι, ποιῆσαι, πυρῶσαι. ¶ Θοώτατος. ταχύτατος, τάχιστος. ¶ Θοδραίειν, λοιδορεῖν. λάκωνες.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Ρ.

⊙ ρακιά, ἀφροδίτη. ¶ Θρανομένη, προσορῶσα. ¶ Θρανεύεται, συντρίβεται,

⊙ ρακτικόν, προβατῶν. ¶ Θραμβόν, καπυρόν.

⊙ ραμίς, κενός. ¶ Θρανίαι. θρόμβοι. ¶ Θρανίον, δίφρος. ὑποπόδιον. πάσσαλος. θρόνος. καὶ τὸ ὑπὸ τοῖς φατνώμασι σανίδωμα, καὶ λάσανα καὶ νεώσμερος καὶ τὸ ὑπὸ τὴν δοκόν τι. ¶ Θρανογράφοις, τοὺς εὐπρεπεῖς τοιχογράφοις. ¶ Θράνων, δίφρων.

⊙ ράνιδες, κῶπαι αἷς οἱ θρανῖται χρῶνται, ἐν ταῖς καταφράκτοις ναυσί. ¶ Θράξαι, ταράξαι, λυπῆσαι δυσελπίδας ποιεῖσθαι. ¶ Θραξεῖται, ταράξεται, πορεύεται. ¶ Θρασεῖαν, ὀξεῖαν. ¶ Θράσις, θραῦσις. φθορά. θάνατος. ἀρρωστία. ἧττα. ἐν πολέμῳ.

⊙ ράσκειν, ἀναμιμνήσκειν. ¶ Θρασύτην, τὴν ἀπολημοῦντα ἐρασμιεῦσθαι. ¶ Θράσος, δαίμων ἀλαζονίας φρύαγμα. ὀξύτης. μάχη. ¶ Θρασυκάρδιος, εὔτολμος. θρασύς. τολμηρός. ¶ Θρασυμέμνονα, θρασὺν κατὰ τὸ μένος, γενναῖον. εὔτολμον. τολμηρόν. ἀλαζόνα. τραχύν. σκληρόν. ἀπειθῆ, φλύαρον. ταραχώδη. ὑβριστήν. ¶ Θράττειν, ἐνοχλεῖν, ταράττειν. ¶ Θράττης. ὁ λίθος ὑπὸ θρακῶν. ¶ Θραττεύομαι, συντρίβομαι. συγκόπτομαι. ¶ Θράττον, ὕποδρον κόλουρον. ¶ Θραυεῖ, συντρίβει. ¶ Θραῦλον, κόλουρον ὕποδρον. ¶ Θραῦρον, ῥάκανον, θραυόμενον.

⊙ ραύσει, θραύει. ἀνήσει, ἀπολεῖ. ¶ Θραῦσις. ὀργή. πληγὴ σφῦρα ἢ τοὺς βόλους θραύουσα. ¶ Θραῦσμα, λύπη. πληγή. κατάστρωμα νηός. κατασολή. παῦσμα. παῦσις. ¶ Θραχθείς, ταραχθείς. ¶ Θρεκτικώτατος, ὀξύτατος. ¶ Θρέκτος, δρόμος. ταχεῖος. ἀπὸ τοῦ θρέξαι καὶ δραμεῖν. ¶ Θρέειν, θροεῖν.

⊙ ρεομένη, θρηνοῦσα. ¶ Θρέμματα, βοσκήματα, πρόβατα, τέκνα. ¶ Θρέξαντες, ἐλαφρῶς ἐπελθόντες. ¶ Θρεόμενον, ὀλοφυρόμενον. ¶ Θρέπτα, τροφεῖα. τροφῶν ἀμοιβά. καὶ θρεπτήρια. ¶ Θρεπτῆρες, τρεφόμενοι, τροφεῖς. ¶ Θρεπτός, τρόφιμος ὑπὸ τῶν τρεφόντων. ¶ Θρεκτοῖσι νόμοις, αὐτὸ τοῦ ταχίστοις. σοφοκλῆς ὀδυσσεῖ μαινομένῳ, ἔνιοι δὲ κρεκτοῖς.

⊙ ρέξαντο, ἐφυλάξαντο. ἐσιβάσθη.

⊙ ρεσκή, ἁγνή. πάντα εὐλαβουμένη. ¶ Θρεσκὸς περιττὸς δεισιδαίμων. ¶ Θρεσόν, τὸ ἀνδρεῖον ὃ θρασύ.

⊙ ρεφθῆναι, τραφῆναι, πατῆσαι.

⊙ ρέψαι, θρέξαι ἐκτρέφειν καὶ τὸ συνήθης. ¶ Θρηεῖ, πενθεῖ. ὀλολύζει, ὀλοφύρεται. ¶ Θρῆνυς. ὑποπόδιον.

⊙ * ρηϊκή, ὑπὸ δημάγων εἶδος ποδοστικῶν. ¶ Θρῆνος, γόος. ¶ Θρῆς, ἡμίονος. ¶ Θρῆνυς, ἐφ' ἔπτα πόδην, τόπος τῆς νηὸς βάσιν ἔχων. ¶ Θρῆνυς, ὑποπόδιον, ἢ ὁ ἐν τῷ μέσῳ πλοίου σανὶς ἀπὸ τοίχου εἰς τοῖχον. ¶ Θρησκεία, σέβασμα. ¶ Θρησκεύει, σέβεται, θεραπεύει, προσεδρεύει, ὑπηρετεῖ τῷ θεῷ λατρεύει. ¶ Θρῆσκος, ἑτερόδοξος, δυσγενής. ¶ Θρήσκω, νοῶ. ¶ Θρησάμενος. θεασάμενος. θερμανθησόμενος. ¶ Θρήττανον, τὸ ἀμάξης ἐφ' ᾧ τὰ ἀγόμενα ἐπιτίθεται. ¶ Θρία. φύλλα συκῆς ἢ ἀμπέλου ἢ τὰ ἐν αὐτοῖς δεσμούμενα βρώματα. ¶ Θριάζειν, φυλλολογεῖν, ἐνθουσιᾶν, ἐνθουσιάζειν. εὐριπίδης λικυμνίῳ, καὶ σοφοκλῆς ὀδυσσεῖ μαινομένῳ.

⊙ ριαί, αἱ πρῶται μάντεις καὶ νύμφαι. καὶ αἱ μαντικαὶ ψῆφοι. ¶ Θριαμβεῦσαι, θορυβῆσαι. βοῆσαι.

γυνή. ¶ Θηλυγενὴς, ὁ ἐναντίος τοῦ ἀρρενωποῦ.

Θ ηλυδρίας, ὁ τεθηλυμένος. ¶ Θηλυδριῶδες, τὸ κατακεκλασμένον. ¶ Θηλυμανεῖς. πόρνοι.

Θ ηλύματα, μέλιτι βεβρεγμένα ἄλφιτα. ¶ Θηλύνη, μαλάσσει. ¶ Θῆλυς ἕρση, τὰ φυτὰ, ἢ θάλλειν ποιοῦσα δρόσος ἢ θρεπτική. ¶ Θηλύτεραι, αἱ γυναῖκες. ¶ Θηλυτοκιῶν. θηλειῶν τῶν μόνων ἐγκυμόνων πλησιαζουσῶν ἀνδράσι. μόναι γὰρ αἱ γυναῖκες ἔγκυοι οὖσαι πλησιάζουσιν ἀνδράσι, τῶν δὲ ἄλλων ζώων οὐδέν. Θηλυφὸν, τὸ ἀκίνητον.

Θ ηλῶ, ζοφὸς τίθη. ¶ Θῆμα, θήκη, τάφος ἄνθημα σοφοκλῆς σαλμωνεῖ. ¶ Θημονιαὶ, οἱ σωροὶ τῶν δραγμάτων. ¶ Θημοσύνη, ἀπόθεσις. ¶ Θημὼν πᾶν τὸ σεσωρευμένον οἷον ὀχύρων ἢ πυρῶν. ¶ Θημῶνες, θημονιαί. ¶ Θὴν δήποτε ἢ τὸ αὐτό.

Θ ήνιον, γάλα. ¶ Θῆξαι, ὀξῦναι ἀκονῆσαι. ¶ Θῆξις ῥιπή. στιγμή. τάχος. ¶ Θηπάλαιος, βωμολόχος.

Θ ήπει, ψεύδεται. ¶ Θηπητὴς, ἀπατεών.

Θ ητὴρ, καταθύμιον, θαυμαστόν. ¶ Θήπω, ἐπιθυμῶ, θαυμάζω. ¶ Θηπῶν, ἐξαπατῶν κολακεύων θαυμάζων. ¶ Θὴρ, θηρίον ὁ λέων ἀπὸ τοῦ θοῶς ὁρούειν

Θ ήρα, κυνήγια, ἄγρα. ¶ Θήραμα, εὕρεμα.

Θ ηρᾶν, ζητεῖν, εὑρεῖν, μηχανᾶσθαι.

Θ ήρας, τοὺς σατυρικούς. ¶ Θήρατρον, δέλεαρ, ἄγκιστρον. ¶ Θηράτρων, θηρατικῶν. ¶ Θήραυλος ἀγρός τις. ¶ Θήρειον, πέταλον τὸ ποικίλον οἱ ἀττικοί. δοκεῖ δὲ ἀπὸ θήρας τῆς νόσου προσηγορεῦσθαι.

Θ ήρεια, τὰ ζῶα, καὶ ἐπὶ τῶν ἵππων οὕτω λέγεται.

Θ ηρητὴρ, κυνηγός. ¶ Θηρὶ, λέοντι. ¶ Θηρίκλειος κύλικος εἶδος ἀπὸ θηρικλέους κεραμέως.

Θ ηρίων, πάθος τι στόματος. ὃ καὶ καρκῖνος καλεῖται.

Θ ηρίτας, ὁ ἐνυάλιος παρὰ λάκωσιν. ¶ Θηριώδης, ἀγριαινόμενος. ¶ Θηροειδῆς, ἐφαπλίδες ποικίλως δεικνυσμέναι. ¶ Θηροθῆραι, θηρευταί.

Θ ηρολέξης, ὁ τὰς λέξεις θηρώμενος. ¶ Θηρολέτης, κυνηγός. ¶ Θηρὸς, λέοντος. ¶ Θηροσυνίας, κυνηγίας. ¶ Θηρύτης, θηρεύτεια. ¶ Θηροφόνος, θηροκτόνος ἄρτεμις. ¶ Θηρώμενοι. θηρώντων, ἀγρευόντων. ¶ Θὴς, δοῦλος. μισθωτός. πελάτης, ἢ ὁ τὴν μορητικὴν ἐργαζόμενος παρὰ ἀθηναίοις.

Θ ὴρ ὡς, ὡς θήρ. ¶ Θῆσαι, θρέψαι, θηλάσαι.

Θ ησαίατο, θαυμάσειαν. ¶ Θησάμενοι, αἰτησάμενοι κρητῶν. ¶ Θήσατο, ἐθαύμασεν.

Θ ήσασθαι, θάσασθαι. ¶ Θηλάσαι, θηλασθῆναι, μεθυσθῆναι. ¶ Θησέσθω, κοιμηθήτω. ¶ Θῆσαν, δουλικήν. ¶ Θήσατο, ἐδούλευσεν. ¶ Θησαυρίσασθαι, συνάξασθαι. ¶ Θησαυρὸς, εἰς ἀγαλμάτων καὶ χρημάτων. ἢ ἱδρύων ἀπόθεσιν οἶκος. ¶ Θήσει, ὑποθήσεται ποιήσει. ¶ Θησεῖα, ἑορτὴ ἀθήνησι.

Θ ησεῖον, νεὼς θησέως ἐφ' ὃν οἱ ἀποδιδράσκοντες κατέφευγον. δηλοῖ δὲ καὶ φυτόν τι ποιὸν, καὶ τὸ δεσμωτήριον παρὰ ἀθηναίοις. ¶ Θήσεται. ποιήσεται.

Θ ήσω, ἤσω, αἰτήσω βοιωτοί. ¶ Θησόμενοι, αἰτούμενοι

Θ ήσω, πείσω. ¶ Θητάλα, θαυμαστὰ, ψεύδεσιν ὅμοια. ¶ Θητεῖαι, μισθώσεις, μισθοδουλεῖαι.

Θ ητεύει, δουλεύει μισθῷ. ¶ Θητικὸν, τὸ ἔσχατον τίμημα παρὰ ἀθηναίοις. ¶ Θητὸν, βωμόν. ¶ Θῆτας, μισθωτάς. ¶ Θίασον, χορευτῶν. ¶ Θιασῶται, ἀρχεῖ, οἱ περὶ τὴν τοῖς θεοῖς. ¶ Θιαχχὰ, ἀμφὶ ἐν σικυῶνι. ¶ Θιάλλει, θάλλει. ¶ Θιάραρες, ἐύητος. ¶ Θιάσαι, χορεῦσαι. ¶ Θιασεῦσαι, ἀπεῖσαι. προσενέγκαι. ¶ Θίασον, εὐωχία καὶ πλῆθος. οὐ μόνον τὸ βακχικὸν, ἀλλὰ καὶ τὸ ἐργατικόν.

Θ ίασος, χοροῦ σύστασις, ἢ σύλλογος, καὶ τὸ ψιλὸν πλῆθος, ἔσθ' ὅτε δὲ καὶ τὸ βακχικὸν, ἢ ἐσμὸς γυναικῶν.

Θ ιασῶνες, οἶκοι ἐν οἷς συνιόντες δειπνοῦσιν οἱ θίασοι.

Θ ιασῶται, χορευταί. ¶ Θίβεις, γυναῖκές τινες.

Θ ίβη, πλεκτόν τι κιβωτοειδές. ὡς γλωσσοκομεῖον.

Θ ίβωνος, κιβωτοῦ κύπριοι. ¶ Θιβρὴν. φιλόκοσμον. καὶ ἀβροτικὴν ὑπερήφανον καταφορᾶν. καὶ θρασεῖαν. καὶ παρὰ μὲν νικάνδρῳ τὴν ἔμπυρον καὶ καυστικὴν, τινὲς δὲ χαλεπήν. ¶ Θιβρὸν, ζυφωρόν. καλόν. σεμνόν. ἀπαλόν. ¶ Θίγειν, ψαῦσαι, ἅψασθαι, ἅπτεσθαι. ¶ Θιγμάτων, μιασμάτων. ¶ Θίγωνος, κιβωτοῦ. ¶ Θίημι, ποιῶ. ¶ Θιδρακίνη, θίδραξ καὶ θρίδαξ. ¶ Θίκιον, θεῖον τὸ ὀρεκτὸν κρητῶν.

Θ ίησαι, ποιῆσαι, φιλῆσαι. ¶ Θικέλιον, τὴν γογγυλίδα λάκωνες. ¶ Θίλα, ὁ θημών.

Θ ιμῶνες, θιμωνιαί. ¶ Θὶν, ὁ αἰγιαλὸς ἀπὸ τοῦ θίνεσθαι καὶ θίνος, πολλάκις τὸ αὐτὸ λέγει, καὶ ἀρσενικῶς ὅμηρος ὁ θὶν, καὶ ὁ σωρός. πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς καὶ ἄμμος. ¶ Θῖναι, ψάμμοι. ὑψηλοὶ τόποι, καὶ αἱ τῶν καρπῶν συγκομιδαί. ¶ Θινὶ, αἰγιαλῷ. ¶ Θινομένη, τυπτομένη. ¶ Θινῶν. αἰγιαλῶν ἢ σωρῶν πυρῶν. ¶ Θίξεσθαι, ἅψασθαι.

Θ ίξις, ἐπαφὶς. ¶ Θῖος, θεὸς κρητῶν. ¶ Θιοπόβρωτος, κακὸς, διχα τοῦ ρ, λέγεται καὶ θιοπόβρωτος, ὁ ὑπὸ σητῶν βεβρωμένος. ¶ Θὶς, ὄχθος βουνός. ἀμμώδης, αἰγιαλός. θάλασσα. σωρὸς κυμάτων. τὸ κάτω βάθος τῆς θαλάσσης ἢ ὀστέων σωρός. ¶ Θίσενα, χῶμα, σωροειδές. ¶ Θιωπῶσαι. εἰκάσαι. ¶ Θλαδίαι, εὐνοῦχοι, καὶ οἱ τοῦ ψάμμου σωροί. ¶ Θλαίξας. κλάσας, συνθλάσας. ¶ Θλαστὶς, παρὰ ἦν ἔνιοι σκύτειον. ¶ Θλίβει, ὠθεῖ, πιέζει. ¶ Θλίβεται, πατεῖται. ἔστι δὲ ἐπὶ σταφυλῆς. λέγεται δὲ καὶ ὅτε τὶς ὀλιγωρεῖ πιέζεται. ¶ Θλιβίας, θλαδίας σπάδων. ¶ Θλῖψις, στένωσις. λύπη.

Θ λάνχι, ἀποθανεῖν. ¶ Θνητίδια, νεκρίμαια.

Θ νήσκοντας, ἀποθνήσκοντας.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Ο.

Θ Οάζει, ζέχει, μαίνεται, σκιρτᾷ, κτένει, σπεύδει, ταράττει, κάθηται, χορεύει, αἰνύει, ἥδεται, τελεῖ, πλάττει. φοβεῖται, πλανᾶται, θεοφορεῖται. ¶ Θόαξος. ἀπόλλων.

Θ οάς. ὀξείας, ταχείας, τοῦ λακωνικοῦ ὁρμάς, ἢ ἡγεμὼν ἰταλίας, ἢ * ἐπὶ νήσους, ἢ τὰς ταχείας ναῦς.

Θ οὴ, ταχεῖα. ἡ νὺξ μέλαινα. δεινή. ὀξεῖα. ἰσχυρά.

Θ οὴν, διὰ τὴν νύκτα, θεῖαν, ταχεῖαν, ὀξεῖαν. ¶ Θοὴν ἀλεγύνετε δαῖτα, τὴν ἀπαθήν. ¶ Θοηρὸς, τεταραγμένος ἐστίν. ¶ Θοῇσι. ταχείαις, ναυσὶ θοῇσιν, ὅταν δὲ

κελα. ἢ θεοκέλευστα θεῖα θαυμάσια. ¶ Θέσεις, πράξεις, καὶ θεῖναι ποιῆσαι. ¶ Θέσμιον, δίκαιον.

Θ εσμοθέται, ἄρχοντες, νομοθέται νομοφύλακες οἱ τῶν νόμων ἐπιμεληταί. ¶ Θεσμῶν, θείων νόμων ἔθος νόμων. ¶ Θεσμοῖς, νόμοις. ¶ Θεσμοποιεῖς, νομοθετεῖς. ¶ Θεσμοὺς, νόμους θείους, ἢ τὰς συνθέσεις τῶν ξύλων. ¶ Θεσμοφορία, τὰ μυστήρια τῆς δήμητρος, ἢ ὄνομα ἑορτῆς. ¶ Θεσμοφόρους, ὁ θεσμοὺς φέρων ἤτοι νόμους. ¶ Θέσπιν, θείαν φωνήν.

Θ εσπέσιον, θεῖον περιαγώγιον, ὅταν δὲ λέγῃ, γνώσεαι εἰ καὶ θεσπεσίῃ πόλιν οὐκ ἀλαπάξεις, τῇ θειότητι λέγει, εἰ μὴ κατὰ τὴν συνεκδοχὴν ἀκούοιμεν θεσπεσίῃ, τῇ ἐκ θεῶν βουλήσει. ¶ Θεσπέσιος, θεῖος θαυμαστός.

Θ εσπεσίη, μεγάλη, πολλὴ θεία τῇ ἐκ θεοῦ βουλήσει.

Θ εσπεσιώτερον. ἀξιολογώτερον.

Θ εσπιαοιδὸς, ποιητής. ¶ Θεσπέσιοι, θεῖοι.

Θ εσπιδαὲς. θείως καιόμενον ἢ δαιόμενον. ¶ Θεσπιδαὲς πῦρ, τὸ θείως καιόμενον πῦρ. ¶ Θεσπιδὴς, θυσία, θεοσέβεια. ¶ Θεσπίζει, μαντεύεται, προφητεύει, ἐνθεάζει, νομοθετεῖ. ¶ Θέσπιν, θείαν, ἢ δῖαν, θαυμαστὴν φωνήν. ¶ Θεσπιόφημον, παροιμίαν τινά. ¶ Θεσπίσαι, προστάξαι, μαντεύσασθαι.

Θ έσπισμα, θεῖον δόγμα, νομοθεσία. ¶ Θεσπίσματα, μαντεύματα καὶ τὰ ὅμοια. ¶ Θέσπις, ἀγαθή. ἀληθής. ἰσχυρά. ἡ δῖα. ¶ Θεσπιῳδὸς, ἀληθὴς μάντις.

Θ έσπιος, ποταμὸς βοιωτίας. ¶ Θεσπρωτοὶ, ἔθνος, παρὰ θετταλίαν. ¶ Θέσσαλαι, αἱ κῶμαι παρὰ φιλήτα, καὶ αἱ φαρμακίδες. ¶ Θεσσαλὸν, ἐπὶ παροιμιῶδες, τασσόμενον ἐπὶ ἀπατῆς. ¶ Θεσσαλῶπις, ἐναγισμός τις παρὰ λάκωσι. ¶ Θέσσαντο. ἐζήτησαν, ἐκάθισαν. ἱκέτευσαν. ἐνεδύσαντο. ¶ Θέσσεσθαι, αἰτεῖν, κάθησθαι, ἱκετεύειν. ¶ Θεσσάμενος, δεόμενος ζητούμενος. ἱκετεύων. ¶ Θεστορίδης, θέστορος παῖς ὁ κάλχας. ¶ Θέσφατα, θεόφατα, μαντεύματα, ἐκ θεοῦ λεγόμενα, εἱρμαρμένα ἐκ μαντείας λεγόμενα.

Θ έσφατον, πολύφατον, ὑπὸ θεοῦ πεφατισμένον, θεῖον, μέγα, ἀργὸν ἄπρακτον, τὸ ἐκ θεοῦ μάντευμα, προφητεία. ¶ Θεσφατοῦται, θεσφατίζει, μαντεύεται περισσὰ λαλεῖ. ¶ Θετὴ, ποιητὴ θυγάτηρ.

Θ ετὸρ, ποιητὴς πράκτης.

Θ έτης, ὁ προθέμενος τί. ¶ Θετικὸν, τὸ ὀφειλόμενον γενέσθαι. ¶ Θέτις, ἡ μήτηρ ἀχιλλέως ἢ ἡ θάλασσα. ἡ δὲ γῆ λέγεται τηθύς. ¶ Θετὸν, εἰσποιητὸν οὐ γνήσιον. ¶ Θετταλικὰ πτερὰ, ἐπὶ εἴρηται, διὰ τὸ πτέρυγας ἔχειν τὰς θετταλικὰς χλαμύδας, πτέρυγες δὲ καλοῦνται, αἱ ἑκατέρωθεν γωνίαι, διὰ τὸ ἐοικέναι πτέρυξι. ¶ Θετταλικὴ, ἔνθεσις ἡ μεγάλη.

Θ ετταλικὸς δίφρος. διάφοροι εἰσὶ γὰρ κάλλει οἱ θετταλικοὶ δίφροι. ἴδιον γάρ τι γένος αὐτῶν κατεσκεύασται.

Θ ετταλίδες, ὑπόδημα ποιὸν, κρῆτες. ¶ Θετταλὸν σόφισμα, παροιμία ἐπὶ τῶν σοφιζομένων λεγομένη, καὶ μὴ εὐθυμαχούντων. ¶ Θεῦ, δεῦρο τρέχε.

Θ εύγεσθαι, θέλγεσθαι κρατεῖσθαι. ¶ Θευμορία. ἀπαρχὴ οὐσίας. ἢ ὃ λαμβάνουσιν οἱ ἱερεῖς κρέας ἐπειδὰν θύηται. θεοῦ μοῖρα. ¶ Θευμοριαζέτω, θεῷ γέρας ἀναφερέτω. ¶ Θευξένια, ἀπόλλωνος ἑορτή.

Θ εύσεσθαι, δραμεῖσθαι, διώξεσθαι. ¶ Θεύσεται, δραμεῖ. ¶ Θευσόμεθα, δραμούμεθα, φευξόμεθα, πλευσόμεθα. ¶ Θεύτην, σκαράδην ἱπποσώραξ. ¶ Θέων, βαδίζων· τρέχων. ¶ Θεώματα. τὰ περικαθάρτεια. ¶ Θεῶν ἀγορὰ, παροιμία ἐπὶ τῶν τολμώντων λέγειν, αὐτοὶ ὡς τοσοῦτον ὑπερέχουσιν ὅσον οἱ θεοὶ τῶν ἀνθρώπων. καὶ τόπος ἀθήνησιν ἀπὸ τοῦ συναγερθῆναι προσαγορευόμενος. ¶ Θεῶν ἐπὶ ἀλικολεώνης τόπος ἐπὶ τῆς ζοίας ὑψηλός. ¶ Θεῶν ἐν γούνασι κεῖται, παράκειται γὰρ θεῷ καὶ ἐν τῇ δυνάμει αὐτοῦ καὶ ἐξουσίᾳ κεῖται. ¶ Θεωρία, ὄψις θέα.

Θ εωρίδες, αἱ περὶ τὸν διόνυσον βάκχαι.

Θ εωρικὰ χρήματα, τὰ εἰς θεῶν τιμὰς καὶ ἑορτὰς διδόμενα ἐν τοῖς παναθηναίοις καὶ διονυσίοις, ἅτινα ἐν τῷ θεάτρῳ ἐδίδοτο, καὶ ἐκ τοῦ θεάτρου συνήγετο ἀπὸ μισθουμένου τόπου. ¶ Θεωρικὸν ἀργύριον, τὸ εἰς θεῶν τιμὴν καὶ ἑορτὴν διδόμενον, θεωρίας ἕνεκα τοῦ καὶ τοὺς πένητας μετέχειν τῶν θεωριῶν, καὶ πάντα τὰ διανεμόμενα θεωρικὰ ἐλέγετο. ¶ Θεωρικός. ὡς θεωρὸς ἐστεφανωμένος, θεωρικοὺς γὰρ ἐκάλουν, τοὺς τοῖς θεοῖς τὰς ἀπαρχὰς ἀπάγοντας, ἐστεφάνουν γὰρ αὐτοὶ τὰς ἀπήνας. ¶ Θεώριος ὁ ἀπόλλων. ¶ Θεωρὶς, κύριον ὄνομα. καὶ θεωρία καὶ ἡ σικυωνία τὸ γένος ἐρωμένη. ¶ Θεωροὶ, οἱ θεοπρόποι καὶ οἱ θεώμενοι, ἢ οἱ φροντίζοντες περὶ τὰ θεῖα. λέγουσι δὲ καὶ τὴν ὁδὸν δι' ἧς ἴασιν ἐπὶ τὰ ἱερὰ θεωρίδα. καὶ τὰ διανεμόμενα ἀργύρια ἐν ταῖς ἑορταῖς. θεωρικά. ¶ Θεωροὺς, θεωρητὰς, ἐπόπτας.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Η.

Ηβαῖος, ἔθνος. ¶ Θηβανὶς, ἄνεμος.

Θ ¶ Θήβανα, θήρα, ἐκ τοῦ πλησίου κόλπου πνέουσα. ¶ Θῆβαι, πόλις βοιωτίας καὶ κιβώτιον.

Θ ῆβος, θαῦμα. ¶ Θηγάνει, ὀξύνει.

Θ ηγάνεον. ὀξὺ, ἠκονημένον. ¶ Θηγάνη, ἀκόνη, λέγουσι δὲ τὸ θήγανον. ¶ Θήγειν, ἀκονᾶν, ὀξύνειν.

Θ ήγεια. θαύματα, ψιλά. ¶ Θήκη, θὴκ ἢ θέσις τάξις.

Θ ηκτὸν. οἱ δὲ, ὀξὺ ἀκόνητον. ¶ Θήγει. ἀκονᾶ, ὀξύνει.

Θ ηεῖσθαι, θαυμάζειν. ¶ Θηεῖτο, ἑώρα, ἐθαύμαζε.

Θ ηεύμενοι, θεωροῦντες. ¶ Θηεῦντο. ἐθαύμαζον.

Θ ηεῖν, ποιῆσαι, θέας ποιήσασθαι. ¶ Θήιμος, ἔθιμος.

Θ ήιμον, ἔθιμον. ¶ Θηήσασθαι, θεάσασθαι, θαυμάσαι.

Θ ηήσεται, θαυμάσεται. ¶ Θηητὴρ, θαυμαστής. θεατήρ.

Θ ηητὴς. ἀπατεὼν θεωρός. ¶ Θηητὸν, θαυμαστὸν καλόν. καταθύμιον, περικαλλές. σύμφορον.

Θ ηιστὸς, θαυμαστός. ¶ Θῆκαι. οἱ ἀπόθετοι νόμοι ἢ σοροί. ¶ Θήκατο, ἐπέθηκεν. ¶ Θηκία, τὰ ἐντάφια, δηλοῖ δὲ καὶ θησαυρὸν καὶ τάφον. καμψίον. γλωσσοκομεῖον. ¶ Θηκτὸν, ὀξύ. ἠκονημένον.

Θ ηλαί. τῶν μαστῶν τὰ ἄκρα καὶ τῶν χειλῶν τὰ ἐκπλυσσόμενα. ¶ Θηλαμινοῦ, νεογνοῦ. ¶ Θηλαμὼν. τάφος. ¶ Θήλαντο. ἐθήλαζον. ¶ Θηλάστρια τροφός. ἔστι δὲ ἰακκώ. σοφοκλῆς ἀλεξάνδρῳ.

Θ ῆλεα, ἱμάντων τὰ τετριμμένα, εἰς ἃ δοθεῖται τὰ ὀξέα. καὶ τῶν σπονδύλων τὰ κοῖλα. ¶ Θηλὴ, μαστός. ¶ Θηλητὴρ, κυνηγός. ¶ Θῆλυ, ἀσθενές.

Θεμερῶπις, ἐρασμία ἀγχόνη. ¶Θέμις, δίκαιον. ἄξιον. πρέπον. ἢ δίκη ἣ προσήκει. καὶ ἡ τιμὴ καὶ τὸ ἀξίωμα καὶ τὸ ἁρμόζον ἡ θέμις ἐστὶ νόμος.

Θεμιζέτω, μαστιγούτω, νομοθετείτω κρινέτω. ¶Θέμισις, δικαιοσύνη παρὰ πυθία. ¶Θέμιστα, ἔννομα; νόμιμα. ¶Θέμιστας, νόμους δίκας. ¶Θέμιστες, μαντεῖα χρησμοὶ δίκαια νόμοι. ¶Θεμιστεύει, ἄρχει κελεύει ἃ βούλεται δικάζει. ¶Θεμιστεύειν, νομοθετητέον. ¶Θεμιστεύοντα, δικάζοντα.

Θεμιστῆ, τῇ δίκῃ. ¶Θεμιστιάδαι, νύμφαι.

Θεμίστιον, δίκαιον. ¶Θεμιστός, δίκαιος βασιλεὺς ὅσιος. ¶Θεμινήσκουσα πρακτικὴ δύναμις ἀποτελεσμη, ¶Θεμιστεία, ὁσία. ¶Θεμιστοπόλοι, ἄρχοντες δίκαιοι. ¶Θεμιστέρων, συνετῶν.

Θέμιλα, θεμέλια ἕδραι βάθρα θεμέλια. ¶Θέναρ, τὸ κοῖλον τῆς χειρὸς καὶ τοῦ ποδός. ¶Θεμοῖς, διαθέσεις. παραινέσεις. ¶Θεμῶν, θελήμων.

Θέμωσιν, ἤγγισιν, ἐγγίσαι· ἐποίησεν, ἠνάγκασεν.

Θεναρίζει, τύπτει. ¶Θενέει, κόπτει, τύπτει.

Θένιοι, οἱ προσήκοντες. ¶Θεοβλαβίαν, οὕτως αἰσχίνης εἶπεν. ¶Θεοδέκτορα, θεὸν δεδεγμένην.

Θεοδαίσιος, διόνυσος. ¶Θεοδμήτων, ὑπὸ θεοῦ δεδομημένων. ¶Θεοκτίστων ὑπὸ θεοῦ ᾠκοδομημένων.

Θεοδόσια, ὑπὸ θεοῦ δεδομένα. ¶Θεόδυται, ἱδρύθηται

Θεόδωρος, θεοδώρους ἔλεγον οἱ κωμικοὶ τοὺς εὐρυπρώκτους, ἀπὸ θεοδώρου τινός, οὐκ εὖ τῆς ἑαυτοῦ ὥρας προεστηκότος. ¶Θεοειδηστίρας, θεῖα εἶδος ἢ ὁμοίωμα ἔχουσας. ¶Θεοειδής, καλός. θεοῦ εἶδος ἔχων.

Θεοείκελα, θεῖα θαύματα θεοῖς ὅμοια.

Θεόθεν, ἐκ θεοῦ. ¶Θεοεπεῖς, ἐκ θεοῦ ἐπιπεμπόμενοι ἢ λεγόμενοι. ¶Θεοὶ μολοττικοί, ἤτοι ὅτι διάφοροι οἱ κύνες οἱ μολοττικοὶ ἢ ὅτι ψυχοπομπεῖον ἐστὶ ἐν μολοσσοῖς. ¶Θεοινία, θυσία διονύσου ἀθήνησι. καὶ θεὸς θεοίνιος διόνυσος. ¶Θεοὶ ξενικοί, παρὰ ἀθηναίοις τιμῶνται, οὓς καταλέγει ἀπολλοφάνης ἐν κρησί.

Θεοῖο, τοῦ θεοῦ. ¶Θεοκήρυκες, γένος τὸ ἀπὸ τα λευδίου παρὰ ἐλευθερίοις. ¶Θεοκλυτεῖται, παρὰ θεοῦ ἀκούει. ¶Θεοκλυτήσαντες, θεοῦ ὑπακούσαντες, θεὸν ἐπικαλεσάμενοι. ¶Θεοκλυτοῦσαι, θεὸν ἐπικαλούμεναι. ¶Θεόκολος, ἱέρεια.

Θεοκτονῆ. δόξαν θείαν ἔχουσαν. ¶Θεομανεῖ, θεοφορεῖται, θεῖα φρονεῖ. ¶Θεόμορος, σώφρων.

Θεόντες, δέχοντες. ¶Θεοξένια κοινὴ ἑορτὴ πᾶσι τοῖς θεοῖς. ¶Θεόπαιστος, ὑπὸ θεοῦ παιόμενος, ἢ κιθάρα ὑπὸ θεοῦ δεδομένη. ¶Θεοπίς, ἀληθής. ἡδεῖα. ἀγαθή. ἰσχυρά. ¶Θεοπλάκτας, δεισιδαίμονας.

Θεοπνευστεῖν, ἐνθουσιᾶν. ¶Θεοπρεπής, θεῷ ἁρμόζοντος. ¶Θεοπρόπιον, μαντεῖον ἐκ θεοῦ.

Θεοπρόποι, προφῆται μάντεις ἐκ θεοῦ προλέγοντες.

Θεοπτίαν, θεοφανίαν. ¶Θεοπτίας, θείας θεωρίας

Θεόρητος, ὁ ὑπὸ θεοῦ παρορμώμενος. ¶Θεόρρυτον, ἐκ θεοῦ προιὸν ἐρχόμενον. ¶Θεός, σημεῖον ἢ ἀρχή.

Θεόσδοτος, ἐκ θεοῦ δεδομένος. ¶Θεὸς θεός. ἔθος ἦν ὅτε κατάρχοιντό τινος θεὸν λέγειν ἐπευφημιζομένοις. θεόστεπτον εἰς σεβασμόν. ¶Θεοσέπτωρ, θεοσεβής. ¶Θεοσκυνεῖ. θεοὺς τιμᾷ. ¶Θεοστυγής, μισούμενοι ὑπὸ θεοῦ. ¶Θεοταρπέσσοι, θεὸν τέρποντες.

Θεότευκτον, θεοκατασκεύαστον. ¶Θεουδία. θεοσέβεια.

Θεουδής, δίκαιος εὐσεβὴς εὐγνώμων θεοῖς ἀρέσκων.

Θεοίατορον, θεοτίμητον. ¶Θεαδής, θεῷ ἀρέσκων.

Θεουδέσι ὑπὸ θεοῦ δεδομένοις. ¶Θέουσα, δέχουσα.

Θεοεργικῆ, θεοὺς πειοῦσα. ¶Θεοφάντορας, ὑπὸ θεοῦ πεφημισμένους θεολόγους. ¶Θεοφωνα, ἐκ θεοῦ μεμηνότα. ¶Θεόφατα, ἐκ θεοῦ σημαινόμενα.

Θέσφατα, λόγια πεπρωμένα παρὰ ἄφατα ὑπὸ θεοῦ πεφημισμένα. ¶Θεσφατίζει, μαντεύεται, θεολογεῖ. ¶Θεόφιν, μήστωρ ἀτάλαντος, θεοῖς ἴσος ἐν τῷ βουλεύεσθαι, ¶Θεόφιν, θεοῖς ἐκ θεοῦ, τὸ γὰρ σχῆμα ἐστὶ πληθυντικὸν παραλόγιον. ξυνόφιν.

Θεόφοβος, θεοσεβής. ¶Θεόφρονα, θεοῦ γνώμη ἢ φράσις. ¶Θεοφραδίαις, θεοῦ γνώμαις. λόγοις, φράσεσι

Θεόφρονος, θείου. ¶Θεοφροσύνη, αἱ περὶ τὸ θεῖον διατριβαὶ καὶ αἱ μαντεῖαι. ¶Θεόπλανος, ἀπλόμενος.

Θεραπαινίς, δούλη. ¶Θέραπες, ὁμιλητήριον.

Θεραπευσία, θεραπεία. ἱκετεία.

Θεραπευτής, ἰατρός. ¶Θεραπίς, θεραπεύουσα.

Θεραπνίας, τὰς βωμολοχίας. ¶Θεράπναι, αὐλῶνες. σταθμοί. ¶Θεραπαινίδες. ἔριθοι.

Θεραπνατιδία, ἑορτὴ παρὰ λάκωσι.

Θεράπνη, θεραπαινίς. δούλη. ¶Θεράπνιον, θεραπαινίδιον, δουλίδιον. ¶Θεράποντες, διὸς βασιλεῖς.

Θεράποντες, οἱ ἐν δευτέρᾳ τάξει φίλοι. ἀπὸ τοῦ θεραπεύειν, δοῦλοί τε καὶ ὑπηρέται. ¶Θέραψ, θεράπων οἰκέτης δοῦλος ἀκόλουθος. ¶Θέρει; πρωί. θερμαίνει. ¶Θερελίμιον, τόπου ὄνομα καὶ ἀπόλλων καὶ ζεύς. ¶Θέρεσθαι, θερμαίνεσθαι, καίεσθαι, θάλπεσθαι, πρὸς ἥλιον χλιαίνεσθαι. ¶Θερέσιμον, θερεστικόν. ¶Θερήγανον, μέρος τῆς ἁμάξης, οἱ δὲ τὴν ἅμαξαν τὴν ἄγουσαν τὰ θέρη. ¶Θέριστρον, τὸ ἐστὶ τῶν ἁμαξῶν περίπλεγμα τὸ ἐστὶ τῇ τῶν ἀσταχύων περικομιδῇ γινόμενον. ¶Θέρηται, θέρεται, καίεται.

Θερίζει, ἐνδιατρίβει τῷ θέρει καὶ ἀλοᾷ.

Θερίκλειον, ποτήριον κόνδυ.

Θερινά, θέρος. ¶Θερίζεις, τὸ θέρος ἀπάγων.

Θέριστρον, λεπτὸν ὕφασμα θερινὸν ἱμάτιον. ¶Θερσίτης, ὄνομα κύριον. ¶Θερσίχεων, θερμαίνων γὰρ καίων. ¶Θέρμα, πυρετὸς ἀλέα καὶ ἐκεχειρία.

Θερμαστῆθεν, ἐκ καμίνων καὶ τὸ ἐπάνω ἐν τῇ κλίνῃ πάντων. ¶Θέρκτωρ, θάλπμα. ¶Θερμαστραι, κάμινοι. ¶Θερμαστρίς, σκεῦος παραπλήσιον καρκίνῳ, ᾧ χρῶνται οἱ χρυσοχοῖ καὶ ὄρχησις ἔντονος καὶ διάπυρος τάχους ἕνεκα. ¶Θερμεῖ. θερμαίνει.

Θέρμεσθαι, θερμαίνεσθαι. ¶Θέρμης, ὁ θέρους πνέων.

Θερμόν, τὸ θέρος βυζάντιον. ¶Θερμήπαλα, ἵππου νόσημα περὶ τοὺς πόδας. ¶Θερόμενος, θερμαινόμενος.

Θέρονται, καίονται, χλιαίνονται, θερμαίνονται.

Θέρος. στῖφος τοῦ θερίζειν ἡ ὥρα.

Θερσόμενος, θερμανθησόμενος ἀπὸ τοῦ θέρω ἐνεστῶτος.

Θερυράτορος, ὁ χλωρὸς σῖτος ἀμηθείς. ¶Θερτηεία, ἑορτή τις. ¶Θέσαι. θησαυρίσαι. ¶Θέσατο, ἐνεδύσατο. ¶Θέσθαι, ὑποθέσθαι. θησαυρίζεσθαι.

Θέσθω, εὐξεπιζέσθω. ¶Θέσκελα. θαυμαστὰ θεοει

ἡ θαργηλία μηλισία μὲν τὸ γένος, εὐπρεπὴς δὲ τὴν ὄψιν καὶ τἄλλα σοφή. ὥστε στρατηγεῖν πόλεις καὶ δυνάστας. διὸ καὶ πλείστων ἐγήματο τῶν διασημοτάτων.
Θ ἄργηλος. χύτρα, ἰδροῦ ἐψήματος. ¶ Θαρνεύει, ὀχλεύει. ὀχεύει, ἐπικίρει, φυτεύει. ¶ Θαρρία, τρασιά,
Θ ἄρνυσθαι, ὀχλεύει. ¶ Θάρνυται, μετεωρίζεται. θάρνυσθαι γὰρ τὸ κυΐσκεσθαι, νῦν δὲ νῦν δηλοῖ τὴν διὰ λόγων ἔντευξιν καὶ ὁμιλίαν. σημαίνει δὲ καὶ ὀχεύει
Θ ἄρνυται, περὶ συνουσίαν ὁμιλεῖ.
Θ ἄρρος, θάρσος. ¶ Θαρσαλέον, ῥᾴδιον. ¶ Θαρσαλέως, ῥᾳδίως. ¶ Θάρσος, ἢ θάρσος, τὸ θάρσος αὐθαίρεια δυναστεία. ¶ Θαρσύς, θρασύς. τεθαρρηκώς.
Θ ἄρσει, θάρρει. θράσει. ¶ Θαρρῶ, θρασύνομαι.
Θ αψία, ἅλμη, εἰς ἣν ὄψα ὀπτώμενα ἔβαπτον. καὶ ῥάφανος εἶδος. οἱ δὲ βαμμάτιον. ¶ Θασσόμεθα, καθήμεθα.
Θ άσιος, παῖς ἀγλαοφῶντος. ἔστι δὲ σημίδαλις τοῖς ἐρίοις γινομένη. ἀπὸ ἀγλαοῦ τοῦ ἐξ ἀρχῆς ποιήσαντος θασίου ὀνομασθεῖσα. ¶ Θάσσε, κάθισον.
Θ ᾶσσον, θᾶττον, τάχιον, ταχύτερον. ¶ Θάσσονας, ταχίονας. ¶ Θάσσοντας, καθημένους. ¶ Θάσσουσα, σπεύδουσα. ¶ Θάσσω, παρακαθέζομαι.
Θ άσσων, ταχύτερος, καθεζόμενος. ¶ Θαστεύεσθαι, ἀναβάλλεσθαι. ¶ Θάτας, θῆτας, τοὺς δούλους κύπριοι. ¶ Θάτερα, τὰ ἄλλα ἑκάτερα ἕτερα μέρη
Θ ατέρου, ἑνός. ¶ Θατῆρας, θεατάς. ¶ Θᾶττον, εὐθύς. τάχιον. ταχέως. ¶ Θᾶττον ἢ βούτης, παροιμία. περὶ τῶν ἐν τῇ στοᾷ μαχομένων τὸ ἦν ὧ ἐπιγραπτο. βούτης. τάσσεται δὲ ἡ παροιμία περὶ τῶν ῥᾳδίως συντελουμένων. καὶ γὰρ ὁ βούτης, ῥᾳδίως κατεσκεύαστο ἅτε οὐχ ὁλοκλήρου τοῦ σώματος γεγραμμένου. ¶ Θαυλακίζειν, μετὰ βοῆς ἀπαιτεῖν τι.
Θ αυλία, ἑορτὴ ταραντῖνοι, ἀχθεῖσα ὑπὸ κτεάτου, παρὸ καὶ θαυλίζειν λέγειν τοὺς δωριεῖς. ¶ Θαυλωνίδαι, γένος ἰθαγενῶν ἀθήνησι. ¶ Θαυμάζειν, θεάσασθαι καὶ μανθάνειν. ¶ Θαῦμα, ἔκπληξις ξένισμα
Θ αυμαίνει, θεωρεῖ, θαυμάζει.
Θ αυμαλέον, φοβερόν, θαυμαστόν. ¶ Θαυμακίη, πόλις. ¶ Θαυμανέοντες, θεώμενοι, ὀψόμενοι. αἰολικὰ θαυμανέοντες. τὸ δὲ καθ᾽ ἡμᾶς, θαυμάζειν, θεᾶσθαι λέγει, θεῖον δὲ κούρη, καὶ θηητὸς ῥεῖστος ὁ θαυμαστός. ¶ Θαυμάσιος, θαυμαστός. ¶ Θαύματα, ἃ οἱ θαυματοποιοὶ ἐπιδείκνυνται. ¶ Θαυματίζομαι, ἐκπλήττομαι. ¶ Θαῦμος, ἢ θαῦλος ἄρεσ μακεδόσι. ¶ Θαῦνον, θηρίον. ¶ Θαυλέα, οὐρὰ κέρκος. ¶ Θαυσίκει, θεωρεῖον. ¶ Θαχμῆναι, θωρηχθῆναι. δωριεῖς, ¶ Θάψαι, καρρύξαι, κάψαι, ἀπὸ τοῦ θάλπεσθαι. ¶ Θάψινον, τὸ ξανθὸν ἀπὸ τοῦ ξύλου τοῦ θάψου ὃ βάπτει ὧ ξανθίζουσι τὰ ἔρια καὶ τὰς κεφαλάς. τοῦτο τινὲς σκυθικὸν λέγουσι. καὶ ὁ τόπος παρ᾽ ᾧ φύεται τὸ ξύλον θάψος καλεῖται. ἔστι δὲ καὶ ῥίζα θαψία καλουμένη.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Ε.

Εα, ὦ μοῦσα. ¶ Θέα, σκόπει, θεώρει, ὅρα.
¶ Θεάμονας, θεατάς. ¶ Θέαν, ὄψιν.
¶ Θεωρίαν, ὄμματα. ¶ Θεαγγελεῖς, οἱ τὰς πανηγύρεις ἐπαγγέλλοντες. ¶ Θεαγενής, ὅσιος θεοσεβής. ¶ Θέαγον, τὸ θεῖον, ᾧ καθαίρουσι σαλαμίνιοι. ¶ Θέαμα, θεώρημα. ¶ Θεανὴ, νῆσος, ἡ ἐκ θεοῦ θεία, σοφοκλῆς τυροῖ ῥύπῳ. ¶ Θεανῶσαι, οἱ ξυστῆρες ὑπὸ θετταλῶν. ¶ Θέα παρ᾽ ἀεὶ γείρῳ, τόπος ἀγείρων ἐκ χωρίων ἐθεώρουν, εὐτελὴς δὲ ἐδόκει, ἡ ἐντεῦθεν θεωρία. μακρόθεν μὲν ἦν καὶ εὐώνου ὁ τόπος ἐπωλεῖτο. ¶ Θεατὸν, τὸ ἐκλεκτὸν, ὁρατὸν καὶ θεωρητόν. ¶ Θέατρον, θέαμα ἢ συνάθροισμα.
Θ έει, βρέχει. ¶ Θεῖν, θέειν, βρέχειν, δραμεῖν.
Θ έεν, ἔβρεχεν. ¶ Θεηγόρων. θείων ἢ ἐκ θεοῦ λαμβανόντων.
Θ εήλατον, ὑπὸ θεοῦ ἀπεσταλμένον ἢ πεμφθέν.
Θ εύσει, βρέχει. ¶ Θειαζόντων, μαινομένων.
Θ ίασος, χορός. ¶ Θειασμοῦ, δεισιδαιμονίας ἐνθουσιασμοῦ.
Θ ειασμοῖς, δεισιδαιμονίαις μαντείαις, ¶ Θιασῶται, χορευταί. ¶ Θεῖα, ἴνδαλμα καὶ θεοῖς ἐοικότα κύπριοι.
Θ είειν, δραμεῖν. ¶ Θείης, ποιήσειας. ¶ Θεητὸν, θαυμαστόν. ¶ Θηλόπεδα, ὁ τόπος ἐν ᾧ ξηραίνεται ἡ σταφυλή. εἴρηται δὲ ἀπὸ τοῦ θέρεσθαι ἐν τῷ ἡλίῳ καὶ τῷ πέλῳ. ¶ Θειμωνίαι, οἱ σωροὶ τῶν δραγμάτων.
Θ εῖναι, ποιῆσαι. ¶ Θοίναν, βρῶσιν, ἀνάλωμα.
Θ είνει, ποιεῖ, βρέχει, κτείνει, πλήσσει. ¶ Θῖνες, οἱ σωροὶ, ἤτοι βουνοὶ τῆς ψάμμου. ¶ Θεινομένην, τυπτομένην. ¶ Θεινῶν, αἱματηρῶν. ¶ Θειώμεθα, ποιήσωμεν. ¶ Θεῖον, θεάφιον, ἄπυρον ἄκαυστον.
Θ εἰός μοι, ἐκ θεοῦ μοι. ¶ Θεῖος, ὄνειρος, θεόπεμπτος. θεῖον θύουσιν αἰῶνα τὸ τῶν θεῶν ἄθροισμα, ἐν ᾧ αὐτῶν τὰ ἱερά. ¶ Θειοῦται, θείῳ καθαίρεται.
Θ εῖον, τὸ ἐκ θεοῦ ἀπεσταλμένον καὶ τὸ ἀξιόλογον, ὥστε θαυμάζεσθαι καὶ τὸ θεάφιον. ¶ Θείου πλῆρ. τοῦ κεραυνίου πυρὸς λέγει, ὀδμὴν γὰρ ἔχει ὁ κεραυνὸς θείου.
Θ εῖται, [illegible]. κομίζει. ¶ Θειάσω, καθαίρω.
Θ ειώσω. καθαίρω. ¶ Θέκλεον, καυμαστόν.
Θ έλγει, ἀπατᾷ. θάλπει ἀπὸ τοῦ εἰς τὸ θέλειν ἄγειν μαλάσσει. κηλεῖ. τέρπει. ¶ Θέλγητρα, εἰς ἡδονὴν ἄγοντα. ¶ Θέλγμα, θαῦμα. ¶ Θελγῖνες, οἱ τελχῖνες, γόητες πανοῦργοι φαρμακευταί. ¶ Θελγόμενον, ἀπατώμενον. λέγεται δὲ περὶ τῶν ἡδυνομένων τοῖς ᾄσμασι. ¶ Θέλειν. δύνασθαι. ¶ Θέλεμον, οἰκτρόν. ἥσυχον. ¶ Θελέμως. ἡσύχως. οἰκτρῶς.
Θ έλεμνον, ὅλον ἐκ ῥιζῶν. ¶ Θελδρόν, θελκτὸν καὶ τὸ θάλπον τὰ ὄμματα περὶ κακώσει. ¶ Θελκτὴς, προαιρετικός. ¶ Θέρκαλ, θέλγμα. ¶ Θέλγητρον, φίλτρον. χαρά. θαυμαστὸν καὶ τὸ ἐφελκυστικὸν μετά τινος ἀνάγκης. ¶ Θελκτήριοι, θεραπευτικοὶ ἄγοντες εἰς ἀπάτην. ¶ Θέλξας. καταπονήσας.
Θ ελξινία, ἥρα τιμᾶται παρὰ ἀθηναίοις. ¶ Θέλω, χρήζω. βούλομαι. εὐδοκῶ. ¶ Θέμα, ἕξις τόπος, στάσις μνῆμα. ¶ Θεμὰν, ἄνεμος νότος, ἢ ἀναρλή.
Θ εματίζει, ἀποτίθεται κυβερνᾷ. ¶ Θέμεθλα, ἕδραι βάθρα. ¶ Θέμεμα. θέσις. ῥίζαι. ¶ Θέμειλα, θεμέλιοι. ¶ Θεμειλωθέντα, ἐκ ῥιζῶν ἀρθέντα.
Θ έμεναι, καταβαλοῦσαι. ¶ Θέμενος. ἐνθείς: καταβαλών. ¶ Θεμέρη. βεβαία. σεμνή. εὐσταθής.
Θ έμερον. σεμνόν. ἀφ᾽ οὗ καὶ τὸ σεμνύνεσθαι θεμαρύνεσθαι.
Θ εμερόφρονας, συνετοὺς σώφρονας.

ΑΡΧΗ ΤΟΥ Θ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Α.

Θάασιν, ἐκαθέζετο. ¶ Θαάσσει. κάθηται. διατρίβει. ¶ Θαβακὸν, θακὸν, ὁ ὁμορόν.

Θαβὼρ, ὄρος συρίας. ¶ Θαγῆ, ἕξεις.

Θάεο, θεώρει. ¶ Θαζόμενος, σκώπτων.

Θάθει, ἐλαύνει. ¶ Θαιμὸς, οἰκία, σπόρος, φυτεία.

Θαιροδύται, οἱ ἐν τῷ ζυγῷ δακτύλιοι, δι᾽ ὧν οἱ ῥυτῆρες. ¶ Θαιροδύτης, ὁ δακτύλιος τοῦ ζυγοῦ.

Θαιρὸς, ὁ διοικῶν ἀπὸ τοῦ ἄνω μέρους ἕως κάτω στροφεὺς τῆς θύρας, ἢ ἄξων σοφοκλῆς τειρεσίᾳ πολέμῳ.

Θακεύουσι, κάθηνται εἰς τὰς χρείας.

Θάκος, καθέδρα. θρόνος. ¶ Θαλάμη, τρώγλη, θυρὶς καταδύσις. ¶ Θαλάμαι. στῆλαι ἐπικείμεναι τοῖς χείλεσι τῶν ἀποκόπων. ¶ Θαλαμηπόλος, ἡ περὶ τὸν κοιτῶνα ἢ περὶ τὸν θάλαμον διατρίβουσα, ἢ ἀνασκευάζουσα. ἀρχαίων δὲ, κοιτωνοφύλαξ, νυμφαγωγὸς. τοῦ θαλάμου ἐπιμελουμένη. Θαλάμια, κῶπαι αἱ κατωτάτω καὶ οἱ ταύτην ἔχοντες τὴν χώραν θαλάμιοι λέγονται. ¶ Θαλάμιος, ὁ κατωτάτω θαλάμιος ἐρέτης ὁ κατωτάτω ἐρέσσων ἐν τῇ νηΐ. ¶ Θαλάμιος λέγεται ὁ ἔσχατος. ὁ δὲ μέσος ζύγιος, ὁ δὲ ἀνώτατος θρανίτης. ¶ Θαλάμοισι νέοισι, κατεσκευασμένοις νεωστί. ἀπὸ γὰρ τοῖς γάμοις αὐτοῖς τῶν ἡμιθέων θαλάμοις ἐπίστευον, ὡς οὐκ ἔκπαλαι αὐτοῦ γεγαμηκότος. ¶ Θάλαμος. οἶκος. μυχός. νυμφικὸς οἶκος. ¶ Θαλάμων, ἄνασσα ἀφροδίτη.

Θάλασσα, κοίλη ἢ χειμέριος καὶ τὸ θάλασσον. ¶ Θαλασσεὺς, ἁλιεύς. ¶ Θαλάσσια, ἔργα ναυτικά.

Θαλάσσιος ζεὺς, ἐν σιδῶνι τιμᾶται. ¶ Θαλασσωθεὶς ἀγνισάμενος. ¶ Θαλάσσια. τὰ τῆς θαλάσσης.

Θαλαττοκοπεῖς, ματαιολογεῖς. ¶ Θαλαττοπορῆσαι. πλεῦσαι διὰ θαλάσσης. ¶ Θαλέει, θάλλει, αὐξεῖ.

Ἑτερονίδα. βυβλίον καινόν. ¶ Ἑτερόφθαλμος, μονόφθαλμος. ¶ Ἑτεροφυὲς, ἀλλοφυές.
Ἑτερόφυλος, ἀλλόφυλος. ¶ Ἐτέρσατο, ἐξηράνθη.
Ἔτερσεν, ἐφόβησεν. ¶ Ἐτέρσετο. ἐξηραίνετο.
Ἑτέρωθεν, ἀλλαχόθεν ἐκ τοῦ ἐναντίου, εἰς τὸ ἕτερον μέρος.
Ἑτέρωσε, εἰς τὸ ἕτερον μέρος. ¶ Ἔταισιν, ἑτέροις πολίταις. ¶ Ἐτεσκάφησαν, ἔκλιναν. ¶ Ἔται

Ἐσπέθα διπλοῦν. τὸ μὲν γὰρ ἐστὶ σπέθη καθυφαίνειν. τὸ
δὲ διαφορεῖν τὰ οἰκεῖα. ἔστιν ὃν διέφθειρεν ἢ ὕφαινεν ἀ
πὸ τῆς σπάθης. ❡ Ἐσπαθημένος, πεπυκνωμένος.
Ἐσπένδοκον, εἰς ὃν πάντας δεχόμενον. ❡ Ἐσπέρα
ξαν, διέφθειραν. ❡ Ἐσπειραίνωσι, περιετύλιξεν. ἔδη
σεν, ἔσφιγξε, πρὸς τὸν ζώνην. ❡ Ἐσπέρχων, ἐμ
περιεσπάσαι ὅσαν. ❡ Ἐσπέρθαι, εὖ συγκεκλεῖσθαι.
Ἐσπείρξεν, ἔσπειρεν. ❡ Ἐσπέσαντο, εἵλκυσαν.
Ἐσπασμένη, γεγυμνασμένη. ❡ Ἔσπεο, ἀκολούθεισ.
Ἐσπερέθοντα, ἑσπέρον, ἑσπεῖρον. ❡ Ἑσπέρια, δυτικὰ
μέρη. ❡ Ἑσπερίδων μῆλα, ἐν λακεδαιμονίᾳ ὑπὸ
τά τινα μῆλα. ❡ Ἑσπέριον, ξένον τὸν ἑσπέρας ὄκον
τα. ❡ Ἑσπέριος, ἕσπερος. ❡ Ἐσπερξάμην, ἐπεί
λεσα ὠργίσθην. ❡ Ἕσπερον κέλευθον, τὸν ἑσπέραν
ὁδόν. ❡ Ἕσπερ' ὀπίσω, εἰς τὸ μέλλον.
Ἕσπερος, ὁ ἀστὴρ ἕσπερος ὃς κάλλιστος. ❡ Ἐσπερχεμέ
νη πειθεῖν, ἤλαυνεν. ❡ Ἕσπετε, εἴπατε, διηγεῖσθε, ἀ
κολουθεῖτε, ἱστορεῖτε, ἀκούσατε. ❡ Ἕσπετο, ἠκολού
θησεν. ❡ Ἐσπεύσεν, ἐπέχυσεν. ❡ Ἐσπίλη, ἱκέ
τευσε πρὸς παλίαν ἀφίκετο. ❡ Ἐσπινθεύετο, * ἐξέ
ρουτο. ❡ Ἔσπισε, προσήνεγκεν, ἔθυσεν. ❡ Ἐσπλα
σίον, ἄλλον εἰς ἄλλον τὸν ἐγγὺς πρὸς τὸν πλησίον.
Ἐσποθερωεῖς, πόθεν οἴκεις. πάτριος. ❡ Ἐσπόμεθα, ἀκο
λουθήσομεν. ❡ Ἑσπόμενοι, ἀκολουθοῦντες.
Ἐσπωμένου, ἀποσπῶντος, ἁρπάζοντος. ❡ Ἐσπούδα
σεν, ἠσφάλισεν. ❡ Ἐσπούδαζεν, ἐκτένισεν. ❡ Ἐσπυρ
ροβίζομεν. εἰς πῦρ διηρεῖτο. ❡ Ἐσσας. καθίσας
Ἐσσάμενος, ἐνδυσάμενος. ❡ Ἐσσᾶσθαι, περιβαλέσθαι.
Ἕσσεσθαι, ἐννυνέχεσθαι. ❡ Ἐσσὶ, ὑπάρχεις. ❡ Ἔσσεν,
ἐνέδυσεν, εἷσεν, ἐκάθισεν. ❡ Ἔσσευαν, ἐδίωκον.
Ἐσσεύαντο, ὤρχοντο. ❡ Ἐσσεύαντο, ἔτρεχον, ἐδίωκον,
ὥρμων. ❡ Ἔσσυται, ὥρμηται. ❡ Ἐσσόμαι,
ἐλύπησεν. ❡ Ἐσσὴν, βασιλεύς. ἡγεμών. ❡ Ἐσσῆαι,
ἐκχέαι. ❡ * Ἐσσοῦ, ἐχούσῃ. ❡ Ἐσσῆνοι, μάντεις.
Ἔσσεται, γενήσεται. ❡ Ἔσσεται, ἔσται. ❡ Ἐσσίνευ
σεν. ἐσίνευσεν. ❡ Ἐσσίταλα, πρόσοδος, ἐμπόλη.
Ἕσσο, ἐνέδυσο. ❡ Ἐσσὸν, ἱμάτιον. ❡ Ἐσσυμένον,
τεθορυβημένον, ὡρμημένον. ❡ Ἐσσυμένοις μετὰ
γενεῖσιν. ❡ Ἐσσοῦσθαι, ἐννυνέχεσθαι. ❡ Ἐσσυμένη,
προθυμουμένον. ❡ Ἐσσυμένως. ταχέως, προθύ
μως, ὁπεισμένως. ❡ Ἐσσύων, ἐπορεύοντο, ὥρμων.
Ἔσσυτο, ὥρμησεν, ἔθανεν. ❡ Ἐσσύτερον, ἰσχυρότερον.
Ἐσσυρόν, βλοσυρόν, δοκερόν. ❡ Ἐσύλα, ἀφῄρει, ἐσκο
νηρεύετο. ❡ Ἐσκύλευεν, ἐγύμνου ἐλάμβανεν.
Ἐσταθευμένος, ἠρέμα ὑπὸ πυρὸς ὀπτημένος, σταθεῦσαι
γὰρ τὸ πυρὶ ἡσυχῇ χλιᾶναι κρέας ἢ ὁτιοῦν.
Ἐστὰ, ἐνδύματα. ❡ Ἔσται, γενήσεται, ὁ μέχρι τέλους
Ἐστάμεν, ἐστάναι. ❡ Ἕστακε, κεῖται. ❡ Ἐστάλα
ξεν, ἔσταξεν. ❡ Ἕσταμεν, ἑστήκαμεν. ❡ Ἐστάμεναι,
ἐστολισμέναι οὖσαι. ❡ Ἐσταλωπία, ἡ τῶν ἱματί
ων ἀγορὰ ὑπὸ ταραντίνων. ❡ Ἐσταλάδηντο. ἐστολι
σμένοι ἦσαν. ❡ Ἐστάμενον, περιστιλβὸν ❡ Ἔσταξεν
ἔρανεν. ❡ Ἔστ' ἂν, ἕως οὗ, ὅτε ἂν, ὃ ἔστησαν.
Ἐστάότα, ἱστάμενα. ❡ Ἔστασαν, ἑστήκασιν. ❡ Ἔστησαν,
ἐδίκασαν στασιμῶ. ❡ Ἔστατο, ἐκάθητο. ❡ Ἐστὲ,
ὑμεῖς ὑπάρχετε ὀξυτόνως βαρυτόνως δὲ εἴητε,

Ἐστείρωται, συνείληπται, συνέσταλται. ❡ Ἐστίλα
ρ, ἔπεμψεν. ❡ Ἔστειλεν ὁμοίως. ❡ Ἐστείλαντο,
συνέστειλαν ἢ ἀπέστειλαν. ❡ Ἔστειλον. ἔστειλεν.
Ἐστέλλετο, ὁρμάζετο. ❡ Ἐσταλμένον, ἐξεφθαρμένον.
Ἐστελώθη. ἐπάγη. ❡ Ἐστεφάνωται, περιέχει.
Ἐστέφθαι, κεκοσμῆσθαι, ἐστεφανῶσθαι. ❡ Ἐστη, στάλη
κύπριοι. ἠγέρθη. ἵστη. ❡ Ἐστηλίτευται. δεδημο
σίευται. ❡ Ἐστήλωσε, εἱστήκει. ❡ Ἐστήξεται, σαθόσε
ται. ❡ Ἐστηρίξαντο, ἐνήρεισαν. ❡ Ἐστήριξε, ἐστε
ρέωσεν. ❡ Ἔστησαν, εἵλοντο. ❡ Ἑστία, βωμὸς ἢ οἰκία.
Ἑστιάθη, εὐωχήθη, εὐφράνθη. ❡ Ἑστιαία. ἡ πάλαι πα
λαντία ὀνομαζομένη. ❡ Ἑστίαι, θυόμεναι ἦσάν τινες
θυσίαι, ἀφ' ὧν οὐχ οἷόν τε ἦν μεταδοῦναι ἢ ἐξενεγκεῖν.
Ἑστιᾶν, τρέφειν, ἀριστεύειν. ❡ * Ἔστησεν, ηὔφρανεν.
Ἑστίασις, εὐωχία τροφὴ οἰκία. ❡ Ἑστίας χῶρος, μέρος
τῆς ὄπαρος ἐν θυτικῇ. ❡ Ἑστιατὴρ, ὁ δοκιμαζόμενος.
Ἑστιαρεία, εὐωχία. ❡ Ἑστιάτων ὁ δειπνίζων, ὁ εἰς
εὐφροσύνην καὶ εὐωχίαν καλῶν ὅθεν τροφεύς.
Ἐστίβακα, πεπάτηκα. ❡ Ἑστιᾶχος, οἰκουρός, οἰκώναξ
καὶ ζεὺς παρ' ἴωσιν. ❡ Ἔστιβεν, ἐπάλυνεν.
Ἑστιμένην, οἰκίαν ὑποκειμένην χρεώστης. ❡ Ἑστία
πῦρ καὶ γῆ καὶ ἡ θεός. ❡ Ἔστ' ἄρα, ἐστὶν ὡς ἔοικεν.
Ἐστίχεται, ἔρχεται. ❡ Ἐστίχοον, ἐβάδιζον. ❡ Ἐστι
χόωντο, ἐπορεύοντο, ἠκολούθουν, εἵποντο στοιχηδόν.
Ἑστιώμενοι, ἐσθίοντες εὐωχούμενοι. ❡ Ἑστιῶν, ἀριστο
ποιῶν. ❡ Ἑστιῶντος, ἀριστοποιοῦντος. ❡ Ἔστο, πε
ριβέβληο. ❡ Ἐστοιβασμένη, συγκειμένη, συνθέσις
Ἔστοκα, ἐνίοτε παρὰ ταραντίνοις. ❡ Ἐστόμφασε,
ἠλαζονεύσατο μὲν, στόμφος γὰρ ἡ ἀλαζονεία.
Ἐς τὸν λιμένα, εἰς τὸν λιμένα. ἀριστοφάνης ἐν βαβυλω
νίοις, περὶ τὴν παροιμίαν ἀττικῶς ἐς λιμένα. οἱ γὰρ
ἀθηναῖοι συντόμως ἔλαυνον καταπλέοντες διὰ τὸ
θεωρεῖσθαι ὑπὸ τῶν ἐκ πλοιός. ❡ Ἐστόρα, τὸ κοί
λωμα τῆς ἁρματίου ὅτι ζυγοῦ ἔνθα ὁ πάσσαλος τῶν ἵπ
πων ἐντίθεται, ἢ τὸν πρῶτον κρίκον τῆς ῥυμοῦ. οἱ δὲ καὶ
τὰ ἀρίσταρχον, τὸν πάσσαλον τὸν πεπηγότα περὶ ἄ
κρον τῶν ῥυμῶν περὶ ὃν δεσμεῖται καὶ εἱλεῖται τὰ ζυ
γόδεσμα. ❡ Ἐστόρεσαν, ἐστρώσαν. ❡ Ἐστορέσθη,
ἐστορήθη. ἐστρώθη. ❡ Ἐστόρχαζον, ἔκλαιον. ❡ Ἐστρέ
βλου, ἐβασάνιζεν. ❡ Ἐστρατόωντο, ἐστρατοπέδευον
το. ❡ Ἐστρῆνες, σειρῆνες. ❡ Ἐστυμαι, κατεσύ
γκωμαι. ❡ Ἐστύγει. κατεπλάγη. ❡ Ἔστυρον,
ἔδυσαν. ἐμίσησαν. κατεστύγνασαν. ❡ Ἐστυφέλιξε,
διέσεισε, προεπηλάκισεν. ❡ Ἔστω, γενέσθω.
Ἔστωρ σφὴν ἔμβολος, γόμφος, στῦλος. ἐν ᾧ ὁ ζυγὸς πρὸς
δεῖται. ❡ Ἐσύλα, ἐγύμνου. ἀφῄρει. ❡ Ἐσύλευον,
ἐσκύλευον. ❡ Ἐσφάδαζον, διεσπαίρον, ἐφρόντιζον.
Ἐσφάλιξεν, ἔσφηλεν, ἔδησε, σφαλὸς γὰρ ὁ δεσμός.
Ἐσφαλτο, διημαρτήκει. ❡ Ἐσφάραγιζον. ἐδόνουν
μετὰ ψόφου ἤχουν. ❡ Ἐσφηκωμένον, ἐσφιγμένον.
Ἐσφήκωντο, ἐδέδεντο, ἐσφιγμένοι ἦσαν συνεσφιγμένοι.
Ἔσφηλεν, σφαλῆναι ἐποίησεν. κατέβαλεν. ❡ Ἐσφή
κωνται, καταπεπλεγμένοι ἦσαν καὶ συνεσφιγμένοι.
Ἐσφοινικίδα. αἵματι ῥυὲν ποιῆσαι. ❡ Ἐσφρεάτου,
ἔν τι τῶν ἀρχαίων δικαστηρίων ἀθήνησιν ἐν φρεάτου
λεγόμενον, ἔνθα ἐκρίνοντο οἱ φυγάδες οἱ δράσαντες ἐν

μένομ. ¶ Ἔρχεο, ἔρχου, πορεύου.

Ἔ ρχαται, πέφρακται, συνέχονται. ¶ Ἔρχατος, φραγμός. ¶ Ἐρχατόωνται, συνέχονται. ¶ Ἐρχεία, δῆμος φυλῆς ἐκ αἰγηΐδος. ¶ Ἔρχεο, ἀπέρχου, ἔρχου. ¶ Ἐρχθέντα, ἐρύλαπι πνιγέντα.

Ἔ ρχομαι, ἀπέρχομαι λέξω μέλλω λέγειν. ¶ Ἐρῶ, λέξω. εἴπω. λέγω. ¶ Ἐρωάζει, ἡσυχάζει. ¶ Ἐρωγάς, ἐρωδιός. ¶ Ἐρωδιὸς, εἶδος ὀρνέου. ¶ Ἐρωὴ, ὁρμή. ὑποχώρησις, ῥεῦσις. κώλυσις. ¶ Ἐρωδιὸς ἅμαξα. ¶ Ἐρωῆσαι, ἡσυχάσαι, χωρῆσαι. κωλῦσαι. ὑποχωρῆσαι.

Ἐ ρωήσει. χωρήσει. ῥεύσει. καὶ τὰ ὅμοια. ¶ Ἐρωεῖ, ὑποχωρεῖ, ὑποχωρεῖ. ¶ Ἔρωτι, ἔχοντι. ¶ Ἐρωΐα, ἐρωμένη ¶ Ἔρωκε, κώλυε. ¶ Ἔρομαί σε, ἐρωτῶ σε.

Ἐ ρώμεθα, ἐρωτησώμεθα, πυθώμεθα, ἀπαιτώμεθα.

Ἐ ρωμένη, ἀπαιτουμένη, ἀπαιτηθεῖσα. ¶ Ἐρόμενος, ἀπαιτούμενος, ἐρωτήσας διὰ τοῦ ο. ¶ Ἐρωμένοις, ἐρωτῶντας, ἠγαπημένοις διὰ τοῦ ω. ¶ Ἐρωμήσει, ῥωμαλέως βαδίσει. ¶ Ἐρῶν, ἐρωτῶν, ποθῶν, λέγων. ¶ Ἐρωπείομεν, προεπωλοῦμεν. ¶ Ἔρως, πόθος, ἀγάπη φιλία. ¶ Ἐρωήσει, ῥεύσει. ¶ Ἔρωσις, ἐρώμενος.

Ἔ ρωτι, προθυμία. ¶ Ἐρώπιον, ἐρώμενον ταραντίνοις.

ΤΟ Ε ΜΕΤΑ ΤΟΥ Σ.

Ἐ σαθρεῖν, ἐνατενίζειν. ¶ Ἐσαθυνέλιζεν, ἤκαλλεν. ¶ Ἐσαεὶ, διαπαντός. ¶ Ἐσάκουσεν, εἰσήκουσεν. ¶ Ἐσαλάλαζεν, ἐποτνίαζεν.

Ἐ σαμεν, ἐθεωροῦμεν λάκωνες. ¶ Ἔσαν. ἦσαν ἐπορεύοντο. ¶ Ἐσάπαξεν. εἰς ἅπαξαν. ¶ Ἐσαολίδα, εἰς τὸν λιμένα. ¶ Ἐσαῶ, εἰς μίαν ἡμέραν. ¶ Ἐσαῶθεν ἐσώθην. ¶ Ἐσαώρας, εἰς καιρούς. ¶ Ἐσάωσεν, ἔσωσεν. ¶ Ἔσβη, ἐσβέσθη. ¶ Ἔσβηκε, πέπαυται πνέων ἐσβέσθη. ¶ Ἐσβίωνες, εἶδος κτηνείου. ¶ Ἐσβοθὺν, εἶδος παιδιᾶς ταραντίνοις. ¶ Ἐσγεμίας, κατὰ τὸ αὐτό. ¶ Ἐσδ' ἄγε, εἰσήγαγε δέ. ¶ Ἐσδὲ, εἰς δέ.

Ἐ σδικάδας, εἰς δικανίας. ¶ Ἐσδ' ἐρέτας, εἰς ταύτην δὲ κωπηλάτας. ¶ Ἐσδῆριν, εἰς μάχην. ¶ Ἐσδόκην, εἰς ἐνέδραν. ¶ Ἐσδραμύλιξον, εἰσδράμε. ¶ Ἐσεβάσθησαν, σεβάσμασι προσεκύνησαν. ¶ Ἐσεβὼν, διαλογισμὸς ἢ ποταμὸς μωαβιτικῆς χώρας ἄκαρπα.

Ἐ σεβάσατο θυμὸν, καθήψατο τῆς ψυχῆς ἐλύπησεν εἰς τὸν θυμὸν ἐμάστιξεν. ¶ Ἐσεμάχθην. ἐβλάβην. ἐκολάσθην. ¶ Ἐσείνας, εἰς τρίτην ἡμέραν. ¶ Ἐισειρυσε, ἐγκλείσειν ¶ Ἔσεσθαι, γενήσεσθαι. ¶ Ἐσεῖσε, ὥρμησε. ἐποίησε. ἔδοξα. εἰς φυγὴν ἔτρεψε. ¶ Ἐσεῖναι, ὤρχουν, ἐποίαζον. ¶ Ἐσεσφάλισται, λαθεῖν λάκωνες. ¶ Ἐσέφθην, ἐσβέσθην, ἡσύχασα, ἠχύνθην σοφοκλῆς. παιδιά. ¶ Ἐσέχυντο, ἀθρόως προήεσαν σωρηδόν. ¶ Ἐσηκάθειον, ἄγαν θαυμαστόν.

Ἐ σήκασθεν, συνεκλείσθησαν κατὰ σηκοὺς ἠλάσθησαν. κυρίως ἐπὶ προβάτων. ¶ Ἐσήλατο, εἰσῆλθε λαβὼν, ἢ ἔσεισεν κατέβαλεν ἐτίναξε. κατέπεσεν.

Ἐ σημήναντο, ἐφανέρωσαν. ¶ Ἐσημειώθη, ἐτυπώθη. ¶ Ἐς θέτιν, εἰς θεωρίαν. ¶ Ἔσθενεν, ἴσχυεν.

Ἐ σθήματα, ἱμάτια. ¶ Ἔσθιε, ἀνάλισκε ζωήν.

Ἐ σθλὰ, ἀγαθά. ¶ Ἐσθλαί. ξύλινα παίγνια ἀμαθοῦσιν καλὰ ἐσθλὰ ὀρθά. ¶ Ἔσθονον, ἔγνωσαν. ¶ Ἔσθος

ρεν, εἰσεπήδησεν. ¶ Ἔσθος περίβλημα ἱμάτιον αὐδὴ τέρεως. ¶ Ἔσθ' ὅτε, ἔστιν ὅτε ἤ ἴσως ἐνίοτε πολλάκις.

Ἔ σθων, ζῶον. ¶ Ἐσιάλλοντι, ἐκτείνουσιν, ἐκπέμπουσιν.

Ἐ σιάθη, ἐσιωπήθη. ¶ Ἐσιώθην, ἐσώθη. ¶ Ἐσιονίαν, εἰσκοπρῶνα. ¶ Ἐσιναμώρευον, ἐσίνοντο, μεμωρημένοι ἦσαν. ¶ Ἐσίνετο, ἔβλαψεν. ¶ Ἐσίνευσεν, ἐσήμηνεν. ¶ Ἐσιτήριον, τὸ ἐμμέσῳ αὔλημα. ¶ Ἐσιτίσκοντο, ἐμέτρουν τὸν σῖτον, ἤσθιον. ¶ Ἐσίχναι, συζχαράξαι καὶ συμπηκτεῦσαι λάκωνες. ¶ Ἔσκαζεν, ἐχώλαινεν. ¶ Ἐσκαιρὸν, εὐκαίρως. ¶ Ἐσκάλευεν ἐκίνει, ἐώρυαζεν, ἀνελογίζετο. ¶ Ἔσκαλλον, ἀνεζήτουν, ἀνηρεύνων. ¶ Ἐσκαλλογράφειν, καλλιγραφεῖν.

Ἐ σκαπέμιζεν, ἐσκάριζεν. ¶ Ἔσκεν, ἦν. ὑπῆρχεν.

Ἐ σκέδασε, διέφθειρε, διεσκέδασεν. ¶ Ἐσκευώρησεν, ἔβλαψεν, ἐπεβούλευσεν. ¶ Ἐσκήνωσεν. ᾤκησεν.

Ἐ σκήψαντο, ἐγνώσαν. ¶ Ἐσκίδαμαν, ἐπέτυχον λάκωνες. ¶ Ἐσκίδναντο, ἐσκορπίζοντο, ἐσκεδάζοντο.

Ἔ σκιμψεν, ἐνέσκηψεν. ¶ Ἐσκίμψαντο, ἐπεχείρησαν.

Ἐ σκλείει, ξηραίνεται. ¶ Ἔσκλεπεν, διέτριβεν. ¶ Ἐσκληκότα, ἀντὶ τοῦ προσλιπαίνοντα ἐπὶ τοῦ προεξηραινομένων, οἱ δ' ἀφινήσοντα νεύρων ἐσκληκότα ἀντὶ τοῦ προεξηραινομένων. ¶ Ἐσκλήπτηρ. ὁ δοκιμαζόμενος.

Ἐ σκληθὲς, ἡ τῶν ἐξοχῶν ἀνάθροισις ἐν συρακούσαις.

Ἐ σκνῆσθαι, ξυρῆσαι. ¶ Ἔσκον. ἦμεν, ὑπῆρχον

Ἐ σκολυμμένον, ἀποσεσυρμένον. ¶ Ἐς κόρακας, εἰς ἔρημον, εἰς τὸ σκότος. εἰς ὄλεθρον. ¶ Ἐσκοράκισεν, ἐλοιδόρησεν. ¶ Ἐσκοροδινήθη, ἐχασμήσατο. ¶ Ἐσκοροδισμένους, σκόροδα βεβρωκὼς ἀριστοφάνης ἐν ἀχαρνεῦσι παίζει, ἅμα μὲν ὅτι σκοροδοφαγοῦσι οἱ θρᾶκες. ἅμα δὲ ὅτι προξύνονται οἱ ἀλέκτορες πρὸς τὰς μάχας, ὅταν ἐμφάγωσι τῶν σκορόδων. ¶ Ἐσκόροδοι, τόρμοι. ¶ Ἐσκουλεὸν, εἰς τὴν ξιφοθήκην. ¶ Ἐσκύζοντο. ἐμέμφοντο. ¶ Ἐσκυθισμένης, κεκαρμένης.

Ἔ σκύκλωνται, διεσκεδασμένοι εἰσίν. ¶ Ἐσκύλατο, διεσπάσατο. ¶ Ἐσκύλευον. ἐγύμνουν τῶν ὅπλων.

Ἐ σκύλευσεν, ἐρήμωσεν. ¶ Ἐσκυλῶσθαι, ἀπὸ τοῦ σκυλοῦν τὸ κεκαλύφθαι. ¶ Ἐσθλῶν, ἀγαθῶν.

Ἐ σμαστύμενος, ἐμβαλλόμενος. ¶ Ἐσμαντευόμενον, ζητοῦντα, ἐρευνῶντα, κακοπαθοῦντα. ¶ Ἐσμέσον, τὸ δίκαιον. ¶ Ἐς μέσον ἀμφοτέροισι, μεσολαβήσατε τὸ πρᾶγμα ἢ τὴν δίκην. ¶ Ἐς μέσον συνήεσαν, εἰς τὸ φανερὸν ἀλλήλοις ὡμολόγησαν. ¶ Ἐσμεν, ὑπάρχομεν. ¶ Ἐσμιλευμένος. κατακεκομμένος.

Ἐ σμὸς. ὄχλος, πλῆθος. συναθροισμός, κυρίως δὲ τῶν μελισσῶν ἀθροίσματος. ¶ Ἔσμιον. νόστιμον.

Ἐ σμονῶ, ἐξελεύσομαι. ¶ Ἐσμὸς, ὁ δὸς δεσμός. πλῆθος, κρύπτειν. ¶ Ἔσμυξα, ἐφθάρη. ¶ Ἐσμυρριχμέναι μεμυρισμέναι. ¶ Ἐσμυρνισμένον, διασμυρνήσαντα. ¶ Ἐσμυρνισμένον, χρίσματα, ἔχοντα σμύρνης. ἐνεστυμμένον. ¶ Ἔσμωξεν. ἐπάταξεν. ἔπαισεν.

Ἔ σο, γενοῦ. ¶ Ἐσοψέδην. εἰς ἐμφάνειαν. ¶ Ἐσόλεθρον, εἰς ᾅδην. ¶ Ἐσόμεθα, βιώσομεν, ¶ Ἐσομένοις, γινωσομένοις. ¶ Ἔσονται. γενήσονται. ¶ Ἔσοπτρον, κάτοπτρον. ¶ Ἐσόρα, ὄπισθεν ὀπίσω. ¶ Ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν. ἐνδοῦσ βέλους γενέσθαι. ¶ Ἐς ὅταν. μέχρις ὅτου. ἄχρι. ¶ Ἐσοφισάμεθα, ἐτεχνασάμεθα.

Ἐρνοκόμων, πόλις Λακεδαιμονίων.
Ἔρνος, κλάδος. στέλεχος, δένδρον εὐθαλές. βλάστημα, φυτόν. ¶ Ἐρνύτας, ἔρνη, βλαστήματα, κλάδοι.
Ἕρξεν, ἔπραξεν. ¶ Ἕρξιν, ἡ ἔδρα. ¶ Ἕρξον, ποίησον, πρᾶξον λῦσον. πνῖξον. θῦσον. κώλυσον.
Ἐρόεντα. ἐπέραστα. ¶ * Ἔρεικοι, καινοί. ¶ Ἐρόδια, ἔργα. ¶ Ἐροιάδαι, δῆμος ἐν ὑποθοωντίδος φυλῆς. ¶ Ἔροιτο, ἐρωτήσειεν, ἐπύθετο.
Ἐρόμενος, ἐρωτῶν πυθόμενος. ¶ Ἐρωμένῳ, φίλῳ ἐρωτῶντι. ¶ Ἔρον, ἐπιθυμίαν, αἰσχρῶς, ἔρωτα.
Ἐρῶντι μάλα, λίαν πάνυ. ¶ Ἐροτὴν, ἑορτήν. ἐροῦντες, λέγοντες κύπριοι. ¶ Ἔρσα, πορεύου ἀναπαύου.
Ἔροψ, ὄρνις ποιός. ¶ Ἔρπε, βάδιζε. ¶ Ἐροτὴ, ἑορτὴ πανήγυρις. ¶ Ἐρπέδωνα, ἐπίπεδον.
Ἕρπει, βαδίζει τῇ κοιλίᾳ περιπατεῖ πλανᾶται.
Ἑρπετὰ, τὰ ἄποδα. κυρίως δὲ εἰς τὴν ἔραν πεπτωκότα. καταχρηστικῶς δὲ καὶ τὰ λοιπὰ τῶν ἀλόγων ζώων, καὶ ἄνθρωποι. γίνεται γὰρ καὶ ἐπίγεια πάντα.
Ἑρπύζει, ἑρπυστάζει κυρίως δὲ πορεύεσθαι, μετὰ φθορᾶς βαδίζει ἢ πορεύεται. ¶ Ἑρπυλλὶς, τέττιξ.
Ἑρπύσῃ, βαδίσῃ. ¶ Ἑρπυσμὸς, ἡ φωνὴ τῶν χοίρων.
Ἕρυγξ, τὸ ἕρκος τῶν πρασιῶν. ¶ Ἔρυμα, φρούριον, ἀσφάλισμα, κώλυμα. ¶ Ἐρυμία, ἀσφάλεια.
Ἕρρα, ζιζάνια. ¶ Ἐρράγη. ἐσπάσθη. ἐσχίσθη, ἠνοίχθη.
Ἐρράδαται, ἐρραμμένοι εἰσίν. ¶ Ἐρράδατο, ἔρραντο, ἐπέφυρτο. ¶ Ἔρρε δὲ, ἔρεε δὲ, ἐλθὲ ὧδε. ¶ Ἐρραθαίγει, ἐκράτει. ¶ Ἐρραθάμιζε, ἐρόφει. ¶ Ἐρράδαινεν, ὕγραινεν κατέβρεχεν. ¶ Ἐρραίσθη, διεφθάρη. ¶ Ἐρρίσως, ταχέως. ¶ Ἐρραγίως, ταχέως.
Ἐρράσ. κενός. ¶ Ἐρράχιζον, διέκοπτον. ¶ Ἐρράπτομεν, ἐβουλευόμεθα. ¶ Ἐρραχώθης, ὑβρίσθης, ἐραπίσθης. ¶ Ἔρρε, φθείρου ἀποχώρησον. ¶ Ἔρρει, ἀπώλεν, ἔφθαρται, οἱ δὲ, ἔρρεεν. ¶ Ἐρείδων, τύπτων. ¶ * Ἐρρεγένοντο, ἐρέψαν. ¶ Ἔρρεις, ἐφθάρης. ¶ Ἔρεξα, ἔπραξα. ¶ Ἐρραίσθη, διεφθάρη.
Ἔρρεται, φθαρεῖται. ¶ Ἐρρεῖς, φθόρος. ¶ Ἐρρέτω, ἀπίτω, οἰμωζέτω, ὀλέσθω. ¶ Ἐρρέξομαι, φθίξομαι. ¶ Ἐρσήεντα, δροσώδη καταψυκτικά.
Ἐρρήσει, ἥξει εἰσελεύσεται. ¶ Ἐρρηφόροι, οἱ τῇ ἕρσῃ ἐπιτελοῦντες τὰ νομιζόμενα. ¶ Ἐρρήγασι, φοβοῦνται, εὐλαβοῦνται. ¶ Ἔρριγε, φοβεῖται, φρίττει.
Ἐρρίγησι, φοβηθείη, φρίξειεν. ¶ Ἐρρίκεν. ἥκει.
Ἐρρίζωται. ἵδρυται. ¶ Ἐρρικνωμένον, ἐσπιλωμένον. ¶ Ἐρρίπτη, εἰς φθόρον, εἰς ὄλεθρον. ¶ Ἐρρίπτο, ἐκεῖτο. ¶ Ἔρρον, ἔρρων ἀπολώλασιν. ¶ Ἔρρος, ὁ ζεύς.
Ἐρρύηκεν. ἔβρυον. ¶ Ἐρύθημα, ἐρυθρά, πυρά.
Ἐρίξει, κράξει. ¶ Ἐρυσάμενος, σπασάμενος.
Ἐρυσόμεθα. ἑλκύσωμεν, φυλάξομεν, σώσωμεν. ¶ Ἐρρωκασιν. ἐσχίσθησαν, ὑπαίνοθησαν. ¶ Ἔρρωμαι, ὑγιαίνω, νήφω. ¶ Ἐρρωμενέστερον, ὑγιεινότερον.
Ἐρρῶσθαι. ὑγιαίνειν. ¶ Ἐρρωγότες, διεσκορπισμένοι, διεσπασμένοι. ¶ Ἐρρωγὼν, μετὰ φθορᾶς πλανώμενος ἢ μόλις πλανώμενος ἢ φθειρόμενος. ¶ Ἐρρώοντο, κίνησιν ἐλάμβανον. ¶ Ἐρρωπίζομεν, ἴσον ὀμφαλὴ τινὲς ῥωπίζειν ἀπέδοσαν τὸ ἀτεχνεύεσθαι ἃ ἀματεύεσθαι κακῶς. ἔστι δὲ ῥῶπος ὁ λεπτὸς χόρτος καὶ ποικίλος καὶ εὐβοσκὸς, καὶ τὰ ἔσω τῶν ῥωπῶν πλέγματα κανᾶ, καὶ στίγματα κυρίως. ¶ Ἐρρώσαντο, ἐπάχυναν.
Ἐρρῶσθαι, φράσαι, οἰμώζειν, εἰπών.
Ἔρρωσο, ὑγίαινε. ¶ Ἔρσαι, αἱ ἐν τῷ χειμῶνι γενόμενοι ἔριφοι, καὶ τὰ ἁπαλὰ τῶν προβάτων καὶ αἱ δρόσοι.
Ἔρσια, ἐαρινά, νέα. ἁπαλά, δροσώδη.
Ἐρσείη. δροσώδης. ¶ Ἐρσεῖ, διεγείρου. ¶ Ἔρση, δρόσος, νοτία, ὀμίχλη. ¶ Ἔρσῃ, ὁρμήσει.
Ἐρσήεις, δροσώδης, νεαρός. ¶ Ἐρσῆεν, ἁπαλὸν, δροσῶδες. ¶ Ἐρσήεντα, καλὴν, ἔνικμον, δροσινόν.
Ἐρτις, κρημνός. ¶ Ἐρυγαὶ, ἐρεύξεις. ¶ Ἐρυγάστωρ, μεγαληγάστωρ, ἐρυγήτωρ. ¶ Ἐρύγανεν, ἐρυθρόμενον.
Ἐρυγεῖν, φωνεῖν. ¶ Ἐρυγὴ, ἔκβασις φωνῆς βοήτης.
Ἐρυγία. ζῷον, στάχυς, βοτάνη.
Ἐρυγηλὴ, ἐπίθετον ῥαφάνου. ¶ Ἐρυγμαίνουσα, ὁ βοῦς καὶ ὁ ταῦρος ἐρύγγανον, ἀπὸ τοῦ ἐρυγμοῦ.
Ἐρύγμηλον, ἐρυθρόμενον, καὶ μεγάλως μυκώμενον, μεγαλόφωνον, καὶ μέγα πρόβατον τέλειον. ¶ Ἐρυγμός, πόλεμος. ¶ Ἐρύεσθαι, σώζειν σῶσαι.
Ἐρύειν, ἕλκειν, πλήθειν. ¶ Ἐρυθινοί. πόλις ἢ χώρα ἐν παφλαγονίᾳ. καὶ εἶδος ἰχθύος. ¶ Ἐρύθετο, ἐφύλαξεν. ¶ Ἐρυθαίνει, πυρρὸν ποιεῖ ὅθεν καὶ ἐρύθημα ἡ ῥίζα ἡ λεγομένη ἐρυθρόδανον. ¶ Ἐρυθηλὰ, βαφὴ
Ἐρυθήνας, βάψας. ¶ Ἐρύθμισεν, ἐκανόνισεν.
Ἐρυθρὰ πόλις ἐν βοιωτίᾳ. ¶ Ἐρυθραὶ, πόλις ἰωνίας
Ἐρυθραίνετο, ἐρυθρὰ ἐγίνετο πυρρά.
Ἐρυθροδανωμένα. πυρρὰ, κόκκινα, πυροειδῆ.
Ἐρυίσκετο, ἔρρεεν, εἴχετο. ¶ Ἐρύκειν. κατέχειν. κωλύειν. ¶ Ἐρυκέμεν, τὰ αὐτά. ¶ Ἐρύκησις, ἀποκώλυσις. ¶ Ἐρυθρόπους, ὀρνέου εἶδος.
Ἐρύκεσθαι, κωλύειν. ¶ Ἔρυμα, ὀχύρωμα, φυλακὴ, κάλυμμα, φύλαγμα. ¶ Ἐρύμανθος, πόλις ἀρκαδίας καὶ ποταμὸς καὶ ὄρος. ¶ Ἐρυμνὸν, ἰσχυρὸν, μέγα ὑψηλὸν, καὶ ὀχυρὸν οὗ τὰ τείχεα οὐδεὶς ἐπιβαίνει ἢ σκοτεινόν. ¶ Ἐρυμνώδης, λύπην καὶ φλεγμονὴν παρέχων ἢ ὑπερήφανον. ¶ Ἐρυμὸς, ζεὺς καὶ ζυγὸς, καὶ ζεύγλη. ¶ Ἐρύμυλον, τὸν μεγάλως μυκώμενον ταῦρον. ¶ Ἐρυνὸν, σκεπεινόν, ἠσφαλισμένον.
Ἐρύξας, ποιήσας, κωλύσας. ¶ Ἐρύξας, κατέσχες, ἐκώλυσας. ¶ Ἐρύοντα, ἕλκοντα, κυρίως λύοντα.
Ἐρύουσιν, ἐρύσουσιν, ἑλκύσουσιν δὲ οὐ δὲ κατέδονται, αὐτὸ γὰρ αἱ γῦπες ἐσθίουσιν. ¶ Ἐρυομένη κατεχομένη κωλυομένη. ¶ Ἐρῦσαι, καθελκύσαι, καταδεῖν.
Ἐρύσατο, φυλάξατο. ¶ Ἐρυσάμενος, ἐκσπάσας ἑλκύσας. ¶ Ἐρυσάρματες, ταχεῖς, ταχεῖαι καὶ οἱ ἕλκοντες τὰ ἅρματα. ¶ Ἐρύσατο, ἔσωσεν. ¶ Ἐρυσεν, ἔλυσεν. ¶ Ἐρύσειεν, ἑλκύσειεν, φυλάξειεν.
Ἐρυσίβη, νόσος τις ἀέρος ἐπιγενομένη τοῖς φυτοῖς καὶ καρποῖς. ¶ Ἐρύσιμον, κάρδαμον. ἄγριον. ¶ Ἐρυσίπτολις, σωσίπολις. ¶ Ἐρυσίπτολι. ῥυομένη τὴν πόλιν καὶ φυλάσσουσα. ¶ Ἐρυσμὸς, πόλεμος. ¶ Ἐρύσονται ἀντιποιήσονται, ἑλκύσουσιν. ¶ Ἔρυσος, σπυρίς. κάλαθος. ¶ Ἐρύσταζεν, εἷλκεν ¶ Ἔρυτο, ἐρύσατο, ἔσωσεν, ἐφύλαξεν. ¶ Ἐρύφαζε, κατεπάτησεν, ἐτέξευσεν. ¶ Ἐέργαθεν, καθειργμένοι ἦσαν.
Ἐρχανήεντα, πυλῶνα τὸν πεπυκνωμένον καὶ συνεχό-

κοπτόμενος ὡς ἄλφιτα χιστὰ ἄλευρα. ¶ Ἐρεικτὸν κυπανιστόν. ¶ Ἐρικυδέα, λίαν ἔνδοξα, μεγάλως ἐν δόξα. ¶ Ἐρείμη, ἔξοδος. ¶ Ἐριμύκων, μεγαλοφώνων, ἢ μυκώμενος μεγάλως μυκῶν. ¶ Ἐρινάδες, οἱ ὄλυνθοι ἢ συκαῖ αἱ ἄρρενες. ¶ Ἐρινάζειν, συκᾶς περιάπτειν τοῖς ἐρίνοις εἰς τελεσφορίαν. ¶ Ἐρινὰς, νέας βοῦς. ¶ Ἐρινάξαι, τὸ λεγόμενον ἐρινᾶσαι ἀπολεγομένων. οὕτω δὲ λέγεται συκῆ φέρουσα ὀλύνθους, ἐξ ὧν οἱ ψῆνες γίνονται. ψῆνες δέ εἰσι τὰ ἄνθη τῶν ἐρίνεων. γίνονται δὲ ἐπὶ τῶν φοινίκων ἐρινοί. ¶ Ἐρινάσει, ἐρωτήσει. ἐρευνήσει. ¶ Ἐρείνεμος, ἄνεμος μετὰ συστροφῆς.

Ἔρινε, ἐρώτα. ¶ Ἐρινεός, ἀγρία συκῆ. ¶ Ἐρινὸν, νέφος. ¶ Ἐρινὸς, θῆλυς. ἡ συκοῦ ἄρρεν. ¶ Ἐριννύας, τὰς ἁμαρτίας νῦν. ¶ Ἐριννὺς, δαίμων καταχθόνιος ἢ ἀφροδίτης εἴδωλον. ¶ Ἐρέξει, κωλύσει. ¶ Ἐρεῖ ἐργάζεται. ¶ Ἐριούνης, μεγάλως ὠφελῶν ἢ μεγάλην ὄνησιν καὶ ὠφέλειαν τοῖς ἀνθρώποις παρέχων. ¶ Ἐριούνιον. πόρον τὸν ὑποχθόνιον.

Ἐριούνιος, πολυωφελής. ἀπαθής. ¶ Ἐρίπει, καταβάλλει. ¶ Ἐρείπια. σκηνώματα ἐπίπεδα καὶ τὰ ἐπὶ τὴν ἔραν καταπεσόντα. ¶ Ἐριπεῖν, καταπεσεῖν.

Ἔρειπε, δηλοῖ. ¶ Ἐρείπεσθαι, φθονεῖν. ¶ Ἐρειποῦσα, πεσοῦσα. ¶ Ἐρείπιον, τὸ ἡμίπτωτον οἴκημα ἢ πτῶμα. ¶ Ἐρειπίων, πτώσεων τῶν τειχῶν.

Ἐρίπνας, ὑψηλὰ μέρη. ¶ Ἐρειποῦσα, καταπεσοῦσα.

Ἔριπε, κατέπεσεν. ¶ Ἐρίπναι, αἱ ἀπόρρωγες πέτραι.

Ἐρίπνη, κορυφή. ἄκρα. κρημνός. ¶ Ἐρίπων, ἀνατρέπων, καταπεσών. ¶ Ἔρις, φιλονεικία. μάχη.

Ἐρίσαι, πνῖξαι. ¶ Ἐρείσει, ὑποστηρίξει, στερεώσει, πατάξει, φιλονεικήσει. ¶ Ἔρεισεν, ἔπεσεν, ἤρεισεν.

Ἐρισθενέας, μεγαλοσθενεῖς μεγαλοδυνάμους.

Ἐρισθενὲς, μέγα, ἰσχυρόν. ¶ Ἐρείσμασιν, εἰρεσίαις.

Ἔρισμα, στήριγμα. ¶ Ἐρίσκηπτα, ἱερὰ βοτάνη. ἔστι δὲ ἀνέρις ἐπισκήψη. ¶ Ἐριστάφυλον, καλλιστάφυλον, πολύυμνον ἐκ γένους σταφυλῆς ἢ μεγάλης. ¶ Ἐριστὴρ, μ[illegible] σφήκης, ἢ ἐργάτης καὶ πράκτης.

Ἐρυσίβη, ὁ ὡς κονιορτὸς κατερχόμενος, καὶ ἀφανίζων τὸν σῖτον. ¶ Ἐρισφάραγος, μεγαλαύχην ὑψηλόφρος. ¶ Ἐριτάρβης, μεγάλως δειλός. ¶ Ἐρίτιμον, ἰσχυρὸν τετιμημένον ἄγαν ἔντιμον. μεγαλότιμον.

Ἐριφέας, χίμαρος. ¶ Ἐριφιώματα, ἔριφοι, λάκωνες. ¶ Ἔριφος, ὁ διόνυσος ἔριφος ὁ μικρὸς αἲξ ὁ ἐν τῷ ἔαρι φαινόμενος ἤγουν ὁ πρώϊμος, χίμαρος δὲ ὁ ἐν τῷ χειμῶνι. ¶ Ἐριφύλης, ἐπὶ χρυσίῳ προδεδωκυίας τὸν ἴδιον ἄνδρα. ¶ Ἐριφύλλιον, τὸν ἀπόλλωνα καὶ τὸν ἑρμῆν. ¶ Ἐρίφυλλος, δρῦς, ἢ πλατύφυλλος. καὶ ἡ καλουμένη φελλός. ¶ Ἔρειψ, στομάτιον. ¶ Ἐρεῖψαι. ἀφανίσαι. στερῆσαι. καταρρῖψαι.

Ἐρείψιμα, πτώσιμα. ¶ Ἐρειώδια, ἅμαξα. ¶ Ἐριώλυνον, μεγαλώδυνον. ¶ Ἐριόδων. μεγάλους ἔχων ὀδόντας. ¶ Ἐριωλαί. ἀνέμων συστροφαί. αὖραι. πνοαί.

Ἐριώπιδος, εὐώπιδος. ¶ Ἐριωπιζομένη ἢ τεχνιτευομένη ἢ σύμμικτα χρώματα ἔχειν. ¶ Ἐριώπης, μεγαλόφθαλμος, καὶ ἡ ἀγχίσου γυνή. ¶ Ἕρκαρος, τεῖχος, ἐπιπλεῖν. ¶ Ἑρκάζειν, σκώπτειν, ἑρκατὴ φυλακή. ¶ Ἕρκαρος, φραγμός. ¶ Ἕρκει χαλκείῳ,

τῷ τῶν ἀσπίδων κυκλώματι. ¶ Ἑρκεῖαι, οἰκίαι τείχη φραγμοὶ σκηναί. ¶ Ἑρκείοις, τειχίοις.

Ἑρκίου διὸς τῆς ἀσφαλείας ἢ τῆς κατὰ τὴν οἰκίαν, ἔστι δὲ ἑρκεῖος ζεὺς, παρὰ ἀθηναίοις. ¶ Ἕρκεσι, δικτύοις. σοφοκλῆς ἀθάμαντι δευτέρῳ. ¶ Ἑρκῖται, οἱ ἐν ἀγρῷ οἰκέται. ¶ Ἑρκηνία, ἑορτὴ δήμητρος.

Ἕρκη, ὅπλα σοφοκλῆς τρωΐλῳ. ¶ Ἑρκίον, κύκλος αὐλῆς. οἰκία. τειχίδιον. στεφάνη δώματος. ¶ Ἑρκόπεζα, τὰ τῶν νεῶν ἔξωθεν περιτιθέμενα πρὸς τὸ μὴ ὑπερβατὰ εἶναι ἀκανθώδη ξύλα. ¶ Ἕρκος, ἀσφάλεια. τεῖχος περίβολος. περίφραγμα ὡς τῶν ὀδόντων τὰ χείλη. ¶ Ἕρκος, ἤγουν φραγμὸς ὡς τό αἰχμητὰς λέξοντ' ἀλωῆς ἔμμεναι ἕρκος, καὶ λίνον ἕρκει ἀλήξωσιν. ¶ Ἕρμα. ἔρεισμα, στήριγμα, ἢ τὸν πετρώδη καὶ ἐπικυματιζόμενον ὥστε μὴ βλέπειν τόπον ἐπὶ θαλάσσης, καὶ ἀνακρέων ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι καὶ τὸ τὴν ναῦν ἔρεισμα στηρίζον, καὶ τὸ σκήνωμα τοῦ νεώς. ¶ Ἑρμαῖ, παραφυάδια δενδρέων ἄχρηστα. οἱ παίζοντες, ἑρμομάχην λέγουσιν.

Ἕρμαιον, εὕρημα ἢ κέρδος. ¶ Ἑρμαῖος λόφος, οἱ σωροὶ τῶν λίθων ἑρμαῖς, οἱ ἐν ταῖς ὁδοῖς γινόμενοι εἰς τιμὴν τοῦ θεοῦ ἐνοδίου σωρ.

Ἕρμακες, αἱ ὕφαλοι πέτραι ἢ αἱ μασιαί. ¶ Ἕρμακον, ὄρνεον. ¶ Ἑρμάσαι, ἐλαφρῶς περιελίξαι.

Ἑρμάσει, μαλάσσει, στηρίξει. ¶ Ἕρματα, περιφράγματα, ὑποβρείσματα, ἐνώτια. ἀπὸ τοῦ ἐρείδεσθαι, καὶ ὕφαλοι πέτραι. ¶ Ἕρμειος, ἀπὸ δήμου. λέγονται δέ τινες ἕρμειοι ἐπὶ ἀκαμαντίδος φυλῆς.

Ἕρμαιον, σωρὸς λίθων. ¶ Ἑρμῆ, ἔξοδος. ¶ Ἑρμηνεύοντες. φράζοντες. ¶ Ἑρμῖνοι, σεληνοί.

Ἑρμῆς, κῆρυξ. ¶ Ἑρμῆς, ἀμύητος ἀθήνησιν ἐν τῇ ἀκροπόλει. ¶ Ἑρμῆς, τὸν ἑρμῆν οἱ πλείστοι ἰδίας ἔλεγον καθάπερ ἀγαθοῦ δαίμονος καὶ διὸς σωτῆρος καὶ ἐροῖς κλήροις. οἷον ἀγαθὸς ἱερωνός. καὶ πέμμα εἶδος κηρυκοειδές. ¶ Ἑρμῆς, τρικέφαλος, ἀειστρεφής ἐν τριφάλητι ἔφη παίζων κωμικῶς, πρόσθεν τετρακέφαλος ἑρμῆς ἐν τῇ τριόδῳ τῇ κεραμεικῷ ἵδρυτο. ¶ Ἑρμῆς στροφαῖος. ὁ περὶ στροφίγγι ἐπὶ θύρας ἱδρυμένος. ¶ Ἑρμῖνα, πόδα κλίνης, ἀπὸ τοῦ ἐνερείδεσθαι τῷ ἐνηλάτῳ ἢ ἀπὸ τοῦ ἑρμᾶς ἐγγεγλύφθαι.

Ἑρμιόνη, καὶ ἡ δημήτηρ καὶ ἡ κόρη ἐν συρακούσαις. καὶ πόλις ἐν ἄργει καὶ ἡ θυγάτηρ μενελάου.

Ἑρμῖς, τόρνος, ποὺς κλίνης.

Ἑρμοκοπίδαι, οἱ περικόψαντες τοὺς ἑρμᾶς ἀθήνησιν ἐπὶ ἀριμνήστου ἄρχοντος, τοῦ πελοποννησιακοῦ ἐνεστῶτος πολέμου. ¶ Ἕρμος ἢ ἑρμοὶ, δῆμος ἀττικῆς, καὶ ποταμὸς λυδίας. ¶ Ἑρμοῦ, κλῆρος ὁ πρῶτος ἑλκόμενος, κλῆρος ἑρμοῦ νομίζεται. ¶ Ἑρμοχύμιος, γῆ ἡ αἴγυπτος τὸ πρότερον οὕτως ἐκαλεῖτο.

Ἑρμοῦ ψῆφος τὰ ἐν ταῖς ὁδοῖς ἕρμαια.

Ἑρμώνιος χάρις, παροιμία ἀπὸ ἕρμωνος τοῦ λήμνου τυράννου ὃς ἐπελθόντων τῶν ἀθηναίων μὴ δυνάμενος ἀντιτίσειν ἐναντιοῦσθαι, ἔφη τὰ προσταττόμενα ὑπ' αὐτῶν διὰ χάριν ποιεῖν. τάττεται δὲ ἐπὶ τῶν κατ' ἀνάγκην τι ποιούντων καὶ προσποιουμένων χαρίζεσθαι.

Ἐρνάπις. ἀναδενδράς. ¶ Ἔρνη, κρέα, ἢ βλαστήματα.

τόμως ἐαθεὶς, ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεασόντων.
Ἐρείδει, ἐπιστηρίζει, ὑποστηρίζει, ἔρειδε, στήριζε.
Ἔρειδος, ἐρεθιστὴς, παροξυντικός. ¶ Ἐρεικόμενος, περιχιζόμενος. ¶ Ἔροιο, ἐρώτησον. ¶ Ἐρείσματι, ὑποβαστακτῆρι. ¶ Ἐρεῖσαι, ἐπερεῖσαι, ἐπιστηρίξαι.
Ἐρεισάμενος, ἐπερεισθεὶς, ἐπιστηριχθείς. ¶ Ἐρεικρούσων στηρίζων. ¶ Ἐρείομεν, ζητήσομεν, ἐρωτήσομεν.
Ἐρεμβοί. νομάδες, αἰθίοπες. ἄραβες, ἰνδοὶ, ἀράβιοι,
Ἐρεμνή. σκοτεινὴ μέλαινα, οἱ δὲ, ἐρεβεννὴ παρὰ τὸ ἔρεβος καταπληκτική. ¶ Ἐρέμοισιν, ἀπὸ κλείσμασιν.
Ἔρεξα. ἔπραξα. ἔθυσα. ¶ Ἐρέοντο, ὀρώτων. ¶ Ἐρέοι, εἴποι. ¶ Ἐρέουσα, ἐροῦσα. λέξασα, φέρουσα, ἀγγέλλουσα. ¶ Ἔρεπτα, ξόφεια. ¶ Ἐρέπτει, τρέφει.
Ἐρεπτόμενοι. ἐσθίοντες, ἀπὸ τοῦ τὸ ἔρας, τουτέστι τὴν γῆν ἅπτεσθαι, ἐπὶ δὲ τῶν νεμομένων τετραπόδων τάσσεται ἡ λέξις. ¶ Ἐρεασέμεναι, κωπηλατεῖν.
Ἔρεσθαι, πυνθάνεσθαι, ἐρωτᾶν. ¶ Ἐρεσιμέξαν, τὴν γεωμετρίαν. ¶ Ἐρέσιος, ἀπόλλων. ¶ Ἐρεσκίν θρησκεία. ¶ Ἐρεσμεῖ, καταπιεῖ. ¶ Ἐρεσμός, κώπη. ¶ Ἐρεσμίονες, αἱ χεῖρες, ἐρέσσουσαι. ¶ Ἐρεσχελοῦντες, φλυαροῦντες. ¶ Ἐλαύνει, κωπηλατεῖ.
Ἔρεσον, ἤλαυνον, ἐκωπηλάρων. ¶ Ἐρεσκλεῖ. ἀναδίζεται. ὀχλεῖται. ¶ Ἐρεθίζει, ἀδολεσχεῖ, χλευάζει. παίζει, σκώπτει, διαμάχεται. ¶ Ἐρεσχελία, φιλονεικία, φλυαρία, ἔνστασις. ¶ Ἐρετὴ, ἐπιθυμητή.
Ἐρέταις, κωπηλάταις. κατασκόποις. ¶ Ἐρετμοῖς, κώπαις. ἐρετμοί. ¶ Ἐρετμόν. κώπη καὶ τὸ αὐθρεῖ ονα...διον. ¶ Ἔρρω, ὡρμήθη. ¶ Ἐρετμῶσαι, κώπαις ἁρμόσαι. ¶ Ἐρέτρεια, πόλις. ¶ Ἐρεξιάζει, σκώπτει ἢ παίζει. ¶ Ἐρετρειακὸς κατάλογος, ἐπειδὴ φίλου ψήφισμα ἐξ ἐρετρείας ἐγγράφη καταλέξαι ὁμήρους ἐκ τῶν πλουσιωτάτων υἱοὺς, ὅτι τὸ ψήφισμα ἔχει ἐπιγραφὴν. ἐρετρειακὸς κατάλογος.
Ἐρετριέων, ῥοῶ, ἐρεξιεῖς τῷ ῥ, κατακόρως χρῶνται.
Ἐρέτανεν, ἤλαυνε τὴν ναῦν. ¶ Ἐρετάνης, ναύτης
Ἐρεύγεται, ἀναβάλλει. ¶ Ἐρεύγετο, ἐβρύχετο, ἔβρυχεν.
Ἐρευγομένη, βράττουσα. ¶ Ἔρευνε, ἐρεύνα.
Ἐρευθεῖ, ἐρυθρὸν ποιεῖ. ¶ Ἐρεύξεται. βοήσεται.
Ἐρεύθεται, πίμπλαται, λάμπεται. ¶ Ἐρευθιόωντος, ἐρυθραινόντος. ¶ Ἔρευθος, ἐρύθημα, αἰδώς. ἄνθος. ¶ Ἐρευθῶν, ἐρυθριῶν, φοινίσσων, ἐρυθραίνων.
Ἐρευνᾶν, ζητεῖν. ¶ Ἐρεῦσαι, ἐρυθρὸν ποιῆσαι τῷ αἵματι. ἢ βρέξαι. ¶ Ἐρεύσομεν, ζητήσομεν.
Ἐρεχθεύς. ποιηλῶν ἐν ἀθήναις. ¶ Ἐρεχθομένη, θλιβομένη, ἐλαυνομένη, βαρυνομένη ὑπὸ τῶν ἀνέμων ταρασσομένη. ¶ Ἐρέχθων, διακόπτων.
Ἔρεψα, ἐστεφάνωσα, ἔστεψα, ἐστέγασα, ᾠκοδόμησα, ὀρόφωσα. ¶ Ἐρέψιμον, στέγασμον ὃ βοσκήματος διὸς χωρίον. ¶ Ἐρεψόμεθα πρὸς αἰθέριν, στεγάσωμεν πρὸς αἴτωμα. ¶ Ἐρέω, λέξω, ἀπαγγελῶ, σημαίνω. ἐπερωτῶ. ¶ Ἐρέων, μαντευσόμενος, ἐρωτήσων, ζητήσων. ¶ Ἔρημα, ἀφύλακτα διαλεῖ ὅτι ξά
Ἔρημαι, βούλομαι. ἐρωτῆσαι. ¶ Ἐρήμη, μονομερής. δίκη ὅταν μὴ ἀπαντήσας ὁ διοκόμενος ἐπὶ τὴν κρίσιν διαιτηθῇ. ¶ Ἐρημιάσι, νομάσιν. ¶ Ἐρημήσιος, ζεὺς ἐν λέσβῳ. ¶ Ἐρήμωσον, ἀποσκέδασον.

Ἐρημία, ἡ ἐκπύρωσις. ¶ Ἐρημικῶ, εἰς τὰς ἐρήμους διάγοντι. ¶ Ἐρημοθῶκος, ἐρημολόγος. ¶ Ἔρημον, μάταιον καὶ τὸ πλανᾶσθαι. ¶ Ἐρήμοις, ἀπείστοις. ¶ Ἐρήμοις λόγοις, τοῖς ἀπόροις ματαίοις.
Ἐρηρέδαται, ἐρηρεισμέναι εἰσὶ καὶ ἐνηρμοσμέναι.
Ἐρήρεισται. ἡρμόσθη, ἠσφαλίσθη. ¶ Ἐρίηρες, εὐάρμοστοι. ¶ Ἐρήρειπται, πέπτωκεν. ¶ Ἐρήρεισται, πέπηγεν. ¶ Ἐρηρεισμένος, ἀσφαλής. πεπηγμένος.
Ἐρήριται, ἐρίζει. ¶ Ἐρίσαντες, φιλονεικήσαντες.
Ἐρήσεο, ἐρωτήσειας. ¶ Ἐρήσομαί σε, ἐρωτήσομαί σε. ¶ Ἐρήτυε, παρεσκεύαζεν.
Ἐρητύειν, παύειν, κωλύειν, πραΰνειν. κατέχειν.
Ἐρήτυθεν, διακατέχον. ¶ Ἐρήτυον, ἐπεῖχον, ἐκώλυον. ¶ Ἐρητῦσαι, πραῧναι, ἀνακόψαι, ἀναπαῦσαι, κωλῦσαι. ¶ Ἐρὶ, πολὺ, μέγα, ἰσχυρόν.
Ἐριαύχενες, μεγάλοι, γαῦροι, μεγαλαύχενες, μεγάλοι ἀπὸ μέρους. ¶ Ἐριβρεμέτης, μεγαλόλοφος, μεγαλόηχος. ¶ Ἐριβρεμέταο, μεγάλα βροντῶντος.
Ἐρίβοια νὺξ, ἡ μεγάλως τιμωμένη. ¶ Ἐρίβρομον, μεγαλόηχον. ¶ Ἐριβόλακι, μεγάλῳ βόλῳ. εὐγείῳ.
Ἐρίβωλος, μεγαλόλοφος. ¶ Ἐρίγδουποι, μεγαλόλοφοι. ¶ Ἐριγδούποισι, μεγαλοκτύποις. ¶ Ἐρίγδουποις, μεγάλοις ψόφοις ποιῶν διὰ τῶν βροντῶν.
Ἐριγήροις. μεγαλοφώνοις. ¶ Ἐριγνύειν, κρύπτειν. κατακλείειν. ¶ Ἔριγον, ἔφειττον. ¶ Ἐριδα, ἔριν. μάχην. ¶ Ἐριδανάτας, ἡρακλῆς παρὰ ταραντίνοις.
Ἐριδαίνωσιν, ἐρίζωσι, φιλονεικοῦσιν. ¶ Ἐρείδεται. μανθάνει. ἐξετάζει. ¶ Ἐριδήσασθαι, ἁμιλληθῆναι. φιλονεικῆσαι. ¶ Ἔριδι, φιλονεικία. ¶ Ἐριδίμιος, ζεὺς ἐν ῥόδῳ. ¶ Ἐριδία, ἅμαξα, ¶ Ἐρίδες, τὰ τῶν οὐρανῷ ἱερίδας ἀττικῶς. ¶ Ἐριδμαίνουσιν, ἐρεθίζουσιν. ¶ Ἐριζόμενος, ἐπιστηρίζων. ἐπακολουθῶν. ¶ Ἐρίδων, βαστάζων. ¶ Ἐριεύνης, ἀφροδίτης ἐπώνυμον. ¶ Ἐριζέμεναι, ἐρίζειν. φιλονεικεῖν.
Ἐριζώουσι, πάνυ ζῶσιν. ¶ Ἐρίηρες. μεγάλας τιμώμενοι. ἀγαθοί. πρόθυμοι. εὐχάριστοι. εὐάρμοστοι. μεγαλωφελεῖς μεγάλως θάλλοντες. ¶ Ἐριθάκη, ἡ ὑπὸ τῶν μελισσῶν παρατιθεμένη τροφὴ καὶ τὸ ἐγκοίλιον τῶν ἰχθύων. τῶν μαλακτῶν καὶ τὰ τῶν ᾠῶν ἔμβρυα.
Ἐριθαλίς, εἶδος λεπύρου. ¶ Ἐριθαλλῶν, πολυθάλλων
Ἐριθαλεῖς. μεγάλως θάλλοντες. ¶ Ἐρισθεὺς, ἀπόλλων ἐν τῇ ἀττικῇ. ¶ Ἐριθεύει. εἰκῇ ἐργάζῃ μάτην.
Ἐριθεύς, ὁ ἐριθακὸς τὸ ὄρνεον. ¶ Ἐριθαλέα, μεγάλως θάλλουσαν. ¶ Ἐριθηλέες, μεγάλως καὶ καλῶς ἢ πάνυ θάλλοντες. ¶ Ἐριθηλέων, μεγάλως θαλλόντων. ¶ Ἐριθεῦσαι, ἐργασίαι, ἠρεθισμένοι. ¶ Ἔριθοι οἱ γεωργοὶ παρὰ τὸ τὴν ἔραν ἐργάζεσθαι ἤτοι τὴν γῆν. καταχρηστικῶς δὲ καὶ οἱ ἐριουργοὶ, ἢ μισθωτοί.
Ἐρίθοισιν, ἐργάταις γεωργοῖς. ¶ Ἐρικάνην, φραγμόν. ¶ Ἐρικάς, ὁ ἐρεγμός. κρῆτες δὲ ὡς ἐρεγμάς. λέγουσι δὲ οὕτω καὶ τὰ ἴτεια τὰ ὑπό τινων λάγανα ἐρεικέα, φράγματα. ¶ Ἐρείκει, σχίζει, πρίζει. ῥηγνύει. ἐσθίει. ¶ Ἐρίκεος. φραγμοῦ. ¶ Ἐρίκη, θυγάτηρ τοῦ αἰαύρου. ¶ Ἐρικευθὴς, πυθμήν. ¶ Ἐρεικυσμένον, ῥυπίδας ἔχον. ¶ Ἐρεικόμενος, σχιζόμενος.
Ἐρίκη, εἶδος φυτοῦ. ¶ Ἐρικτὰ σῖτος πεφρυγμένος καὶ

θείας βίχας ἔχουσαι. ❡ Ἐπιέρνισιν, ἐσκέλισιν.
Ἐπέφρυγε. αὐέπη. ❡ Ἐπέφρυξαν. προσπεῖ ψαν.
Ἐπηξαν. ἐκρύβησαν. ❡ Ἐπτοῖαν, ἐφοβήθησαν.
Ἐπῆσ, ἔπηξαν. ❡ Ἐπισίθειν, ἐξεπλάγην.
Ἐπόνημαι, πεφόβισμαι. ❡ *Ἐπιόλιθον, δ' ὄρχανον. πρὸς συνουσίαν. ❡ Ἐπόκασιν, ἐκάλυψεν.
Ἐπύσκυον, αἰσθητήριον ὑπόδημα. ❡ Ἐπύσονιν, ἐκρα δαίνοντο. ❡ Ἐπύθετο, ἤκουεν. ἠρώτα, ἐμάνθανε τὸ αὐτὸ καὶ τὸ * ἐπιθυμός. ❡ Ἐπύκλισεν, ἐνεκάλυψεν.
Ἐπυλλίοις. στίχοις. ❡ Ἐπυστᾶν, ἐπωδάνετο.
Ἐπάζουσι, νοττεύουσιν ἐπὶ τοῖς ᾠοῖς βοῶσιν.
Ἐπωβελία, ἐπιβόλιον τῆς δίκης, ἐστι δὲ τὸ ἀκόλουθον τὸ ἐπὶ κατα δίκης, τίμημά τι * ὄλημα ὡς δίδυμος, τὸ ἕκτον μέρος τοῦ τιμήματος, οἱ δὲ τὸ δέκατον. ❡ Ἐπώζειν, ἐπικαθῆσθαι τοῖς ᾠοῖς αἰσχύλος νιόβη μεταφορικῶς ἐφημένη, τάφῳ τέκνοις ἐπῶζε τοῖς τεθνηκόσιν.
Ἐπωδός, ὁ ἐπαείδων τοῖς νοσοῦσι σπασμόν. ❡ Ἐπω μάδιον, τὸ ἐπὶ τοῦ ὤμου. ❡ Ἐπώκειλαν, ἐπανέσπασαν. ❡ Ἐπωμίδιον, ὡς λεύτιον ἱδρωτικὸν ἐπιβόλαιον. ❡ Ἐπώμιον, ἐπὶ τῶν ὤμων. ❡ Ἐπώνυμοι, οἱ τῶν φυλῶν ἐπώνυμοι ἥρωες, οἵπερ ἦσαν δέκα. ❡ Ἐπωπα, ἀλεκτρυόνα ἄγριον. ❡ Ἐπωπᾶ, ἐφορᾶ ἐποπτεύει ἐπωπάζει τὰ αὐτά. ❡ Ἐπωπετής, Ζεὺς παρὰ ἀθηναίοις. ❡ Ἐπώπη, ἐπόπτη, ἐφορῶντι.
Ἐπώπιδες, ἐπίσκοποι, ἀκόλουθοι, παρὰ λακεδαιμονίοις.
Ἐπωπίς, δημήτηρ παρὰ σικυωνίοις καὶ ἐπωπίς.
Ἐπώρεον, ἔθαπτον. ❡ Ἐπωρεῖν, πενθεῖν κλαίειν.
Ἐπωρεύει, ὠρχεῖα συντελεῖ. ❡ Ἐπωριάζειν μεμηνέναι.
Ἐπώρμησεν, ἐφώρμησεν. ❡ Ἐπωρυλόν, ἐπιρρέοντα.
Ἐπωρύετο, ἐπένθει ἡ φωνὴ θρηνοῦσα. ❡ Ἐπωρορέχαται, ἐπικεκλιμμέναι ἦσαν. ❡ Ἐπωρώθησαν, ἐτυφλώθησαν. ❡ Ἐπωστρίδες, αἱ κατὰ στέμων ταῖς γυναιξὶ τὴν δεξιὰν χεῖρα ἐπέχουσαι κατὰ τὴν ὀσφύν.
Ἐπωφιλής, ὁ καλούμενος ἐφιάλτης. ❡ Ἐπώχετο, ἐπερρώετο.

ΤΟ Ε ΜΕΤΑ ΤΟΥ Ρ.

Ἔρα, εἰς πεῖ ἡ κοιλία γῆ καλή, γῆ πεδεινὴ ἐπι θυμεῖ. ❡ Ἐράεσθε. ἐπιθυμεῖτε.

❡ Ἐρατός, παρὰ τὸ ἐρίζειν παιδίον νῖκος. συνδρομή, λυσιδεία, ἀλεξικακία. ❡ Ἐραδούργησιν.
Ἔραζε, χαμᾶζε εἰς τὴν γῆν, χαμαί. ❡ Ἐραζεν. *ἔθαζεν, ἐποίησεν. ❡ Ἐραίσθη, ὁ πώλερ διεσκεδάσθη, διεχωρίσθη. ❡ Ἔραμαι, ἐρῶ, ἐπιθυμῶ.
Ἐραμένος, ἐπιθυμήσας. ❡ Ἔρανα, συνεισφοράς, δῶρα, ἡ δόσις πολλῶν αὐτῶν γινόμενα συμπόσια.
Ἐράναι, βωμοί. ❡ Ἐρανέμπολοι, οἱ ἐξ ἐράνων ἐμπολῶντες. ❡ Ἐρανίζεται, συλλέγει. ❡ Ἐράνιζε, αὔρει, ἐσκύλευεν. ❡ Ἐράνιον, ἐκ συνεισφορᾶς δῶρον.
Ἐραννῆς, ἐπαφράστου, καλῆς, τιμίας, ἡ αὐτὰ πόλεσι.
Ἔραννον, συνεισφορά. δῶρον, εὐωχία. ὁ ἀνὰ μέρος δεῖπνον ὁ ἐκ συμβολῆς δεῖπνον. ❡ Ἐράνου. συλλογῆς.
Ἔραξε, εἰς γῆν, χαμαί. ❡ Ἐραπίδα, ἃ ὀμεῖς, ἐλαπίδα. ❡ Ἐρράπτομεν, ἐβουλευόμεθα. ❡ Ἐραπτήρ, θηρευτής. ❡ Ἐράρασται, ἐράσμιον. ❡ Ἔρας, γῆς.
Ἐρᾶσαι, κενῶσαι. ❡ Ἐρασιχρημάτοις, φιλαργύροις.
Ἐράσμιον, ἐπίδοξον, ἐπέραστον, ἀσπαστόν, ἐπιθυμητόν.

Ἐραστής, φίλος ἐπιθυμητής, ὁ παρὰ τὸν μικρὸν τοῦ ποδὸς δάκτυλον. ❡ Ἐρατά, ἐραστὰ καλὰ ἐαρινά, ἐπέραστα, ἐράσμια. ❡ Ἐρατίζων, ἐρῶν, ἐπιθυμῶν.
Ἐρατεινή, ἐρασμία ἐπιθυμητή.
Ἐρατεινεύειν, στρατεύεσθαι ἢ δυσφορεῖν. ❡ Ἐρατινοί, ἔθνος ὑποδρανέων ἀράβων. ❡ Ἐρατεινόν, ἐπέραστον ἔνδοξον. ❡ Ἐρατόν. ἐράσμιον, ἡδύ, ποθεινόν. ἐπιθυμητόν. ❡ * Ἐράτοθεν, αὐτεπαύσαντο. ❡ Ἐραχάται, οἱ διασμεύοντες. ❡ Ἔραχος, τὸ δράγμα βοιωροί.
Ἔραται, ἐπιθυμεῖ. ἐρᾷ. ❡ Ἔρβει, φθέγγεται.
Ἔρβεως, εὖρος. ❡ Ἔργα, ποτὲ μὲν τὰ περὶ τὴν ταλασιουργίαν, ποτὲ δὲ τὰ κατὰ τὴν γεωργίαν.
Ἐργάθειν, ἐκώλυσεν. ❡ Ἐργαῖος, ἀγέλαος ζεύς.
Ἔργανα, ἐργαλεῖα. σκεύη χειρῶν. ❡ Ἐργαλεῖον, ἐργαστήριον παρὰ ταραντίνοις. ❡ Ἐργάνη, ὡς δεσπότη ἐργασία ἐργατική. δόρυ τέχνησις. ❡ Ἐργάτις, παρὰ δὲ σαμίοις ἡ ἀθηνᾶ ἔλεος. ❡ Ἐργαστῖναι, αἱ τὸν πέπλον ὑφαίνουσαι. ❡ Ἐργάται, οἱ παρ' ἡμῖν ἐργαστικοὶ παρὰ ἀττικοῖς, οἱ παρ' ἡμῖν ἐργάται ἐκεῖνοι μισθωτοί.
Ἐργάτια, ἑορτὴ ἡρακλεῖ τελουμένη παρὰ λάκωσιν.
Ἐργατίναι, ἐργάται. ❡ Ἐργᾶ, ἐργάζῃ. ❡ Ἐργάτις, τὴν νεοβουλίαν λέγει ὡς παχεῖαν. ❡ Ἐργάτωνες, οἱ ἐν τοῖς ἀγροῖς τόποι ἔνθα οἱ οἰκέται κοιμῶνται, οἱ παρὰ ἀττικοῖς ἐργάτωνες, παρὰ δὲ κρησὶν ἐργάτωνες οἱ ἐπὶ τοῦ ταφῆς τῶν τεθνηκότων τεταγμένοι.
Ἔργει, κωλύει. ❡ Ἔργεσθαι, κωλύεσθαι.
Ἐργῖται, οἱ ἐπ' ἀγρῶν οἰκέται. ❡ Ἐργίτην, ἐργασίαν. ❡ Ἔργμος, φραγμός. ❡ Ἔργμασι, κωλύμασι, περιφράγμασιν. ❡ Ἔργματα, πράγματα.
Ἐργνύει, κρύπτει, κατακλείει. ❡ Ἐργμωκῶν, ἐμπαίζων. ❡ Ἔργον, διόρθωμα, στήριγμα, βάσις, ἐκπομπή, ὄχημα, ὁ δὲ ποιητής, ὅταν ψιλῶς λέγῃ μηδενὸς συμφραζομένου, τὰ κατὰ γεωργίαν δηλοῖ. ❡ Ἔργον, δυσχερές, δύσκολον ἢ πόνημα. ❡ Ἐργόξεις, κατέσκοπος ἔργων. ❡ Ἐργύλον, σάτην ἴωνες. ❡ Ἐργώδης. σκληρόν, δύσκολον. ❡ Ἐργωδέστερον, δυσκαταληπτότερον, ἐργωδέστερον ἢ πλέον τι. ❡ Ἔρδε, πρᾶττε.
Ἔρδοι, πράττοι. ❡ Ἔρδειν, πράττειν, θύειν, πράσσειν.
Ἐρδόμενον, θυόμενον. ❡ Ἐρδόντων, πληρούντων. θυόντων. τελούντων, πρασσόντων. ❡ Ἔρεσαι, ἐρεύνα.
Ἐρέας, τέκνα θεσσαλοί. ❡ Ἐρεβεννή, σκοτεινή, ἐρέβει.
Ἐρέβινθος, τὸ αἰδοῖον. ❡ Ἐρεβίνθινος διόνυσος οὐδενὸς ἄξιος, παρὰ τινα παροιμίαν ὁ ἐρεβίνθινος ζωμός.
Ἔρεβος, σκότος, ζόφος, νύξ. ❡ Ἔρει, αἰτιᾷ. ἀπαλύει. ❡ Ἐρεείνειν, ἐρωτᾶν. ζητεῖν, ἄγειν.
Ἐρεείνω, ἐρωτῶ. ❡ Ἔρεζεν, ἔθυεν, ἔπραττεν.
Ἐρέθιμις, τέκνοις. ❡ Ἔρεθε, ἐρέθιζε. ❡ Ἐρεθεῖ, ἐρεθίζει, παροξύνει. ❡ Ἐρεθέντα. ἐν ὕδατι ἀποπνιγέντα. ❡ Ἐραθέντι, ληφθέντι, ❡ Ἐρέθιζε, παρόξυνε. ❡ Ἐρεθίζει, παροξύνει, νηρύεται. λυπεῖ. μηρύεται. ❡ Ἐρεθισμός, παροξυσμός.
Ἐρεθύμιος, ὁ ἀπόλλων παρὰ λυκίοις καὶ ἑορτὴ ἐρεθυμία. ❡ Ἐρέθοιμι, ἐρεθίζοιμι, ἐρωτήσοιμι.
Ἐρέθονται, κρέμανται. ❡ Ἐρέθων, διακόπτων, ἢ κατεπείγων, ἐπὶ τοῦ πυροῦ καὶ ἐρεγμὸς ὁ κύαμος ὁ διακεκομμένος. ❡ Ἐρεῖ, λέγει. ἐρωτῶ. ❡ Ἐρείδε, συν

κούουσιν. ¶ Ἐπιφροσύνη, σωφροσύνη, ἐπιλογισμός.

Ἐπίφρων, φρόνιμος. ¶ Ἐπιφυέσθω, βλαστανέτω.

Ἐπιφυλλίς, βοτρύδιον μικρόν. ἐπιτελεῖ βλαστάνον.

Ἐπιφύοιντο, ἐπιγίνοιντο. ¶ Ἐπιφωνεῖ, βοᾷ, κράζει.

Ἐπιχαλᾶ, τὴν τὸ κανοῦν φέρουσαν εἰς τὰς θυσίας θεράπαιναν. ¶ Ἐπιχαλκίται, ὁπλῖται. ¶ Ἐπίχαλκον, τὸ στόμα τῶν αὐλῶν διὰ τὴν φορβειὰν οἱ νοεῖ ἐπιστομίδα. ¶ Ἐπίχαλκος, ἀσπίς. ἔχει γὰρ χαλκῆν τὴν ἐπιβολήν, ἔνιαι δὲ βόειαι εἰσίν. ¶ Ἐπὶ χαριξένης, ἐπὶ μωρίας· ἡ χαριξένη δὲ γέγονε ἀρχαία οὖσα, ἔνιοι δὲ καὶ ποιήτριαν αὐτὴν ἐρωτικῶν λέγουσιν. ἔστι δὲ καὶ παροιμία διὰ τὰ ἐπὶ χαριξένης.

Ἐπίχαρις, ἡ παρὰ ἀττικοῖς, ἅβρα. ¶ Ἐπίχαρμα, χάρμα ᾧ τινι χαίρει τις καὶ ὁ ἐπίχαρτος. ¶ Ἐπιχαίρειν, συγχαίρειν. ¶ Ἐπιχατοῦ, ἐνδεεῖς. ¶ Ἐπὶ χεῖρα, τὰ ὑπὲρ τὸν μισθὸν διδόμενα τοῖς χειροτέχναις.

Ἐπιχειρέειν, ἐπιτίθεσθαι. ¶ Ἐπιχειρεῖ, ῥῆμα.

Ἐπίχειρον, αὐταπόδοσις. ¶ Ἐπιχειρονομοῦντων, ταῖς χερσὶν ὡς νόμοις χρώμενοι. ¶ Ἐπιχειρεία, χάριν ἐπιφέρουσα. ¶ Ἐπιχητίας, ἐνδεής.

Ἐπιχιλιάδιον, τὸ χιλιοστόν. ¶ Ἐπιχιλές, τὸ ἐλλιπές.

Ἐπιχιλοῦντες, πληροῦντες. ¶ Ἐπιχνοῦν, ἐπισκοτισμένον. ¶ Ἐπιχθιῖσθαι, βεβαιοῦσθαι. ¶ Ἐπὶ χθονί, ἐπὶ γῆ. ¶ Ἐπιχόα, κατάχυσις. ¶ Ἐπὶ χρόνος, ἐπίκαιρος. ¶ Ἐπιχείλεος, περιχείλεος.

Ἐπιχρηστία, ἐπιχρώμεναι. ¶ Ἐπιχρῶ, χρίω.

Ἐπίχυσις, κενίασις. ¶ Ἐπίχυτον, εἶδος πέμματος ἢ νομίσματος ἐξ ἀργύρου ἢ μολύβδου κεχυμένον.

Ἐπιχώνια, κάρυα. ¶ Ἐπιχώρειον, ὕπαγε, μείωσον.

Ἐπιχώρεια, συκοφαντικά. εἰς αὐτὸν γὰρ ἀθηναῖοι κωμωδοῦνται. ¶ Ἐπιχώρας, ἐπὶ τόπου. ¶ Ἐπιχωρεῖ, ἐπιγειτνιᾷ. ¶ Ἐπὶ ψάμμοις, ἐπὶ ταῖς παραθαλασσίαις ψάμμοις. ¶ Ἐπιψαῦσαι, ἐφαύσασθαι.

Ἐπιψαύσῃ, ἐπιθίγῃ, ἅψηται. ¶ Ἐπιψίσει, ἐπιψιεῖ ἐπιψωμιεῖ. ¶ Ἐπιψηφιεῖται, ψῆφον παρέχων καὶ νίκην. ¶ Ἐπιψηφιζόμενος, ἐπικρίνων.

Ἐπιωγαί, οἱ αὐείμενοι τόποι, ὑπαγωγὰς δὲ ἔχοντες καὶ ὑποσκέπην τῶν καταγωγάς. ¶ Ἐπιωγάς, ἀνειμένοι τόποι, ἐφ' οἷς δύναται ἡ ναῦς ἐπέρχεσθαι.

Ἐπιών, ἐπιπορευόμενος. ¶ Ἐπλαγγέθη, ἐπλανήθη.

Ἐπλαζόμην, ἐπλανώμην. ¶ Ἐπλάσθη, κατέλυσεν.

Ἐπλακίζετο, τὰς κοιλίας εἶλεν. ¶ Ἐπλαταγήσεν, ἐψόφησεν, ἔνθεν τὸ πλαταγώνιον παίγνιον ξύλινον, ᾧ ψοφοῦσιν. ¶ Ἔπλει, ἐπορεύετο, ἔπλεο, ἐγίνου.

Ἔπλετο, ἐγίνετο, ἦν, ὑπῆρχεν. ¶ Ἔπλευ, ἐγίνου.

Ἐπλήγην, ἐμάνην. ¶ Ἐπλήνετο, ἐπλησίαζον, ἤγγιζον.

Ἐπλήσθη, ἐγεμίσθη. ¶ Ἐπλινθεύθησαν, οἱ αἰχμάλωτοι πλίνθους ἐβάσταζον, ἕως τὰ λύτρα εἰσενεγκεῖν.

Ἐπνύνθη, ἠγέρθη, ἀνεβίωσεν. ¶ Ἔπνυτο, ἐφρόνησεν.

Ἐπωβελία, τόκος. ¶ Ἐπόγδοον, τόνος μουσικός.

Ἐπόγκιαι, αἱ τοῦ πλοίου παραθῆκαι. ¶ Ἔπη, λόγοι.

Ἐπύθετο, ἠρώτα. ¶ Ἐπυθόμην, ἠρώτων, ἐμάνθανον.

Ἐποικιδία, δημήτηρ ἐν κορίνθῳ. ¶ Ἐποικτίσας, οἰκτείρας. ¶ Ἐπῴχνεον, διεκόνουν, ἐπορεύοντο, ἐθεράπευον, ἐνήργουν. ¶ Ἐποίνασιν, λύτρον ἀπέδωκε, ποινὴν ἔλαβε τοῦ νεκροῦ. ¶ Ἐποίσει, ἐπενέγκει.

Ἐποιθήσεται, ἐπενεχθήσεται. ¶ Ἐποίχεται, ἐπιπορεύεται, ἐργάζεται. ¶ Ἐποιτο, ἀκολουθοίη.

Ἐποιχόμεναι, διακονοῦσαι. ¶ Ἐπιπορευόμεναι, ἐργαζόμεναι, ὑφαίνουσαι, αἱ γὰρ ἡρωΐδες ὀρθαὶ ὕφαινον.

Ἐποιχνεῖ, ἐπιφοιτᾷ. ¶ Ἐποκεῖλαι, ἐπὶ τὸ ξηρὸν ἐλθεῖν. ¶ Ἔπολμις, εἶδος μάντεως.

Ἐπολυώρησας, πολὺ ἐφύλαξας. ¶ Ἐποπολύζει, θρηνεῖ. ¶ Ἐπόμενοι, ἀκολουθοῦντων. ¶ Ἐπόπαζε, ἔνστρεπου, ἐπιστρέφου, κατασκεύαζε, φυλάσσου.

Ἔποψ, ὄρνεον. ¶ Ἐπόπται, θεαταί. ¶ Ἐποπτεύοι, ὑπολάβοι, νομίζοι. ¶ Ἐπόπτης, ζεὺς ἢ θεατής.

Ἐποπτήσαντων, θεωρήσαντες. ¶ Ἐπορβεῖται, φθονεῖ. ¶ Ἐπ' ὄρει, ἐπὶ τοῦ ὄρει. ¶ Ἔπορεν, ἔδωκεν, ἐχαρίσατο. ¶ Ἐπόργη, ἐπισκόπῳ. Ἐπορεξάμενος, ἐφορμήσας περιελθὼν ἐπιλαβόμενος.

Ἐπέρασεν, διεπέρασεν. ¶ Ἐπόρθμευεν, ἔπλεεν.

Ἐπόρθουν, κατέσκαπτον, ἐδίωκον. ¶ Ἐπορθρεῦσαι, ἐπαγρυπνῆσαι. ¶ Ἐπόρκιον, ἐπιορκίαι ἐπιορκία.

Ἔπορσον, ἐφόρμησαι ποίησον. ¶ Ἐπόρσυνε, ἡτοίμαζε. ¶ Ἔπος, ῥῆμα, λόγος, φωνή. ¶ Ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε. τόν τε λόγον εἰπεῖν καὶ τὰ μέρη αὐτοῦ διέξιεν. ¶ Ἐποτώμενος, προσστρεφόμενος.

Ἐποστρακίζειν, ὀστράκοις παίζειν. ¶ Ἐπούδιζε, κατέβαλεν ἐπὶ γῆν. ¶ Ἔποτευ, διατί. ἢ ἐπὶ τίνος.

Ἐποξύνει, παροξύνει, παρορμᾷ. ¶ Ἔπου, ἀκολούθει.

Ἐπ' οὖδας, ἐπὶ τὸ ἔδαφος. ¶ Ἐπουδαῖοι, ἐπιχθόνιοι.

Ἐπ' οὔρει, ἐπὶ τοῦ ὄρει. ¶ Ἐπουρίσας, ἐφορμήσας.

Ἐπούρισεν, ὥρμησεν, ἀπέπεμψεν.

Ἔπουρος, εἶδος ἰχθύος. ¶ Ἔπουσιν, ἐπ' ἀληθείας ἦσαν. ¶ Ἐποῦσα, πονουμένη· φυτώσῃ, ποιουμένη.

Ἔπουσιν, ἐνδρυγοῦσιν, ἀκολουθοῦσιν.

Ἐπουτίς, οὐσία παρὰ ῥοδίοις. ¶ Ἐποφρυδῶν, μετώπων. ¶ Ἔποχοι, οἱ ἐπὶ τῶν ὀχημάτων διαβαίνοντες. ¶ Ἐποχωτέρα, ἐπιμονωτέρα. ¶ Ἐποχεῖται, ἐπιπορεύεται. ¶ Ἔποχος, ὁ ἐπὶ τοῦ ὀχήματος.

Ἐποχούμενος, βασταζόμενος. ¶ Ἔποψ, ἐπόπτης δυνάστης καὶ εἶδος ὀρνέου. ¶ Ἐπόψιος, ζεὺς καὶ ἀπόλλων. ¶ Ἐπόψομαι, θεωρήσω. ¶ Ἐποσίνεσθαι, ἐπὶ τὸ βλάπτειν. ¶ Ἔπραθεν, ἐπόρθησεν.

Ἐπράνωσε, κατέβαλεν. ¶ Ἔπρασεν, ἐπραγματεύετο. ¶ Ἐπρέσβευε, πρεσβύτερος ἦν. ¶ Ἔπρηξεν, ἔπρεσεν, ἐκρύβη. ¶ Ἔπρηξας, ἐτέλεσας, ἐπλήρωσας, ἐφύσησας, ἐκύρτωσας. ¶ Ἔπραν, ἠγόραζεν.

Ἔπρησεν, ἔκαυσεν. ¶ Ἐπρυτάνευεν, διῴκει.

Ἔπρωσεν, ἐμοίρασεν. ¶ Ἑπταβόειον, ἑπτάβυρσον.

Ἑπταγράμματον τὸ ὀργίλον ἢ σκληρὸν τὸ σκέρασιν.

Ἑπτάγυρον, ἑπτάρυτον. ¶ Ἑπτάενον, ἑπταετῆ.

Ἑπτακότα, πεσόντα. ¶ Ἑπτωκώς, σφαλεὶς ἢ πεπτωκώς. ¶ Ἑπτακεναι, κεκρυφέναι. ¶ Ἑπταπόδην, τηλικοῦτον τὸ μεγέθει. ἑπτὰ ποδῶν, ἔχαρον.

Ἑπτάπορος, ποταμὸς ἐν τροίᾳ. ¶ Ἑπτάπους. σκιά· τοῖς ποσὶ κατεμέτρουν τὰς σκιάς, ἐξ ὧν τὰς ὥρας ἐγίνωσκον. ¶ Ἑπτάστομον, ἑπτάπυλον. ¶ Ἔπταρ, διεφορήθη, ἠφανίσθη. ¶ Ἑπτάτονος, ἑπτάχορδος.

Ἑπταχα, εἰς ἑπτὰ μέρη. ¶ Ἑπτάχορδα, παλαιὰ μέλη διὰ ἑπτὰ χορδῶν ᾀδόμενα. ¶ Ἑπταπέκτος, ἡ βα

φῆς τοῦ σώματος ἴδιον ἐπεστραμμένως καὶ ἐναργῶς.

Ἐπιστρέφομαι, ἀλχνῶμαι φροντίδα ποιοῦμαι.

Ἐπίστροφος, ἐπιστροφὴν ποιούμενος καὶ φροντίζων, ἢ εἰς ἑαυτὸν ἐπιστρέφων τοὺς ἀνθρώπους, ἢ ἐπιμελητής. ¶ Ἐπιστροφή, διατριβὴ λέγεται αἰσχύλος φρυξίν. ¶ Ἐπίστροφις, τεῖχος συνεστραμμένον ἢ ὅταν ἡ ὀσφὺς ἢ στρεβλή. ¶ Ἐπιστύξη, ἐπαφῇ.

Ἐπιστυνιεὶς, ἐπισυνιεὶς ἢ ἐπιμελητής. ¶ Ἐπιστυφόμενοι, προκυλινδούμενοι. ¶ Ἐπισύστητε, συνάχθητε.

Ἐπιστώθη, ἐπείσθη, ἐπληροφορήθη. ¶ Ἐπισφαλής, βλαβερὸς ἐπικίνδυνος. ¶ Ἐπίσφαλον, ἐπιμωμητὸν ἢ συνομιλητὸν ἢ ἐπὶ κακῷ ὀνομαζόμενον.

Ἐπισφελίτης, ὁ θρανίτης, σφέλας γὰρ τὸ ταπεινὸν διφρίον τὸ ὑποπόδιον. θρανίτης δὲ καὶ ὁ θράνος, ἔχει δὲ τὴν ἄνω ἕδραν. ¶ Ἐπεισφορά. δῶρα ξένια, καταδίκαι. ¶ Ἐπισφύρια, τὰ καλύπτοντα τὰ σφυρά.

Ἐπισφραγίζω, σφραγίζω. ¶ Ἐπεισφρήσας, ἐπεισενεγκών. ¶ Ἐπισχεῖν, κρατεῖν ἢ κωλύειν.

Ἐπίσχες, ἐπίσχου. ¶ Ἐπίσχες, ἄγχου. ¶ Ἐπισχεδὸν, σύνεγγυς. ¶ Ἐπισχερὼ, ἐφεξῆς κατὰ τὸ ἑξῆς.

Ἐπισχεσία, πρόφασις. ¶ Ἐπισχοίης, ἐπιβάλοις.

Ἐπισχόμενον, καταχολαζόμενον. ¶ Ἐπισχύρους, ἐπικούρους. ¶ Ἐπισχὼν, προσέχων. ¶ Ἐπίσωτρα ἢ ἔξω τοῦ τροχοῦ ἐπισάνια. ¶ Ἔπειτα, εἶθ' οὕτως ἢ μετὰ ταῦτα. ¶ Ἐπιτάδιος, ὁ ἐραστής. ¶ Ἐπὶ * τὰ κανὰ ῥὶς ἐπιτηδείοις. ¶ Ἐπίταλον, πολυχρόνιον.

Ἐπιταλαιπωρεῖν, ἐπικαταμύειν ἢ ἐπιπονεῖν. ¶ Ἐπὶ τὰ μανδραβούλου, παροιμία ἐπὶ τῶν ἀεὶ ἐπὶ τὸ χεῖρον προϊεμένων ἀπὸ μανδραβούλου τινός. ¶ Ἐπιταξίδια, σιδηραῖ τινὲς ὡς ἄγκυραι. ¶ Ἐπιτάρροθος, ἰσχυρός. βοηθός. σύμμαχος. ¶ Ἐπὶ τὰ πρόσω, ἀντὶ τοῦ ἔμπροσθεν. ¶ Ἐπίταρχον, ἐπιτάφιον, ἐντάφιον.

Ἐπίταυρον, ἰσχυρόν. ¶ Ἐπὶ τὰ χείρονα, ἤγουν τὰ κακά.

Ἐπιτελής, ὡραία γαμεῖσθαι. ¶ Ἐπιτεῖλαι, ἐντείλασθαι. ¶ Ἐπίτειλον, ἔντειλον, ἐπίταξον, πρόσταξον. ¶ Ἐπιτεθυμένων, ἐκκεκαυμένων. ¶ Ἐπιτιμήτωρ, ἔκδικος τιμωρός. ¶ Ἐπιτεῖναι μεγαλῦναι, μακρῦναι. ¶ Ἐπιτείνεται, ἀντὶ τοῦ ὄντι πλεονάζει, ἢ αὔξει, ἢ εἰς ἐπίδοσιν ἄγεται. ¶ Ἐπιτειχίζουσιν, ἐποικοδομοῦσιν. ¶ Ἐπιτεχναντῆρες, οἱ παρασκευασταί. ¶ Ἐπιτέλλῃ, ἐντέλλεται, ἐπέρχεται.

Ἐπιτέλλειν, ἐντέλλεσθαι. ¶ Ἐπιτέλλεο, ἐντέλλου.

Ἐπιτελέωμα, τὸ ἀντὶ θυσίας γινόμενον. ¶ Ἐπιτελεῶσαι. ὅπερ νῦν ἀφοσιῶσαι λέγομεν. ¶ Ἐπιτελείωσις, αὔξησις. ¶ Ἐπίτυρα, ἐκπιάσματα ἐλαιῶν.

Ἐπιτέρεννα, εἶδος ἄρτων. ¶ Ἐπιτέρμιον, ἀπὸ τοῦ τέρματος, οἷον ἀντὶ τοῦ τέλους. ¶ Ἐπιτέρμιος, ἑρμῆς.

Ἐπιτεταννύσθαι, ἡπλῶσθαι. ¶ Ἐπιτέτραπται, ἐπ' ἐξουσίας ἐστίν. ¶ Ἐπιτετράφαται, ἐπιτετραμμένοι εἰσίν. ¶ Ἐπιτέταται, αὔξει. ¶ Ἐπιτέταρ, ηὔξανεν, ἤκμαζεν. ¶ Ἐπιτέτροφεν, ἐπιπέπηγεν.

Ἐπιτετυφωμένον, ἐπικεκαυμένον. ¶ Ἐπίτευγμα, ἐπιτυχία. ¶ Ἐπιτέτευκται, ἐν ἐπιτυχίᾳ ἐστίν.

Ἐπιτεχνήσεως, μηχανῆς. ¶ Ἐπίτηδες, ἑκούσιον ἐπιμελές. ὀξυτόνως δὲ καὶ ἐπιτηδείοις. ¶ Ἐπιτήδειον, ἔτοιμον, ὠφέλιμον. ¶ Ἐπιτήδειος, ὁ φίλος, ἀνεπιτήδειος ὁ ἐχθρός. ¶ Ἐπιτηδείως, ἐπιμελῶς ἁρμοδίως. ¶ Ἐπιτήδευμα, ἐπίνοια, ἔργον, ποίημα.

Ἐπὶ τῇ ἐμῇ αἰτίᾳ, ὁ νῦν ἀντὶ τοῦ ἐμῷ κινδύνῳ. ¶ Ἐπιτιμᾷ, τιμωρεῖται ἢ τὴν τιμὴν αὔξει. ¶ Ἐπιτιμήτορα, βοηθόν. τιμωρόν. ¶ Ἐπίτειλον, παράγγειλον.

Ἐπιτίμιον, πρόστιμον τιμωρία.

Ἐπίτιμον, πλούσιον, τιμωρόν, τιμητόν. ¶ Ἐπιτμήγειν, ἐπιτέμνεσθαι ἀπόλλειν. ¶ Ἐπίτονος, δέρμα ᾧ κατησφάλισται τὸν ἱστὸν ἐπὶ νεώς. ¶ Ἐπὶ τὸ αὐτό, ὁμοῦ εἰς τὸν αὐτὸν τόπον. ¶ Ἐπιτωθάζει, κολακεύει, χλευάζει, ἐπιγελᾷ. ¶ Ἐπιτολὴ ἀνατολὴ ἄστρου ἢ φανερώσεως. ¶ Ἐπὶ τῶν ἐνεστώτων, ἀντὶ τῶν παρόντων ἢ τῶν ἐνισταμένων. ¶ Ἐπὶ τούτοις, πρὸς τούτοις.

Ἐπιτραπεζώματα. τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα. ¶ Ἐπιτραπέζιος, ὁ παράσιτος.

Ἐπὶ τραφερὴν, ἀντὶ τὴν ξηρὰν γῆν. ¶ Ἐπιτρέχων συντόμως. ¶ Ἐπιτρέψαι, ἐπιτρέπειν δοῦναι ἢ ἀπολέσαι.

Ἐπιτρίβεται, ἐπιφέρεται. ¶ Ἐπιτριβόμενοι, ἐπαιρόμενοι. ¶ Ἐπιτρίμματα, κοιλίσματα.

Ἐπίτριμοι, ἀλλεπάλληλοι. ¶ Ἐπιτρέψεις, συντρίψεις, συντελέσεις. ¶ Ἐπιτροπάδην ἐπιθέτως, οὐκ ἐκ ψυχῆς ἐπιτηδευμένως. ¶ Ἐπιτροπή, ἔφοδος.

Ἐπίτροπος, ὁ προστάτης τῶν χωρίων καὶ ὅλης τῆς οὐσίας καὶ ὀρφανῶν. ¶ Ἐπιτροχάδην, ταχέως. ¶ Ἐπίτροχαλον, πυκνῶς καὶ ταχέως ἐπίτροχον. ῥᾴδιον. ἔτοιμον. γοργόν. ¶ Ἐπιτρύζουσιν, ἐπιγογγύζουσιν, ἐπιλέγουσιν. ¶ Ἐπίτρυσον. ἐπίμονον λάκωνες.

Ἐπιτυρῆ, ἐπικαῆ, ἐπιπυρωθῆ. ¶ Ἐπιτυφῶ, ἐπαπλύω συρακούσιοι. ¶ Ἐπιτυφῶσαι, ἐπιπνευσάσαι. ¶ Ἐπιτυχόντων, εὐτελῶν. ¶ Ἐπὶ τοῦ δήμου, ἀντὶ τῆς τοῦ δήμου καταλύσει. ¶ Ἐπιτωθάζοντες, χλευάζοντες, ἐπιγελῶντες ἢ ἐμβροντοῦντες. ¶ Ἐπὶ φαλινίου, τὸν ἀλκιβιάδην φησὶν ὁ ἀρίσταρχος ἀντὶ φαλινίου γεγενῆσθαι. σκώπτων παρὰ τὸν φάλητα, ἐπαναχωντίας γὰρ ὁ φάλης. ¶ Ἐπιφάμεναι, συγκατατίθεσθαι. ¶ Ἐπίφαλος, ὁ πρὸς εὐμορφίαν φαινόμενος ἐπιθέτης. ¶ Ἐπιφάτνιος, ὁ ἑωσφόρος ἀστήρ.

Ἐπιφαύσκοντα, ἀνατέλλοντα, φαίνοντα. ¶ Ἐπιφημισμοῖς, ὀδυρμοῖς. ¶ Ἐπιφθομένοις, ὡρμηκότας.

Ἐπιφέρει, προσήκει. ¶ Ἐπιφέρεται, ἀλαζονεύει.

Ἐπιφημιντῆρες, οἱ εὐφημοῦντες ἢ ἐπιφωνοῦντες ἢ συγκατατιθέμενοι. ¶ Ἐπιφημίζουσα, εὐφημουμένη, ἐπιφημιζομένη. ¶ Ἐπιφημίσμασιν, οἰωνίσμασιν.

Ἐπ' ἰφθίμῳ, ἀντὶ τῇ ἰσχυρᾷ. ¶ Ἐπιφλέγει, ἐπικαίει.

Ἐπιφοιτᾷ, παραγίνεται. ¶ Ἐπιφοιτήσεως, ἐπελεύσεως, παρουσίας. ¶ Ἐπιφοράς, καταδίκας.

Ἐπιφορήματα, τραγήματα μετὰ τὸ δεῖπνον.

Ἐπιφορίναν, ἀντὶ δέρμα. ¶ Ἐπίφορον, τὴν φέρουσαν σύγγονον λάκωνες, καὶ ἀμπέλου ὄνομα.

Ἐπίφορος, τοῦ τεκεῖν ἐγγὺς οὖσα. ¶ Ἐπιφράγματα, τὰ ὑπὸ τὸ στόμα. ¶ Ἐπιφραδέστερον, συντομώτερον, συνετώτερον. ¶ Ἐπιφρασώμεθα, σκεψώμεθα.

Ἐπιφράσασθαι, ὑπονοῆσαι ἢ ἐπινοῆσαι. ¶ Ἐπιφράδμων, ψευδαλόος. ¶ Ἐπίφρενα, ὑποχόνδρια. ¶ Ἐπὶ φρεσί, ἐν ταῖς διανοίαις. ¶ Ἐπίφρονα, φρόνιμον, συνετόν. ¶ Ἐπιφρονεύουσιν, ἐπα

Ἐπιρροὴν, ἐπίρροιαν ὑδάτων. ¶ Ἐπιρροιζεῖν, ἐπιπαίζειν, ἐπισείειν, ἐπεγκελεύειν. ¶ Ἐπιρρόθησεν, ἐπήχησεν, ἐπεβόησεν. ¶ Ἐπιρρόθητα, ἐπίψογα.

Ἐπίρροθος, ἰσχυρός. ¶ Ἐπίκουρος, βοηθός.

Ἐπιρρόμενον, ἀπόμακρον. ¶ Ἐπιρροπαῖς, παρὰ μικρόν.

Ἐπιρρύσαντος, ἐπιθεμένη, ἐπιστάξασα. ¶ Ἐπιρρωγολογοῦσι, καλαμῶνται τὸν ἀμπελῶνα. ¶ Ἐπιρρωννύς. ἐπισχύων ἐκ τῆς ῥώσεως ἢ ῥώμης. ¶ Ἐπιρρώννυσιν, ἰσχυροποιεῖ. ¶ Ἐπίρρωσις, βεβαίωσις, διόρθωσις, ὑγεία. ¶ Ἐπιρρυθμίζει, διατυποῖ, ἐπανορθοῦται. ¶ Ἐπιρρόσμιον, ἐπίρροιον. ¶ Ἐπιρρύζειν, κύνας ἐπαφιέναι καὶ παρορμᾶν. ¶ Ἐπίρρωσαι, ἐπιτελεῖ. ¶ Ἐπιρρωσθῆναι, ἐπελθεῖν, ἐπισπασθῆναι, ἐπείγεσθαι. ¶ Ἐπείσακτον, ἀλλότριον.

Ἐπισαλουμένη, ἐπικινουμένη. ¶ Ἐπίσαμον, λευκόν. ¶ Ἐπισαχθεὶς, χρεωφειλέτης. ¶ Ἐπισείειν, ἐκφοβεῖν, ἀνατείνεσθαι. ¶ Ἐπισειούσης, ἐπικελευομένης ἀπὸ τῶν τὰς ἡνίας ἐπιχαλώντων σοφοκλῆς ἀχαιῶν συλλόγῳ. ¶ Ἐπίσειον, ἐφόβαιον. καὶ τὸ αἰδοῖον ἀνδρός τε καὶ γυναικός. ¶ Ἐπίσειστος, εἶδος κουρᾶς. ¶ Ἐπισέπτυλον, ἐπίταξον.

Ἐπισέλινα, πέπανα μικροειδῆ. ¶ Ἐπίσημα, τὰ περὶ προσώπῳ σημεῖα ἢ εὔφωνα, ἢ εὔμορφα.

Ἐπίσημος, ἐπιφανὴς ἔνδοξος προφανέστερος.

Ἐπίσθιον, σκέπασμα, περὶ τὸν τράχηλον. ¶ Ἐπίσιγμα, ἐπεγκέλευμα κυσίν. ¶ Ἐπισίλλον, ἐπισπιζόμενον. ¶ Ἔπεισιν, ἐπέρχεται, ἐπιτρέχει, ἐπινικᾷ.

Ἐπισινὲς, βλαβερόν. ¶ Ἐπινὸς, ἀσθενός.

Ἐπισίνιος, ἐπίβουλος. ¶ Ἐπισῖξαι, ἐφορμῆσαι.

Ἐπισίξας, ἐπαφεὶς περὶ ὁρμὴν ἢ ἐπιστάξας.

Ἐπισίτιος, ὁ τροφῆς χάριν ἐργαζόμενος. ¶ Ἐπισιτισμὸν, ἐφοδιασμόν. ¶ Ἐπισιττεῖν, κυνηγετικῶς παρορμᾶν. ¶ Ἐπισίφλιον, αἰσχρὸν μωμητόν.

Ἐπισκαλμὶς, τὸ ὑπὸ τὸν σκαλμὸν σανίδιον.

Ἐπισκαφεὺς, ὁ μετὰ τὸν ἀροτῆρα ἐπισκάπτων.

Ἐπισκαφία, ἑορτὴ παρὰ ῥοδίοις. ¶ Ἐπὶ σκέλος, εἰς τὰ ὀπίσω. ¶ Ἐπισκέπτει, ἐπιβλέπει, ἐφορᾷ.

Ἐπισκευασάμενοι, εὐτρεπισθέντες. ¶ Ἐπίσκηνος, ἑορτὴ ἐν λακεδαιμονίοις. ¶ Ἐπισκήνιον, τὸ περὶ τὴν σκηνὴν καταγώγιον. ¶ Ἐπισκήπτει, σημειοῦται, μέμφεται, προνοεῖται, ἐντέλλεται. ἐπιτιμᾷ.

Ἐπισκηπτέτω, ἐπιμεμφέσθω. ¶ Ἐπισκήπτω, ἐπαρῶμαι. καὶ ἐνδείξω τὴν γνώμην ἐπισκήπτω.

Ἐπισκόψασθαι, ἐπιβαρῆσαι. ¶ Ἐπισκεψάμενον: ἐπισημειωσάμενον. ¶ Ἐπισκιασμὸν, κάλυμμα.

Ἐπίσκοος, ἐπίσκοπος. ¶ Ἐπίσκοπα, τυγχάνοντα τοῦ σκοποῦ. ¶ Ἐπισκοπὴ, ἐκδίκησις. ¶ Ἐπίσκοπος. βασιλεύς. ἐπήκοος, φύλαξ, ἐπόπτης κατάσκοπος. ¶ Ἐπισκύζονται, ὀργίζονται. ¶ Ἐπεισκυκλεῖν, εἰσφέρειν, συνάπτειν. ¶ Ἐπεισκυκλήσας, συνάξας. ¶ Ἐπισκύνιον, τὸ ἐπάνω τῶν ὀφθαλμῶν ὀφρύδιον, ἢ τὸ μεσόφρυον. ¶ Ἐπίσκυρος, ὁ μετὰ πολλῶν σκαρισμός. ἢ ἄρχων, βραβευτής. βοηθός. ἐπίσκοπος, ἔφορος, ἐπήκοος. ¶ Ἐπισμυχεῖν, ἐπικόπτειν, ἐπικωλύειν. ¶ Ἐπισμύχει, ἐπιτρίβει ἀπὸ τοῦ σμύχειν ἢ τρίβειν ἢ πλύνειν. λοιδορεῖ. πλήττει: σμῶξαι ἢ τὸ πατάξαι, ἔνθεν σμῶδιξ αἱματόεσσα.

Ἐπισμυγερῶς, ἐπιπόνως. ¶ Ἐπισμυκτὸν, ἐπιμυκτηρισμόν. ¶ Ἐπισπαστὸν, αὐθαίρετον, ὅπερ ἑαυτῷ τις ἐπισπᾶται κακόν. ¶ Ἐπίσσομαι, ἐπελεύσομαι.

Ἐπὶ σοὶ, κατὰ σοῦ. ¶ Ἐπισπάσει, ἐπιτεύξεται σοφοκλῆς ἄξει, ἢ μυκῦνας περὶ τῶν τοῖς λίνοις λαμβανόντων. ¶ Ἐπισπάσθω, ἑλκυέτω τὸ δέρμα.

Ἐπισπᾶται. ¶ Ἐπισσαὶ, ἐπιταί. ¶ Ἐπίσπαστρον, βρόχον. ¶ Ἐπίσπειραν, χοινίον τὸ ἀναγκαιότατον. ἐν τῷ χειμῶνι τοῖς χοινίοις πιστεύουσι. δηλοῖ δὲ τοὺς ἀναγκαίους φίλους. ¶ Ἐπισπέρχειν, ἐπισπεύδειν, ἐπείγειν. ¶ Ἐπισπέρχουσαι, ἐπισπεύδουσαι, ἐπειγόμεναι.

Ἐπισπερχῶς, μετὰ σπουδῆς. ¶ Ἐπισπέσθαι, ἐπακολουθῆσαι. ¶ Ἐπισπομένη, ἐπακολουθοῦσα.

Ἐπίσπη, ἐπισπάσηται. πληρώσῃ: καταλάβῃ.

Ἐπίσπορα, τὰ λάχανα. ¶ Ἐπισσαι. ὕστερον γινομένη νεωτέρα. ¶ Ἐπισσεύας. ἐφορμήσας.

Ἐπισσεύουσα, παρακελεύουσα. ¶ Ἐπίσσυτον, τὸ ὕστερον γενόμενον. ¶ Ἐπίσσυτος, ἐφορμήσας.

Ἐπίσσυχον, ἀκόλουθον. ¶ Ἐπασσυτέρη, ὁρμητικωτέρα, ταχεῖα, τομωτέρα. ¶ Ἐπίσσωτρα, τὰ ἐπικείμενα τοῖς τροχοῖς σιδήρια περὶ τὴν γῆν σοούμενα.

Ἐπισταδὸν, ἐφεστῶτες ἢ ἐφιστάμενοι ἐμπείρως ἢ κατὰ τάξιν ἑστῶτες. ¶ Ἐπισταδὸν, ἐφεστηκώς, ἢ προστασία ἢ κατὰ τὸ ἑξῆς. ¶ Ἐπισταθμία, ὑποδοχὴ ξένων.

Ἐπίσταμαι, δύναμαι, οἴομαι.

Ἐπιστάμεθα, δυνάμεθα. ¶ Ἐπισταμένως, ἐμπείρως. δυνατῶς, ἐπιστημόνως, συνετῶς. ¶ Ἐπιστασίαν, προστασίαν. παραμονήν. ¶ Ἐπίστασις, γνῶσις ἢ μέρος τι τῆς νεώς. ¶ Ἐπιστατέον, ἐπανεδιδακτέον, γνωστέον. ¶ Ἐπιστάτῃ, μεταίτῃ, ἀπὸ τοῦ ἐφίστασθαι τῇ τραπέζῃ. ¶ Ἐπιστατήρ. τὸ στόμα τῆς νεώς. ¶ Ἐπιστατῆρες, ἀγορανόμοι καὶ οἱ τῶν πλοίων νομεῖς.

Ἐπιστατήριος, ζεὺς ἐν κρήτῃ. ¶ Ἐπιστάτης, ἐφέτης ἢ ἐπαίτης. ἀπὸ τοῦ ἐφίστασθαι, ἢ ἐπίτροπος. ὁ διδάσκαλος. καὶ ὁ τακτικὸς καὶ ὁ βραβευτὴς ὁ ἄρχων τῆς ἀθήνησι καὶ ὁ ἐφεστηκώς. ¶ Ἐπιστεῖ, ἐφιστεῖ.

Ἐπιστειβόντων, πατούντων. ¶ Ἐπιστίλψ. μέμψις ἢ ἐπίμεμψις. ¶ Ἐπιστέφει, κεραννύει οἰκοδομεῖ.

Ἐπιστεφέας οἴνοιο, ἐπιστεφανωμένους. ¶ Ἐπιστεφὲς, πλήρες κρεμάμενον. ¶ Ἐπίστη, οἶδα. ¶ Ἐπίστηθι, γνῶθι. ¶ Ἐπίστημα, στήλη. ¶ Ἐπιστήμης, γνώσεως. ¶ Ἐπιστημονικώτερος, ἀκριβὴς, εἰσηγητής. ὑφηγητής. ¶ Ἐπιστήμων, σοφός. ¶ Ἐπιστῆναι, φανῆναι, ἐπικάλει. ¶ Ἐπίσταται, γινώσκηται. ¶ Ἐπιστίγματα, ἐπικελεύματα σοφοκλῆς ἀθάμαντι, ἐπισκαλάματα. ¶ Ἐπιστεῖξαι, ἐφορμῆσαι. ¶ Ἐπιστίχας, κατὰ τάξεις, ἢ κατὰ τὸ ἑξῆς. ¶ Ἐπίστιον, οἴκημα κατάλυμα. ¶ Ἐπιστόλιον, ἐπιτοίκιον.

Ἐπιστολαὶ, ἐντολαὶ, ἐπιταγαί. αἰσχύλος προμηθεῖ, διαγράμματα καὶ ἐπιστάλσεις. ¶ Ἐπιστομίζων, φιμῶν ἐλέγχων. ¶ Ἐπιστιχθεῖσαν: παρασημειωθεῖσαν ἀγμῷ. ¶ Ἐπίστρατα, ἀποπίπτοντα τοῦ τμημάτων καὶ ἕρματα. ¶ Ἐπιστραβὴς, ὄχημα, ἀκινδύνως φέρον. ¶ Ἐπὶ στρατὸν, περὶ στρατιάν.

Ἐπιστροφάδην, ἐπιστρεφομένως ἰσχυρῶς, ἢ μὲν ἐπιστρο

Ἐπὶ νῆας, ἐπὶ τὰς ναῦς. ¶ Ἐπινηόν. τὸ ἔννναόν.
Ἐπινέωτα, εἰς τρίτην ἔτος. ¶ Ἐπινήχεται, ἐφέλκεται.
Ἐπίνεζον, ἐφ' ᾧ τὴν κρόκην τρίβουσιν.
Ἐπινίκιον, νικητήριον βασιλέως σύμβολον.
Ἐπίνειον, μικρὸς λιμήν. λίμναι καὶ αἱ περὶ αὐτὰς
στοαί. ¶ Ἐπίνοια, ἐπιτήδευμα. ¶ Ἐπινομὶς, ἐμ
ποῖς ναυτικοῖς λέγεται. ¶ Ἐπίνομοι, κληρονόμοι.
Ἐπινεκτὶς, φυλακὴ δοκοῦντι ἀδικεῖν. ¶ Ἐπινύσκειν,
διδάσκειν. ¶ Ἐπίνυσιν, ἐσωφρόνισεν. ¶ Ἐπιξε
νοδοκοῦμαι, ἐπιμαρτυροῦμαι. ¶ Ἐπίξενος, ἐπι
χθόνιος. ¶ Ἐπιξενοῦσθαι, μὴ στερεῖσθαι, παρεύεσθαι ὡς
Φωκλῆς ἀχαιῶν συλλόγῳ, καὶ αἰσχύλος κρήσσαις.
Ἐπίξηνον, ξύλον ἐφ' οὗ τὰ κρέα τιθέντες ἔκοπτον, οἷον
τὸ κρεοκόπτον ξύλον. ¶ Ἐπιξενία δίκη, ἡ συνεισ
ενεχθεῖσα ἐν ᾗ ὁ ὀφληθεὶς, ἀπολύεται. ¶ Ἐπιξόμενοι, ἐπεί
ξημεν. ¶ Ἐπίξυλον, τὸ ἐπὶ περισφυρίδι τοῦ ὑφαι
νομένου ἱματίου, καὶ τὸ παρ' ἐνίοις ἐπίκοπον.
Ἐπιξυνῶ, ἐπικοινῶ. ¶ Ἐπὶ ξυροῦ, ἐπὶ κινδύνου, ὃ ἐστὶ
τοῦ ὀξυτάτου ὃ ἀκροτάτου. ¶ Ἐπίορα, χωρίου μέρος
ἐν σικελίᾳ. ¶ Ἐπιορκιντὴς, τὸν πυνὸν, ἁρπαλέον.
Ἐπιορκία, ψεῦσμα. ¶ Ἐπίορκον, ὅρκον μὴ φροντίζον
τα. ¶ Ἐπιορεξάμενος, ἐπιδών.
Ἐπιόσσομαι. ἐφορῶ, προσαγορεύω, ἐπισημαίνομαι.
Ἐπιούσια, οὐσία. ¶ Ἐπίουροι, ἐπίσκοποι ἢ ἧλοι ξύ
λινοι. ¶ Ἐπίουρος, εἰμὲν προπερισπωμένως, πα
ρεστὶ ἡ πρόθεσις οὖρος γὰρ ὁ φύλαξ εἰ δὲ προπαροξυτό
νως, πάλιν ὁ φύλαξ ἀπὸ ξυλίνου ἐπιούρου.
Ἐπιοῦσα, ἐπερχομένη. ¶ Ἐπιοψάμενος, ἐπιδὼν ἐπι
λέξας. ¶ Ἐπιόψονται, προχειρήσονται περὶ δω
ρον ἐπιλέξονται. ¶ Ἐπίπαγος, τὸ ἐπὶ τῶν ἑψομέ
νων, ἡ γραῦς. ¶ Ἐπιπαίζειν, τὸ μὴ θύειν, φρατρίαν
λάκωνες. ¶ Ἐπίπασμα, ἐπίπλασμα πρόσκομ
μα. ¶ Ἐπιπαιωνίζουσι, ἀλαλάζουσι.
Ἐπὶ παλλαδίῳ, δικαστήριον ἔνθα ἐδίκαζον οἱ ἐφέται
τοῖς ἀκουσίων φόνων δικαζομένοις. ¶ Ἐπιματίδα,
τὴν ἐπίκληρον. ¶ Ἐπίπαξ, συντόμως. ¶ Ἐπίπ
ρος ὁ δολὸς, καὶ ἡ ἐπ' εὐθείας ἢ εἰκῆ, ἤ ἐστι τὰ ἀριστερά.
Ἐπίπαππος, ὁ τοῦ πάππου πατήρ. ¶ Ἐπὶ παρατάξε
ως, ἐν πολέμῳ. ¶ Ἐπιπάσας, ἑταίρας ἐπώνυ
μον. ¶ Ἐπίπαστα, τὰ ἐπιπασσόμενα τοῖς ἐντὸς ἄλ
φιτα, οὕτως γὰρ ἥδιον αὐτά. ¶ Ἐπίπασσον, τὸν
βρόχον, ὅταν γὰρ ἐπισπασθῇ ὁ χοινίον συνάγεται καὶ ἀπο
πνίγει. ¶ Ἐπίπεδον, ἐπὶ τὸν γῆν χαμόγαιον ἰσόπε
δον. ¶ Ἐπιπείθεται, πείθεται.
Ἐπιπαστῖν, καταλαβεῖν. ¶ Ἐπιπεῖραι, ἐπιδιαπεῖραι,
ἢ ἐπιλῃστεῖαι: καὶ πειρατικὴ βλάβη.
Ἐπιπείρει, μοιχεύεται, ἢ μοιχεύει. ¶ Ἐπιπελάνιαι.
ὅλαι καὶ πόπανα. ¶ Ἐπὶ πελονῆσαι, ἐπιβραχεῖα.
Ἐπίπεται, φθίνει καὶ συμπίπτει. ¶ Ἐπίπεδρυν, εἶ
δος βοτάνης παρὰ θεοφράστῳ. ¶ Ἐπιπηχῦ, τῶν πη
χῶν τὰ ἄνω. ¶ Ἐπιπιάσειν, ἐπιπιάσειν.
Ἐπιπλίσσασαι, δείσασαι, διατινάξασαι. ¶ Ἔπιπλα,
ἱμάτια γυναικεῖα ὁ χρήματα ἢ σκεύη τὰ μὲν ἔγγεια,
ἀλλ' ἐπιπόλαια. ¶ * Ἐπίπλαδον, φέρεσθαι.
Ἐπὶ πλακός. ἐπὶ μνήμης πάσης. ¶ Ἐπίπλακος,
πλακοῦντος εἶδος. ¶ * Ἐπιπλέουσι, ἐπιψέεται.

Ἐπιπλεῖ, ἐπιπλέει. ¶ Ἐπίπλεθρα, τὰ παρὰ τοῖς μα
στοῖς ὑπὸ τὰς μασχάλας. ¶ Ἐπιπλήξειν, ἐπιπλ
ῆξιν, ἐπιτιμῆσαι, ὑβρίσαι. ¶ Ἐπίπλον, ἐπίπλοι
ον, ὁ πιμελώδης ὑμὴν, ἐπὶ τῆς κοιλίας καὶ τῶν ἐντέ
ρων ἐπιπλόοις λεγόμενος. ¶ Ἐπιπλομένων, κυκλου
μένων, πληρουμένων, ἐπερχομένων. ¶ Ἐπιπλώ
σας, πλεύσας. ¶ Ἐπιπνείηται, ἐπιθυμεῖ.
Ἐπιπνείουσι, ζῶσι πλέουσιν. ¶ Ἐπιπνεῦσαι, ἐφορᾶν,
Ἐμβαίη, ἐμποδὼν γίνηται ἐναντιωθῇ. ¶ Ἐμβακανίτης, ὁ μετὰ τῆς ταρίχης καὶ σίαρος σκευαζόμενον βρῶμα. ¶ Ἐμβαλλεκύλλη, οἱ αἴροντες κατὰ παιδίαν τὴν χεῖρα πως παιδιάζοντες καὶ καλοῦντες παρὰ καλοῦσιν ἐμβάλλειν. ¶ Ἐμβαλλεῖν. κατακλῖναι. λάκωνες. ¶ Ἐμβάλλεο θυμῷ, ἐνθυμοῦ κατὰ ψυχήν. ¶ Ἐμβαλλόποις, βλεοτόποις. ¶ Ἔμβαλος, ἠλίθιος μωρὸς, ἢ νοσεχὴς, μένανδρος φάσματι.

Ἐμβὰς, εἶδος ὑποδήματος καὶ μέρος τι περὶ χελώνης.

Ἐμβατεῦσαι, τὸ κατέχειν καὶ κληρουχῆσαι χωρίον ἢ οἰκίαν ἢ ὅλον τὸν κλῆρον, ἢ ζητῆσαι. ¶ Ἐμβατεύσας, ζητήσας, ἐπιβατεύσας. ¶ Ἐμβατὴρ. παρὰ τοῖς ἀρχιτέκτοσι τόπος. ¶ Ἐμβατήριον, εἶδος αὐλήματος. ¶ Ἐμβαφίαι, λοπάδες βαθεῖαι ἀπὸ τοῦ βάπτειν ἐν βάθει. ¶ Ἐμβάφιον, ὀξύβαφον παρὰ ἱππώνακτι.

Ἐμβεβροντημένος, ἀναίσθητος. ¶ Ἐμβεβίωκεν, τέθνηκεν. ¶ Ἐμβεβρυττωμένος, ἀναίσθητος, ἐμβρόντητος. ¶ Ἐμβεκανεῖται, ἐμπέπλεκται.

Ἐμβεβηκὼς, ἐπιβεβηκώς. ¶ Ἐμβείη, ἐμβῇ, ἐμπέσῃ. χωρίσῃ. ¶ Ἔμβιον, ἐμποδιστὴν, ἐμποδὼν γίνεται. ¶ Ἐμβίανος, ἄρης. ¶ Ἐμβλώ. πέπλασται παρὰ τὸ ἐμβλέπειν ὡς ἰσδοκῶ. καὶ δοκῶ:

Ἐμβλωκύιαν, ἐν τῷ αὐδὴν ἤδη οὖσαν. ¶ Ἔμβολα, μοχλοὶ, ἀσφάλεια. ¶ Ἐμβολὴν, πληθὴν, ὁρμὴν, ἐνθήκην ἀπόθετον χρῆμα. ¶ Ἐμβολίδες, αἱ περίθετοι.

Ἐμβόλιμα ἔπη τὰ ὑπὸ τῶν γραμματικῶν ὡς ἀλλότρια καὶ νόθα ἀθετούμενα. ¶ Ἐμβόλιμον, τὸν μῆνα καὶ τὴν ἡμέραν καὶ ἀνδραποδισμόν. ¶ Ἔμβολα, ἐπιτίδους παλαμήδης καὶ σκίρτ. ἔμβολα, τὸ δὲ πολὺ ἀρρενικῶς λέγουσι τοῖς ἐμβόλοις. ¶ Ἔμβολην, ἀριστοφάνης ἐν θεσμοφοριαζούσαις τὸ αἰδοῖον, ἀρρενικῶς δέ φασι τὸ τῆς νεὼς ἔμβολον, τὸ χάλκωμα τὸ περιτιθέμενον κατὰ τὴν πρῶραν καὶ ἔμβολον τοῦ θεοῦ. ¶ Ἔμβολος, εἶδος θηρίου ἐν λαχάνοις. ¶ Ἐμβραμένη, εἱμαρμένη. ¶ Ἐμβραχὺ, μικρὸν ἢ καθόλου ὅλως συντόμως ἁπλῶς. ¶ Ἔμβρειον, θεῖον. ¶ Ἔμβραται, εἵμαρται.

Ἐμβρέμεται, ἐμπίπτει, ἐμφυσᾷ. ¶ Ἔμβρεος, ἐνεός. μωρός. ¶ Ἐμβριθὴς, βαρύ. στιβαρόν. στερεόν. πλατύ. ¶ Ἐμβριμήματι, κινήματι. ¶ Ἐμβριμῆσαι, ἐπιτιμῆσαι κελεῦσαι, προστάξαι μετ' ἐξουσίας. ¶ Ἐμβριμώμενος μετὰ ἀπειλῆς ἐντελλόμενος. ¶ Ἐμβροντηθέντες, ἐνεοὶ γενόμενοι μωρανθέντες. ¶ Ἐμβροντησίας, μανίας. φρενοβλαβίας θάμβοις. ¶ Ἐμβρόντητος, παραπεπληγμένος τὴν διάνοιαν, μαινόμενος.

Ἐμβόλιμαι, ἄρτι ἡμέραι, καὶ γῆς ἔντερα. ¶ Ἔμβρυον, νεογνὸν βρέφος, τὸ ἐν γαστρὶ γυναικὸς ὂν διάπλασμα ἢ ὀλίγον. ¶ Ἔμβαχον, ἔμβρυον. ¶ Ἐμβρόνιον, μικρὸν καὶ ἀπόρφυρον ἱμάτιον τιβεριακόν. ¶ Ἐμβύσας. ἐμπλήσας. ¶ Ἐμέγηρε, ἐφθόνησεν. ¶ Ἐμέθεν, ἐμοῦ.

Ἐμεῖο, ἐμοῦ. ¶ Ἐμεῖο, ἐμοῦ ἐστι τὸ σύνθετον. ¶ Ἐμείρετο, ἐπεθύμει. ¶ Ἐμέδια, ἐγέλα. ¶ Ἔμελλεν, ἐῴκει.

Ἐμέλλετε, ἐῴκειτε ἐφαίνεσθε οὐδαμοῦ γὰρ ἐπὶ χρόνου κέχρηται τῇ λέξει. ¶ Ἐμέλησεν, ἐφρόνησεν, ἐφρόντισεν.

Ἔμενον, περιέμενον. ¶ Ἐμέμυξαν, ἐπέξεσαν. ¶ Ἐμεῦ, ἐμοῦ. ¶ Ἐμήνη, ἐμοῦ. ¶ Ἐμήσατο, ἐτεκτήνατο, ὑπότησεν, ἐμηχανήσατο, ἐβουλεύσατο, ἐποίησεν. ¶ Ἐμηχανησάσθην, ἐμηχανήσαντο δυϊκῶς. ¶ Ἐμίηνεν, ἐκ μέρους διέφθειρεν. ¶ Ἐμιάσ, διαχρήματα, ἑαυτούς.

Ἐμίσγετο, ὡμίλει. ¶ Ἐμὶν, ἐμοί. ¶ Ἐμίνυθεν, ἔπραθεν, (ἔπρασεν,

σπέρμα τοῦ ὑοσκυάμου. ¶ Ἑλικηδὼν, κυκλοειδὴς συστροφή. ¶ Ἕλικι, κλήματι ἀμπέλου. ¶ Ἑλικοβλέφαρος, καλλιβλέφαρος. ¶ Ἑλικοειδῶς, κυκλοειδῶς. ¶ Ἕλικας βοῦς, ἤγουν ἀπὸ τῶν κεράτων. ἢ ἀπὸ τῶν ποδῶν ἑλικοειδεῖς, ἑλικὸν γὰρ τὸ συνεστραμμένον. ¶ Ἑλικοί: οἱ ἀστρολόγοι. ¶ Ἑλικὸν, ὄρθιον καὶ μέλαν περιτρεπές. ¶ Ἕλικος βοὸς ἀμφὶ φονῆσι, περὶ βοὸς φόνοις κειμένοις. ¶ Ἑλικτὰ, στρεβλά. σκαμβά. ¶ Ἑλικώνιον, ἀμφὶ ἄνακτα. ¶ Ἑλίκωπας, εὐοφθάλμους. ¶ Ἑλίκωπες, εὐλόφρυες. ¶ Ἑλικώπιδα, εὐόφθαλμον εὐειδῆ. ¶ Ἑλικτῆρες, ἐνώτια.

Ἑλικοτέρας, πολυπλόκους. ¶ Ἑλίκων, ἀπὸ χειρὸς νῆμα τὸ φερόμενον ἐν τῷ ἀτράκτῳ ἐπὶ τὴν γῆν.

Ἑλικώνια, μουσεῖα ὡς ἑλίκωπας, πλοκάμοις ἀντὶ τοῦ ἑλίκοις. ¶ Ἑλίκωπες, μελανόφθαλμοι, ἢ ἑλικοὶ κατὰ πρόσοψιν ἀνακεκλασμένα ἔχοντες τὰ βλέφαρα, ἢ περιφερεῖς τὰ πρόσωπα. ¶ Ἑλικώπιδα, εὐόφθαλμον. ¶ Ἐλελίχθησαν, συνεστράφησαν. ¶ Ἐλίμαρ, κέγχρῳ ὅμοιον. ¶ Ἐλίνη, ἡ μελίνη ὑπὸ λακώνων.

Ἐλινύειν, σχολάζειν, λήγειν, ὀκνεῖν, αὐτοπαθεῖν, στρατεύεσθαι ἢ διατρίβειν. ¶ Ἐλινύμενος, ζεὺς ἐν κυρήνῃ.

Ἐλινύων, ἀναπαυόμενος. ¶ Ἕλιξ, νέος, καλός. μέλας. καὶ ὁ αἰγίλωψ καὶ ἡ κατάγραφος καὶ ἡ ἀνάγλυφος παρὰ τοῖς ἀρχιτέκτοσι, καὶ ὁ κισσὸς, καὶ ψέλλιον καὶ τὸ ὠτὸς ἡ περιοχὴ καὶ δεσμός τις, ἢ τύλιγμα ἢ περίκλασις. ¶ Ἑλιξάμενος, ἐπιστραφείς. ¶ Ἑλίξας, λέξας, κάμψας, στρέψας. ¶ Ἑλιξόκερως, στρεβλόκερως.

Ἐλίπανας, ἤλειψας, ἐφαίδρυνας, πλουσίαν ἐποίησας.

Ἐλιπάρει, ἐξίσθη ἐκολάκευε παρεκάλει. ¶ Ἐλιπάρουν, ὁμοίως. ¶ Ἐλιπεὺς, ὁ ἐνιπεὺς ποταμός. ¶ Ἐλίπησεν, ἐπιθυμητικῶς ἤσθιεν. ¶ Ἕλις, μόνος καὶ ὅλος. ¶ Ἐλισμὸς, ἥσυχος. ¶ Ἑλισθεὶς, ἑλίξας ἑαυτόν. ¶ Ἑλίσσει, πλέκει. ¶ Ἑλίσθη, ἔπεσεν. ¶ Ἐλίσσετο, παρεκάλει ἐλίσσετο. ¶ Ἑλίσσεσθαι, στρέφεσθαι. ¶ Ἑλισσομένη, ἢ πολουμένη. ¶ Ἑλισσομένης, εἰλουμένης. ¶ Ἑλίσσων, πλέκων, ψευδόμενος, οὐκ ἐξ εὐθείας λέγων, ἢ κινῶν δὲ ἐπιτήδες στροφῇ. ¶ Ἐλίστρευον, ἐστράτευον. ¶ Ἐλιφάμιστιν, ἐξαίμως ἐγένετο. ¶ Ἑλιχάζει, πλανᾶται.

Ἑλιχθέντων, συστραφέντων. ¶ Ἑλίχνεων, ἀπὸ ποιητοῦ τοῦ λιχνεύειν παρὰ ἀριστοφάνει ἐν εἰρήνῃ. ¶ Ἑλίχρυσος, οἱ μὲν τὸ ἀρρενικόν. οἱ δὲ, τὸ ἄνθος τῆς ἑλιχρύσου βοτάνης. ¶ Ἑλιττόμενος, στρεφόμενος. ¶ Ἕλκανα, θαύματα ¶ Ἑλκανῶσα, ἑλκομένη, ἢ ἑλκοποιουμένη ὑπὸ πυρός. ¶ Ἕλκεα, θαύματα. ¶ Ἕλκει, σύρει, σύρει. ¶ Ἑλκέμεν, καθέλκειν. ¶ Ἕλκεο, ἕλκε.

Ἕλκεος, θαύματος. ¶ Ἑλκεσίπεπλος, ἐφελκομένη τὸν πέπλον. ¶ Ἕλκετο, εἵλκυστο. ¶ Ἑλκεχίτωνες, ποδήρεις χιτῶνας ἔχοντες ἄζωστοι. ¶ Ἕλκη, λέγεται σοφοκλῆς ἐπὶ φιλοκτήτῃ. ¶ Ἑλκηΐς, ὁ λιθάργυρος. ¶ Ἑλκυθμοῖο, ἑλκύσεως. ¶ Ἕλκος, πᾶν θαῦμα. ¶ Ἑλκοποιόν, κανθαρίς. ¶ Ἕλκυσον, σῦρον. ¶ Ἑλκυστάζων, ἕλκων, περισύρων. ¶ Ἑλκυστῆρα, φορβίαν. ἤγουν καπίστριον. ¶ Ἑλκυστὴ, λείᾳ. ¶ Ἑλλὰ, καθέδρα, καὶ διὸς ἱερὸν ἐν δωδώνῃ λάκωνες. ¶ Ἑλλάμψεως, διοπτημοῦ.

Ἑλλὰς, πόλις ἐν θετταλίᾳ, καὶ τὸ ἔθνος ἡ ἀχαΐα, καὶ ἡ αὐτόθεν γυνή. ¶ Ἑλλάσαι, συγκλεῖσαι, κωλῦσαι.

Ἐλλέβορος, βοτάνη ἣν ἐσθίουσιν οἱ ὄρτυγες, ἢ κόσμος γυναικεῖος χρυσοῦς. ¶ Ἑλλεσίῳ, ἡ ἀθηνᾶ. ¶ Ἑλλεῖν, ἰλλεῖν κατέχειν. ¶ Ἐλλεδανοὶ, δεσμοὶ σχοῖνοι. ¶ Ἐλλεδανοῖσι, τοῖς δεσμοῖς. ¶ Ἐλλέρα, ἐχθρὰ πολεμία. ἀδικία. ¶ Ἐλλείχοντα τῶν ἀθηνῶν. οἱ δὲ ἀττικίζοντα, ὃ καὶ ποιοῦσιν οἱ πρόσγραφοι. ἵνα φαίνωνται ἀστοί. ἐλλείχοντα δὲ, ἐμφορούμενον ἀπὸ τῶν τὸ μέλι λειχόντων.

Ἕλληνες. οἱ ἀπὸ τοῦ διὸς τοῦ ἕλληνος, ἢ φρόνιμοι. ἤγουν σοφοί. ¶ Ἑλληνοδίκαι, οἱ κριταὶ οἱ καθήμενοι εἰς τοὺς ἀγῶνας. ¶ Ἑλληνοταμίαι, οἱ τοὺς κομιζομένους φόρους παρὰ ἀθηναίοις ταμίαι. ¶ Ἑλληνίζει ὀρταζει. παύεται. ἀργεῖ. ¶ Ἑλλήσποντος. πόντος ἀπὸ τῆς ἕλλης ἡ μεταξὺ θρᾴκης καὶ χερρονήσου θάλασσα. ¶ Ἑλλίζων, τίλλων. ¶ Ἑλλινεῖς, οὐχ αἱ ἄγριαι μέλισσαι, ἀλλὰ φυτὸν ὁ αἰπόλος. ¶ Ἑλλόβια, ἐνώτια. ¶ Ἑλλόγει, καταλόγισαι. ¶ Ἑλλόγιμος, γεγραμματισμένος.

Ἐλλεδανοῖσι, δεσμοῖς. ¶ Ἑλλοὶ, ἕλληνες οἱ ἐν δωδώνῃ καὶ οἱ ἱερεῖς. ¶ Ἑλλόμενα, περικνώμενα. ¶ Ἑλλὸν, ἀπαθόν. γλαυκὸν, νεογνόν. ἐνθαλάττιον, ταχύ. ἄφωνον. ὑγρόν. ἐλαφρόν. νεογνόν. ¶ Ἕλλοπες, ἐλλείποντες τὴν ὄπα τουτέστιν ἄφθογγοι ἄφωνοι καὶ δασεῖς καὶ βαρεῖς καὶ ποικίλοι. ¶ Ἑλλόπιδες, ἡ λέξις παρὰ κρατίνῳ. τέτακται δὲ παρὰ τοῖς ἄλλοις, καὶ λέγει κοινῶς τοὺς νεβροὺς καὶ τοὺς στρουθοὺς ἢ νεοττοὺς ὄφεως ἀπὸ τοῦ ἄλλεσθαι. ¶ Ἑλλοπιεῖς, ἄφωνοι καὶ οἱ λεπιδωτοί.

Ἑλλοπὶς, εὐόφθαλμος γοργωπή. ¶ Ἑλλοπίνες, οἱ νῦν ὀρεῖται παρὰ χαλκιδεῦσιν. ¶ Ἑλλοτυπῶ, ἀγαθύνω.

Ἑλλὸς, ἐλάσσωσιν. ¶ Ἑλλὸς, τὸ ἔκγονος τῆς ἐλάφου νεογνὸν ὁ νεβρὸς καὶ διόνυσος καὶ ὁ ἐνθαλάττιος.

Ἕλλυες, ζῷα ἐν τῷ σμαράγδῳ ποταμῷ. ¶ Ἑλλυδιον, ἐκλυδιον κριθῶν. ¶ Ἑλλύταρον, οἰκ βόταντον. ¶ Ἑλλυτίς, πλακοῦς τίς. ¶ Ἑλλυχᾶται. πλανᾶται, διατρίβει. ¶ Ἑλλωτία, ἑορτὴ εὐρώπης ἐν κρήτῃ.

Ἑλλωτὶς, εὐρώπης στέφανος πλεκόμενος, πηχῶν εἴκοσι.

Ἕλματα, ὁμιλήματα, ἐνειλήματα, σπενδύματα.

Ἑλμακίνη, λειμῶνος ὁ λεπτὴ καὶ λευκὴ σχοῖνος.

Ἕλξις, ἑλκύσεις. ¶ Ἑλξίνη, ἡ περδίκιος βοτάνη.

Ἕλξω, ἑλκύσω, αὐξήσω. ¶ Ἐλοαίζετο, ἐνοεῖτο. ¶ Ἑλοίμεθα. ἐπιλεξοίμεθα λαβοίμεθα. ¶ Ἕλοιο, ἀνάσχοιο βουληθείης. ¶ Ἕλοιτο. θέλοι. ¶ Ἑλόμην, ἀφειλόμην.

Ἕλον, εἷλον ἀφεῖλον ἐπόρθησαν. ¶ Ἑλόντας, ἀφελόντας, λαβόντας, νικήσαντας. ¶ Ἑλόντες, ἑλόμενοι, ἀφελόμενοι. λαβόμενοι. ¶ Ἑλόντες, λαβόντες. ἀνελόντες, πορθήσαντες. χειρωσάμενοι. ¶ Ἑλόντων, ἐλαυνόντων καὶ τὰ ὅμοια. ¶ Ἕλος, σύμφυτος τόπος ὁ χεῖλος ποταμοῦ καὶ ὁ τελματώδης τόπος καὶ πόλις ἐν λακεδαιμονίᾳ. ¶ Ἑλοῦ, λάβε, ἐπίλεξαι. ¶ Ἑλούτησεν, ἐψόφησεν ἐχύθη. ¶ Ἑλοῦσαι, ἀρξάμεναι, λαβοῦσαι.

Ἐλοσία, ἄρτεμις παρὰ ἐφεσίοις. ¶ Ἑλοφόν, τὸ ἄκρον τῆς περικεφαλαίας. ¶ Ἐλόχα, ἐνόθευεν. ¶ Ἐλοχεύθη, ἐγεννήθη, ἐταμιεύθη. ¶ Ἐλόχησεν, εἰς λόχους ἤγαγεν. ¶ Ἔλπε, ἔλπιζε. ¶ Ἔλπεον, ἤλπιζον.

Ἔλπεται, δοκεῖ. ἐλπίζει, προσδοκᾷ. ¶ Ἔλπει, ἐλπίδα

Ἐλπὶς, προσδοκία. ¶ Ἔλπομαι, ἐλπίζω. (ποιεῖ.

Ἐλπώμεν, εὐχόμενος ἢ εὐχῶμαι ἐλπιδοποιούμενος.

Ἔλποντο, ἐλπίζουσιν. ¶ Ἔλποντο, ἤλπιζον.

Ἐλλέβορον, δηλητήριον φάρμακον ἢ τοι βρῶμα.
Ἐλεεινή, χαλεπή. ¶ Ἐλεγεῖα, τὰ ἐπιτάφια ποιήματα.
Ἐλεγεῖαι, θυμελικαί. ¶ Ἐλέγξει, βασανίσει, ἐρωτήσει.
Ἐλεγκτά, ἐπονείδιστα, ἐλέγχοις ἄξια. διεξελέγματα.
Ἐλέγξεις, ὀνείδη παραβαλεῖς ἢ ἐλέγχοις. ¶ Ἔλεγξις,
ὀνειδισμός. ἀτιμία, ὕβρις. ¶ Ἐλεγχέες, ἐπονείδιστοι.
Ἐλεγχέμεν, ἐλέγχειν. ¶ Ἐλεγχές, αἰσχρόν. ¶ Ἐλεγ-
χέες, ἐπονείδιστοι. ¶ Ἐλεγχθεῖσαι, αἰσχυνθεῖσαι.
Ἔλεγχος, ὄνειδος, μέμψις, αἰσχύνη. ¶ Ἐλέγχιστος, ἐπο-
νείδιστος, αἴσχιστος. ¶ Ἔλεγοι, μῦθοι, ᾠδαί. θρῆνοι, ἐν
θανοῦσι καὶ ἐλεγεῖα τὰ ἐπιτάφια ποιήματα. ¶ Ἐλεεῖ,
οἰκτείρει. ¶ Ἐλεεινά, οἰκτρά. οἰκτρῶς ἐλεεινῶς. ¶ Ἐλεει-
νοί, ταλαίπωροι. ¶ Ἐλεδώνη, ὁ πολύπους. ¶ Ἑλεῖν,
λαβεῖν, ἀνελεῖν. ¶ Ἐλειστή, λεπτή. ¶ Ἐλεήμων, ἐν
Κύπρῳ καὶ Χαλκηδονίᾳ, Ἀφροδίτη. ¶ Ἐλέησεν, ἐλέη-
σεν. ¶ Ἐλεθχευομένη, ἀκολασταίνουσα. ¶ Ἐλεία,
ἡ ἕλα ἡ τοῦ ἡλίου αὐγή, ἢ πόμα ἢ ὕδωρ ἅλας ἔχον καὶ
εἶδός τι μέλαθρος, καὶ Ἥρα ἐν Κύπρῳ, καὶ Ἄρτεμις ἐν Μεσσήνῃ.
Ἐλείη, ἀγρία νόσος. ¶ Ἐλεΐστερ, ἐξηχμαλώτευσεν.
Ἐλθρεῖ, θυμία. ¶ Ἐλεθερεῖς. ἐν ἡλίῳ τεθερμασμένοι. ἢ θερ-
μοί. ¶ Ἐλειογενής, ὄρυζα. ¶ Ἐλειόδεζον, κύπαιρος.
Ἐλεός, εἶδος ἱέρακος. ¶ Ἐλειός, Ἀρίσταρχός φησι γί-
νεσθαι ἐν τοῖς φρυγάνοις ὡς σπείρας. ὁ δὲ Καλλίστρα-
τος, σκωληκοειδές τι, ὃ χρὴ ἔσθαι εἰς δὲ λέχος τοὺς
ἁλιεῖς. ἔστιν δὲ ἐν ταῖς δρυσίν. οὐκ ἔστι γὰρ ζῶον τετρά-
πουν ὁ ἐλειὸς καλούμενος μῦς ὁ σκίουρος.
Ἐλεινύειν, στρατεύεσθαι. ¶ Ἐλελεῦ, ἐπιφώνημα πολε-
μικόν. οἱ δὲ προαναφώνησις παιανισμοῦ. τίθησι δὲ αὐ-
τὸ Αἰσχύλος ἐπὶ σχετλιασμοῦ ἐν Προμηθεῖ δεσμώτῃ.
Ἐλελιζομένη, σειομένη. ¶ Ἐλέλικτο, συνέστραπτο.
Ἐλελιξάμενος, σείσας, ἐπιστραφείς. συστρέψας.
Ἐλέλιξεν, διέσεισεν, ἐκίνησεν, ἐκράδανεν, συστραφῆναι
ἐποίησεν. ¶ Ἐλελίστροφε, εὔστροφε, ὁλόστροφε.
Ἐλελίσφακος, πόα τις ὁμοία δικτάμνῳ. ¶ Ἐλελι-
χθέντες, συστραφέντες, συναχθέντες. ¶ Ἐλελίχθη-
μα, σεισμόν. ¶ Ἐλελιχθῆναι, συστραφῆναι, μεταβάλ-
λεσθαι. ¶ Ἐλελίχθησαν, μεταβαλλόμενοι συνεστράφη-
σαν. ¶ Ἐλεμοσπέρμα, ὅπερ ἑψῶντες Λάκωνες ἐσθί-
ουσιν. ¶ Ἕλεν, ἔλαβεν, ἀφεῖλεν, ἐνίκησεν. ¶ Ἑλένια,
ἑορτὴ ἀγομένη ὑπὸ Λακώνων. ¶ Ἑλένιον, βοτάνη
τις. ἥν φασιν Ἑλένην σπεῖραι πρὸς τοὺς ὄφεις ὅπως βο-
σκόμενοι ἀναιρεθῶσιν. ¶ Ἐλένιζεν, ἐχλεύασεν ὕβρι-
ζεν. ¶ Ἑλένη, λαμπὰς δετή. ¶ Ἑλένιος, ἀγγεῖον χω-
ροῦν τέταρτον. ¶ Ἐλίπαναν, πλουσίαν ἐποίησαν.
Ἐλευνῆ, κλήματα τὰ τῆς ἀμπέλου. ¶ Ἐλευτόν, ἐλαιόν.
Ἐλεξάτην, ἐκοιμηθήτην δυϊκῶς. ¶ Ἐλέξατο, ἐκοιμήθη.
Ἔλεξεν, εἶπεν ἢ ἠρίθμησεν, κατέκλινεν, ἐπέλεξεν.
Ἐλέξω, διελογίσω. ¶ Ἐλεόθρεπτον, τὸ ἐν ἕλει τραφέν. ἢ
ἑλεοτρεφές. ¶ Ἐλεοῖσι, μαγειρικοῖς τραπεζίοις, ὅτι οἱ
μὲν δειπνοῦσιν ἵνα ἢ τοῖς ἐκ λυγῶν πεπλεγμένοις τοῖς
ἐξ ὄρους λαμβάνονται. οἱ δέ, ψιλοῦσιν ἐξ ἐλαΐνων τῶν
ξύλων τὰς τραπέζας λέγουσιν. ¶ Ἐλεόν, μαγειρι-
κὴ τράπεζα, ἢ ἱερεῖον κανοῦ. ¶ Ἕλεος, οἶκτος, ἢ ἕλους
συνδένδρου τόπου ἢ καθύδρου. ¶ Ἐλέποκες, ἰχθῦς.
ὅμοιος φυκίδι. ¶ Ἐλεπόλιον, εἶδός τι βάναυσον.
Ἐλεπόλεις, μηχανήματα οἰκεῖα ἢ διαδίδοτε δι' ὧν

αἱ πόλεις καθαιροῦνται. παρὰ δὲ Κρησὶ τὰ τῶν πολέ-
μων ὄργανα. ¶ Ἐλέπτω, οἷον ἐλέπιζον, ἔτυπτον,
ἐμαστίγουν. ¶ Ἑλέσθαι, θέλειν, λαβεῖν.
Ἕλεσθε, λάβεσθε, παρασκευάσασθε. ¶ Ἐλέτμιον, ἐπαι-
νον, ἐπαίτεον. ¶ Ἑλετή, λεπτή, αἱρετή.
Ἑλέτην, εἷλον, ἔλαβον, ἀπέκτειναν δυϊκῶς. ¶ Ἕλετο,
ἔλαβεν ἀφείλετο. ¶ Ἐλευθέραι αἶγες ἀρόζοον, ἀπὸ
παροιμιωδῶς ἐλέγετο ἐπί τινος ἀπολλυμένου.
Ἐλευθέριον ἦμαρ, τὴν ἐλευθερίαν περιφραστικῶς.
Ἐλευθέριος Ζεύς, τὸ Μήδων ἐκφυγόντες ἱδρύσαντο τὸν ἐ-
λευθέριον Δία, τοῦτον δὲ ἔνιοι καὶ σωτῆρά φασι. τιμᾶ-
ται δὲ καὶ ἐν Συρακούσαις καὶ παρὰ Ταραντίνοις ὅτι ἐν
Πλαταιαῖς καὶ ἐν Καρίαις ὁ ἐλευθέριος Ζεύς.
Ἐλευθέριον ὕδωρ, ἐν Ἄργει ἀπὸ τῆς συνηθείας πίνουσι κρή-
νης ἐλευθερούμενοι τῶν οἰκετῶν. διὰ τὸ καὶ τὸν Κέρβε-
ρον κύνα ταύτῃ διαβρέξαι καὶ ἐλευθερωθῆναι.
Ἐλευθέρας, Διόνυσος ἐν Ἀθήναις καὶ ἐν Ἐλευθέραις.
Ἐλευθεροστομῶ, παρρησιάζομαι. ¶ Ἐλεύσεως, ἀφίξε-
ως. ¶ Ἐλεύθω, ἔρχομαι. ¶ Εἰλίθυια, Ἐλευσίνια ἀγὼν
θυμελικὸς ἀγόμενος Δήμητρι παρὰ Λάκωσιν. καὶ ἐν Σι-
κελίᾳ τιμᾶται Ἄρτεμις καὶ Ζεὺς Ἐλευσίνιος παρ' Ἴω-
σιν. ¶ Ἐλευσίω, οἴσω. ¶ Ἐλεύσομαι, ἔρχομαι,
ἐπανέλθω. ¶ Ἐλεφαίρειν, ἀπατᾶν. ¶ Ἐλεφαίρον-
τα, ἐξαπατῶντα, βλάπτοντα, ἀδικοῦντα. ¶ Ἐλε-
φαίρεται, βλάπτει, ἀδικεῖ. ¶ Ἐλεφαντίασις, εἶδος λέ-
πρας ¶ Ἐλέφαντα, τὸ ἐλεφάντινον ὀστοῦν. ὡς δ' ὅτε
τις τ' ἐλέφαντα γυνή. οἱ δὲ λευκὰ ἔρια καὶ τὸν τρεῖς
χόας χωροῦν, ἔνιοι δὲ καὶ τοὺς ὀδόντας καὶ τὸ στοματι-
κὸν πάθος. ¶ Ἐλεφάντινα, λευκά. ¶ Ἐλεφῆραι,
ἀπατῆσαι. ¶ Ἐλεφηρέα, ἢ βάψαν, ἢ βλέφαρα.
Ἐλεφηράμενος, βλάψας, διαψευσάμενος. ¶ Ἐλέσχε,
ψηλαφᾶ. ¶ Ἐλέχθη, ἐκοιμήθη. ¶ Ἐλεγχείην, ἐξε-
λεγχθείην. ¶ Ἐλευσίαν, τὴν Βρυσωνίαν. ¶ Ἔλεψεν,
ἐλέπισεν. ¶ Ἐλεών, πόλις τῆς Βοιωτίας, καὶ θάμνος
καὶ ὄφις ὃν ἔνιοι σκυτάλην καλοῦσιν. ¶ Ἐλεώτερον,
ἐλεεινότερον. ¶ Ἔλη, σύνδενδροι τόποι. ¶ Ἐληΐζον-
το, διήρπαζον. ¶ Ἐληΐσατο, ἠχμαλώτευσεν, διήρ-
πασεν, ἀφείλατο ἐλῄστευσεν. ¶ Ἐληΐσθη, ἐλῃστεύθη.
Ἐληλακότες, διαπράξαντες, διελύσαντες.
Ἐληλάμενον, ἠλασμένον. ¶ Ἐλήλατο, ἐλήλαστεν ἢ ἥρ-
μοσται ἢ περιβρόνητο. ¶ Ἐλήλαται, συνέχεται πε-
ριβρόντηται. ¶ Ἔληξαν, ἐπαύσαντο. ¶ Ἔληται,
πορθήσῃ. ¶ Ἐλήθομεν, ἐλάθομεν. ¶ Ἐλθετῶς, αὐτὶ τοῦ
ἐλθεῖν Σαλαμίνιοι. ¶ Ἔλθητον, ἔλθητε δυϊκῶς.
Ἐλθοῦσα, ἀπελθοῦσα. ¶ Ἐλιάνθη, ἐχλιάνθη.
Ἐλίασεν, ἐτίναξεν. ¶ Ἐλιάσθη, ἐκλίθη, ἐστράφη, ἐφο-
βήθη. ὤλετο. ἔπεσεν. ἀπεχωρίσθη. ¶ Ἐλιβόζυς, ἄμπε-
λός τις μέλαινα. ¶ Ἔλιγεν, ὤλισθεν. ¶ Ἐλύγαι-
νον, ὀξὺ ἀνεβόων. ¶ Ἐλιγεύς, Διόνυσος ἐν Σάμῳ.
Ἐλίγματα, ψέλια. ¶ Ἐλιγρόν, ὑγρόν. ¶ Ἐλικεύς,
Ζεὺς ἐν Θήβαις. ¶ Ἕλικα κύκλον ἐνώτια ἢ δακτύ-
λιοι ἢ τὰ περὶ τοὺς καρποὺς ψέλια. ¶ Ἕλικας,
ἑλικοκεράους, ἐπικαμπῆ τὰ κέρατα ἔχοντας.
Ἕλικες, τῆς ἀμπέλου τὰ ὀμματώδη ἢ ἐνώτια ἢ ψέλια
ἢ δακτύλιοι ἢ ἑλίγματα. ¶ Ἑλίκη, πόλις τῆς Ἀ-
χαΐας ἐν ᾗ Ποσειδῶν τιμᾶται καὶ ἡ ἰτέα. τινὲς καὶ

Ε κφανίζεται, μιαίνεται. ¶ Ἔκφαντα, πολλά.
Ε κφαντίσματα, τὰ ἐκβαλλόμενα, ὅτε καθαίρουσι τὰς
φάτνας. ¶ Ἔκφανσις, ἀπόλειξις. ¶ Ἐκφέρειν, ἐξέ
φερεν. ¶ Ἐκφάντωρ. ¶ Ἐκφοινίξαι, ἀναγνῶσαι.
Ε κφορὰν, ἔξοδον τὰ ῥὴν ἐκ τῆς ἐπιμηνόμαρος διέρχεται.
Ε κφορεῖται, ἐκφέρηται. ¶ Ἐκφροντίζων, βουλευόμε
νος. ¶ Ἐκφορίαν. καρπούς. ¶ Ἐκφορεῖ, ἐπανίζει
ὑπάρχοντα. ¶ Ἔκφρασις, ἐπιθυμία. λόγος ἐναρ
γός. ¶ Ἐκ φρυαγμοῦ, ἐξ ἐπηρμοῦ. ¶ Ἔκφρων, ἐκτὸς
φρενῶν. μωρός. ¶ Ἐκφυλάσαι, ἐκσπάσαι. ¶ Ἔκφυ
λον, τὸ μὴ συγγενὲς, ἀλλόφυλον. ¶ Ἐκφῦναι, ἐκβλα
στῆσαι, γεννηθῆναι. ¶ Ἐκφυράματος, ἐκσπέρματος.
Ε κφύσις, βλάστησις, ἐτ σπονένιοι * πυλωρόψ. ¶ Ἐκφυ
σήματα, πέτραι ὑπερέχουσαι τῆς γῆς. ¶ Ἐκφοιτᾶ,
ἐξέρχεται. ¶ Ἐκχαρέων, μαγείρων. ¶ Ἐκχαύνων
μετεώρων. ¶ Ἐγχείρημα, τόλμη. ¶ * Ἐκχέον, ἐκ
χέουσιν. ¶ Ἐκχέων, περιχέων. ¶ Ἐκχοίρηξες, ἐκ
χοιρηλωμένοι λάκωνες. ¶ Ἐκχυθήσεται, ἀπλω
θήσεται. ¶ Ἐκχυμωθῆναι, ἐκποιῆσαι. ¶ Ἐκχύζι
ζεν, ἔκβαλε. ¶ Ἐκχυρώματα, αἱ ποιώδεις συλλο
γαί. ¶ Ἔκχωνεν, ἔκκλινεν, λάκωνες. ¶ Ἐκ χώρης.
ἐκ τῆς χώρας ἐκ τοῦ τόπου. ¶ Ἐκψύχοιεν, λιποθυμοῦ
σιν. ¶ Ἐκωδωνίζοντο, περιεβόητοι ἐγένοντο. ¶ Ἐκω
δώνισεν, ἐδοκίμασεν. ¶ Ἐκωθωνίζοντο, εἰς τὰ μεγά
λα ἔπινον, ἐμεθύσκοντο, ἐχόρευον. ¶ Ἐκωμώδησεν,
διέπαιζεν, διεθρύλλησεν. ¶ Ἑκὼν, θέλων βουλόμενος.
Ε κώνει. ἔστρεφεν. ¶ Ἐκώπασεν, ἐπαύσατο.

ΤΟ Ε ΜΕΤΑ ΤΟΥ Λ.

Ε Λα, * ἐκθείναμεν καὶ ἥλιος αὐγὴ καῦμα, βάλ
λε. λέγε. λάκωνες. ¶ Ἔλαστιν, τοῦ Διὸς ἱερὸν
ὁ σιδώνη. ἐν οἱ ἱερεῖς ἔλλοι. ¶ Ἐλάαμ, ἐλαύ
νειν. ¶ Ἐλαῖος, ἀμπέλου εἶδος. ¶ Ἐλάζετο, ἐκα
λινδεῖτο. ¶ Ἐλαθηρές, ἡλιοθαλές. ¶ Ἐλαθρὰ,
ἐλαφρὰ, ἢ ἐν ἐλαίῳ ἑφθά. ¶ Ἐλαθύρσος, Διὸς ἱερὸν
ἐν κύπρῳ. ¶ Ἐλαία, δίφρου γυναικείου μέρος.
Ε λαίανεν, ἐλέπτυνεν. ¶ Ἐλαιάκανθα, νηδύς, σοφοκλῆς
ὀδυσσεῖ ἀκανθοπλῆγι. ὅτι λαιάγουσα αὐτὴ τὸ σκαιὰ
ἀγρία, ἢ ἀπὸ τοῦ ληίζεσθαι, πάντα ληιζομένη καὶ κα
τεσθίουσα. ἢ ἀπὸ τοῦ ἐλαίου λιπαρά. ¶ Ἐλαΐζων, ἐλκε
όχοις. ¶ Ἐλαιοῦται, θρὶξ σοφοκλῆς ζωΐλῳ. ἀεὶ
στερχος ῥυπαίνεται, βέλτιον δὲ λαιπρύνεται.
Ε λαιοτῷ, ἐλαιοβαθεῖ. ¶ Ἐλαιόστροφον, ἀμόργη.
Ε λαιοῦς ἐν κύπρῳ, ὁ ζεύς. ¶ Ἐλαιοχύτας, * ἐπιδραι
νόμενος. ¶ Ἐλαιὸς. φαρμακεία παρὰ ῥοδίοις.
Ε λαΐς, αἰγίλωψ. ¶ Ἔλακεν, ἐφθέγξατο. Ἔλακεν,
ἐψόφησεν. ¶ Ἔλαμαν, ὑπέρθυρον. ¶ Ἐλαμῆται,
πέρθοι. ¶ Ἔλαμος, ὁδός. ¶ Ἔλανος, ἴκτινος.
Ε λαναψεῖν. ἐλαύνειν. ¶ Ἐλαπάχθη, συνεστάλη.
Ε λάπεδον, τέμενος. ¶ Εἰλαπίνησιν, ἑορταῖς.
Ε λαρ, βοήθεια. ¶ Ἐλάραι. τὰ ἐν τῇ αὐλῷ τῶν δοράτων
ἁρμοζόμενα. ¶ Ἐλάργει, ἔλαβεν, ἐπέρησεν, καθεῖ
λεν. ¶ Ἐλάσαι, φθάσαι, πατάξαι, διῶξαι, ὀρύξαι.
ποιῆσαι, ἀγαγεῖν. ¶ Ἐλάσασκεν, ἐνέπλεστεν.
Ε λασεν. ἐκ χειρὸς ἔξωσεν, ἔσκαψεν, ἔπληξεν.
Ε λασθησόμεθα, ἱκολασθησόμεθα. ¶ Ἐλασία, δίωξις.

Ε λασίβροντα. ἐλαυνόμενα ὡς αἱ βρονταὶ, ἐπεὶ δοκεῖ ὄ
χημα τοῦ Διὸς ὁ βροντὴ εἶναι. ¶ Ἔλασκεν, ἤλασεν, ἐκά
λεσεν. ¶ Ἔλασμα, ὑπέρπυρον. ¶ Ἐλαμίτη, πάρθοι.
Ε λασμίν, κυεία. ¶ Ἐλαπόλῳ. ἐνρύθμῳ. ¶ Ἔλασεν, διέ
λασεν, ἤλασεν, ἐπέρασεν. ¶ Ἐλάσσω, ἥττονα, (τεμεν.
Ε λάσσωσιν. διώξωσι, διάγωσιν. ¶ Ἐλάστρει, ἐκακοπά
θει. ἐσκόπει. ἐδίωκεν. ἐκινόγει. ἤλαυνεν. ¶ Ἐλαστρῶν.
διαγινώσκων. ¶ Ἔλαστρον, ὅλαυνον. ¶ Ἐλαστροῦται,
ἐλαύνεται. διώκεται. ¶ Ἐλᾶται, ἡλιοῦται.
Ε λάτη, λαχάνου εἶδος, καὶ κώπη ξέστης. ¶ Ἐλάτη.
καὶ αὐτὸ τὸ δένδρον ἀφ' οὗ ἡ κώπη, καὶ πόλις ἐν φω
κίδι μεγίστη, καὶ τοῦ φοίνικος ἡ πρώτη ἔκφυσις.
Ε λατὴρ, τὸ πλατὺ πόπανον ἀπὸ τοῦ ἐληλάσθαι εἰς μέ
γεθος, ἢ πέμμα καὶ ἡνίοχος. ¶ Ἐλατήριον, φάρμα
κον καθαρτικόν. ¶ Ἐλάτης, ὁ πρωτεύων ἐν ἀθήναις.
Ε λάτησι, κώπαις, ὅτι ἐξ ἐλατίνων ξύλων. ¶ Ἐλάτη,
εἶδος δένδρου. Ἐλατικαὶ κύνες, θηρατικαί.
Ε λατὸν, ἔλασιν ἢ ὀλιλισμένον. ¶ Ἔλαζα, πέμματα
πρὸς θυσίαν. καὶ πλασσόμενα. ¶ Ἐλαζάβιζον, τὸ βω
μολοχεύειν καὶ πανουργεῖν λαζαβίζειν ἔλεγον.
Ε λάζευον, καὶ ἐλάστρευον, ἐδίωκον. ¶ Ἐλαζεὺς, ὁ τὴν
πύρωσιν ἔχων τοῦ σιδήρου παρὰ τοῖς μεταλλεῦσιν.
Ε λαζον, εὐκράτης ἐν ῥοδιακοῖς ἔνδυμα κατάζωσμα.
Ε λαττον, μικρὸν, ἧσσον, ἧττον. ¶ Ἐλαττούμενον, λει
πόμενον. ¶ Ἐλάττωσις, σμικρότης. ¶ Ἐλαύ
νει, ποιεῖ, παραβάλλει. ¶ Ἐλαύνετον, μακρὸν ποιεῖτε,
Ε λαύνετον, εὐποιεῖτε, κινεῖτε. ¶ Ἐλαύνοντες, διώ
κοντες, τύπτοντες, ἐλάσαι ἀπὸ τοῦ ἐκ χειρὸς πλῆξαι.
Ε ιρεσίαν, κωπηλατησίαν. ¶ Ἐλαύτερον, δεινότατον.
Ε λαύνωσιν, θερίζωσιν ὄγμον. ¶ Ἐλάφειαι, οἱ τῶν
ἐλάφων ἀστράπελοι. ¶ Ἐλαφίνης. νεβρός.
Ε λάφιον. κώνειον. ¶ Ἐλαφηβόλος, κυνηγὸς ἀπὸ εἴ
δους ἑνὸς τῶν κυνηγουμένων. ¶ Ἐλαφοβοσκός, εἶδος
βοτάνης. ¶ Ἐλαφογενές. ἐν ἐλάφου ὁ
μυελός. ¶ Ἔλαφον, κεραὸν ἄρρενα, ὁ γὰρ ἄρρην ἔχει
κέρατα. Ἔλαφος, νεβρός. ¶ Ἐλάφου πέεις, οἵας
δοκεῖ βρωθεὶς πρὸς συνουσίαν ἁρμόζειν. ¶ Ἐλαφά,
τὰ μὴ βαθέα ἢ κοῦφα. ¶ Ἐλαφεία. μωρία.
Ε λαφεία, κουφότης. ¶ Ἐλαφρίζων, παρασκευα
ζόμενος ῥαδίως. ¶ Ἐλαφρός. εὐβάστακτος, κοῦφος,
ἢ ζεὺς ἐν κρήτῃ. ¶ Ἐλάχαινεν, ἔσκαπτεν, ὡμάλιζεν,
ἀφ' οὗ καὶ τὸ λάχανον, ἢ τὸ μετάλλως χαίνειν, ὁ χαῦνον.
Ε λαχία μικρὰ ἢ βαθύγειος καὶ εὔνειος. ¶ Ἐλαχία,
ἐσπέρη κρῆτες. ¶ Ἐλαχίζει, πλανᾶται. ¶ Ἐλάχι
στος, μικρὸς πάνυ, ὕστερος, ἔσχατος. ¶ Ἔλαχον. ἐκλη
ρωσάμην, ἐκληρώσαντο. ¶ Ἐλαχὺ, εὐτελὲς ἢ μι
κρόν. ¶ Ἔλαψα, διέφθειρα κύπριοι, ¶ Ἐλπίσωνται
ἐλπίζοιεν. ¶ Ἔλδεται, ἐπιθυμεῖ. ¶ Ἔλδομαι,
ἐλδῶ, ἐπιθυμῶ, θέλω. ¶ Ἔλδωρ, ἐπιθυμία.
Ε λε, λάβε κάτασχε ἢ ἔλαβεν. ¶ Ἐλεακάνεα, πλέγ
ματα, κατάκλισις, κρύψις. ¶ Ἐλέαγνος, φυτὸν θα
μνῶδες. ¶ Ἐλεαίρει, οἰκτείρει ἐλεεῖ. ¶ Ἐλεαίρεις, ἐ
λεεῖς. οἰκτείρεις. ¶ Ἐλέας ὀρνέου εἶδος. ¶ Ἐλεαροί, οἱ
διπνοκλόπτρες. ¶ Ἐλεαλὴ, θεοῦ ἀνάβασις ἐν ὑπερη
φανείᾳ. ¶ Ἐλεάτης κατὰ μὲν ἀπολλώνιον, ἐλεατι
κὸς ἀπὸ πόλεως ἐλέας τῆς τῶν φωκαέων ἐστὶ τοὺς ἐλεά
τας ἀποίκους.

σειν, ἐκφοβήσειν. ¶ Ἐκπλήσσει, ἐκφοβεῖ, ἐκπλήττει.
Ἐ κπλήσσοιεν, διάγοιεν. ¶ Ἔκπλυνον, τὸ ἐπὶ τὰ πεπραγμένα
ἐξίτηλον καὶ ἁλμυρὸν βάμμα. ¶ Ἐκποδών, ἐκ μέ
σου ἐξαλείφεσθαι. ¶ Ἐκποίητος, ὁ ἐκδοθεὶς ἑτέρῳ
εἰς υἱοποιίαν. ¶ Ἐκπονεῖ, ἐκπλεῖ. ¶ Ἐκπολιορκεῖ,
ἐκπορθεῖ. πολεμεῖ πόλιν. ¶ Ἐκ πολίων, ἐκ τῶν πό
λεων. ¶ Ἔκπωμα, φιάλη ποτήριον. ¶ Ἐκπομ
πή. ἀποστολή. ¶ Ἐκπολεμῶσαι, πολεμοποιῆσαι.
Ἐ κπορθεῖ, αἰχμαλωτεύει. ¶ Ἐκκεκοποῦσθαι, * φιβλοῦ
σθαι. ¶ Ἐκπρήσαι, ἐκβαλεῖν. ἐξανύσαι. ¶ Ἐκπρε
πέα, ἐκπρεπῆ ὡραῖον παρακαλῶ. ¶ Ἐκπρεπές, ὡραῖ
ον, παρὰ τὸ λίαν πρέπειν. ¶ Ἐκπρεπῶς, ἐκδήλως.
Ἔ κπρησεν, ἐκπύρωσεν. ¶ Ἐκπρίω, ἀγόρασον. ἐλυθέρω
σον. ¶ Ἐκπροθεν, ἐκ παλαιοῦ. ¶ Ἐκπροθορῶν, ἁρμόστης.
Ἐ κπτήσσονται, ἐκπτοηθήσονται. ¶ Ἐκπύστων, φανε
ρῶν ἢ πολλοῖς ἀκουστῶν. ¶ Ἐκπωλεῖσθαι, προγυ
μνάζεσθαι. ¶ Ἐκπώματα, ἀγγεῖα τινὰ ἢ ποτήρια.
Ἐ κράενεν, ἐπλήρου, ἐτελείου, ἐκρατάιωσεν, ἐδυνάμω
σεν. ¶ Ἐκρατύνατο, ἐκρατύνωσεν. ¶ Ἐκρατινά
σθην. ἐκράτυναν ἀττικῶς. ¶ Ἔκραινον, ἐτίμων.
Ἐ κρασπάσαι, ἐκ χειρὸς ἀπορρῖψαι. ¶ Ἐκραπελήσθημεν,
ἐμεθύσθημεν. ¶ Ἐκ ῥεθέων, ἐκ τῶν μελῶν.
Ἐ κρήμνισεν. ἐκρέμασεν, κατεκόντισεν. ¶ Ἐκρήξω, ἀ
νοίξω. ¶ Ἐκρηγνύντων, ἐγρηγορούντων, φυσώντων. ¶ Ἐκρίθη,
ὡρίσθη. ¶ Ἐκρίνατο, ἐπελέξατο, ἠρίθμησεν. ¶ Ἔκρι
νεν. ἐξελέξατο. ἐδίκασεν. ¶ Ἐκρόαινον, ἐπεθύμουν.
Ἐ κροίζων, ἐκρόζων. ¶ Ἔκρυσεν, ἤθησεν. ¶ Ἐκροίσω, ἐπε
κρούσω. ¶ Ἐκρυῆναι, παύσασθαι παρὰ τὸ ὕδωρ τὸ
ἐκρέον. ¶ Ἐκσεσοβημένοι, ἐκτεταραγμένοι.
Ἔ κσιφωνισθείη, διασκορπισθείη. ¶ Ἔκσκυβα, τὰ πα
ρεπόμενα πρόσωπα τῶν σκηνῶν. ¶ Ἐκ σπείρης, ἐκ τά
γματος, ἐκ νομέρου. ¶ Ἔκστασιν, ὕπνον. φόβον.
Ἐ κστίψας λόγον γυμνώσας ἐκκενώσας. ¶ Ἐκσύψης,
ἐκκαύσῃς. ¶ Ἐκ στῶν, ἐκ τῶν στῶν. ¶ Ἐκταθῆναι, ἀ
πλωθῆναι. ¶ Ἐκταδίην, μεγάλην, ὥστε διπλῆ
χρῆσθαι. ¶ Ἐκταῖον, αἱ δέκα κοτύλαι. ¶ Ἐκταί
οις, τοῖς ἐκ χοινικῶν ἕξ. ¶ Ἐκτμήσῃ, ἐκτέμῃ.
Ἐ κτανθαρύσω, τρέμω. ¶ Ἔκταν, ἔκτειναν. ¶ Ἔκτα
λος, ἀκάνθης εἶδος. ¶ Ἐκταρβημένον, ἐπτοημένον.
Ἐ κτάσσοντα, χαράσσοντα. γράφοντα. ¶ Ἐκτεθηλισμέ
νον, ἐκτετηκός. ¶ Ἐκτεθηλισμένοι, μαλακισθέν
τες, κεκοπιακότες, ἢ ὡς θήλειαι γενόμενοι. ¶ Ἐκτε
θυμένα, ἐκτετυφωμένα. ¶ Ἐκτεθύμεθα, ἐκτετυφώ
μεθα. ¶ Ἐκτένας, ἁπλώσας, τανύσας. ¶ Ἐκτελέ
ουσιν, ἐπιτελοῦσιν. ¶ Ἐκτείνεται. ἁπλοῦται.
Ἐ κτείνου, ἁπλώθητι. ¶ Ἔκτε κονίης, ἐκ τοῦ κόνεως.
Ἐ κτενεῖ, ἐπιμελεῖ. ¶ Ἐκτενής, διατεταμένην. ¶ Ἐκ
τενία, ἅπλωσις. ¶ Ἐκτενίαν, συνεχῶς ποιεῖν τὸ αὐ
τό. ¶ Ἐκτενῶς, προθύμως ἢ διατεταμένως.
Ἐ κτέον, ληπτέον. ¶ Ἔκτεμπροι, προσμενόντων.
Ἐ κτεταμένως, ἁπλωμένως. ¶ Ἐκτετάφρευτο, διώ
ρυκτο. ¶ Ἐκτετηκότας, ἀποπληρώσαντας, καταβα
λόντας. ¶ Ἐκτετραμμένος, ἀπεστραμμένος.
Ἐ κτεζυγωμένοις, κατεπτοημένους, ἐκνενευρισμένους
Ἐ κτεφροτίσιν. ἐκτεφροτίδων. ¶ Ἐκτήμοροι. οἱ ἐκ τῷ μέ
ρει τὴν γῆν γεωργοῦντες. ¶ Ἐκ τοῦ ὀσφύος, ἐκ τῆς σπέρ

ματος. ¶ Ἕκτη τρίτη τετάρτη, νομίσματα ἀργυρεῖα
καὶ χρυσοῖα καὶ χαλκοῦ. ¶ Ἐκτικῶς, σχετικῶς ἢ κατὰ
ἕξιν, ἕξις δέ ἐστι, δυσμετακίνητος τρόπος ἤτοι διάθεσις.
Ἐ κτίλαι, ἐκλικνάξαι. ¶ Ἐκτιλωμένοι, συνηθισμένοι,
συνήθεις ὅμοιοι. ¶ Ἔκτιμα, τὰ ἐπιτετιμημένα
τῇ τιμῇ. ¶ Ἐκ τιμημάτων, τίμημα, διανέμεσις τῆς
πολιτείας, διῄρητο γὰρ ἡ πολιτεία κατὰ σόλωνα εἰς
τέσσαρα ὧν ἦν ἓν τὸ πεντακοσιομέδιμνον.
Ἐ κτινάξαι, ἀποκινῆσαι. ¶ Ἐκτινύς. ἀποδιδοὺς τιμω
ρίας. ¶ Ἔκτισαν, ᾤκησαν, κατεσκεύασαν.
Ἐ κτίσει, ἀποδώσει. ¶ Ἐκτίσαιεν, ἀποδώσειεν. ¶ Ἐκτι
στής. ἀποδότης. ¶ Ἐκ ῥίο, ἐκ ῥύπου. ¶ Ἔκροθι, ἐκ τοῦ
ἔξωθεν. ¶ Ἐκ τόκων, ἐκ τοκετῶν. ¶ Ἐκρλυπεύ
σας, τελειώσας. ¶ Ἐκρμάδα, εἶδος δόρατος.
Ἐ κρμᾶς, περικεφαλαίας ἧς οἱ ὀφθαλμοὶ διαλάμπου
σιν. ¶ Ἐκρμεύς, ῥμεὺς τμητής. ¶ Ἐκρμάς, εὐνοῦχος
σπάδων. ¶ Ἐκρμόν. ἐλλέβορος ἢ ἄτμητος λιβανωτός.
Ἔ κτ' ὀνόμαζε, ὃ ἤλεγχεν, ἐπείθετο. ¶ Ἐκρπαξένα.
Ἐ κρπον. ἔξοδον. ¶ Ἔκτοπον, χαλεπὸν, ξένον. ¶ Ἐκρπώ
τερον, ἐξεστραμμένον. ¶ Ἐκτόπως, ὑπερβολικῶς, με
γάλως, ἀπρεπῶς. ¶ Ἐκτόρβοι, κομηταὶ ἠδώνιοι καὶ πευ
κέτιοι ἔχοντες τὴν ἀπ᾽ ἡλίου ῥὶς ὤμοις περικεχυμέ
νην τρίχα. ¶ Ἐκτόρεον δὲ, τὸν δὲ τοῦ ἐχθρός. ¶ Ἐκ τορ
μῶν, ἀπὸ τοῦ καμπτῆρος ἢ τοῦ σύμπαντος δρόμου.
Ἐ κτορμεῖν, ἐκτρέψασθαι τοῦ δρόμου. ¶ Ἐκ τόρμης, ἐκ μύ
θου, ἐκ τοῦ καθήκοντος. ¶ Ἔκτορες πάσσαλοι ἐν ῥυμῷ
ἐστραφὼ δὲ τὴν δία. λεπνίδας τὴν κροκύφαντον.
Ἐ κτὸς, δίχα, παρὲξ ἢ ἔξω. ¶ Ἔκτοθεν, ἔξωθεν.
Ἐ κ τοῦ διὰ ἐξ ἐκείνου τοῦ χρόνου. ¶ Ἐκτρύμπαλιν. ἐκ τοῦ ἐ
ναντίου. ¶ Ἐκ τοῦ παραχρῆμα, ἐκ τοῦ αὐτομάτου.
Ἐ κτραγῳδεῖ, ἀποιμώζει, ἀποθρηνεῖ. ¶ Ἔκτωρ. ἐν ῥυμῷ
πάσσαλος. ¶ Ἐκτραχηλισθῆναι, ἐκπεσεῖν.
Ἐ κτρέπειν, ἀποστρέφειν ὕδωρ. ¶ Ἐκτριβῆναι, ἀπολο
φθῆναι. φθαρῆναι. ¶ Ἐκτριβαὶ, τριβαὶ, χωρισμοί.
προφάσεις. ¶ Ἐκ τρίτης λόγος. ¶ Ἐκτριτημό
ρου, ἐκ τεσσάρων ἡμιεκτέων. ¶ Ἐκτριβαί. τρίβοι
προφάσεις χωρισμοὶ, καὶ ὀφθαλμῶν τι πάθος.
Ἐ κτροφωλέων, ποδειλῶν. ¶ Ἐκτρόχαλον, ἔκτροχον.
Ἐ κτρυπῆσαι. ἐξελθεῖν λεληθότως, τρυπῆσαι δὲ τὸ πα
ρελθεῖν. ¶ Ἐκτρύχωσον, ἔκτριψον.
Ἐ κτρυωθείς, φθαρείς. ¶ Ἔκτρωμα, παιδίον νεκρὸν
ἄωρον, ἐκβολὴ γυναικός. ¶ Ἐκτυφῆναι, ἐκτυφωθῆ
ναι. ¶ Ἐκ τύμβου θορών. ἐκπηδήσας μεγάλως ἐκ
τοῦ τάφου καὶ τῆς γαστρός. ¶ Ἔκτυπον, ἐβρόντα.
Ἐ κτύπωμα, ἀλλοίωμα, ὁμοίωμα. ¶ Ἐκτυπώτε
ρον, λευκότερον, φανερώτερον. ¶ Ἐκυίσκετο. ἐν
γαστρὶ ἐλάμβανεν. ¶ Ἐκυκᾶτο. ἐταράσσετο.
Ἐ κύκων, ἐτάραττον. ¶ Ἐκύπταζον, ἐκ * πλέονων
ἐκύπτον ἠλογήθην. ¶ Ἑκυραὶ, πενθεραί.
Ἑ κυρὸς. ἀνδρὸς πατήρ. πενθερός. ¶ Ἑκυρὰ. ἡ μήτηρ
τοῦ ἀνδρὸς πενθερά. ¶ Ἔκυρσε, ἔκυρον ἔτυχον ἐπέτυχε
Ἔ κυρσαν, τὸ αὐτό. ¶ Ἐκύρωσαν, ἐβεβαίωσαν,
Ἔ κυσεν. ἐφίλησεν. ¶ Ἔκυψεν, ἀπήγξατο.
Ἐ κφάδην. φανερῶς. ¶ Ἐκφάναι, φανερῶσαι.
Ἐ κφαίνει, δηλοῖ φανεροποιεῖ. ¶ Ἐκφάνδην, φα
νερῶς ἢ ἐξείπειν. ¶ Ἐκφαντόν. φανερόν.

Ἐκλελισμένος, ἐξεσραμμένος. ¶ Ἔκλεο, κλέος εἶχες. ¶ Ἐκλέπει, ἐκπορεύεται. ¶ Ἐκ λεχέων, ἐκ τῆς κοίτης. ¶ Ἐκλέψαι, ἐκλεπίσαι. ¶ Ἐκλέψατο, παρελογίσατο, ἠπάτησεν. ¶ Ἐκλεσιδωνίζετο, ἐμαντεύετο. ὁ ἀπὸ ἀκοῆς μαντείας ἀρχόμενος.

Ἐκ λήμνης, ἐκ τῆς λήμνου. ¶ Ἐκληροδότει, ἐκλότευσεν, ἐκάκωσεν. ¶ Ἐκλιάναι, λεπτῦναι. ¶ Ἐκλήθης ἐξαπίνης. ¶ Ἔκλιναν, εἰς φυγὴν ἐξαπέστειλαν. ¶ Ἐκλίνθη, κατεκλίνθη. ¶ Ἐκλιπαρεῖ, λίαν παρακαλεῖ.

Ἔκλογον, ὃν μεταξὺ λόγων. ¶ Ἐκλίπει, ἐξέλιπεν, ἐμειώθη. ¶ Ἐλιχάζει, ἐξορμᾶν ποιεῖ, ἐκσοβεῖ.

Ἐκλογὴν, κάλαθον λάκωνες. ¶ Ἐκλογιστίαν, ἀρίθμησιν. ¶ Ἔκλογον, ἀνήκεστον αἰσχύλος σαλαμινίαις.

Ἐκλόπεον, ἔφθειρον. ¶ Ἐκλονεῖτο, ἐταράσσετο, κλόνος γὰρ ἡ ταραχή. ¶ Ἐκλούνηται, ἐκνίπτηται.

Ἔκλυεν, ἐπήκουε, καὶ ἔκλυες ἔκλυον ὁμοίως.

Ἐκλυρὸν, χλωρὸν, δίυγρον, ἢ νοτερόν· ἔνικμον, ὑγρόν.

Ἔκληρος, ἔνδοξος, τίμιος. ¶ Ἐκλυθίσαι, ἐκλύεσθαι, κάλυψον. ¶ Ἐκλωπίζει, λωποδυτεῖ. ¶ Ἐκλωπίζεται, ἐξανθίζεται ἀχαιοὺς οἱ δ᾽ ἄπολι. ¶ Ἐκμαγεῖον, ἐκτύπωμα, ὑπογραμμὸς, σφραγίς. ¶ Ἐκμαξῆσαι, ἐκτυπωθῆναι. ¶ Ἐκμαγλωθεὶς, ἐξομοιωθεὶς, ἐκμάσσει. ¶ Ἐκ μελάθρων, ἐξ οἴκων. ¶ Ἐκμελὴς, ἀνάρμοστος, ἄτακτος, ἄρυθμος. ¶ Ἐκμελίτης, μαστίγιας, ἀριστοφάνης ἐν βατράχοις ὑπήλλαξεν αὐτὶ τοῦ φάναι, ἐκμελίτης ἡρακλῆς, μετημφίεσται γὰρ τὴν ἡράκλειον στολήν. καλεῖται δὲ ὁ ἐν μελίτῃ ἡρακλῆς, ἀλεξίκακος. ¶ Ἔκμελος, ἀδύναμος. ¶ Ἐκμετεωρῦνται, μετεωρίζονται. ¶ Ἐκμαρτυρία, ἡ τοῦ ἀπόντος μαρτυρία. ¶ Ἔκμισθοι, οἱ μισθὸν μὴ λαμβάνοντες. ¶ Ἐκμιλωίων, ὀρχιζόμενος. ¶ Ἐκμηχανῶμαι, κατασκευάζομαι. ¶ Ἐκμηχανώμενος, κατασκευάζων. ¶ Ἐκμειλίσσεσθαι, καταπραΰνειν.

Ἐκμειλιχθεὶς, ἐξημερωθείς. ¶ Ἐκμιμούμενος, ὁμοιούμενος. ¶ Ἐκμάλη, ἐξέλθη. ¶ Ἐκμύξαι, ἐκπιέζειν, ἐκπιάνθη.   εἰς, ἐκπιεσθεὶς, ἐκθλασθείς.

Ἐκμυκτηρισμὸς, χλευασμός. ¶ *Ἐκμυκτηρισμὸς, χλευασμός. ¶ *Ἐκμύμυκτεν, κατέβαλλεν. ¶ Ἐκ νέας, ἐξ ἀρχῆς. ¶ Ἐκνῆναι, ἐξαπατῆσαι. ¶ Ἐκνεύσας, ἐκκολυμβήσας. ¶ Ἐκνενεμήκασι, παραδεδώκασιν. ¶ Ἐκνενέμηκται, ἐξῆλθεν, ἐξῆκται.

Ἐκνεφίας, νέφελόν τι. ἄνεμος, ὄμβρος, βροχὴ ἀπὸ νεφῶν. ¶ Ἐκνικοῦντο, ἐφθείροντο. ¶ Ἔκνιψις, ἀπόσμηξις, κάθαρσις. ¶ Ἐκνόμιον, δακετόν. ¶ Ἐκνομίως, καλῶς, μεγάλως. ¶ Ἔκνοον, ἔκνουν ἀνόητον.

Ἐκνοσηλεῦσαι, ἀναρρῶσαι, ἐκ νόσου ἀναλάψασθαι.

Ἐκνοσφίσαι, ἐκβαλεῖν. ¶ Ἐκοάθη, ἐπενοήθη, ἐφωράθη. ¶ Ἐκόαμεν, ἠκούσαμεν, ἐπυθόμεθα. ¶ Ἐκολυμβεύετο. ἐφρύγετο, ἐπνεύετο. ¶ Ἐκόασεν, ἀνέλαβεν.

Ἐκοινοβουλεῖτο, ἐκοινοῦτο. ¶ Ἐκολῴα, ἐθορύβει. ἠτάκτει. ¶ Ἐκολλόπωσε, συνήρμοσε κόλλῃ. ἢ διὰ τὸ κόλλα ἀπὸ τῶν κολλόπων. ἔστι δὲ τὰ νωτιαῖα μέρη τῶν βοῶν, ἐξ ὧν γίνονται οἱ κόλλοπες. καὶ ὡς ἐπιτείνουσι τὰς χορδὰς κόλλοπας ἔλεγον, διὰ δὲ δερματίνοις τὸ παλαιὸν χρῆσθαι. ἀχαιοὶ ἱερόν. ¶ Ἐκόμεθα, ἵδομεν, εὕρομεν, ἠσθόμεθα. ¶ Ἐκόμισεν, ἔλαβεν, ἐπρίατο, ἐτίμησεν, εἴρηκε, ἐπιμελῶς ἔθρεψεν. ¶ Ἐκομπάσθη, ἠπατήθη, εἰς ὅρκον διετέθη. ¶ Ἐκονδυλίζον, ἔτυπτον κονδύλοις ὅσον δακτύλοις. ¶ Ἐκονίετο, ἐπέπαστο κόνιν ἢ ἐν κόνι ἔκαμνεν. ¶ Ἐκόνιον, ἔκνιον ἢ ἴδιον.

Ἐκόντε, δυϊκῶς βουλόμενοι. ¶ Ἑκοντὶ, θελούσῃ, ἑκουσίως. ¶ Ἐθελοντὶ, ἐθελοντί. ¶ Ἐκόπασεν, ἐκπαύσατο. ¶ Ἐκορέσατο, ἐκορέσθη. ἐπληρώθη. ¶ Ἐκορδύετο, ὑψοῦτο, ἐκορυφοῦτο. ¶ Ἐκορίζετο, ὑποκορίζετο παρὰ τὸ μὴ παῖδα ὃν κοῦρον φασίν. ¶ Ἐκορυβάντιζε, τοῖς κορύβασιν ἐτελεῖτο. ¶ Ἐκορυπτίας, ἐγαυρίας. ¶ Ἐκουσιάζεται, προαιρεῖται προσφέρει.

Ἐκούσιον, θελούσῃ διανοίᾳ. ¶ Ἐκπάγλως, ἐκπληκτικῶς, ἐξόχως, μεγάλως, θαυμαστῶς, ἔξοχα. ¶ Ἔκπαγλον ἐπεύξατο, ἐκπληκτικὸν ἐκαυχήσατο. ¶ Ἔκπαγλον, θαυμαστόν. ¶ Ἐκπαγλοῦσθαι, θαυμάζειν.

Ἐκπαγλότατε, θαυμαστότατε, ἐκπληκτικώτατε.

Ἔκπαγλα, θαυμαστὰ, μεγάλα, ἔξοχα, περιττά.

Ἔκπαθος, ἀπόπληκτον. ¶ Ἐκπάλαιστος, ἄνανδρος.

Ἐκπάλαιστα, λεῖα, ἀπόβροφα. ¶ Ἐκ παλαχῆς, ἐξ ἀρχῆς. ¶ Ἐκ παλαιοῦ, ἐξ ἀρχῆθεν. ¶ Ἐκ πάλου, ἐχωρίσθη, ἀπέστη, ἐξέπεσεν. ¶ Ἐκπαλήσαντες, ἐκπεσόντες.

Ἐκπαλλακίδιοι, οἱ νόθοι. ¶ Ἐκπάλιον, ἀκλήρωτον.

Ἐκπαλιμβοτεῖν, ἐναντιολογεῖν.

Ἐκπαλαιότητα, ἐξαισιότητα. ¶ Ἐκπάλτιον, ἐξαλλον οὐχ ὅμοιον. ¶ Ἐκ παραβολῆς, ἐκ παρακινδυνεύματος. ¶ Ἐκ παραλλήλου, ἐξ ἰσότητος.

Ἐκ παραλίας, ἐκ παραθαλάσσης. ¶ Ἐκ παραλλαγῆς, ἐξ ὁμοίου. ¶ Ἐκ πασσέων, ἐκ πασσάλου. ¶ Ἐκπάτιον, τὸ ἔξω πάτου. ¶ Ἐκ πάτου, ἐκ ποδῶν.

Ἐκπάτριον, ἀνόμοιον. ¶ Ἔκπαυμα, ἀνάπαυμα.

Ἐκπεκρυμμένη, κτενιζομένη, καὶ τίλλουσα.

Ἐκ πεδίου, ἐκ τοῦ ἡπλωμένου χωρίου καταστρέψαντος.

Ἐκπέλει, ἔξεστιν. ¶ Ἐκπλεύει, ἐξωθεῖ. ¶ Ἐκπεπαταγμένος, ἐκπεπληγμένος, ἔκφρων. ¶ Ἐκπεπολέμωται, ἐχθραίνει. ¶ Ἐκπεπότημαι, ἐκπεπλάνημαι.

Ἐκπεριδικῆσαι, τὸ δολιεῦσαι καὶ διασκάναι ἀπὸ τῶν περδίκων μεταφορικῶς. πανοῦργον γὰρ τὸ ζῶον καὶ διαδιδράσκον τοὺς θηρῶντας.

Ἐκπέλει, ἔξεστιν. ¶ Ἐκ περινοίας, ἐξ ἐπινοίας.

Ἐκ περιουσίας, ἐκ πλήθους. ἐκ τοῦ ὑπερέχοντος.

Ἐκ περιτροπῆς, ἐξ ἀποστροφῆς ἐκ νίκης. ¶ Ἐκπέρσαι, ἐκπορθῆσαι. ἑλεῖν. λαβεῖν. ¶ Ἐκπέρσαντα. ἐκπορθήσαντα. ¶ Ἐκπέρσασιν, ἐκπορθήσασιν, ἔπεσον, ἐξέπεσον. ¶ Ἐκπτεριαδεῖν, παχύνειν ἱμάτιον λακωνικόν. ¶ Ἐκπεφανισμένος, ἀπόπληκτος.

Ἐκπεφάνισται, ἀπόπληκτος γέγονεν. ¶ Ἐκπεφύκασι, βεβλαστήκασι, γεγένηνται. ¶ Ἐκπέμψας, ἐκγυμνώσας ἢ περιβαλλόμενος. ¶ Ἐκπηνιεῖται, ἐκμυριάσεται. ¶ Ἐκπίαρ, λιπαρόν. ¶ Ἐκπιμπλάναι, ἀποπληροῦν. ¶ Ἐκπίνειν. προπίνειν, ἐκπιφάσκειν, ἐνθουσιᾶν, ἐξορμᾶν. ¶ Ἐκπλαγείς. θαυμάσας. ¶ Ἐκπεπαταγμένος, ἐκπεπληγμένος.

Ἐκπλαγούμεναι, ἐκπληττόμεναι, μαινόμεναι.

Ἐκπλαγέως, ἐξόχως, θαυμαστῶς. ¶ Ἔκπλασο, ἐξεπάγησεν. ¶ Ἐκπλήσσων, ἐκπληροῦσαν ἑαυτήν.

Ἐκπλαγήσεσθαι, ἐκπλήττεσθαι φόβῳ. ¶ Ἔκπληξις, ἐκφόβησις. ¶ Ἐκπλήξειν, ἐκπλαγῆναι ποιεῖν

Ἐκδιαιτηθῆναι, διαζαφῆναι ἢ διαπραχθῆναι.
Ἐκδιὰν, πᾶν καὶ κέραμον συντετριμμένον.
Ἐκδιάστρα, κλῶσμα, ὃ στήμων. ¶ Ἐκδιέβαλεν, ἐξέβαλεν.
Ἐκδίκησις, ἀνταπόδοσις. ¶ Ἐκδιδῶς, προδιδῶς.
Ἐκδόσ' ὕδατα, τὰ ὄμβρια. ¶ Ἐκδίδοται, προδίδοται. ἀποδίδοται. ¶ Ἐκδιδοτος, προδιδόμενος, ἀποδιδόμενος.
Ἐκδιόπτευσαν, ἐβρόντησαν. ¶ Ἐκδοχὴ, προσδοκία.
Ἔκδραχμον, ἑξάδραχμον. ¶ Ἐκδύειν, ἐξελθεῖν.
Ἐκδύσον. ἐξέδυσαν δυϊκῶς. ¶ Ἐκδύει. ἐξέρχεται.
Ἐκ δυοῖν, ἐκ δύο. ¶ Ἐκδύον, καλὸν καὶ ψόν. ¶ Ἐκδυοῖν τρία βλέπεις, ἐπὶ ἐλέγχου ὑπὸ τῶν διὰ γῆρας ἢ ἄλλο τι πάθος οὐκ ὀξυδορκούντων, οὐ δὲ εἰλικρινεῖς ἐχόντων τὰς αἰσθήσεις. ¶ Ἐκδυὼ, ἐξελθὼν, ἐκδυσάμενος. ¶ Ἐκδ' ὦσι, ἐξέωσι δέ. ¶ Ἐκέαστιν, ἔχισεν.
Ἐκέδαστιν, διεσκόρπισεν. ¶ Ἐκεῖ. μακρὰν πόρρω.
Ἔκειεν, ἐκεφύτησεν. ¶ Ἐκείνω. ἐκεῖνοι δυϊκῶς. ¶ Ἐκεῖρον, ἤσθιον, ἀνήλισκον. ¶ Ἐκέκαστο, ἐνίκα, ἐδοξάζετο. ἐκεκόσμητο. ¶ Ἐκέκευθεν, εἶχεν, ἀπέκρυπτεν.
Ἐκεκάδει, ὑπεχωρήκει. ¶ Ἐλέλαθον ἐπελάθοντο ἐκλελήθασι ἐποίησαν. ¶ Ἐκελαοὶ, οἱ ἀττικοί. ¶ Ἐκέλευσεν, ἠνάγκαζεν, ἔλεγεν. ¶ Ἐκέκλετο, ἐκ αὐτό.
Ἐκέλσεν, ἔχισε. διέλυσε. κατέβλαψεν. ¶ Ἐκέλευσεν, ἐκέλευσεν. ¶ Ἐκέλσαμεν, ὡρμήσαμεν. ¶ Ἔκελσε, κατέλαβεν. ¶ Ἐκενώθησαν, ἐρημώθησαν, μετεβλήθησαν. ¶ Ἐκένωσεν, ἐρήμωσεν. ¶ Ἐκεραΐζον. ἀπώλλυον. ¶ Ἐκερσεν, ἐκειρεν. ἔτεμεν, ἔκοψεν.
Ἐκερτόμεον, ἠρέθιζον. ¶ Ἐκεύθανον, ἔκρυπτον.
Ἐκεχειρία, ἀργία, ἀνάπαυσις, ἀνοχὴ, φιλία. ¶ Ἐκεχάνδει. ἐκεχωρήκει. ¶ Ἐκέχειρον, ἐκ ἀργύρεον.
Ἔκηα, διεσκέδασα, κατέκαυσα. ¶ Ἐκηβολίαι, προέσεις τῶν βελῶν, μακροβολίαι, εὐστοχίαι. ¶ Ἐκηβόλος, τοξότης, μακροβόλος εὔστοχος. ¶ Ἔκηεν, ἀπώλλυεν. ¶ Ἐκήθεον, ἐβοήθουν. ¶ Ἐκηλία, ἡσυχία, εἰρήνη. ¶ Ἔκηλος. ἥσυχος, πρᾶος.
Ἐκηρώθη, ἐσκοτώθη, ἐπλήσθη, ἐθανατώθη. ἀμείνων δὲ ὠχρίασεν. ¶ Ἔκητι, ἕνεκα ἢ χωρίς. ¶ Ἔκθαμβος. ἐκπληκτικός. ¶ Ἐκθειάσαι, ἐπαινέσαι. ἢ ἔκθημα.
Ἐκθέλειν, ἐκβρέχειν. ¶ Ἔκθεσις, ὀφειλὴ, παλαιὰ νομοθεσία πρόσταξις δόγμα. ¶ Ἔκθεσμοι, παράνομοι, ἄδικοι. ἄνομοι. ¶ Ἔκθετα, ἐκεπλάκωμεν.
Ἐκθηλεῖ, μισεῖν ποιεῖ διεκείρει.
Ἔκθορεν. ἐξεπήδησεν. ¶ Ἔκθιβος, ἐκ λῶμα τοῦ χιτῶνος οἱ δὲ ἔκθροιβος. ¶ Ἐκθορνύμενος, ἐκπηδῶν.
Ἐκθράψει. ἐκπηδήσει ἀπὸ τοῦ ἐκθορεῖν. ¶ Ἐκθορεῖν, ἐκπηδῆσαι ἐκδραμεῖν. ¶ Ἐκθορὼν. ἐκπηδῶν. ἐκπηδήσας. ¶ Ἐκθόοντας. ἐξορχουμένοις. ¶ Ἐκθρώσκει, ἐκπηδᾷ. ¶ Ἐκθύζει, ἐκζεῖ, ἐξεμεῖ. ¶ Ἐκθύεσθαι. ἐξιλάσκεσθαι. ¶ Ἐκθύματα, ἐξανθήματα.
Ἐκθύμενος, λῶμα, κόμματα χιτώνος. ¶ Ἐκθυμοῦ ποιεῖν. μισηθῆναι, μὴ ἐκεῖν ἀρεστὸν. ἐκπεσεῖν τῆς τύχης.
Ἐκθύμως. προθύμως κατὰ ψυχήν.
Ἐκθύωσιν. ἐκζέωσιν, ἐκπίπτωσιν. ¶ Ἐκίαθεν, ἐπορεύετο. ¶ Ἐκίγχανεν, ἐτύγχανε, κατελάμβανε, εὗρεν.
Ἐκίδνατο, διεσκορπίζετο, ἐσκεδάννυτο. ¶ Ἐκίνδαψεν, ἔψηλεν. ¶ Ἐκινδάψασιν, ὑπέψηλεν ἀπὸ κινδαψοῦ, ὅπερ ἐστὶν ὄργανον κιθαριστήριον ποιὸν κινδαψός.

¶ Ἐκιον, ἐπορεύοντο. ¶ Ἐκίασεν, ἐγίνωσκεν. ¶ Ἐκίχανεν, ἔλαβεν, εὗρεν. ¶ Ἐκιχήσατο, κατέλαβεν. ¶ Ἐκκαιδεκάδωρα, ἐκκαίδεκα παλαιστῶν, δῶρα γὰρ παλαιστή. ¶ Ἐκκακοῦμεν, ἠχμελοῦμεν, ἐκκακῶμεν. ¶ Ἐκκακῶ, ὡδί. ¶ Ἐκκαλάξαι κλίναι ἐκ ἰσίον. ¶ Ἐκκαλεῖται, προκαλεῖται.
Ἐκκαλύπτων, φανεροποιῶν. ¶ Ἐκκενάξειν, ἐκκενώσειν ἀπὸ τοῦ κανοῦ θορυβήσειν. ¶ Ἐκκατηλεύειν, δολοῦν. ¶ Ἐκκαυλίσαι, ἐπιδῦναι. ¶ Ἐκκαχεύσω. ἐκκοκίσω, ἐκτινάξω, ἢ συντρίψω οἱ δὲ κείμενα.
Ἐκκαύσας, ἐκκαύσας. ¶ Ἐκκεκελήκεν, ἐκκέκληκεν. ¶ Ἐκκεκλησιασμένη, ἐκπεπληγμένη, ἔξω τῆς ψυχῆς γεγονυῖα. ¶ Ἐκκεκολαμμένα. γεγλυμμένα.
Ἐκκεκομμένης. ὁ διὰ τοῦ κυβεύειν τὰ αὐτοῦ ἀπολέσας ὅπερ νῦν ἐκκεκοπτισμένος φασὶν, ἢ ὁ ἀπολελεχωρημένης. ¶ Ἐκκεκονίσθαι ἐκ εἰς κονίαν ἀναλελύσθαι.
Ἐκκεχωρηκώς, ἐκκεχωρηκώς. ¶ Ἐκκεκόπηται, ἐξήρτηται σοφοκλῆς ἐν λόγῳ. ¶ Ἐκκευθμῶν, τῶν κοίλων τόπων. ¶ Ἐκκεχειρία, ἄνεσις. ἀργία, συνθήκη, ἀνοχὴ πολέμου εἰρήνη. ¶ Ἐκκέκυφεν, ἀνώρθωσεν. ¶ Ἐκκεχαλασμένη, ἐψυγμένη, ἐκκεχορδισμένη.
Ἐκκεχοιριλωμένη. ὁ χοιρίλου ποίησις. ἐκφάντης ὁ ὑπὸ κωμικῷ, χοίριλος θεράπων ἦν, ὃς συνεποίει τὰς κωμῳδίας. ¶ Ἐκκήρυκτον, ἀπόβλητον. ¶ Ἐκκλησιπεῖ, ἐκπορεύεται. ¶ Ἐκκλησία, σύνοδος, συναγωγὴ πανήγυρις. ¶ Ἔκκλητοι, δίκαι αἱ ὑπὸ ξένης λεγόμεναι καὶ οὐκ ἐν τῇ πόλει. ¶ Ἐκκλίμακος, τοῖς πύκταις, ὁπότε χειροτριβοῖεν, κλίμαξ ἐπιθεὶς ὑπὲρ τοῦ μὴ μένειν ὑπὸ τῆς αὐτῆς χώρας. ¶ Ἐκκοαλαβήσαντα, ἐκλακήσαντα, ἐκφρονήσαντα.
Ἐκκολεοῖο, ἐκ τοῦ ξιφοθήκης. Ἐκκομιδή. ἐκφορά.
Ἐκκομίσαι, ἐξελάσαι. ¶ Ἐκκομίζονται. ἐκφέρονται. ¶ Ἐκκομοδεύειν, ἐν ὕπνῳ φρυγεῖν, καὶ καθόλου ἐκ φρυγεῖν. ¶ Ἐκκοπῶν, ἐκ τῶν ἀδικιῶν.
Ἐκκόρυθος, ἐκ τῆς περικεφαλαίας. ¶ Ἐκκορῶσι, φθείρουσιν, ἐκκαλύνουσιν. ¶ Ἐκκοχύζειν, ἐκκοτίζειν.
Ἐκκόψαι, πορθῆσαι. ¶ Ἐκκοιλισθοί, στέφανοι μεγάλοι ἁδροί. ¶ Ἐκκραγεῖν, ἐκβοῆσαι. ¶ Ἐκκρινεῖ, χωρεῖ. ¶ Ἐκκρίνεται, ἐκρίπτεται, ἐκρέει.
Ἔκκρισις. ἔκρυσις, ἱδρώς. οὖρον. κόπρον, ἢ ἐκ φέρεσθαί τινα διὰ τῶν ἄνω καὶ κάτω. ¶ Ἔκκριτον. ἐπίλεκτον. προκεκριμένον. ¶ Ἐκκρούει, ἐκβάλλει.
Ἔκκριτος, ὁ ἐκλελεγμένος. ¶ Ἐκκνίσεις. ἐρεθίζεις, ἐπισείεις. ¶ Ἐκκυκλεῖ. ἐκκαλύπτει. ¶ Ἐκκύματα, ἐξανθήματα. ¶ Ἐκκυνοῖ, νόσημά τι κοινόν.
Ἐκκωρεῖ. ἐγχωρεῖ. ¶ Ἔκλαγξαν, ἄναρθρον ἐβόησαν. ἤχησαν, ποιὸν ἦχον ἀπετέλεσαν, ἀεροῦ ψόφον ἐβόησαν.
Ἐκλακτισμός. σχῆμα χορικὸν, ὀρχήσεως σύντονον.
Ἐκλαμβανέτην, ἐλάμβανον δυϊκῶς.
Ἐκλάρνακος, νόθος. ¶ Ἐκλαχὼν, διαλαχών.
Ἐκλεανθείης. ἐκτριβείης. ¶ Ἐκλείποντα, δύοντα. ¶ Ἐκλέλαθον, ἐξελάθοντο.
Ἐκλείψει, ὑστερεῖ ἀπλεῖται. ¶ Ἐκλέλαθον. ἐπιλαθέσθαι ἐποίησαν. ἀπώσωξαν, ἐξήλασαν.
Ἐκλελαμμένον, ἐξεσαμμένον.
Ἐκλελαπτισμένον, ἐκπεπυρωμένον.

Εἰσχέος εἰς ἀέρα. ἀντὶ τοῦ εἰς ἐρήμωσιν. ¶ Εἰσφῶιν, εἰ ὑμῶν. ¶ Εἴσω, ἔσω, ἔνδον. ¶ Εἰσῶπα, ἄντικρυς, ἢ πρὸς ὄψιν. ¶ Εἰσωμίλει, ἐκολάκευεν. ¶ Εἰσωποί. ἐναντίοι. οἱ ἔσωθεν βλεπόμενοι ἢ ἔνδον τῆς ἐπιφανείας ὄντες. εἰσωποὶ δ' ἐγένοντο νεῶν. κατὰ πρόσωπον εἶχον τὰς ναῦς. ¶ Εἶτα, ἔπειτα. μετὰ ταῦτα.

Εἰτακεῖν. ἐληλυθέναι. ¶ * Εἰτισκαί, πηγὴ παρὰ τοῖς κλαζομενίοις. ¶ Εἰτόγε, εἰ οὖν. ¶ Εἴτοι θυμός. ἐάν σου ἡ ψυχή ¶ Εἴτω, ἐλθέτω. ¶ Εἰσφθῇ. εἰσβῇ. ¶ Εἰκέναι, ἐοικέναι. ¶ Εἶχε, κατεῖχε. ¶ Εἰχέθην, ἐνεῖχον ἢ ἐθαύμαζον ¶ Εἴχεται, οἴχεται. ¶ Εἰχόμενος, κατεχόμενος. ¶ Εἴω, πορεύομαι. ¶ Εἴωθεν, ἔθος ἔχει.

Εἰωθότες, ἐθισμένοι, ἔθος ἔχοντες. ¶ Εἰωθώς, συνήθης ἔθος ἔχων. ¶ Εἴως, ἕως, μέχρι τινός. ¶ Εἴωσιν, ἀπώσαιεν. ¶ Εἰῶσιν, ἐῶσιν. ¶ Εἴως, ὅπως, ἵνα. ἐφ' ὃν χρόνον

ΤΟ Ε ΜΕΤΑ ΤΟΥ Κ.

Κ. καὶ ἀντὶ τοῦ πρό. ¶ Ἐκάλδυνταν, ἐπένθουν.

¶ Ἑκάεργον, μακροβόλον, τοξότην. ¶ Ἑκάεργος, ὁ μακρόθεν εἴργων τοῖς βέλεσιν. ¶ Ἕκαθεν, μακρόθεν, πόρρωθεν. ¶ Ἐκάθιζον, ἡττῶντο. ἐμέμφοντο. ¶ Ἐκαθίσατο, ἀττικεί. ὅταν τις ὠνούμενος τι τῶν ὑπὸ κήρυκι πιπρασκομένων παραχρῆμα αὐτὸ μὴ ἀπαιτῇ, ἵνα δὲ ἡ κυρεία αὐτῷ μένῃ ὁ ὠνῶν καὶ ἱδρύσατο

Ἐκαίνυτο, ἐνίκα ἑκάστοτε. ¶ Ἐκαλαμήσατο, ἀπέθεισαν ἐκ τῆς τοῦ σπόρου καλάμης. ¶ Ἑκάλειος, ζεύς, ὃν ἑκάλη ἱδρύσατο. ¶ Ἑκαλία. πόρρωθεν. ¶ Ἑκάλιθμος, ἵδρος ἀφειμένος. ¶ Ἐκαλίξαντο, ἐσκήνωσαν.

Ἐκάμαξεν, ἔσεισεν. ¶ Ἐκαματεῦσε, μετὰ κακοπαθείας εἰργάσατο καὶ ἔφυγεν. ¶ Ἔκαμεν, ἐπετέλεσεν, ἐποίησεν, ἐρρώστησεν, ἀπέθανεν, ἐκοπίασεν.

Ἐκάμοντο, κατειργάσαντο. ¶ Ἔκανεν. ἐφόνευσεν.

Ἑκανόμος, ἀγκυλαῖος δρυμός. ¶ Ἐκάπυσεν, ἐξέπνευσε. κάπυς γὰρ τὸ πνεῦμα καὶ συνέσχεν. ¶ Ἐκαραδόκουν, ἐκαρτέρουν, ἐπετήρουν. ¶ Ἐκαρβάνιζεν, βαρβάριζεν, καρβάνος γὰρ ὁ βάρβαρος, ἀπ' αὐτοῦ καὶ ἐκαρβάνιζεν.

Ἐκαρδίακεν, οὐκ ἂν ἔπαιξε τὴν καρδίαν. ¶ Ἐκαρίκωσας, ἀπέκτεινας. ¶ Ἐκάρκαιρεν, ἐπλήθυνεν.

Ἐκάρκαιρον, ψόφον τινὰ ἀπετέλουν. ¶ Ἐκάρπουν, περιεκέρδαινεν, ¶ Ἐκαρτύνοντο, ὠχυροῦντο, ἐξηραίνοντο. ¶ Ἐκάρωσαν, ἐλιποθύμησαν. ¶ Ἑκὰς πόλεως, πόρρω μακρὰν τῆς πόλεως. ¶ Ἑκαστάτω, πορρωτάτω μακροτάτω. ¶ Ἑκάστοις, ἐνίοις ἑτέροις. ¶ Ἑκάστοτε, ἀεὶ παρ' ἕκαστα. ¶ Ἑκαστέρω. πορρωτέρω κεχωρισμένως

Ἐκατόρθουν, περὶ φόνον ἐπόρνευον. ¶ Ἑκάταια. τὰ πρὸ τῶν θυρῶν ἑκάτης ἀγάλματα, τινὲς δὲ τὰ ἐν τριόδοις.

Ἑκατοντάκις, δίς. ¶ Ἑκατόμβη, περὶ τὰ ἰσχία πιλῶν ἑκατέρωθεν τὰς πτέρνας. ¶ Ἑκατέρωθεν, ἑκατέρωθεν τῶν δύο μερῶν. ¶ Ἑκάτερον, τῶν δύο μεμερισμένων.

Ἑκατέρωθεν, ἐξ ὅλων τῶν μερῶν. ¶ Ἑκάτη, ξύλον ἐν τοῖς φυλακίοις ᾧ τοὺς κακούργους προσδεσμεύοντες ἐμάστιζον. ¶ Ἑκατηβελέταο, τοῦ μακροβόλου. ¶ Ἑκατηβόλος ἢ ἑκηβόλος, ὁ ἕκαθεν βάλλων, καὶ ἐπιτυγχάνων. τινὲς δὲ ἐπεὶ ἑκατὸν βέλεσι τὸν ἐν πυθοῖ δράκοντα ἀνεῖλεν ἀπόλλων. ¶ Ἑκάτης ἄγαλμα, τὰς κύνας οὕτω φασὶ διὰ τὸ ἐκφέρεσθαι ἑκάτῃ κύνας. ἔνιοι δὲ καὶ αὐτὸν κυνοκέφαλον πλάττουσιν. ¶ Ἑκάτοιο, μακροβόλου. ¶ Ἑκατόμβαια, ἑορτὴ ἐν ἄργει καὶ ἀγὼν τελούμενος. ¶ Ἑκατόμβαιος, ὁ ἀπόλλων παρὰ ἀθηναίοις ὁ ζεὺς ἐν γορτύνῃ καὶ παρὰ κουρσὶ καὶ κρησίν. ¶ Ἑκατόμβας. θυσίας. ¶ Ἑκατομβεύς, μὴν παρὰ λακεδαιμονίοις ἐν ᾧ τὰ ὑακίνθια. ¶ Ἑκατόμβη, θυσία ποτὲ μὲν ἑκατὸν βοῶν, ποτὲ δὲ βοὸς καὶ προβάτου καὶ αἰγός. οἱ δὲ, τὴν ἀπὸ παντὸς γένους θυσίαν, ἡ θυσία σύσκιος ἑκατὸν βοῶν ἢ τῶν ἑκατὸν πόδας ἐχόντων. ¶ Ἑκατόμβοιον, ἑκατὸν βοῶν ἢ πολλοῦ ἄξιον. ¶ Ἑκατομβοίδιον, ἑκατὸν βοῶν τιμή. ¶ Ἑκατόμπεδον, τὸ θέατρον, ὁ ἑκατὸν ποδῶν. ¶ Ἑκατόγζυγος, ἑκατὸν καθέδρας ἔχουσα.

Ἑκάτης νῆσος. ἡ περὶ λέσβον. ¶ Ἑκατογκάρανοι ἑκατὸν αἱ ἐπιζήμιον πρασσόμεναι. ¶ Ἑκατόμπεδος νεὼς ἐν τῇ ἀκροπόλει παρθένοις κατασκευασθεὶς ὑπὸ ἀθηναίων μείζων τοῦ ἐμπρησθέντος ὑπὸ τῶν περσῶν ποσὶ πεντήκοντα. ¶ Ἑκατόμπολιν, ἑκατὸν πόλεις ἔχουσαν. ¶ Ἑκατὸν πόλεων προλέγω ἀραρυῖαν, ἤτοι ἑκατὸν πόλεων ἐχουσαν ἄνδρας ἀριστίας ἐντεθρεμμένοις, ἢ ἑκατὸν πόλεων ὁπλίταις ἱκανὴν πεζοῖς ἐφαρμοζομένην. ¶ Ἑκατόνστομον, πολὺ μέγα.

Ἑκατόνχειρον, κυρίως κατὰ τὸ μυθικόν. ἢ ἑκατόμπηχυν διὰ τὸ μέγεθος. ὁ ἑκατὸν χεῖρας ἔχοντα. ¶ Ἑκατοστύς, ὡς χιλιοστὺς συγγένεια. ¶ Ἐκαχεν, ὑπόντησεν

Ἐκβαβάξαι, ἐκσαλεῦσαι, σοφοκλῆς ἐν αὐτηνοεῖδαις.

Ἐκβακτηρίας, ἄρτεμις ἐν σίφνῳ. ¶ Ἐκβατάνων, περσικῶν. ¶ Ἐκβατάνων, πόλις. ¶ Ἐκβακχεύει, ἐκταράσσει ἢ ἀσίμνεως ἐκπτάζει. ¶ Ἔκβασις, πέρας τινὸς ὑποθέσεως ἢ ἐκβλάστησις. ¶ Ἐκβεβόλβισται, ἐξώρυκται, ἠφάνισται τῶν βόλβων, ¶ Ἐκ βελέων, ἐκ τῶν βελῶν. ¶ Ἐκβῆναι ὅρος, καὶ ποταμὸν διαβῆναι.

Ἐκβήσεται, προβήσεται ἐκβαίνει. ¶ Ἐκβιβάζει, αὐξεῖ, δοκιμάζει. ¶ Ἐκβιούζει. θρηνεῖ μετὰ κραυγῆς.

Ἐκβλίσαι, ἐκθλίψαι, ἐκπιέσαι, βλίζειν γὰρ τὰ κοιλία ἐκθλίβειν. ¶ Ἐκβλιστέος, ἐκθλιπτέος. ¶ Ἐκβωλάς, γῆ χωστή. ¶ Ἐκβολβίσαι, ἐκ ῥιζῶν ἀνασπάσαι.

Ἐκβολὴ σίτου, ὁ σπόρος. ¶ Ἐκβολὴ λόγου, παράβασις. μετάβασις. ¶ Ἐκβολίζεται, εἰς βασιλέως ἔθη πέμπεται. ¶ Ἐκβόσκεται, κατεσθίει, ἐκβιβρώσκει.

Ἐκβρασθείη, ἐκβληθείη, ἀπορριφθείη. ¶ Ἐκβρασμός, ἔκζεσις, ταραχή. θόρυβος. παραγμός. ¶ Ἐκγεγάμεν, ἐκγεγενῆσθαι. ¶ Ἐκγηλιώσαιμι, ἐχλευάσαιμι.

Ἔκγονα, τέκνα τέκνων. ¶ Ἐκγρυπνῶσαι, ἐξορθινίσαι

Ἐκδάβη, ἐκαύθη λάκωνες. ¶ Ἐκδ' ἄγαγε, ἐξήγαγε δέ. ¶ Ἐκδ' ἄγαγε πρὸ φόως δέ, προεξήγαγε δὲ εἰς τὸ φῶς. ¶ Ἐκδ' αἴνυτο, ἀφῃρεῖτο δέ. ¶ Ἐκδ' ἔβαν, ἐξέβησαν. ¶ Ἐκδεδασμένα, σῶμα δασὺ γεγονέναι.

Ἐκδειματοῦντες, ἐκφοβοῦντες. ¶ Ἐκδείρεται, ἐκδερματοῦται. ¶ Ἐκ δ' ἔλον, ἐξέδωκαν. ¶ Ἐκ δεμνίων, ἐκ τῶν στρωμάτων. ¶ Ἐκδέξαι. ἀνάμεινον. ¶ Ἐκδέχεται, προσδοκᾷ. παραμένει. ¶ Ἐκ δὲ χρυσηὶς νηός, ἐξέβη δὲ τῆς νηὸς καὶ ἡ χρυσηίς ¶ Ἐκδέψηται, ἐκμαστιγώσηται. ¶ Ἐκ δὲ καρδίης, καρδία πόλις ἐν χερρονήσῳ, ὠνομάσθη δὲ ἀπὸ τοῦ ἁρπάσαι κόρακα καρδίαν ἀπὸ θυσίας καὶ κομίσαι εἰς τὸν τόπον ἔνθα ἡ πόλις ἐκτίσθη. ¶ Ἐκ δ' ἦλθεν, ἐξῆλθεν. ¶ Ἔκδηλος, φανερὸς ἢ ὑπερέχων. ¶ Ἐκδημεῖ, ἀποδημεῖ, ἀναχωρεῖ.

μενος. ¶ Εἴρη, ἐρώτησις φήμη κληδών. ¶ Εἰρήσεται, ἐρίζεται. ¶ Εἰρηνικόν, εἰρηνικόν. ¶ Εἰρήνη, κόρος, τέλος. ¶ Εἰρηνάζει, κρατεῖ. ¶ Εἰρηνεύσομεν, εἰρηνικῶς διάξομεν. ¶ Εἰρήκασιν, ηὔξανον. ¶ Εἰρήσεται, λεχθήσεται. ¶ Εἰρήσθω, λεχθήτω. ¶ Εἰρήσομαι, ἐρωτήσω. ¶ Εἰρητὴς, κῆπος. ¶ Εἴρηκεν, ἔλεγε λέλεκεν. ¶ Εἴρει, λέγει ἑρμηνεύει. ¶ Εἶρις, ἡ ἐκ τοῦ ἡλίου γινομένη ταῖς νεφέλαις χρόα τὸ καλούμενον τόξον.

Εἴργεται, ἑάλωκε, κωλύεται. ¶ Εἱρκτὴ, φυλακὴ ἀσφάλεια. ἢ κωλύει, εἱρμός. ¶ Εἶρξαι, κωλῦσαι, κατακλεῖσαι, συγκλεῖσαι. ¶ Εἰροκόμος, ἐριουργός. ¶ Εἰροπόκοις, ἔρια κειρόμενα ἔχουσι πέκειν γὰρ τὸ ξαίνειν. κείρειν.

Εἰρόμεναι, ἐρωτῶ. ¶ Εἰρόμενοι, ἐρωτῶσαι. ¶ Εἰροπόκῳ, ἐριουργῷ. ¶ Εἴροντες, λέγοντες, πείροντες.

Εἶρος, ἔριον πτωχός. ¶ Εἷρπον, ἐπορεύοντο, μετὰ σχολῆς ἐβάδιζον. ¶ Εἱρκτὴ, ἀσφάλεια. ¶ Εἴρηται, ὥρισμαι. ¶ Εἰρύαται, ἀνελκυσμέναι ἢ πεφυλαγμέναι εἰσίν. ¶ Εἰρύατο, εἱλκυσμέναι ἦσαν. ¶ Εἰρυμέναι. εἱλκυσμέναι. ¶ Εἴρυον, ἐφυλάσσοντο.

Εἰρυόμεθα, φυλαττόμεθα. ¶ Εἰρυσάμεθα, εἱλκύσαμεν.

Εἰρύσαο, ἐφύλαξας. ¶ Εἰρύσασθαι, φυλάξαι.

Εἴρυσεν, εἵλκυσεν. ¶ Εἰρύσαιεν γνοίη. καὶ ἐρύσασθαι, γνῶναι. ¶ Εἴρυσεν, εἵλκυσεν. ¶ Εἰρύσατο, ἐκώλυσεν, ἐφύλαξεν. ¶ Εἰρύσαι, ἑλκύσαι. ¶ Εἰρύσθαι, εἰδέναι. χαλεπὸν σε θεὸν αἰεὶ γενετάων δήνεα εἰρύσθαι, καὶ φυλάξαι. ¶ Εἰρύσθη, εἱλκύσθη. ¶ Εἴρων, ὁ ἄλλα μὲν φρονῶν ἄλλα δὲ λέγων. ¶ Εἰρεσιώνην τα, κινήσαντα, σαλεύσαντα. ¶ Εἴρων, προσποιητὸς μὴ ἀληθείων ἀργὸς ἀλαζών. ¶ Εἰρωνεία, κολακεία, ψευδολογία. ὑπόκρισις. ἀπάτη. χλεύη. ¶ Εἰρωνεία ἐστὶ. λόγος ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον δηλῶν μετά τινος ὑποκρίσεως. ¶ Εἰσαγαγόντε, εἰσαγαγόντες δυϊκῶς

Εἰσαγγελία, κατηγορία. ἐμφανισμός. μήνυσις.

Εἰσαγείρατο, ἀνεκτήσατο. ¶ Εἰσαγηόχασιν, εἰσηνέγκαν. ¶ Εἰσαγηοχώς, εἰσενηνοχώς. ¶ Εἰσαγωγή. ἀρχὴ ἀθήνησι τῶν τὰ ἐγκλήματα εἰσαγόντων. ¶ Εἰς ἀγρὸν μάνης, παροιμία ἐπὶ τῶν δυσχρήστων, ἐμφαίνει δὲ ὡς ἐν ἀγρῷ χρησίμου μᾶλλον ὄντος τοῦ οἰκέτου.

Εἰσαγωγικοῖς, νεαροῖς, ἀρχαϊκοῖς. ¶ Εἴσαιτο, δόξειεν. ὁμοιοῖτο. ¶ Εἴσατο, ὡμοιώθη. ¶ Εἴσατο, ὡμοιώθη. εἴσατο δὲ φθογγὴν υἷι πριάμοιο. ¶ Εἰς ἅλα, εἰς τὴν θάλασσαν. ¶ Εἰσάμενος, ὁμοιωθείς. ¶ Εἴσαν, ὑπῆρχον συνῆκαν, ἢ ᾔδεσαν ἢ ἐπεγίνωσκον. ¶ Εἴσαντο, ἔδοξαν, ἐφάνησαν. ¶ Εἴσης, ἐξ ἴσου πᾶσι μεριζομένης

Εἰσέβη, ἠμβαίνετο. εἰσῆλθεν. ¶ Εἴσω φρένας εὐκράτοις ἀπαθὰς ἴσου τύχοις. ¶ Εἰσαφάσματα, εἰς πλήματα ἀπὸ τοῦ εἰσβιάζεσθαι, ἢ σπαράγματα αἰσχύλος προμηθεῖ λυομένῳ. ¶ Εἰσβάλλει, εἰσέρχεται. ¶ Εἰς βοός. ἀθήνησιν ἡμέρα οὕτως καλεῖται τοῦ βοηδρομιῶνος. ¶ Εἷς βροτὸς, εἷς ἄνθρωπος. ¶ Εἰς διονύσου ἐπικλῆς τὰ εἰς προδοσίαν χρήματα ἀπεγράφετο.

Εἰσδύεται, εἰσέρχεται. ¶ Εἰς διονυσίου, πρὸς διονύσιον. ¶ Εἰσδυόμενα, εἰσερχόμενα. ¶ Εἴσεαι, γνώσῃ γνῶθι προσήκει πρέπει. ¶ Εἰσελὺς, εἰσελεύσῃ.

Εἰσεῖ. πρὸς ἑαυτόν. ¶ Εἰσέθει, εἰσέβρεχεν, θέειν γὰρ τὸ βρέχειν. ¶ Εἰσίτω, εἰσερχέσθω. ¶ Εἰσέδρακεν, ἐθεάσατο.

σατο. ¶ Εἰσεκώμασεν, εἰσῆλθεν. ¶ Εἰσελάων, εἰσβρέχειν μέλλων. ¶ Εἰσελαύνοντα, εἰσερχόμενα.

Εἰσεμπορεύεσθαι, τὸ εἰς πλέμους ἐμπορείας χάριν ἀπιέναι. ¶ Εἰσεμφανῶν κατάστασιν. ἣν ἡμεῖς καλοῦμεν ἐμφανείας ἐγγύην. ¶ Εἰς ἕτερον, εἰς δουλείαν. ¶ Εἰσενεκάθισεν, ἵδρυσεν. ¶ Εἰς ἐπίδοσιν, εἰς αὔξησιν.

Εἰς ἐνὴν, εἰς τρίτην. ¶ Εἴσεαι, δόξειεν. ¶ Εἰς εὐνὴν, εἰς κοίτην. ¶ Εἰσέφρησεν, εἰσήγαγεν. ¶ Εἰσέφηκεν, εἰσεπήδησεν, εἰσαφῆκεν. ¶ Εἴσης, εἰς ἴσον ἑκάστῳ μεμερισμένης, διὰ τὸ εἴσης. ¶ Εἰσηγητὴν, εἰσηγητὸν δυϊκῶς. ¶ Εἰσηγεῖται, συμβουλεύειν νουθετεῖ.

Εἰσηγήσασθαι τὰ αὐτά. ¶ Εἰσηγήσεως, διδασκαλίας, παραινέσεως. ¶ Εἰσήγησις, τὰ αὐτά. ¶ Εἰσητήρια, ὅταν ἄρχηται βουλεύειν ἢ θύειν. ¶ Εἰσηγητὴς, διδάσκαλος, παραινέτης, εἰσακτής. σύμβουλος.

Εἰσηγοῦμαι, συμβουλεύω, παραινῶ, διδάσκων. νουθετῶ.

Εἰσήλασεν, εἰσῆλθεν. ¶ Εἰσήλατο, εἰσεπήδησεν.

Εἰσηλεῖν, εἰσάγειν, εἰσελαύνειν. ¶ Εἰσηλύσιον, τίμημα εἰσόδου ἢ τέλος. ¶ Εἴρησεν, εἰσφθαίρει. ¶ Εἴσης, εἰς σμικροῦ ἴσης. ¶ Εἴσηται, πεύσηται. ¶ Εἶθα. πορεύσῃ ἢ πορεύου. ¶ Εἰσθμὸς, εἴσοδος ὕδατος στενή.

Εἶσι, πορεύεται ἢ ἔρχεται. ¶ Εἰσὶ, τυγχάνουσιν ὑπάρχουσιν. ¶ Εἰσίασιν εἰσέρχονται. ¶ Εἰσίεις. εἰσήρχου. ¶ Εἰσιοῖς, εἰσέλθοις. ¶ Εἴσιθι, εἴσελθε.

Εἴσιθμη, εἴσοδος στενή. ¶ Εἴσιμεν, εἰσερχόμεθα. ¶ Εἰσῄοντο, εἰσήρχοντο. ¶ Εἰσίουσιν, εἰσέρχονται. ¶ Εἰσίτω, εἰσελθέτω. ¶ Εἰσκάλλος * τὸ καλλιγραφεῖν ὅταν δὲ ἁμιλλᾶσθαι. ¶ Εἰσκεκριμένον, ἐπεισκρινόμενον ἢ ἐπεισάκτον. ¶ Εἰσκομεν, εἰκάζομεν. ¶ Εἰσκόμενον, εἰκαζόμενον. ¶ Εἰσκεῖν, εἰκάζειν, ὁμοιοῦν, δοκεῖν.

Εἰσκονιανοὶ, οἱ ἐφέσιοι ὡς αὐτίμαχος. ¶ Εἰς κόρακας, εἰς τὸ σκότος. ¶ Εἰσκρίνει, εἰσχωρίζει, μερίζει.

Εἰσκρίνοιτο, εἰσφέροιτο κρίνοιτο. ¶ Εἰσκυκλεῖσθαι, περιφέρεσθαι. ¶ Εἰσκυκλήσας, περιελθών.

Εἴσκω, εἰκάζω. ὁμοιῶ. ¶ Εἰς κόνιν, εἰς γῆν. ¶ Εἰς λῆξιν, εἰς τελειότητα. ¶ Εἰς μελίττας ἐκώμασας. παροιμία ἐπὶ τῶν παρὰ δόξαν ἀθρόως κακουμένων.

Εἰς νέωτα, εἰς τὸ ἐπιόν. ¶ Εἰσόδια, πρόσοδοι ἀναλώματα. ¶ Εἰς ὀλὸν ὡρμήθην, ἀντὶ τοῦ μετέωρος πρὸς ἀπόπλουν. ¶ Εἰσοικίζεται, εἰσφέρει. ἢ εἰσφέρεται, ἢ ἰδιοποιεῖται. ¶ Εἰσοίσοι, εἰσενέγκοι. ¶ Εἰσοιχνεῦσιν, εἰσπορεύονται καὶ ἐνεδρεύουσιν. ¶ Εἰσόκεν, ἕως ἄν.

Εἴσομαι, γνώσομαι, ὄψομαι, ὁμοιώσομαι, ἱδρύσομαι. εἰσελεύσομαι. ¶ Εἰσομένας, γνωσομένας. ὁμοιωθείσας

Εἰσόμενον, ὁδοιποροῦντα. ¶ Εἶσον, ἀγαθόν. ¶ Εἴσονται, γνώσονται. μαθήσονται. ¶ Εἰσορόων, βλέπων.

Εἰσότε, ἕως ἄν. ¶ Εἰς παραβολὴν, εἰς γέλωτα.

Εἰσπεπαικότες, εἰσπεπηδηκότες. ¶ Εἰσπεποιημένη, ἔξωθεν γεγενημένη. ¶ Εἰσποιητόν, θετόν, νόθον.

Εἰσπράκτωρ, ἐπαιτής. ¶ Εἰσπραξάμενος, μεθοδεύσας, ἀπαιτήσας. ¶ Εἰσπράττει, ἀπαιτεῖ. ¶ Εἰς ῥᾷ εἰς δὲ περὶ ἑνός. ¶ Εἰσέω, ἱκετεύω. ¶ Εἰς τέλος, ἕως γάμου. ¶ Εἰς τὸ ἐνεδέδυτο, εἰς τὸ ἀπηχὲς εἰς χεῖρον ἢ κακόν. ¶ Εἰσφορὰ, τέλεσμα. ¶ Εἰσφρῆναι, εἰσάξαι ἐμεγκεῖν. ¶ Εἰσφρήσασθαι, καυχήσασθαι, μετὰ σπουδῆς εἰσενεγκεῖν. ¶ Εἰσφρήσῃ, εἰσαγάγῃ, εἰσάξῃ.

βεν, ἐχειρώσατο. ¶ Εἴλεα, ἄθλια, χαλινοί, δεσμοί, φιμοί, δέρεα. ¶ Εἰλήθυιας ἐνίοτε μὲν τὰς θεὰς, ἐνίοτε δὲ τὰς ὠδῖνας, ὁ ποιητὴς δὲ ἑνικῶς ἥρα ἐν ἄργει. ¶ Εἰλεῖται, κρύπτεται, κακουργεῖ.

Εἰλέοντες, στρέφοντες. ¶ Εἰλεός, ἡ τοῦ θηρίου κατάδυσις καὶ στρόφος. ¶ Εἰλέουσι, συγκλείουσι. συνέχουσιν. ¶ Εἰλεοῦνται, συγκλείονται.

Εἰλεσιάς, εἶδος καλάμου. ¶ Εἰλέπης, βλάσφημος.

Εἵλετε, ἐπορθήσατε. ¶ Εἵλετο, ἀνέσχεν, ἔλαβεν. ἀφεῖλεν. ¶ Εἰλέωσι, συγκλείωσι, συνέχωσιν.

Εἰληθερέων, ἡλιαζόμενος. ¶ Εἰληθερήσαντες, ἐν ἡλίῳ θαλφθέντες. ¶ Εἵλη, ἡ τοῦ ἡλίου αὐγή, ἡ θερμασία, ἡ καὶ τὰ ἄχυρα καὶ τῶν δασείων ἡ καλάμη ἐστὶ θερμασία. ¶ Εἰληθερεῖν, ἐν ἡλίῳ θερμαίνεσθαι. εἵλην γάρ φασι τὴν τοῦ ἡλίου αὐγήν. ¶ Εἰλήθη, ἐστράφη. ¶ Εἰληθερούμενος, ἐν ἡλίῳ θερμαινόμενος.

Εἰλήλουθα, ἦλθον. ¶ Εἰληλούθειν, ἐληλύθειν.

Εἰλήιον, ἐν ἡλίῳ θερμανθέν. ¶ Εἴληθι, ἵλεως γίνου.

Εἰλημμένον, συλληφθέντα. ¶ Εἰλεῖν, συστρέφειν πλῆθος. ¶ Εἰλήσεις, ἵλεως εἶ. ¶ Εἴληφεν, ἔλαβεν, ἐδέξατο. ¶ Εἰλήθυιαι, αἱ ἐπὶ τῶν τικτουσῶν θεαί. ¶ Εἰλήτιος, Ζεὺς ἐν Κύπρῳ. ¶ Εἴληχε. λέλογχε. ἔλαχον. εἴληφα. ¶ Εἰλιγγιᾶν, σκοτοῦσθαι. συστρέφεσθαι. ¶ Εἰλιγγιῶν, σκοτοδινιῶν.

Εἴλιγγον, σκότωσιν. ¶ Εἰλίγγοις, σκοτοδινιάσεις.

Εἰλιθιότης, παντελῶς ἀπόγνωσις. ¶ Εἰλικρινές. καθαρόν. ἄδολον. ἀληθές. φανερόν. ¶ Εἰλισκόπωσις, στρόφος. ¶ Εἰλίξουσι, στρέψουσιν.

Εἴλιον, περίφρονον (?). ¶ Εἰλίποδας βοῦς, ἐπιθέτως λέγει τὰς βοῦς διὰ τὸ ἑλίσσειν τοὺς πόδας κατὰ τὴν πορείαν, τὰς αὐτὰς καὶ εἰλίποδας ἕλικας διὰ τὸ οὕτω βαδίζειν λέγουσι. ¶ Εἰλιπόδεσσι, ταῖς βουσί.

Εἰλίπους, ἐν τῇ ἑλιγμῇ τοὺς πόδας ἔχων.

Εἰλίχθη, ἐστράφη. ¶ Εἵλκετο. ἐτείνετο.

Εἰλκτής, αἴτιος. ¶ Εἰλατῆρες. ἐνώτια.

Εἴλλη, εἴργει. κωλύει. ¶ Εἰλλόμενον, εἰργόμενον Αἰσχύλος Βασσάραις. ¶ Εἰλόμενοι, περιειλούμενοι, συνεστραμμένοι, ἢ συγκεκλεισμένοι, ἢ συνηθροισμένοι.

Εἰλομένων, συστρεφομένων ἐν πολέμῳ. ¶ Εἰλός, πᾶν τὸ ἐπιπιέζον βάρος καὶ τὸ ἐν ταῖς πάγαις ἐπιπίπτον ξύλον. ¶ Εἰλούμενος, συστρεφόμενος. ¶ Εἰλυμέλαν. ¶ Εἰλύει, κοιμᾶται. ¶ Εἴλυεν, ἐκρύπτετο.

Εἰλύεται, εἰλεῖται, συστρέφεται. κρύπτεται, κακουργεῖ, τεραποδίζει. ¶ Εἰλήθυια ἐπιτεταγμένη τοκετῷ.

Εἴλημα, ἐνείλυμα, περίβλημα, σκέπασμα. ¶ Εἰλύος, τέλματος. ¶ Εἰλὺς εἰλύος, ἡ πηλώδης τοῦ ποταμοῦ.

Εἰλυμένην, ἐκρυπτομένην. ¶ Εἰλυσμός, ἕλκως δρόμος.

Εἰλυθέντες, καλυψάμενοι. ¶ Εἰλύσθαι, ἕλκειν.

Εἰλυσπᾶσθαι, τὸ παραπλησίως τοῖς ὄφεσι καὶ τοῖς σκώληξιν ἰέναι. ¶ Εἰλυσπᾶν, συνεσπᾶν.

Εἰλυσπώμενος, εἰλούμενος. ¶ Εἰλυσπῶνται περὶ τὸν αὐτὸν τόπον στρέφονται μετὰ καμάτου. ¶ Εἰλύαται, εἰλεῖται. ¶ Εἰλύσω, ἐγκαλύψω, κρύψω. ¶ Εἰλύιοι θηρίων ἀπὸ φρυγάνων σκωληκοειδὲς ᾧ χρῶνται πρὸς δέλεαρ. ¶ Εἰλυφόει, στρέφει, ζητεῖ, τινάσσει, τὴν φλόγα. ¶ Εἴλυται, καλύπτεται. ¶ Εἴλυτο. κατεσκεύαστο, κατεκεκάλυπτο. ¶ Εἰλυφάζει, εἰλεῖ παραγώγως. ¶ Εἰλυφάζετο, εἰλίσσετο, συνεστρέφετο.

Εἰλυφόων, εἰς εἰλισμὸν ἄγων, ἢ συνειλῶν τὸ φῶς μετὰ συστροφῆς. ¶ Εἰλυφόων, συστρέφων ἄνεμος. ¶ Εἰλυφάζει, συνάγει, ἰχνεύει, συστρέφει. ¶ Εἰλυφῶνται, συστρέφονται. περιέρχονται. ¶ Εἰλύσασα, περιβαλοῦσα.

Εἰλῶ, εἰλόμην, ἐδεξάμην. ¶ Εἰλῶν, συστρέφων.

Εἵλωτες, οἱ Λακεδαιμονίων δοῦλοι, οἱ παρὰ Λάκωσι δουλεύοντες. ¶ Εἱμάδες, ποιμένων οἰκίαι. ¶ Εἱμαρμένη, τὸ πυρὸς ἡ βία ἐστὶν ἀνάγκη μεμοιραμένη. ¶ Εἵμασιν, ἱματίοις. ¶ Εἱμέμονας, εἰ προθυμῇ. ¶ Εἰ μέν, ἐὰν μέν. ¶ Εἱμένη, ὑπάρχουμένη, κοσμεία. ¶ Εἱμένοι, περικείμενοι, περιβεβλημένοι. ¶ Εἰ μή, ἐὰν μή. εἰ μὴ σφᾶς, εἰ μὴ αὐτούς. ¶ Εἶμι, πορεύσομαι. ¶ Εἰμί, ὑπάρχω.

Εἱμὶν, ἑαυτόν. ¶ Εἱμείρεται, ἐπιθυμεῖ. ¶ Εἵμερος, πεπρωμένος. ¶ Εἶν, αὐτωνυμία ἐκεῖνος. ¶ Εἶναι, πεφυκέναι, ὑπάρχειν. ¶ Εἶν᾽ ἀγορῇ ἀθήνης ἔξοιμεν, βουλευσόμεθα δυνατῶς. ¶ Εἰνάνυχες, ἐπὶ ἐννέα νύκτας. ¶ Εἴναξ, κάλλος. ¶ Εἰνάς, νευρά. ¶ Εἰνάετες, ἐπὶ ἐννέα ἔτη. ¶ Εἰναείμοις, ἀειμάτινες τὴν κατακεκαυμένην τῆς Φρυγίας χώραν. ¶ Εἰνάτιον, λοξόν. ¶ Εἰνάτερες, αἱ τῶν ἀδελφῶν γυναῖκες αἱ σύνυμφαι. ¶ Εἴνατον, τόπος Λυκίας καὶ Κρήτης.

Εἴναρος, ἔναρος. ¶ Εἵνεκεν, ἕνεκεν, χάριν. ¶ Εἰν ἐλεπίσιν, ἐν τοῖς μαγειρικοῖς ζατεζίοις. ¶ Εἶνες, νεῦρα.

Εἰνεσίαι, ἐπιστολαί. ¶ Εἰνὶ θρόνῳ, ἐν τῷ θρόνῳ.

Δημοποίητον, ὁ κατὰ ψήφισμα δήμου γεγονὼς πολίτης ξένος ὢν φύσει. ¶ Δημόσιον, δεσμωτήριον.

Δημοστροφεῖν, ἐν δήμῳ ἀναστρέφειν. ¶ Δῆμος, καλὸς πυριλάμπους υἱὸς ἦν οὗτος. ¶ Δῆμος, ὄνομα κύριον τὴν ὥραν κάλλιστος, ἔθος δὲ ἦν τοῖς ἐρασταῖς ἐπιγράφειν πανταχοῦ τὰ τῶν παίδων ὀνόματα.

Δημολάλητος, δημοβόητος. ¶ Δημοτελῆ, ἱερά, ὧν

δημοτελῆ μὲν εἰς ἃ θύματα δίδωσιν ἡ πόλις, δημοτικὰ δὲ εἰς ἃ οἱ δῆμοι. ¶ Δημοτεύεσθαι, τὸ μετέχειν δήμου καὶ πολιτείας κατὰ νόμον. ¶ Δημότης, ὁ ἐκ τοῦ δήμου, δηλοῖ δὲ καὶ ἰδιώτην. ¶ Δημοτικά, τὰ τοῖς πολλοῖς ἐμπρέποντα. ¶ Δήμου ἄνδρα: δημότην ἄνδρα. ¶ Δημοῦσθαι εὐφραίνεσθαι, εὐθυμεῖσθαι. δημόσια παίζειν. ¶ Δημοῦται, παίζει, θωπεύει. ¶ Δήμου τ᾽ ἄνδρα. δημότην ἄνθρωπον. ¶ Δήμου, πόλεως.

Δήμῳ ἀρίστῳ. δημότας ἀρίστους δυικῶς.

Δημοφάλιον, ἐτόρειον, ἀχλοῖον. ¶ Δημόφαντον, δημόσιον. ¶ Δημώδης, παιδιώδης.

Δήμῳ, δημοσίᾳ. ¶ Δημώματα, παίγνια.

Δημωφελῶν, δῆμον ὠφελῶν. ¶ Δήν, ἐπὶ πολὺν χρόνον. ¶ Δηναιόν. πολυχρόνιον, ἀρχαῖον.

Δηναιά, ἀχρεῖα καὶ ἄφορα δένδρα. Δηνάριον, τὸ νόμισμα. ἢ εἶδος ἀργυρίου. ¶ Δηνάστας, διεξελθών, διεξήλθες. ¶ Δὴν δ᾽ ἄνεῳ, ἐπὶ πολὺ ἀχανεῖς, ἥσυχοι, ἄφωνοι. ¶ Δήνεα, βουλεύματα.

Δῆνος, βούλευμα. ¶ Δὴν ἧστο, ἐπὶ πολὺ ἐκαθέζετο.

Δήξεται, δάκνει. ¶ Δήξομαι, λυπήσομαι, ἀνιάσομαι. ¶ Δῆος, βοοβὸς κρῆτες. ¶ Δῃουμένη, ἀπολλυμένη, ἠρημουμένη, καταστρεφομένη, πορθουμένη.

Δῃουμένων, ἀναιρουμένων. ¶ Δῃοῦν, πορθεῖν.

Δὴ οὖν, χρὴ δή. ἢ χρὴ νῦν. ¶ Δῃοῦντες, διακόπτοντες καίοντες, ἐλαττοῦντες, πολεμοῦντες.

Δῃούντων, ἀνελόντων. ¶ Δήποθεν, λέξις συναπτικὴ ὡς καὶ τὸ δήπου. ¶ Δήπουθεν, δηλονότι.

Δηπορτάτος, ἐξορκισμαῖος. ¶ Δὴ ῥα, ἄρα δή, ἤδη:

Δηράδες, βουνοί. ¶ Δῆρα δή, ὡς δή. ¶ Δ᾽ ἠεριγένεια, ἡ δὲ ἡμέρα. ¶ Δῆρις, μάχη. ¶ Δῆρις, ζάχηλος. ¶ Δηρίσασθαι, μαχέσασθαι.

Δηρίττειν, ἐρίζειν. ¶ Δηρότης, δηρόν, ἐπὶ πολὺν καιρόν. ¶ Δηρίτη, κακουργία. ¶ Δῆσαι, ῥῖψαι.

Δῆσαι, παρὰ ἀνοδὸν ἀττικῶς, βασανίσαι ἐν τῷ δεσμωτηρίῳ. ¶ Δησάντων, δησάτωσαν. ¶ Δήσαντι, ὁμοίως. ¶ Δῆτα, οὕτως ἢ τοίνυν. ¶ Δηὗτε, ὕστερος. ¶ Δητταί, αἱ ἐπλισμέναι κεῖσθαι.

Δὴ τότε καὶ τότε, τότε δή. ¶ Δηφένσωρ, ἔκδικος.

Δηώ, δημήτηρ. ¶ Δηωθέντων, ἀναιρεθέντων, καυθέντων: ¶ Δῄωσαν, κατέκοψαν, ἐπρησαν, ἠφάνισαν. ¶ Δῃωσάντων. περιδευσάντων; πορθησάντων, καταπολεμησάντων. ¶ Δῄωσε, κατέκοψεν, ἐφόνευσε. ¶ Δῃώσωσι, κατακόψωσι, φονεύσωσι, καταπολεμήσωσιν.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Ι.

Δια, δία. ἡ εὐγενής, καὶ πρόθεσις, ἐνδέξιτάτη ἡ ἀγαθή. ¶ Διαβάθρα, εἶδος ὑποδήματος γυναικείου. ¶ Διαβάλλει, καταγινώσκει ὑβρίζει, περιπατεῖ, περιαλογίζεται. ¶ Διάβασις, πορεία, πέραμα. ¶ Διαβάτης, ὄργανόν τι τεκτονικόν.

Διαβατικός, διαβάτην. ¶ Διαβαίνει, διαπερᾷ. ¶ Διαβεβηκότι οὐδετέρως, ἀντὶ τοῦ ἀσύμφωνον. ¶ Διαβήματα, χρείας, περιπατήματα. ¶ Διὰ βίου, διὰ παντός, ἀεί.

Διαβιῶσαι, ζῆσαι. ¶ Διαβόητος, ὁ καλὴν φήμην ἔχων

Δ εξός, μάγειρος δέ τις τελάνθη. ¶ Δεταί, λαμπάδες καὶ αἱ πέλαι, καὶ τὰ δράγματα παρὰ τοῖς συνδέσιν.
Δ έζον, δέρμα τοῦ ἥπατος ἢ διάπυρον. διαφανές.
Δ ιάλαι, οἱ σάτυροι παρὰ ἰωνικοῖς.
Δ εύας, τοῖς ἀκάκοις θεοῖς μάνοι. ¶ Δεύασθαι, γεύεσθαι. ¶ Δεύειν, μαλάττειν, τύπτειν. ¶ Δεύει, μίσγει. βρέχει. φύρει. ἐνδεῖ. ¶ Δεύεσθαι, βρέχεσθαι. ἐπιδεῖσθαι. ¶ Δεύεται. βρέχεται.
Δ ευθέντα, βραχέντα. ¶ Δευκαλίδαι, οἱ σάτυροι.
Δ εύκει, φροντίζει. ¶ Δευκές, λαμπρόν, ὅμοιον.
Δ ευλόν, πονηρόν, ἀχρεῖον. ¶ Δευοίατο. ἐπιδέοιντο.
Δ ευοίατο, ἐπιδεεῖς γένοιντο. ¶ Δευόμεναι, δεόμεναι.
Δ ευομένη, δεομένη. ¶ Δευόμενος, δεόμενος. βρεχόμενος, χρήζων. ¶ Δεύοντο, ἐδέοντο, ἔχρηζον, ἔβρεχον. ¶ Δεῦρο ἐνθάδε ἐλθέ. εἰς τοῦτον τὸν τόπον, ἢ ἀπὸ τοῦ πρότερον ἢ νῦν, ἢ παρακελευστικῶς, δεῦρο νῦν τείχεος πολεμώμεθα. ¶ Δεύρω, δεῦρο.
Δ εύς, ζεύς. ¶ Δεῦσαι, βρέξαι, βάψαι, μαλάξαι.
Δ ευσοποιόν, τὸ ἔμμονον καὶ μὴ ἐκπλυνόμενον βάμμα. οἱ δὲ τὸ γνησίως βεβαμμένον ἤτοι πορφύρᾳ ἢ ἄλλῳ τῳ.
Δ εύσω, βρέξω. ¶ Δευσοποιός, βαφεύς.
Δ εῦτ' ἄγετε, δεῦτε φέρετε. ¶ Δεύτατος, ὕστατος. ἔσχατος, μεθ' ὃν οὐκ ἔστιν ἕτερος. ¶ Δευτέρα ἀλφιτα, τὰ δευτερεῖα καὶ εὐτελῆ. ¶ Δευτεραγωνιστής, δεύτερος ἀγωνιζόμενος. ¶ Δευτέρα φθίνοντος, ἀπὸ ἐπὶ τετρακάδος. ¶ Δευτερεῖα κάλλιστος οἶνος εὐτελής. ¶ Δευτερίας, ὁ μετὰ τὸ ὕδωρ ἐπιχεόμενος εἰς τὰ στέμφυλα οἶνος. ¶ Δευρόλαος ὁ ἐξ ἐφήβων ἀθηναίων. ¶ Δευτερόποτμος, ὁ ὑπό τινων ὑστερόποτμος, οὕτω δὲ ἐλέγετο ὁπόταν τινὶ ὡς τεθνεῶτι τὰ νομιζόμενα ἐγίνετο, καὶ ὕστερον ἀνεφάνη ζῶν. οἱ δὲ πολέμοις καὶ ἀπειρῆσθαι τοῖς τοιούτοις εἰσιέναι εἰς τὸ ἱερὸν τῶν σεμνῶν φασὶ θεῶν, ἢ ὁ φημισθεὶς εἶναι ξένης τετελευτηκώς, ἔπειτα ἐπανελθών, ἢ ὁ δεύτερον διὰ γυναικείου κόλπου διαδὺς ὡς ἔθος ἦν παρὰ ἀθηναίοις ἐκ δευτέρου γεννᾶσθαι. ¶ Δευτέρων ἀμεινόνων. παροιμία ἐστὶ τῶν θυομένων ἐκ δευτέρου ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καλὰ ὀφθῇ, καὶ εἶτα δεύτερα θύωσι, λέγοντες δευτέρων ἀμεινόνων. μνημονεύει πλάτων. ¶ Δέχεσθαι, λαμβάνειν, ἀσπάζεσθαι. ¶ Δέσμα, νόμιμον. ¶ Δέχθαι, λαβεῖν.
Δ έχμενος, προσδεδεγμένος. ¶ Δέχομαι, ὁμολογῶ. ¶ Δεψήσας, μαλάξας.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Η.

ἤουν, σύνδεσμος. ¶ Δηγῆ καὶ σιωπᾷ.
Δ ¶ Δηκατάγαι; καὶ φθορὰ δενδρέων. ¶ Δήβοιλοι. κιθαρῳδοί. ¶ Δὴ γάρ. ἤδη γάρ.
Δ ηγῆρες, σεμνοί. ¶ Δηγοί, πλουτοί. ¶ Δῆγμα, παράλειμμα ἢ σπάραγμα ὀδόντων. ¶ Δήεται, εὑρήσεται. ¶ Δηεῖν, πολεμεῖν, φονεύειν. ¶ Δήεις, εὑρήσεις, ὄψῃ, μαθήσῃ. ¶ Δηθά, πολὺν χρόνον, συνεχῶς. ¶ Δηθαιότερον, ἐπὶ πολὺ λέγουσιν.
Δ ηθαιῶνας, μακραιῶνας, μακροβίους. ¶ Δηθάκις, πυκνῶς. πολλάκις. ¶ Δηθὰ ματεύσομεν, ἐπὶ πολὺ ζητήσομεν. ¶ Δηθά τε καὶ δόλιχον, ἐπὶ πολύ. καὶ μακρὸν χρόνον. ¶ Δῆθεν, ὡς δή. ἢ φασὶν ἢ ἐντεῦθεν.
Δ ῆθεν, ὡς μάλιστα, ὡς δῆλον ἐξ ἐπιτηδές.
Δ ηθύνειν, ἐγχρονίζειν. ¶ Δηθύνοντα, χρονίζοντα, βραδύνοντα. ¶ Δηθυρεῖν, χολάζειν, διατρίβειν.
Δ ηιάλωτοι. αἰχμάλωτοι. ¶ Δήιοι, πολέμιοι.
Δ ηίοιο, καυστικοῦ, πολεμικοῦ, φθαρτικοῦ.
Δ ηιοτής. πολεμικὴ διάθεσις. μάχη παρὰ τὸ δῄον.
Δ ηιοτῆτας, μάχας. ¶ Δηίοισι, τοῖς πολεμίοις.
Δ ηίοων, ἐμάχοντο, ἐπορθοῦντο.
Δ ηιοῦσι, πολεμοῦσιν. ¶ Δηίεσθαι, διώξασθαι.
Δ ηιωθέντων, αἰκισθέντων. ¶ Δηίων, διακόπτων.
Δ ηιώσας. κατακόψας. ¶ Δηλαδή, φανερόν ἐστιν ἢ δηλονότι. ¶ Δηλαίνοιτο, παύσοιτο. ¶ Δηλαινομένη, βλαπτομένη. ¶ Δηλαιστή. ἐλεεινή. ¶ Δηλάτωρ, κατήγορος. ¶ Δηλαυγῶς, ἄγαν φανερῶς.
Δ ήλεσθαι, θέλειν, βούλεσθαι. ¶ Δηλή, βουλή.
Δ ηληπατιῶν, ἀφορίζων. ¶ Δηληθήσονται. θεωρηθήσονται. ¶ Δηλήματα, βλαπτικά. ¶ Δηλήμονας, βλαπτικούς, κλέπτας. κακούργους: λυμεῶνας.
Δ ηλήμων, κακοῦργος, λυμαντήρ, λυμεών, κακῶς διαπραττόμενος. ¶ Δηλήσας, καμών, διαπραξάμενος. ¶ Δηλήσασθαι, βλάψαι, διακόψαι, φθεῖραι.
Δ ηλήσατο, ἔβλαψεν, ἐφθείρετο, ἐκακοποίησε.
Δ ηλήσεις, στάσεις. ¶ Δηλήσηται, βλάψῃ, φθείρῃ.
Δ ήλησις, ὀργή. λώβησις, κακουργία, φθορά. ¶ Δηλήσονται. ψεύσονται. βλάψουσι. ¶ Δηλητήριον, φάρμακον, βοτάνη θανάσιμος. ¶ Δηλιασταί, οἱ εἰς δῆλον πεμπόμενοι θεωροί. ¶ Δήλιοι, οἱ ἀδελφὰς γεγαμηκότες. ¶ Δῆλον, φανερόν, ὁρατόν. καὶ τὸ τοῦ ἀπόλλωνος ἱερόν. ¶ Δηλονότι, φανερόνοτι.
Δ ήλονται, θέλουσι. ¶ Δήλων, ὁράσεων ἐνυπνίων.
Δ ήλως, ἀποκεκαλυμμένως. ¶ Δηλῶσαι, φράσαι, δεῖξαι, σημᾶναι. ¶ Δήλου κακὸς βωμός, τὸ περιτρέχειν κύκλῳ τὸν ἐν δήλῳ βωμὸν καὶ τύπτεσθαι, ἤρξατο πρῶτον θησεὺς εὐχαριστήρια τῆς ἀπὸ τοῦ λαβυρίνθου φυγῆς.
Δ ημαγωγεῖ, στρατηγεῖ. ¶ Δημαγωγίας, ὀχλοποιήσεις. ¶ Δημαγωγός; ἄρχων ἐκ τοῦ τὸν δῆμον ἄγειν καὶ διοικεῖν, δημόσιος. ¶ Δημαγωγοῦνται, στρατηγοῦνται. ¶ Δημαρέτιον, νόμισμα ἐν σικελίᾳ ὑπὸ γέλωνος κοπέν, ἐπιδούσης αὐτῷ δημαρέτης τῆς γυναικὸς εἰς αὐτὸ τὸν κόσμον. ¶ Δημαρχία, ὅτε δῆμος ἄρχει. ¶ Δήμαρχοι, οἱ πρότερον καλούμενοι ναύκραροι. ἄρχοντες δὲ ἦσαν καὶ ἠνεχύραζον οὗτοι τοὺς ὀφείλοντας. ¶ Δήμαρχον. τὸν ἐνεχυραστήν.
Δ ημαξεύεσθαι, ἐπὶ πολὺ ὑποτίθεσθαι.
Δ ημεῖαι. αἱ τῶν δήμων συστάσεις. ¶ Δημελέητος ἐλεεινός. ¶ Δημεύειν, τὸ οὐσίαν τινὸς δημοσιῶσαι. καὶ τὸ ἐνδημεῖν. ἔνιοι τὸ ἐνδημαγωγεῖν λέγουσι.
Δ ημεύσεις, ἁρπάσεις. ¶ Δημεύσας, δημοσιεύσας.
Δ ημεχθηλός, μισούμενος ὑπὸ τοῦ δήμου. ¶ Δημηγορῆσαι, ἐν δήμῳ λαλῆσαι. ¶ Δημηγορῶν, εἰς τὸν δῆμον λέγων. ¶ Δήμητρα, τὸν σῖτον, γλαῦκον.
Δ ημητειάς, κεχυθεὶς ἐξάστιχος. ¶ Δημήτειος, στρατηγὸς δορῶν ὑποκειτής, καὶ ἴσως ὑπεκρίθη τὸν ἀγαμέμνονος θάνατον πελέκει κατὰ πολλοὺς γενόμενον.
Δ ήμια, δημόσια. καὶ δημόπρατα.

Δ ελεαζόμενος, παγιδευόμενος. ¶ Δέλεαρ, ἀπάτη, δόλος. ¶ Δελεασθείς, ἀπατηθείς. ¶ Δελεδώνη, ὁ μυλαῖος ἰχθύς. ¶ Δέλεστραι. βατίδες.

Δ έλετρον, φανός, ὃν οἱ νυκτοθηρεύοντες φαίνουσι.

Δ ελέφατ. ὁ τῆς ἀφροδίτης ἀστὴρ ὑπὸ χαλδαίων.

Δ έληπι, δελέατι. ¶ Δελήτιον, βελήτιον. ¶ Δελία, δάφνη. ¶ Δέλιχρα. τὰ ἡμίχοιρα. ¶ Δέλλει, καλεῖ. ¶ Δέλλιδες, σφῆκες. ἢ ζῶον ὅμοιον μελίσσῃ.

Δ ελλίθια, δειπνεῖνια. οἱ δὲ, κηρία. ¶ Δέλκος, λίμνη ἰχθυοφόρος περὶ τὴν θράκην. ¶ Δελφάκιον, χοιρίδιον. οὕτως ἔλεγον καὶ τὸ γυναικεῖον. ¶ Δελφακοῦσθαι, τελειοῦσθαι τὰς ὗς. ¶ Δελφίνιος, εἶδος βοτάνης. ¶ Δελφικὸν τρίποδα, τὸν τοῦ ἀπόλλωνος ἐν δελφοῖς. ¶ Δελφικὴ, μάχαιρα ἀπὸ κατασκευῆς, λαμβάνουσα ἔμπροσθεν μέρος σιδηροῦν ὡς ἀριστοτέλης. ¶ Δελφῖνες, πολεμιστήριον μηχάνημα ἐν ναυμαχίαις, ἢ ὁ ἔχουσα αὐτὸ δελφινοφόρος ναῦς. οἱ δὲ, διὰ τὰ κρεμαννύμενα βάρη δελφίνων σχῆμα ἐχόντων, ἃ ταῖς λῃστρικαῖς ναυσὶν ἐμβάλλεται.

Δ ελφὶς, μᾶζα ἡ ὁ ἐν δελφοῖς δράκων. ¶ Δελφύων, μητέρων. ¶ Δέλτος, πινακίδιον, ἢ πλάκες.

Δ έμας, χοινίον. ¶ Δέμας, σῶμα, μορφή. ἰδέα. τύπος, χρῶμα. ¶ Δέμας πυρὸς αἰθομένοιο, τύπον πυρὸς καιομένου. ¶ Δεμεῖ, οἰκοδομεῖ. ¶ Δέμει. ὁδός. ¶ Δεμβλεῖς, βδέλλαι. ¶ Δέμνια, στρώματα, κοῖται. ¶ Δεμνίοις, κοίταις, στρωμναῖς.

Δ εμνιοτήρης, ἔγκοιτον τὰ δέμνια τηροῦντα.

Δ εμνιοτήρη, πόνον αἰσχύλος ἀγαμέμνονι. καθόσον οἱ νεοσσοὶ ἔτι ἀπτῆρες εἰσὶν ὡς τὰ δέμνια τηρεῖν καὶ κατέχειν, μηδέ πω πέτεσθαι δυνάμενοι, πόνον δὲ τὰ περὶ τὴν τροφὴν αὐτῶν. ¶ Δεμῶν, χρόνος. ¶ Δεννάζων, λοιδορῶν. ¶ Δενδρέῳ, τῷ δένδρῳ. ¶ Δενδαλίδας, οἱ μὲν ἄνθος τι. ἄλλοι τὰς λευκάς, κάγχρυ* σὺν δὲ τὰς* ἐπιστημένας κειτὰς πρὸ τῆς φρυγάνης. οἱ δὲ τὰς ἐκ κριθῶν μάζας γενομένας. ¶ Δενδίλλει, σκαρδαμύττει, διανεύει, σημαίνει, ἀτιμάζει, σκώπτει.

Δ ενδίλλων, τοῖς ὀφθαλμοῖς διανεύων. ¶ Δενέμορ. γῆ τις πετρώδης εὔζυπλος περὶ λάκωσιν. ¶ Δεννασὸν, καταγέλαστον, λοιδορούμενον μετὰ καταγέλωτος. ¶ Δενδρίτης, κροκόδειλος. ¶ Δενδριάζειν, ταπεινῶς ὑπὸ δύειν καὶ ὑπὸ τὰς δρῦς ἀποφεύγειν πρὸς τρέχειν σκέπην. ¶ Δενθις, οἶνος λάκωνες.

Δ εννὸν, κακολόγημα. ¶ Δεντὴ, δέλεαρ. ¶ Δεξαμεναὶ, ὑδάτων δοχεῖα ἢ ἐν τῷ στόματι φλέβες δημοκρίτου καὶ ἐπισκίαι. ¶ Δέξασθαι, λαβεῖν παρὰ τῷ ποιητῇ. ¶ Δεξιάδην, οἱ μὲν ὄνομα κύριον. οἱ δὲ δεξιοῦ παῖδα. οἱ δὲ ἐπιρρηματικῶς ἐκ δεξιῶν, δεξιῶς. ἐπεὶ ἐκ δεξιῶν θεῶν βροτοὶ ἦσαν δεξιμήλου.

Δ εξιὰς, συνθήκας. ¶ Δεξιαί, αἱ γινόμεναι κατὰ συνθήκας ἐπαφαὶ τῶν δεξιῶν χειρῶν, εἰς σύμβολον τοῦ βέβαια ἔσεσθαι καὶ ἦν* μετὰ τὰ συντιθέμενα.

Δ εξιμήλοις, ἐπηκόοις καὶ ἱλαροῖς ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα καὶ δεξίμηλοι ἐσχάραι. ¶ Δεξιὸς, συνετός. ἀγαθός. καλός. ἐπιδέξιος, εὔθετος.

Δ εξιοῦται, προσάγεται. ¶ Δεξιοστοῖχοι, ἐρέται οἱ κατὰ τὸ δεξιὸν μέρος, τίθεται δὲ καὶ ἐπὶ χορευτῶν.

Δ εξιότερον, δεξιόν. ¶ Δεξὶς, τῶν ἐν τῷ ὄπτει μερῶν παρὰ τοῖς θύταις καλουμένων δοχῇ. ¶ Δεξιοῦσθαι, ἐγγίζεσθαι γυναικί. ¶ Δεξιὸν, εἶδος* μέρους.

Δ εξὼ, ὁ κρατῖνος ὠνοματοποίησεν. ἀπὸ τοῦ δέχεσθαι δῶρα. ¶ Δεξιωσάμενος, δεξάμενος. ¶ Δέομαι. δεσμεύομαι. ¶ Δέομαι, δικῶ. ¶ Δεόμενοι, χρήζοντες, δεσμοῦντες. ¶ Δαιόμενος, καιόμενος.

Δ εομένων, χρηζόντων. ¶ Δεόμενος, νόμος, δεσμός.

Δ εονις, δέησις, δέον, οὕτω περικλέα φασὶ λογιζόμενον εἰς τὸ δέον προσγράφειν ὃ σημαίνει εἰς προδοσίαν δεδομένον χρῆμα. πρέπον. ἀναγκαῖον. ¶ Δέοντα χρήζοντα, λείποντα, πρέποντα. ¶ Δέοντο, ἐδεσμεύοντο. ¶ Δεόντων, δεσμευέτωσαν. ¶ Δεόντως, προσηκόντως. ¶ Δέος, φόβος ἢ θεός. ¶ Δέοιεν, δεσμεύοιεν, ἀπέχοιεν. ¶ Δέπας, ποτήριον παρὰ τὸ δέχεσθαι τὸ πόμα. ¶ Δεπάεσσι, ποτηρίοις.

Δ έρα ὑπερβολὴ ὄρους, οἱ δὲ τὰ σιμὰ τῶν ὀρέων.

Δ εραὶ, αἱ συνάγκειαι. λάκωνες. ¶ Δέραια, περιτραχήλια, παίγνια, τὸ αὐτὸ καὶ δεραιοί. ¶ Δέρας, δέρμα προβάτου. ¶ Δέργμα, ὀφθαλμός. ὅρασις.

Δ έργματα, ὄμματα. ¶ Δεργμάτων, ὄψεων, ὀμμάτων, ἢ δεργμῶν. ¶ Δέρεθρον, λίμνη ἀποχώρησιν ἔχουσα. ¶ Δέρη, τράχηλος, αὐχήν.

Δ έρις, τράχηλος. ¶ Δερίαι, λοιδορίαι. ¶ Δερίστιον, φλοιόν. ¶ Δέρκειν, βλέπειν, ὁρᾶν. ¶ Δέρκεσθαι, ὁρᾶσθαι. ¶ Δερκομένη, ὁρῶντος. ¶ Δερκομένῳ, ὁρῶντι, βλέποντι. ¶ Δερκύλλειν, αἱμοποτεῖν. ἄλλοι δερμύλλειν διὰ τοῦ μ. ¶ Δέρκων, βλέπων. ὁρῶν. ¶ Δέρμα, πήρα, ἢ δέσμη. ¶ Δέρμα. δῶρα. ¶ Δέρμη, ὁδός. ¶ Δέρμα λιθοκὸν, ὡς κάλλιστον. ¶ Δερμηστές, οἱ ἐξ ἐφ* ἡμῶν περιστοί.

Δ ερμηστὴς, ὁ σκώληξ. ἢ ὁ* σκνὶψ ὁ τὰ δέρματα ἐσθίων, ἀρίστερχος ὄφιν. ¶ Δέρξιος, ὄψεως. ¶ Δέρος, δέρμα. ¶ Δερμύλλει, αἱμοποτεῖ. οἱ δὲ, ἐκπαίει.

Δ έρρις, τὸ παχὺ ὕφασμα, ᾧ εἰς παραπέτασμα ἐχρῶντο. ἴσως δὲ καὶ δέρμασί τισιν ἐχρήσαντο περὶ τῶν αὐλῶν.

Δ ερριδόσομφοι, πύλαι δέρρεις ἔχουσαι παραπετάσματα.

Δ έρρις, δέρμα, βύρσα. ¶ Δερριστὴρ, περιτέρραιον ἵππου. ¶ Δερριστὴς, κυνάγχης περιαυχένιος.

Δ έρριον, τρίχινον σακκίον. ¶ Δέρξα, τύμπανα.

Δ έρτρον, δέρμα, ὑμήν, λαπάρα. ἦτρον. ὑπογάστριον, ἄμεινον δὲ τὸ περιτόναιον ἀκούειν, ἢ ὑμένα. ἐπίπλουν.

Δ εσαυχένες, ἀσκοὶ διὰ τὸ ἐκ τῶν αὐχένων δεδέσθαι.

Δ εβρωτοῦ, δεῖπνον. ¶ Δεσμὰ, πέδαι. ¶ Δέσματα, ἐπιδέσμια. ¶ Δέσμη. ἀμάλλη. ¶ Δεσμεῖν τὰς δεσμὰς τῶν σταχύων. ¶ Δεσμὴ, ὀδίς. ¶ Δεσμοὶ, ἧλοι. ¶ Δεσμοὶ τυραννικοὶ, οἷς ἐχρήσαντο ἀθηναῖοι. ¶ Δεσμίνης, μάγιστος ἄξιος ἐπὶ δεσμῶν.

Δ εσμὸν, οὐδέτερος ἀττικοὶ καὶ σημεῖον παρὰ τοῖς θύταις. ¶ Δεσμὸς. σῶμα, μορφή, ἧλος, εἶδος.

Δ εσποίνας, γυναῖκας θεσσαλοὶ δεσπότην* κρεμμένοι. ἔνιοι μὲν ἵππου κουρᾶς εἶδος εἶναι φασίν. ἐκαλεῖτο δὲ ἀπὸ τοῦ κείρειν τοὺς αὐχένας, ἐπειδὰν ὁ δεσπότης τοῦ ἵππου τελευτήσῃ. βελόντιον* δὲ δεσπότην τεθνοῦντος, ἐπειδὴ καὶ οἱ ἵπποι ἀπεκείροντο τοῖς θανάτοις τῶν δεσποτῶν.

ἀγχεῖν, δειλὸν, ἀναλκές. ¶Δειλάκρα, δειλαία.
Δ ειλακρίων, ἐλεεινὸς, ταλαίπωρος. ¶Δειλανθεὶς, κλεφθεὶς, ἀπατηθείς. ¶Δειλάσαι, δειλιᾶσαι.
Δ ειλιῶν, φοβούμενος. ¶Δείλαιε, φοβοῦ.
Δ ειλήμονες, εὐδήμονες, εὐλαβεῖς ἢ δειλοὶ καὶ ἄτολμοι.
Δ είλης ὀψίας, ἡ περὶ δύσιν ἡλίου. ¶Δειλίην, δειλότητα. ¶Δείλη, πρωΐα ἡ μετ᾽ ἄριστον ὥρα.
Δ ειλοκοπήσας. ἐξαπατήσας, ἐκφοβήσας.
Δ ειλὸς, δείλαιος. ¶Δειλὸν, πονηρὸν, ἀνάλκιμον, ἀσθενῆ, κακόν. ¶Δειλῷ. δειλαίοις, ἀθλίοις δυνικῶς.
Δ εῖμα, δέος φόβος φόβητρον. ¶Δεῖμαι, οἰκοδομῆσαι.
Δ ειμάλεια, τὰ λεπτὰ τῶν βοσκημάτων. οἱ δὲ λάκωνες νεκρά. ¶Δειμαλέον, φοβερόν. ¶Δειμαίνει, ἐκφοβεῖται. ¶Δειμαίνων, φοβούμενος. ¶Δειμαλέος, ὁ εὐλαβής. ¶Δειμάμενοι, οἱ οἰκοδομοῦντες ἢ οἰκοδομήσαντες. ¶Δείμασι, φόβοις.
Δ ειμᾶσθαι, φοβεῖσθαι. ¶Δείματα, φοβήματα.
Δ ειματοῦται, φοβερὰ λέγει ἢ ἀκούει ἢ φοβεῖται.
Δ ειματούτω, φοβείτω, ταραττέτω. ¶Δειματουμένη, φοβουμένη, εὐλαβουμένη. ¶Δειματώδει, φοβερῷ.
Δ εῖμος, φόβος. ¶Δειμάτων, φόβων. ¶Δειμάμενοι, οἰκοδομήσαμεν. ¶Δεῖν, δεσμεύειν, καὶ δεῖν τὸ δεῖσθαι. καὶ τὸ πιεῖν φέρειν εὑρίσκειν καὶ στρέφειν κύριοι. ¶Δεῖ, χρὴ ἀναγκαῖον πρέπον ἢ προσῆκον.
Δ εινὰ, καταπληκτικὰ φοβερά. ¶Δεῖναι, αἱ τῶν ὑδάτων συστροφαί. ¶Δείναις. συστροφαῖς.
Δ είνας, κινήσεις, τὰ κοιλώματα τῶν ὑδάτων.
Δ ινεύει, κυκλεύει. ¶Δεινεύειν, βουλεύεσθαι κακά.
Δ ίνη. συστροφή. ¶Δεινὰ δὲ, φοβερὰ δέ. ¶Δινήεντα, περιστρεφόμενα. φοβερά. ¶Δεῖνος τὸ περιστρεφόμενον. ¶Δείνησιν, κίνησιν, συστροφήν. ¶Δίνη ἄδης, ὑποδήματος εἶδος ἀνδρείων. ¶Δεινοὶ, σπουδαῖοι περὶ τὸ πρᾶγμα. ¶Δείνοις, κινήσεσι.
Δ ινοπαθεῖ, δεινῶς ἔχει. χαλεπῶς ἔχει ἢ καὶ πάσχει χαλεπῶς. ¶Δεῖνος, δίνησις εἶδος δίοις, φοβερὰ καὶ εἶδος ἐκπώματος καὶ ὄρχησις, ἢ δίοις ἄξιος.
Δ εινὸς, κακὸς, φοβερὸς, ἐστραμμένος. δυνατὸς πανοῦργος, ἱκανὸς, ἀκολακευτος. ¶Δεινότατος. πάνυ φόνιμος. ¶Δεινοῦσι, φοβεροῦσι. ¶Δεινὸ δὲ οἱ, δεινοὶ δὲ αὐτῷ. ¶Δεινώθην, ἀναγκαῖον ἐλογισάμην, δέον εἶναι ὑπέλαβον. ¶Δεινωποί. δεινωπότες, φοβεροί. ¶Δεινῶς, πάνυ σκότωσις δεινότης.
Δ ινωτὴν, δύναμιν, δεινότητα, συστροφήν. ¶Δινωτὴν, πεποικιλμένην ἐν κύκλῳ, ἢ τετορνευμένην ἢ τὴν ἱμᾶσι διειλημμένην. χρῆται γὰρ ὅμηρος ἐπὶ τῆς κοίτης τηλεμάχου. ¶Δινωτοῖς, κυκλοτερέσι πεποικιλμένοις. ¶Δεῖξαι, δηλῶσαι, φανερῶσαι.
Δ ειομένη, δεσομένη. ¶Δειπνήτορος, θεὸς παρὰ συμφαίοις. ¶Δειπνήεντα, δειπνοφόρα, ἃ δυνάμενα φέρειν ἡμᾶς. ¶Δειπνηστὺν, τὴν τοῦ δείπνου ὥραν.
Δ ειπνολογία, οἱ περὶ δείπνου λόγοι. ¶Δεῖπνον, τὸ καθ᾽ ἡμᾶς ἄριστον, ἢ τροφὴν ἑσπερινήν. ¶Δεῖπνον, ἕλουν, ἐδείπνησεν. ¶Δειπνοφόροι, παρὰ ἀθηναίοις καθίστανται ἐν τῇ τῶν ὀσχοφορίων ἑορτῇ οἱ δειπνοφόροι. ¶Δείρα, δίμοιρα, τράχηλος, διαίρεσις.
Δ ειράδες, ἐξοχὰς, κορυφάς. ¶Δειράζειν, κλέπτειν.

Δ ειράδες, αὐχένες τραχηλοειδεῖς τῶν ὀρῶν ἢ ἐξέχοντα μέρη ἢ τὰς νάπας ἢ τὰς φάραγγας. ¶Δειράς, κορυφή. ¶Δείραντες, ἐκδείραντες. ¶Δείρειν, ἐκδέρειν. ¶Δείρη, τράχηλος, αὐχήν. ¶Δειρὴν, αὐχένα, τράχηλον. ¶Δειριᾶν, λοιδορεῖσθαι λάκωνες. ¶Δειρεῖοι, λοίδοροι οἱ αὐτοί. ¶Δειρὸς, λόφος καὶ ἀνάντης τόπος. ¶Δειροτομῆσαι, κατατεμεῖν, κατατεμῆσαι. ¶Δεῖσαι, εὐλαβηθῆναι, δέος τὸ φόβος. ¶Δείελος, δειλός. ¶Δεισιδαίμονα, τὴν μητέρα. οἱ δὲ δυμοιρίαν. ¶Δεισιδαίμων, ὁ τὰ εἴδωλα σέβων εἰδωλολάτρης, ὁ εὐσεβὴς καὶ δειλὸς περὶ θεούς.
Δ εισιδαιμονία, φοβοθεΐα. ¶Δεῖται, δέεται, χρῄζει.
Δ ειφίσαντες, ψηλαφήσαντες. ¶Δειφόμενος, ψηλαφίζων. ¶Δειφῶν, ζητῶν δίκην τοῦ προσήκοντος.
Δ εκάδα, τάξιν τινά. ¶Δεκαβοίων, ἀριθμὸς ποσὸς καὶ σταθμὸς, ποσὸς ἐφ᾽ ᾧ τετύπωται βοῦς. ἔνιοι δὲ δεκαλιόντων βοῶν νόμισμα εἶναι φασί. ¶Δεκαδάρχαι, οἱ τῶν δεκάδων ἡγεμόνες. ἤτοι δεκαδάρχοις ἔλεγον ἤσαν τὸ κατὰ τὸ δεκάρχου δέκα. ¶Δεκάδαρχος. οἱ μὲν, ἀπὸ τοῦ δεκαδαρχεῖν. οἱ δὲ, ἀπὸ τοῦ δεκάζειν, ὅπερ ἐστὶ τοὺς δικαστὰς πείθειν δώροις. ἦν δὲ καὶ ὄνομα, καὶ ὁ τελώνης. ¶Δεκάδες, οἱ ἐκ τῆς τάξεως τῶν δέκα στρατιωτῶν συνεστῶτες. ¶Δεκάδαρμοι, οἱ δέκα ἐν τοῖς ἀνδράσι ἐσχηκότες ὑποκριτῶν.
Δ εκάζειν, διαφθείρειν χρήματα ἢ δῶρα. ¶Δεκάζεσθαι, δωροδοκεῖσθαι. ¶Δεκάζων, ὁ εἰς δεκαρχίαν ἀριθμὸν ἥκων. ἐλέγετο δὲ οὕτω καὶ τὸ κατὰ δέκα διαφθείρειν τὸν δικαστὴν ἢ τοὺς κριτὰς, καὶ ἁπλῶς τὸ διαφθείρειν δικαστήν. ¶Δεκανᾶται, ἀσπάζεται.
Δ εκαπεντασταί, χῖλιοι οἱ ἐπὶ δεῖπνον κληθέντες τὰς ὥρας οὕτως ὑπελάμβανον περὶ τὴν σκιὰν ἀναμετροῦντες.
Δ εκασθεὶς, δωροδοκηθείς. ἐπιτιμηθείς. ἐνδραπείς.
Δ εκάτα, τάξις, ἄθροισμα, καὶ ἡ τῶν ὀκτὼ ἁρμάτων τάξις. ¶Δεκατεύειν. τελωνεῖν, δεκάτην εἰσπράττεσθαι. ἔλεγον δὲ καὶ τὸ ἀρκτεύειν, δεκατεύειν, ἐπεὶ ἐπράσσοντο αὐτοὶ αἱ παρθένοι περὶ τὸν δεκαετῆ χρόνον οὖσαι. ¶Δεκατευταὶ, τελῶναι οἱ τὴν δεκάτην ἢ δεκάτην ἐκλέγοντες ὡς τὸ δεκάζειν δεκατεύειν.
Δ εκάτη, τὸ δέκατον μέρος τῆς οὐσίας. ¶Δεκατηλόγοι, τελῶναι. ¶Δεκάτῃ θύομεν, τῇ δεκάτῃ ἡμέρᾳ τὰ ὀνόματα τοῖς βρέφεσιν ἐπίθεσαν. ὁ δὲ ἀριστοτέλης τῇ ἑβδόμῃ φησί. ¶Δεκάτη. προτέρα, ἡ πρὸ εἰκάδος ὡς ὑστέρα ἡ μετ᾽ εἰκάδα. ¶Δεκάτου βόλου οὐδενὸς ἄξιος. βέλτιον δὲ, εἰς μικρότητα τίθεσθαι αὐτό. ¶Δεκαδώρῳ ἁμάξῃ, ἧς ἡ διάμετρος τῶν τροχῶν δεκάδωρος. δῶρον δὲ ὡς μέν τινες ἡ παλαιστή. ὡς δὲ ἕτεροι, ὅταν τοὺς τέσσαρας δακτύλους συστρέψας ἐρείσῃς τὸν ἀντίχειρα ὡς πλούταρχος. ¶Δεκαφυΐα, δεκαπλασία, διφυΐα δὲ, διπλασία. ¶Δεκάχειλον, πρὸς ἀποδοχὴν ἐπιτήδειον. ¶Δεκάχιλοι, δεκακισχίλιοι. ¶Δεκάχνια, δεκαπλᾶ.
Δ εκετὲς, δεκαετές. ¶Δεκέτης, δεκαετής.
Δ εκτὴ, χλαῖνα, χλανίς. ¶Δεκτῆρες, ἀποδοχεῖς.
Δ έκτης, πτωχὸς, ἐπαίτης ἀπὸ τοῦ δέχεσθαι.
Δ εκτὸν, εὐπρόσδεκτον. ¶Δεκτὸς. ἀρεστός.
Δ εκὼν, ὁ δεκαζόμενος. ¶Δελεάζει, ἐξαπατᾷ.

Δ ατῶν, ζητεῖν. ¶ Δατυβάλε*. ¶ Δατεῦντο, ἐμερίζοντο, πρὸς τὸ δατεῦντο. ¶ Δάτησις, διαίρεσις, μερισμός. ¶ Δάτις, στρατηγὸς περσῶν. ¶ Δάτος, ὁ ζογκλός, ἡ πόλεως ὄνομα ὑπὸ λακεδαιμονίων.
Δ ατούμενοι, μεριζόμενοι. ¶ Δατύλλου ἡμέρα, ἱερὰ πανδιονίς φησι. ¶ Δατὶς, κουράλινον νύμφη λευκόκηρως. ¶ Δατύασεν, λαφύασεν, ἐσθίειν.
Δ ατῶναι, ζειαί. ¶ Δάνακες, θαυμαλῶπες.
Δ άνειν, κοιμᾶσθαι. ¶ Δανὰς, μέλαινα καὶ πονηρά.
Δ αῦκος, ὁ θρασύς. καὶ βοτάνη τὶς κρητική.
Δ αυλίαν, κορώνην ἀντὶ τοῦ δῶνα, οὕτως δὲ ἀηδὼν ἐλέχθη. ¶ Δαῦλις, ἑορτὴ ἐν ἄργει μίμημα τῆς προίτου πρὸς ἀκρίσιον μάχης. ¶ Δαῦλις, πόλις.
Δ αῦλον, δασύ. ἡμίφλεκτον ξύλον.
Δ αυμᾶσαι, ἐκκαῦσαι. ¶ Δαῦτα, λάχανα, οἱ δὲ χλωρά. ¶ Δαυχμὸν, ἐνκαυστὸν ξύλον δάφνης.
Δ αῦλος, δασύς. ¶ Δαφνίτης, ἀπόλλων παρὰ συρακουσίοις. ¶ Δαφοινοί. λίαν φοίνιοι.
Δ αφοινόν. μέλαν, δεινὸν, ποικίλον, ἐρυθρὸν, πυρόν.
Δ αφνοπώλην, τὸν ἀπόλλωνα λέγουσιν ὡς ἀριστοφάνης
Δ άψαι, σπαράξαι, καταφαγεῖν μετὰ σπαραγμοῦ. τὸ δὲ αὐτὸ καὶ δρέψαι καὶ διακόψαι καὶ ῥῆξαι.
Δ αψιλέστερος, πολύς. λέγεται δὲ καὶ ἐπὶ τῶν ῥυμάτων καὶ μεγαλοψυχούντων. ¶ Δαψιλὴ, πολλή.
Δ αψιλῶς, ἀφθόνως. ¶ Δάωμεν, μάθωμεν.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Ε.

Δ

έα, ῥέα ὑπὸ τυρρηνικῶν καὶ δείματα φόβοι.
¶ Δέαται, φαίνεται, δοκεῖ. ¶ Δεάμην, ἐδοκίμαζον, ἐδόξαζον. ¶ Δέατος, δίοις σοφοκλῆς κιδαλίων. ¶ Δέγμενος, προσδεχόμενος, προσμένων. ¶ Δεγμόν, ἦδον. ¶ Δεγμὼν, χρόνος.
Δ έδαεν, ἐδίδαξεν, ἐπίσταται. φαίνεται.
Δ εδάηκας, ἔμαθες, ἔγνως. ¶ Δεδάηκεν. ἔμαθεν, μεμάθηκεν, ἔγνω. ¶ Δέδαλοι, προμαχῶνες.
Δ εδάλας, δεσμάς. ¶ Δεδάμωται, ἐπιτετήδευται.
Δ έδαον, ἔδειξαν, ἐδίδαξαν. ¶ Δεδάρδαφε, καταβέβρωκε. ¶ Δέδασται, διῄρηται, μεμέρισται.
Δ εδάμασται, ὑποτέτακται. ¶ Δεδαυμένον. πεφλεγμένον. ¶ Δὲ δὲ, τί δέ. ¶ Δέδιε. φοβοῦ.
Δ εδεγμένος, διακεκομμένος, ἐπιτηρήσας, ἐκδεχόμενος
Δ εδέηται, ἐν χρείᾳ καὶ ἐν ἐνδείᾳ γεγένηται. ¶ Δεδέημαι, δέομαι, ἐδεήθην, δεδέξομαι, ἐνεδρεύσω. ¶ Δεδίαι, δειλίαι. ¶ Δεδίσαι, φοβῆσαι. ¶ Δεδίεθη, εὐλαβεῖσθαι, φοβεῖσθαι. ¶ Δεδιττόμενος, ἐκφοβῶν.
Δ έδεγχα, ἔδειξα. ¶ Δεδίχασι, κατέδακον, ἐλύπησαν. ¶ Δεδιὼς, φοβούμενος.
Δ εδικὼς, δίσκος. ¶ Δέδεξο, ὑπομεῖνον. ¶ Δεδέξομαι, δέξομαι. ¶ Δεδήει, ἐφλέγη. ¶ Δέδηεν, ἐκλάμπει. ¶ Δεδήσεται, δεθήσεται.
Δ εδῆσθε, δεδεμένοι εἴητε. ¶ Δεδήει. ἐξήγερτο, δεκέκαυτο. ¶ Δεδίωται, πεπόρθωται.
Δ εδηνῶσθαι, ἐνεχυράσασθαι, ἐνδύσασθαι, ἐνεχύροις.
Δ εδημένος, βεβλημένος παραντίνει. ¶ Δεδήμνατο, δεδαμνασμένοι, κατεσκευασμένοι. ¶ Δεδήκονηκε, διῴκηκε, δεκόνηκε. ¶ Δεδαλμένον, κεκοσμημένον, διατεταγμένον. ¶ Δεδίκελον, ἀεὶ φοβούμενον, δειλόν. ¶ Δεδίηται, εἴληται. ¶ Δεδίξασθαι, ἐκφοβῆσαι τὰ παιδία ἀπὸ φρέατος εἰς δέος ἄξειν. δεῖξαι. ¶ Δεδίσκετο, δίδωσιν ἐκφοβεῖν.
Δ εδίσκοπται, ἔρριπται. ¶ Δεδίσσεσθαι, εὐλαβεῖσθαι, φοβεῖσθαι. ¶ Δέδιθι, εὐλαβοῦ, φοβοῦ.
Δ εδμάων, κρεῖσσων ἡγεμών. ¶ Δεδμήαται, κρατοῦνται. ¶ Δεδμήατο, ὑποτεταγμένοι εἰσί.
Δ εδμημένοι, δεδοκιμασμένοι. δεδεσμένοι, ᾠκοδομημένοι. ¶ Δεδμημένοι, δεδμημένοι ἐσμέν.
Δ εδμῆσθαι, κρατεῖν, οἰκοδομεῖσθαι, ὑποτετάχθαι.
Δ έδοικεν, ἐφοβήθη. ¶ Δεδοκημένος ἐπιτηρῶν. ¶ Δέδοκον, ἐπεθύμει, προσεδόκα, ἐσκόπει. ¶ Δέδοκται, ἐφάνη, ἐψήφισται, δέγνωσται. ¶ Δέδορκε, βλέπει.
Δ εδορκότες, ὁρῶντες, ἰδόντες. ¶ Δεδορκὼς. βλέπων, ὁρῶν. ¶ Δέδουπε. τέθνηκεν, ὡς ἐπὶ τῶν πεσόντων ἐν πολέμῳ. ¶ Δεδουπότος, τεθνηκότος, πεπτωκότος.
Δ εδόμεθα, ῥέξομεν. ¶ Δέδρακας, ἐποίησας.
Δ εδροικὼς, ἀδικῶς. ¶ Δεδυκμένη, κεκακωμένη.
Δ έθνκεν. ὑπεισῆλθε. ¶ Δέει, φόβῳ, χρείᾳ.
Δ έῃ, χρῄζεις. ¶ Δέειν, χρείαν ἔχειν. ¶ Δέεις, ἀπέχεις. ¶ Δέελον, δῆλον, φανερόν. ¶ Δέελος, δεσμὸς, ἅμμα. ¶ Δεήλασις, φυλακή. ¶ Δέημα, ἐρώτημα ἀπὸ τοῦ δεῖσθαι. ¶ Δέημις, νόμος ὁ δεσμός.
Δ έησις, παράκλησις ἡ χρεία. ¶ Δεθέντα, δεσμευθέντα. ¶ Δεῖ. πρέπει. χρὴ, χρεία ἐστὶν, δεσμεύει.
Δ εία, ἔνδεια. ¶ Δίαθεν, ἐδόκουν. ¶ Δεῖγμα, τόπος ἐν ἀθήναις οὕτως καλούμενος. ¶ Δειδέχατο, ἐδεξιοῦντο, ἐφιλοφρονοῦντο. ¶ Δειδεγμένοι, δεξιούμενοι.
Δ είδεκτο, ἐδεξιοῦτο, διὰ φιλίας ἠσπάζετο καὶ λόγων.
Δ ειδέχαται, ἤπεσται, διαδέχεται.
Δ ειδήμονες. φοβεροὶ, αἰσχυντηροὶ, εὐλαβεῖς. δειλοί.
Δ είδια, φοβοῦ, δειλαίνεις. ¶ Δέδοικα, φοβοῦμαι.
Δ ειδίζεσθαι, φοβεῖσθαι. ¶ Δείδιθι, εὐλαβοῦ, φοβοῦ.
Δ ειδίσσεσθαι, εὐλαβεῖσθαι, φοβεῖσθαι, φεύγειν.
Δ έδοικα, φοβοῦμαι. ¶ Δείδω, φοβοῦμαι.
Δ ειδίσσετο, ἐδεξιοῦτο. ¶ Δειελιήσας. τὴν δειλινὴν ὥραν διατρίψας, ἢ τὸ δειλινὸν ἔκβρωμα λαβὼν, οἷον δειπνήσας. ¶ Δειελιῆσαι, πληρωθῆναι τοῦ δειλινοῦ. ¶ Δείελος ὁ δὲ δύσεων ὁ ἑσπέριος ἀστὴρ ἀπὸ τοῦ ὑστερεῖν καὶ δεῖσθαι αὐγὴν τοῦ ἡλίου ἀπολειπόμενον ἐν τῇ δύσει, οὕτω γὰρ καὶ ἡ ἑσπέρα δειλινὴ καὶ δείλη ὠνόμασται. ¶ Δείελα, βρῶμα. ¶ Δείλαιοι, μάταιοι. ἄθλιοι. ¶ Δεικέων, ῥύσις ἑρμηνεύεται, ἔστι δὲ τόπος ἔνθα ἵδρυται ἱερὸν μεσαβηνῶν.
Δ εικανᾶσθαι, δεξιοῦσθαι. ¶ Δεικεῖν, ἀφεῖναι, ῥῖψαι.
Δ είκελον, φάσμα, ὁμοίωμα. ¶ Δεικές, λαμπρὸν, περιφανές, καὶ τὰ ποικίλα ὕφασμα καὶ φορβιὰς ἔχοντα καὶ τὰ πρόσωπα. ¶ Δεικανόωντο, ἐδεξιοῦντο. ¶ Δείκελα, εἰκόνες, ὁμοιώματα ὃ κατ' εἶδος ὅμοια τοῖς πράγμασι καὶ προσωπεῖα. ¶ Δεικελισταί, μιμηταὶ παρὰ λάκωσι. ¶ Δείκηλα, τὰ ὁμοιώματα. ¶ Δεικνύμενος, δεξιούμενος.
Δ εικνῦσι, δεικνύουσιν, σημαίνουσιν, δεξιοῦνται.
Δ εικνύμενος, φωνῇ ἀσπαζόμενος. ἢ δωρούμενος καὶ ἐπιδεικνύμενος καὶ δεξιούμενος. ¶ Δείλαιον, μάταιον

Δ αμάρης, ὀχετός. ¶ Δαμαριππέως. εἶδος ἰχθύων Εὔπολις. ¶ Δαμαρούσιος, ὀχετός. δημόσιος.

Δ άμαρτι, γυναικὶ γαμετῇ. ¶ Δάμαρτος, τῆς γαμετῆς. ¶ Δάμασσεν, ἀνεῖλεν. ¶ Δαμάσσεσθαι, ἐδάμασε. ¶ Δαμάσῃ, ἀποκτείνῃ. ¶ Δαμασικόνδυλον, Εὔπολις ὡς ἂν τὸν δαμασίφρονα τὸν ὄντα χῖον παλαιστὴν οὕτως λέγει. ¶ Δαμασκός, ἅμμα σάκκου.

Δ αμασὴς, οὕτως ὁ προσκρούσας ἐκαλεῖτο.

Δ αματρίζειν, τὸ συνάγειν τὸν δημητριακὸν καρπὸν Κύπριοι. ¶ Δαμάτειον, ἄνθος ὅμοιον ναρκίσσῳ.

Δ άμεια. ἑορτὴ παρὰ Ταραντίνοις. ¶ Δαμεὶς, δαμασθεὶς, ἐν πολέμῳ ἀναιρεθείς. ¶ Δαμεῖσα, δαμασθεῖσα. ¶ Δαμεῦσαι. αἰσχῦναι. κοινοποιῆσαι.

Δ αμῆναι, δαμασθῆναι ἐπὶ γυναικός. ἀναιρεθῆναι ἐπὶ ἀνδρός. ¶ Δαμήμεναι, ὑποταχθῆναι. ¶ Δημιουργοί. αἱ πόρναι. ¶ Δάμνα, ἐδάμαζε. ¶ Δαμνάμεν, δαμνάζομαι. ¶ Δανάη. θυγάτηρ Ἀκρισίου.

Δ αμνάμενοι, δαμαζόμενοι, βιαζόμενοι. ¶ Δαμνᾶται, ἕλκει, βιάζεται, φθείρει. ¶ Δαμνεῖ, δαμνάζει.

Δ αμνήσει. δαμάσει. ¶ Δάμνηται, δαμάζηται.

Δ αμνάμεναι, δαμαζόμεναι. ¶ Δαμνὸν, λεινόν.

Δ άμνος, ἵππος Τυρρηνοί. ¶ Δαμνῆτις, δαμάζουσα, τιμωρός. ¶ Δάμνια, θύματα σφάγια. ¶ Δαμοσώνιος, εἶδος βοτάνης. ¶ Δαμοῦαι, οἱ ὑπὸ μελαντίας πεμπόμενοι λάκωνες. ¶ Δαμοῦχοι, οἱ τὸν δῆμον ἔχοντες. ἦσαν δὲ καὶ κατά τινας πόλεις αὐγαὶ ἀποδεδειγμέναι δημούχων. ¶ Δαμοφανὴς, τὸ ἱμάτιον, οἱ λάκωνες. ¶ Δαμπτὴν, ὁ πνεῦεφθον λάκωνες κρῖτες. ¶ Δαμώσικρον, δεδοκιμασμένον λάκωνες. ¶ Δαμιώματα, κοινώματα, δημοσιώματα.

Δ αμώμενος, ἀπαλλόμενος, οἱ δὲ παίζων.

Δ αμώσεις. δημόται, ἢ οἱ ἐντελεῖς παρὰ λάκωσι.

Δ ανμάκρεως, ἢ πολὺν χρόνον ἠλεῖοι, καὶ χώρα περὶ Δαμασκὸν καὶ Σιδῶνα. ¶ Δανὰ, ξηρὰ, καύσιμα ξύλα.

Δ ανά, ἢ δὲ ὡς δή. ¶ Δαναοὶ, οἱ Ἕλληνες.

Δ ανάη, νομισμάτιόν τι βαρβαρικὸν δυνάμενον πλέον ὀβολοῦ ὀλίγῳ τινί. ἐλέγετο δὲ καὶ ὁ τοῖς νεκροῖς διδόμενος ὀβολός. ¶ Δάνας, μερίδας καρύστιοι.

Δ ανδαλίδας, κάχρυς κριθαὶ ἢ σῖτος πεφρυγμένος.

Δ άνδαλος, ὁ ἐριθακὸς τὸ ὄρνεον. ¶ Δανδαξίκαι, οἱ βολβοί. ¶ Δανδαίνειν, ἀτενίζειν, φροντίζειν, μεριμνᾶν. ¶ Δαναίδαι, αὐδύλαι ταραντῖνοι.

Δ ανειστὴν, καὶ τὸν δανειζόμενον. ¶ Δανὲς, ἀληθὲς ἢ δῶρον, ἢ μερίδα, ἢ ἰσχὺν, ἢ γέρας, ἢ δάνειον.

Δ ανήλοβα, μακροτράχηλα, ἐκτεταμένους ἔχοντα τοὺς λόφους, ἢ ὑψηλοτράχηλα, μετεώρους ἔχοντα τοὺς λόφους, ἢ πίονας. ¶ Δανιὴλ, κρίσις θεοῦ, ἑρμηνεύεται δὲ ἢ διάκρισις. ¶ Δανείειν. κακουργεῖν, οἱ δὲ, δανείζειν. ¶ Δανείζει, μεταδίδωσι τοῖς ἐνδεέσι χρεῶν. ¶ Δάνειον, ὄφλημα, χρέος, δῶρον.

Δ άνον, ξηρόν. ¶ Δάνται, ζυγά. ¶ Δάννωντο, δυσχοῦντο. ¶ Δαινῶν, κακοποιῶν, κτείνων μακεδόνες.

Δ άξα, θάλασσα, ἢ ἠπειρῶται. ¶ Δαεῖ νόσῳ, ἐπικρατεῖ νόσῳ. ¶ Δάον, πολυχρόνιον. ¶ Δάοχες, μοιχός. ¶ Δάος, φῶς, δῆλα πῦρ φλὸξ φέγγος αὐγή, καὶ ὑπὸ φρυγῶν λύκος. ¶ Δάος, ἀγγάρειος δοῦλος.

ὄνομά τι ἐστὶ καὶ ἐλεύθερος ἐν ταῖς κωμῳδίαις εἰσαγόμενος. ¶ Δάρπακες, θαυμαλῶπες. ¶ Δαπανά, ἀναλωτικά ἢ τὰ δαπανώμενα. ¶ Δαπάνη. τροφή. ¶ Δαπίδες, οἴκοις ἐρειπίοις. ¶ Δάπεδον, ἔδαφος, γῆ. δριματότοιχος, ἢ οἶκος ἐρείπιος.

Δ άπος, τάπης. ¶ Δάπτειν, ἐσθίειν. ¶ Δάπιδες, ποικίλα ὑφάσματα, τάπητες. ¶ Δάπτης, δεινός.

Δ άπτουσιν, ἐσθίουσιν. ¶ Δάπτομαι, διασπαράσσομαι. κατεσθίομαι, τρύχομαι. ¶ Δάπτων, κατεσθίων.

Δ' ἄρ, δή. ¶ Δ' ἄρα. ὡς δὴ Εὐριπίδης ἵνοι.

Δ αρδανίη, χώρα. ¶ Δάραι, θυμῷ. ¶ Δάρδα, μέλισσα. ¶ Δάρδανος, ἀνὴρ ὁ πατὴρ τοῦ Δαρδάνου.

Δ αρδαίνει, μολύνει. ¶ Δαρδάνιαι, πύλαι αἱ τῆς Ἰλίου ἤτοι ἀπὸ Δαρδάνου κληθεῖσαι, διότι ἐπὶ τὴν Δαρδανίαν χώραν ἔφερον, τὰς δὲ αὐτὰς καὶ σκαιὰς Ὅμηρος καλεῖ. ¶ Δαρδάπτειν, λαύρως ἐσθίειν, σπαράσσειν.

Δ αρδάπτουσι. ἐσθίουσι, σπαράττουσι, μετὰ ταραγμοῦ κατεσθίουσιν. κυρίως μὲν ἐπὶ θηρίου. λέγει δὲ Ὅμηρος καὶ ἐπ' ἄλλων, χρήματα δαρδάπτουσι, δαπανῶντες ἀναλίσκουσι. ¶ Δαρδῶσαι, ῥίψαι, σπαράξαι. ταράξαι. ¶ Δαρεῖος, ὑπὸ περσῶν ὁ φρόνιμος, ὑπὸ δὲ φρυγῶν Ἕκτωρ. καὶ ἀστραγάλων δέ τινων βόλος οὕτως καλεῖται. ¶ Δαρεικοὶ, οἱ χρυσοῖ στατῆρες, ἐκλήθησαν δὲ ὥς τινές φασιν ἀπὸ Δαρείου τοῦ τῶν περσῶν βασιλέως. ¶ Δάρειρ, τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου ἐπὶ τὸν μικρὸν διάστημα.

Δ άειρ, σπιθαμὴν ἀρκάδες. ¶ Δάρκες, δέσμαι.

Δ αρὸν, μακρὸν χρόνον ἢ ἐπὶ πολύ. καὶ ἑορτὴ ἡ ἄρτον τινὲς τὸν ἄζυμον. ¶ Δάρεσις, τὸ βουτύπιον.

Δ άρτη, περιαίνη, κόφινος. ¶ Δάρρων μακεδονικὸς δαίμων ᾧ ὑπὲρ τῶν νοσούντων εὔχονται. ¶ Δάρτινον, πέπλον λινόν. ¶ Δάρυλλος, ἡ δρῦς ὑπὸ μακεδόνων. ¶ Δαρχμάς, δραχμάς. ¶ Δάς, ἐπὶ τοῦ πολλοῦ καὶ μεγάλου, ἢ λαμπάδας ἢ λαμπράς.

Δ άσαντο, ἐμερίσαντο. ¶ Δάσασθαι, μερίσασθαι.

Δ ασάμενοι, μισθωσάμενοι. ¶ Δασάσκετο, ἐμερίζετο.

Δ ασέως, πυκνῶς. ¶ Δασθῆναι, διαιρεθῆναι, μερισθῆναι. ¶ Δασκάζει, ὑποφεύγει. ¶ Δάσκιον, μεγάλως σκιάζον διὰ τὸ σύνδενδρον καὶ δασύ.

Δ ασκὸν, δασύ. ¶ Δάσματα. διαμερίσματα.

Δ άσμευσις, διαίρεσις. ¶ Δασμολογεῖ, ἐπιμερίζει.

Δ ασμολόγοι. φορολόγοι, μερισταί. ¶ Δασμολογοῦσι, φορολογοῦσι. ¶ Δασμὸν, μερισμὸν, τέλος.

Δ ασμός, φόρος, μερισμός. ¶ Δασμοὺς, μερισμοὺς, φόρους. ¶ Δάσονται, βρόσονται, μεριοῦνται.

Δ ασοφόροι, μερισταί. ¶ Δάσος, σύνδενδρος τόπος, ὑλώδης, δασύτης. ¶ Δασυπέταλον, πολύφυλλον.

Δ ασπλῆτις, μεγάλων κακῶν ἀναπιμπλαμένη, πολλοῖς πλησιάζουσα. οἱ δὲ ἄπληστος τιμωρητική ἐστι χαλεπὴ ἐπὶ τῆς ἐριννύος. ¶ Δάσπλητα, πολυμογῆ καὶ πλημορόν. ¶ Δασπλῆτις. δυσχερὴς τοῖς προσπελάζουσι, δυσπρόσπελαστος, πολλοὺς μισοῦσα ἢ μετιοῦσα, πλημμηρὰ, θρασεῖα. ¶ Δάσα, λάχανα. ¶ Δασέσκετο, διενείματο, ἔζωσεν, ἔφασε. ¶ Δασὺ, τραχύ. πυκνὸν συνεχές. ¶ Δασὺ, παράγωγος. ¶ Δασύπους, λαγωός.

Δ ασῖται, νέμει, διαιρεῖσθαι. ¶ Δατεῖσθαι, μερίζεσθαι.

Δ αίδαλα, κατασκευάσματα ποικίλα. ¶ Δαιθμόν, ἐμπρησμόν. ¶ Δαΐα, μεγάλη ἄπειρος σεμνὴ φοβερά. ¶ Δαΐαν, τὴν ἀρουμένην, σεμνήν. ¶ Δαιάζω, ἀναβοῶ, στενάζω. ¶ Δαιδαλέην, ποικίλην.

Δ αιδάλεια, ἀριστοφάνης τὸν ἀπὸ δαιδάλου κατασκευασθέντα ἀνδριάντα ὡς διὰ τὸ ἀποδιδράσκειν δεδεμένον. ¶ Δαιδαλέοισιν, πεποικιλμένοις. ¶ Δαιδάλεον, ποικίλον, εὐεργές. ¶ Δαιδάλλων, ποικίλλων. ¶ Δαὶ δαί. τί δέ. ¶ Δαΐδες, λαμπάδες λύχνοι. ¶ Δαΐδων, λαμπάδων. ¶ Δαίδαλον, ποίημα καὶ τὸ κοσμούμενον, ὑποπλάστιον ξύλον.

Δ αιδύσσουσι, βασανίζουσι. ¶ Δαιδύσσεσθαι, ἕλκεσθαι.

Δ αδοῦχον, λυχνία. ¶ Δαῖε, διεμέριζεν, ἔκαιεν.

Δ αίειν, καίειν. φλέγειν. ¶ Δαιεμῶν, δαιμόνων.

Δ αίεσι, διαμερίζει. ¶ Δαίεται, διαμερίζεται καίεται, αἰσχύνεται, δικάζεται. ¶ Δαιέλιξ, ἡ ῥὶς τοῖς πυρακτωμένοις ξύλοις κατὰ τὸ ἀρχαῖον μετὰ προσβολῆς πυρσῶν παρὰ ἀργείοις. ¶ Δαϊζόμενος, κατακοπτόμενος, κατακαιόμενος. ¶ Δαΐζων, κατακόπτων. ¶ Δαιημός, διαίρεσις, μερισμός. ¶ Δαιῆσαι, διδάξαι. ¶ Δαῖμα, σπιθαμὴν, καὶ τὸ ἔγκοιλον τοῦ χοινίου, σήμονα δὲ ταραντῖνοι. ¶ Δαιμονᾷ, ὑπὸ δαίμονος κατέχεται. ¶ Δαιμοὶ, οἱ καταδικασθέντες τὰς οὐσίας εἰς βασιλέως. ¶ Δαιμόνιον, θεῖον μόρσιμον. ¶ Δαίμονες, οἱ θεοὶ, δαήμονές τινες ὄντες, οἷον ἔμπειροι, ἢ ὅτι πάντα μερίζουσιν ἀπὸ τοῦ δάσασθαι. ¶ Δαιμόνιε, μακάριε, κακόδαιμον.

Δ αιμονίζειν, τὸν δαίμονα ἡγεῖσθαι καὶ ἀποθυοῦσθαι.

Δ αιμονίην, ἄκραν, θειοτάτην. ¶ Δαιμονίη, μακαρία.

Δ αιμοντιᾷ, δαιμονίζει κρυπτόν. ¶ Δαίμων, δαήμων θερμόφρων ἡ θεός. ¶ Δαιμοσία, ἡ τῶν ἀρίστων ἐπιβολή. ¶ Δαίνυ, ἑστίαν, εὐωχίαν παρασκεύαζε.

Δ αΐ. μάχη ὡς γραῦς γραῒ καὶ δᾴς δαΐ. ¶ Δαΐην, μάχην, νίκην, λαμπάδα. ¶ Δαϊνόν, πυκνόν. καύσιμον. ¶ Δαίνυντο, εὐωχοῦντο. ¶ Δαίνυσθαι, εὐωχεῖσθαι, τρέφεσθαι. ¶ Δαιομένων, μεριζομένων.

Δ αϊζόμενος, μεριζόμενος, τὴν γνώμην διαιρούμενος.

Δ αΐξας, κατακόψας. ¶ Δάϊξε, κατέκοψε.

Δ αΐξομαι, δελεύσομαι. ¶ Δάϊον, τέρας, τὸ πολεμικὸν σημεῖον. ¶ Δαιόμενον, καιόμενον, μεριζόμενον. ¶ Δαίμονα δώσω, λείπει κακὸν ἵνα κακὸν δαίμονα δώσω. ¶ Δαϊκταμένων ἐν πολέμῳ ἀναιρεθέντων. ¶ Δαΐζει, διασπᾷ, τέμνει, σχίζει, θλίβει, πορθεῖ, σκυλεύει. ¶ Δαίελε μῦθον, δίελε σαφήνισον.

Δ αίνυνται, ἑστιῶνται, θερμαίνονται. ¶ Δάϊον, ἰσχυρόν, ἀκαθόν. ¶ Δαῖρα, ἡ αὐτὴ τῇ δαείρᾳ. ¶ Δαῖροι, θάσιοι. ¶ Δαὶ, σύνδεσμος ἴσος δὲ συμπλεκτικῷ παρὰ τῷ ποιητῇ. ¶ Δαίς, πίκη λαμπὰς εὐωχία ἡ μάχη καὶ σώφρων. ¶ Δαίς. σοφοκλῆς, ἦλθε δὲ δαὶς θάλεια πρεσβίστη θεῶν, ἡ δι' ἐράνων εὐωχία, ἔνιοι δὲ τὰς μούσας τριπτολέμῳ. ¶ Δαῖτα, εὐωχίαν. ¶ Δαίσιμον, ἐδώδιμον. ¶ Δαιταλεύς, ὁ ὑπὸ τὰ δεῖπνα πορευόμενος δαιτυμόνων. ¶ Δαιταί, λαμπάδες. ¶ Δαισιανός, δρομεὺς ὅθεν ὑπὸ βραδυτῆτι καὶ πενία κωμῳδούμενος. ¶ Δαίτας, μεριστάς. ¶ Δαίτησιν, εὐωχίαις. ¶ Δαῖτος, εὐωχία, εὐφρασία. ¶ Δαιτὸς ἀκμάζεσθον, ἐν εὐωχίᾳ τιμῆς ἀξιοῦσθε ἢ καὶ πρῶτοι καλεῖσθε. ¶ Δαιτροί. μερισταί. ¶ Δαιτρευσάσης, τῆς διὰ ἴσου μεριζομένης εὐωχίας ἤτοι τροφῆς. ¶ Δαιτρεύειν, διαιρεῖν, διανέμειν.

Δ αιτρόν, μεμετρημένον πρὸς μέρος μὲν διαιρετὸν, μεριστόν. οἱ δὲ μάγειροι. ¶ Δαιτρός, μάγειρος διαιρῶν τὰ κρέα, ἢ ὁ ἐν τραπέζῃ κόπτων τὰ μέρη. δαὶς γὰρ, ἡ εὐωχία. ¶ Δαιτροπόνος, σιτοπόνος, σιτοποιός.

Δ αιτυμόνες, σύνδειπνοι, ἀρισταί. εὐωχούμενοι ἢ μάγειροι. ¶ Δαΐφρονος, συνετοῦ περὶ τὸν πόλεμον.

Δ αΐφρων, συνετός. πολεμικὸς, πολεμικὰ φρονῶν. δαὶς γὰρ ἡ μάχη εὐωχία καὶ σώφρων. ¶ Δαΐω, μάθω.

Δ αίων, καίων. ¶ Δαίω, καὶ διάπτω. ¶ Δάκε, ἐλύπησε. ¶ Δακέθυμον, λυποῦντα τὴν ψυχήν.

Δ ακετὸν, θηρίον. ¶ Δάκη, θηρία, καὶ δάκος ἑρπετόν.

Δ άκια, τὰ ἄγρια ὀρνιθάρια. ¶ Δάκνει, λυπεῖ.

Δ ακνίς, ὀρνέου εἶδος. ¶ Δακόασαι, πορθῆσαι.

Δ ακρυόεντα, κλαίοντα. ¶ Δακρυόεσσαν, δακρύειν ποιοῦσαν. ¶ Δακρυοέσσης, δακρύων παραιτίου.

Δ ακρυπλώειν, πλημμυρεῖν τοῖς δάκρυσιν.

Δ ακρυρροῶν, δάκρυα ῥέων. ¶ Δακρυώτατον, ἀτοχέστατον. ¶ Δακτύλιοι, οἱ τετρημμένοι λίθοι δι' ὧν τὰ ἀπόγεια χοινία διάπτεται, ἢ τῆς θύρας τὸ ἐπίσπαστρον. ¶ Δακτύλιος, ἀττικῶς δὲ ἔστιν ὅλον, καὶ τὸ μὲν ἁπλοῦν δακτυλίδιον ἐκάλουν, τὸ δὲ ψῆφον ἔχον, σφραγίδιον. καὶ τὸ πηδαλίου τὸ ἄκρον δάκτυλος. ¶ Δακτύλιος, φαρμακίτης, ὃν οἱ φαρμακοπῶλαι εἰώθασι πιπράσκειν ἀντὶ φαρμάκου.

Δ άκτυλος, οὕτω καλεῖται ῥυθμοῦ εἶδος καὶ κρούματος· χρῶνται δὲ αὐτῷ οἱ μάλιστα ἀθληταί.

Δ ακτυλόδικτον, δακτυλωτὸν ἔκπωμα, ἔνιοι τὸ κρέας· ἄμεινον δὲ τὸ ἐντὸς ἑωρὸν λεγόμενον, ἢ διὰ τὸ ὦτα ἔχειν ἔξωθεν καὶ δύνασθαι τοῖς δακτύλοις κρατεῖσθαι. οἱ δὲ, ὅτι ἔξωθεν οἱ δάκτυλοι ἐνείρουν. ¶ Δάλα, ἄμπελος. ¶ Δάκω φρένα, λυπήσω τὴν διάνοιαν.

Δ αλάγχαν, θάλασσαν. ¶ Δάλαμ, λύμην. ¶ Δάλεμον, κηδεμόνα. ¶ Δάλεστον, ὄνον κρύπτες.

Δ αλῆ, κακουργῆ. ¶ Δαλήσασθαι, λυμήνασθαι, ἀδικῆσαι. ¶ Δαλίδας, τὰς μεμνηστευμένας.

Δ άλιον, δαλόν. ἐν ταῖς ἱεροποιίαις εἰώθασι τὸν δαλὸν ἐμβάλλειν εἰς τὴν χερνίβα καὶ περιρραίνειν τὸν βωμόν.

Δ αλιοχεῖν τὸ παιδὶ συνεῖναι, ἀμπρακιῶται. τινὲς δὲ τὸ μοιχεύειν. ¶ Δαλιοχός, μοιχός. ¶ Δαλίς, μωρός. ¶ Δάλλει, κακουργεῖ. ¶ Δαλλώ, ἡ ἀπὸ πλήκτρος, οἱ δὲ τὴν ἔξωρον παρθένον ἢ γυναῖκα καὶ πρεσβυτέραν ὅταν συμπαίζῃ ταῖς παρθένοις ὑποβρύλιξ.

Δ αλὸν, ζῦλ ἢ λαμπάδα ἢ ξύλ κεκαυμένον. ¶ Δαλέον. ἡμίφλεκτον. ¶ Δαλός, μελάντερος ἰχθὺς ἢ λαμπὰς ἢ ξύλον κεκαυμένον τὸ διημμένον ξύλον, παρὰ τὸ δαίεσθαι ἤγουν καίεσθαι. ¶ Δαλμάναι, εἰκάσαι.

Δ αλυῦν, σύντομον. ¶ Δαλώ, ὑποβρύλιξ. νεώτερος.

Δ άλκιον, πινάκιον, οἷον γραμματίδιον. ¶ Δαμᾷ, δαμάζει. ¶ Δαμῶν, δαμάζων, δαμάζει, ὑποτάσσει.

Δ αμαλις μόσχος καὶ κατὰ παντὸς νέου. ¶ Δαμάλ, τὸν ἔρωτα ἤτοι τὸν δαμάζοντα, ἢ ἀγέρωχον. ¶ Δαμάλλοντες, διαδάπτοντες. ¶ Δάμαρ, γυνὴ ἔχουσα ἄνδρα.

ζον πλέθρου. ¶ Γύης, τὸ κατώτατον μέρος τοῦ ἱστοβοέως ἐν τῷ ἀρότρῳ. αὐτόγυον δὲ τὸ μὴ σύνθετον, ἀλλ' ἐξ ἑνὸς ξύλου. δηλοῖ δὲ καὶ μέτρον γῆς. δίγυον καὶ πεντηκοντόγυον καὶ αὐτὴν τὴν γῆν. ἔτι δὲ καὶ ἡ τῶν ἀστραπέλων σύνθεσις. ¶ Γύης, διονύσιος αὐτὴν γύπτις εἴρηκε. ¶ Γυθίασιν, δορύασιν. ¶ Γυῖα, μέλη, χεῖρές τε καὶ πόδες καὶ τὰ λοιπά. ¶ Γυιώσω, χωλώσω, ἐκλύσω, χωλοὺς ποιήσω, πηρώσω. ¶ Γύης, ὄρυξ, ὀργυιά, χωλή, ἀσθενής. ¶ Γυιός, χωλός, νοσώδης, πηρώδης. ¶ Γυλλίσκοι, ἰχθύες ποιοί. ¶ Γύλλιος, ὁ ἡρακλῆς, καὶ ἀγγεῖον ὁ δὴ πλεκτὸν εἰς ἀπόθεσιν τῶν ἀναγκαίων ᾧ ἐχρῶντο οἱ στρατιῶται. ¶ Γύλλιον, ἀγγεῖον πλεκτόν. ¶ Γυλλὰς εἶδος ποτηρίου παρὰ μακεδόνων. ¶ Γύλλινα, ἐρείσματα γεισῶν.

Γυλλός, κύβος, ἢ τετράγωνος λίθος. ¶ Γυλλοί, στολμοί. ¶ Γυμνάζεται, ἀσκεῖται. ¶ Γυμνασία, ἄσκησις, μελέτη. ¶ Γυμνασιάρχης, ἄρχων τοῦ ξυστοῦ, ἢ βόλου ὄνομα. ¶ Γυμνάσιον, τόπος ἐν ᾧ ἀγωνίζονται.

Γυμνή, ἄνηβος. ¶ Γυμνῆλαι, οἱ ἀκτήμονες καὶ πένητες.

Γυμνῆτες, οἱ μὴ ἔχοντες ὅπλα οἱ δὲ τοὺς σφενδονήτας. οἱ δὲ τοὺς γυμνοὺς μαχομένους. ¶ Γυμνόν, ἀνυπόδητον, ἢ ἀποσκυθισμένον ὡς ἀρχίλοχος. ¶ Γυμνοπαιδία. ἔνιοι μὲν ἑορτὴν φασὶ σπαρτιατικὴν ἐν ᾗ οἱ ἔφηβοι κύκλῳ περιῄεσαν τὸν ἐν ἀμυκλαίῳ βωμὸν τύπτοντες ἀλλήλων τὰ νῶτα. τοῦτο δὲ ἐστὶ ψεῦδος. ἐν γὰρ ἀγορᾷ ἑορτάζουσι. πληγαὶ δὲ οὐ γίνονται ἀλλὰ προσόδοι χορῶν γυμνωμένων. ¶ Γυμνότεροι λεβηρίδος, ἀριστοφάνης φησὶ τυφλότεροι λεβηρίδος. ἔστι δὲ λεβηρίς, τὸ τοῦ ὄφεως γῆρας διὰ τὸ λεπτὸν εἶναι, κενὸν δὲ τελείως ἐστὶ τοῦτο καὶ τυφλόν, τὰς γὰρ ὀπὰς μόνας ἔχει τῶν ὀφθαλμῶν. τάττουσι δὲ τὴν λέξιν ἐπὶ τέττιγος, καὶ συνήθως ἐπὶ τῶν ἀπεκδυομένων τὸ γῆρας. τριχῆ δὲ ἀναγράφουσι τὴν παροιμίαν, καὶ οἱ μὲν τυφλότερος λεβηρίδος. οἱ δὲ κενώτερος, οἱ δὲ γυμνότερος. ¶ Γυμνοφυλακεῖν, ἐπιτάττειν παροιμία ἐπὶ τῶν δεομένων προστάξεως διὰ τὸ ἀναγκαίως καὶ χωρὶς ἐπικελεύσεως τοῦτο πράττειν, φερεκράτης τυραννίσι. ¶ Γυναικεῖα, τὰ ἔμμηνα. καὶ οἱ γυναίκειοι ἵπποι. ¶ Γυναικίσκιον. παιδίσκιον.

Γυναικωνίτης, οἶκος γυναικῶν. ¶ Γύναιξ, γύναι.

Γύναιον, γυνή. ¶ Γυναιμανής, γυναικομανής, ἐπὶ γυναιξὶ μεμηνώς, ἢ τὰς γυναῖκας ἐκμαίνων, ἢ ἐπὶ γυναιξὶ μαινόμενος, ἢ γυναῖκας εἰς μανίας ἄγων διὰ τὸ κάλλος. ¶ Γυναικὸς γυναικείου. ¶ Γυναίων εἵνεκα δώρων, διὰ γυναικῶν δωροδοκίαν. ¶ Γυναῖκες, εἰλίποδες. διὰ τὴν δέσιν τῶν σκελῶν καὶ πλοκὴν τὴν κατὰ τὴν συνουσίαν, ἢ ἀνακρέων, πλέξαντες μηροῖσι παρὰ μηρούς. ¶ Γυνή, ἡλικία τις παρὰ πυθαγόρᾳ, ἢ ἄνθρωπος γύννις, δειλός, ἄνανδρος, γυναικώδης. ἀριστοφάνης γύννιδας μαλακούς. ¶ Γυναικὸς ἄρ' ἀντετέτυξο, ἀντὶ γυναικὸς ἄρα γεγέννησο. ¶ Γῦπες. ὄρνεα σαρκοφάγα καὶ νεκροφάγα. ¶ Γύπας, καλύβας καὶ θαλάμας. οἱ δὲ γυπῶν νεοσσιάς. ἄλλοι δὲ λάκκους ὀδούς. οἱ δὲ τὰς κατὰ γῆν οἰκήσεις. οἱ δὲ σπήλαια καὶ ἐν πέτρᾳ τὰ αὐτά. οἱ δὲ ἀγζώστους ἀνασεσυρμένα.

Γύπη, κοίλωμα γῆς. θαλάμη, γωνία. ¶ Γυπεῖν, μακρόν.

Γυποσκία, παροιμία ἐπὶ τῶν μηδὲν ἄξιον ὑπὸ φθόνου πραττόντων. ¶ Γύρας, ὄρος ἐν τήνῳ. ¶ Γύργαθον, σκεῦος πλεκτὸν ἐν ᾧ βάλλουσι τὸν ἄρτον οἱ ἀρτοκόποι.

Γυραὶ πέτραι, οὕτω καλοῦνται γυραὶ ἐν τῷ ἰκαρίῳ πελάγει, πρὸς μυκόνῃ τῇ νήσῳ. ¶ Γυρεία, πάλη καὶ στολίς. ¶ Γυρείτας. ἀνυπύροις ἄρτοις.

Γυρόν, κατακεκλιμένον, κυρτόν, στρογγύλον κυκλοειδῆ.

Γυρῖνον, τὸ ἐκ τοῦ βατράχου παιδίον. ¶ Γυρτόν, σκυφίον. ¶ Γύροι, βόθροι. ¶ Γυρτεύς, ἀνακρωτήφορος. ¶ Γυρτώνη, πόλις ἐν θετταλίᾳ.

Γυρῶσαι. πληρῶσαι.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ω.

Γώ, ἐκεῖ τῷ ἰδίῳ καὶ σῷ. ¶ Γωγώνη, φάρυγξ.

¶ Γωγγάμη, ἐν ᾧ οἱ ἁλιεῖς συνάγουσι τὰ ὄψα εἴρηται καὶ γαγγάμη. ¶ Γωλιοί. σπήλαια, καὶ αἱ πρὸς θάλασσαν καταδύσεις. ¶ Γωνιασμός, ῥίχων συμβολή. ἐγγώνιος, οἱ δὲ γεωμετρικὸν θεώρημα, ἀριστοφάνης βατράχοις. ¶ Γώνηρ. γωνία λάκωνες. ¶ Γωνοείσματα, γνωρίσματα τὰ ποθεῖσαι. ¶ Γῶνος, γωνὸς εἶδος ἢ παιδιά τις παλαιστρική, οἱ δὲ κώπη. ¶ Γώνυμος, φρόνιμος.

Γῶος, μνημεῖον. ¶ Γώπας, κολοιοὺς μακεδόνες.

Γωροῦται. σπαρκεῖ λάκωνες. ¶ Γωρυτός, ῥοθήκη, θύλακος. οἱ δὲ, χωρυτός.

ΑΡΧΗ ΤΟΥ Δ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Α.

Δαάναι, δύνασθαι ὅσον εἰς τὴν χρείαν τοῖς σήμοσι μερίζομένον καθαιρεῖσθαι. ¶ Δαβεῖ, κάθηται λάκωνες. ¶ Δάβελος, δαλὸς λάκωνες.

Δαβουλή, ἄρκτος χαλδαῖοι. ¶ Δάγμενος, οἰκτρὸς πένης ἐλεεινός. ¶ Δάγκολον, δρέπανον. ¶ Δαγνόν, πυκνόν. ¶ Δαιόμενον, ἐρρωμένον. ¶ Δᾶδα, λαμπάδα. ¶ Δᾶδας, λαμπάδας. ¶ Δᾶδες, λαμπαί. ¶ Δαδύνειν, αὐτέχειν, ἀτενίζειν, μεριμνᾶν, φροντίζειν. ἀθῆναι. ¶ Δαδοῦνται, διαιροῦσιν, δυσχοῦνται. ¶ Δαδουχεῖ, λάμπει, φέγγει, φωτίζει, φαίνει.

Δαδουχίας, λαμπαδηφορίας, λυχναψίας, φωτισμοῦ.

Δαδοῦχος, λυχνάπτης, λαμπαδηφόρος. ¶ Δαδουχοῦνται, φαίνονται. ¶ Δαδουχῶν, διαλάμπων, φωτίζων. ¶ Δαδύσσεσθαι, ἕλκεσθαι, σπαράσσεσθαι.

Δαεγώ, οἶδα. ἐπίσταμαι. ¶ Δαείς, μαθών. ¶ Δάειν, κακουργεῖν. ¶ Δάειρα, δάειρα γὰρ ἐστὶ τὸν τοῦ ἀνδρὸς ἀδελφὸν, δηλοῖ καὶ δαήμων ἔμπειρος. ¶ Δαῆται, χορτάσαι σιτίων. ¶ Δαέρ, ἀνδράδελφε. ¶ Δαείων, μαθών. ¶ Δαέρ ἐμεῖο κυνός. τοῦ ἀνδρός μου ἀδελφὲ τοῦ ἀναιδοῦς. ¶ Δάεινον, κλαύσιμον.

Δάελον, διάδηλον. ¶ Δαερόν, μέλαν καὶ τὸ καιόμενον. ¶ Δαέρων, τοῦ ἀνδρὸς ἀδελφῶν. ¶ Δαήλης, ἱερεὺς ἀρτέμιδος. ¶ Δαήμονες, ἔμπειροι γυναῖκες.

Δαήμων, ἔμπειρος τεχνίτης. ¶ Δαήμονος, ἐμπείρου τεχνίτου. ¶ Δαήμων, εἰδήμων, ἐπιστήμων ἔμπειρος.

Δαῆναι, μαθεῖν. ¶ Δαηρόν, θερμόν, καματηρόν, λαμπρόν, προφανές. ¶ Δαής, μάχης μεγάλης. ¶ Δαῆται, καίεται. ¶ Δάθεα, ἄρτοι φρέατι ταραντῖνοι.

ρανῷ. ¶Γουναζέσθαι, ἐλιτάνευον. ¶Γουνέομαι. ἱκετεύομαι. ¶Γουνούμενος, ἱκετεύων.

Γουνοῦσθαι, γωνιαῖος τόπος. ¶Γουνῷ ἀλωῆς, ἐν τῷ γωνιμωτάτῳ τῆς ἀλωνίας. ¶Γουνόντων, γονάτων.

Γουνῷ, γονίμῳ τόπῳ. ¶Γοῶσα, θρηνοῦσα.

Γοργώ. κατάπληξις, φόβος, πικρία, αὐστηρία, καὶ γοργὼ δυνικῶς.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ρ.

Γ ραφάγι κύπριοι. ¶Γραφάν, σκαφίον, βόθρον. ¶Γραῖα, πόλις γῆ καὶ δημήτηρ. ¶Γραῖαν καρδόπην. ¶Γραιβία, ὀγχετία πανόγυιος ταραντῖνοι. ¶Γραικιστί, ἑλληνιστί.

Γραικός, ἕλλην. ¶Γραίνειν, ἐσθίειν. ¶Γραικωπίας, γραίας ἐμφερής. ¶Γραιολέας, πονηρὰς ὀλεθρίας, γραίας. ¶Γράμματα, τὰ γεγραμμένα. καὶ συλλαβαί, καὶ τὰ ζωγραφήματα, καὶ τὰ ἐν ταῖς δικαστικαῖς ψήφοις ἡμῶν ἀπογραφαί.

Γραμμαί, ἐν τῇ ὀρχήστρᾳ ἦσαν ὡς τὸν χορὸν ἐν στοίχῳ ἵστασθαι. ¶Γραμματιστά, γραμματευτά.

Γραμματίας, διεσπασμένοις. ¶Γραμματεύειν, γράφειν, ἀναγινώσκειν. ¶Γραμματεύς, ὁ ἀναγνώστης, γράμματα εἰδὼς καλῶς. ¶Γραμματίδιον, ὅτε μὲν τὸ πινακίδιον, ὅτε ὅμοιον γλωσσοκόμῳ, λέγεται δὲ καὶ ἐπιστόλιον. ¶Γραμματιστής, γραμματοδιδάσκαλος. ¶Γραμμή, ὁ ἐπὶ τοῦ δρόμου, ὃς ἐπέβαινον οἱ δρομεῖς. ¶Γραμμὴ μακρά, εἰώθει ὁ διδάσκαλος καταδικάζων ἐν τῷ γραμματιδίῳ μακρὰν γραμμὴν ἕλκειν, ὁ δὲ ἀπολύων μικράν. ¶Γραμματεῖα, δράπετα. ¶Γραμματικός, πεπαιδευμένος καὶ παιδευόμενος. ¶Γρανθέωνα, γέροντα.

Γράμμα δήμιον, ἡ διαθήκη. ¶Γραός, γραῦς, μηνὶ μηράζουσα. ¶Γράπτην, γῆρας τέττιγος ἢ ὄφεως καὶ τῶν ἐκδυομένων. καὶ εἶδος ὀρνέου, καὶ ῥυσσόν, ἀπὸ τοῦ γραμμὰς ἔχειν τὰς ῥυτίδας, ὅθεν καὶ ὁ γραῦς ἐτυμολογεῖται παρὰ τὸ εἰς γῆν ῥέειν. ¶Γραπτίνος, οἶνος τραχύς. ¶Γραπτύς. τὰς ἀμυχὰς καὶ καταξύσεις τῶν ἀκανθῶν. ¶Γράστως, δυσοσμία.

Γράσον, μωρὲ ἀνόστατε. ¶Γραύκαλος ὄρνις τεφρός. ¶Γραῦς, τὸ συναγόμενον καὶ ἐπιπηγνύμενον ἐπάνω, ὅταν γάλα ἑψῆται, ἢ τὸ τοιοῦτο ῥυγόν, καὶ ὁ ἐν τοῖς χείλεσι τῶν ποταμῶν γραμμή, καὶ βόλος τις ἀστραγάλων. ¶Γραῦς ἔριφος, ἀπολλόδωρος φησί, ὅτι ἐστὶ τὸ παροιμιώδης λεγομένη ἐριφία γραῦς, ἐστὶ δὲ αὐτὸ ὅμοιον γραῦν ἔριφον τὴν ἐν πυθίᾳ καταγηρακυῖαν, οἱ δέ, ἀπὸ τῆς ἀκρίδος, τὸν τῶν ἀρουραίαν ἀκρίδα ὑπό τινων * μάτην λεγομένην.

Γράφεται, ἀντιγράφει ὁ κατηγορεῖ. ¶Γραφεύς, ζωγράφος. ¶Γραφή, κατηγορία. ¶Γραφή, ἡ δημοσία δίκη. ὡς ὅταν ἢ ψηφίσματος ἢ νόμου τις κατηγορῇ. καὶ ὁ ἐπὶ δικῶν κλῆσις καὶ ὁ παράγραφος γραφή καὶ ἐπίκλημα, κατηγορία καὶ ἔγκλημα.

Γράψαι, ξύσαι, χαράξαι, ἀμύξαι. ¶Γρηικάμινοι, ἐπεὶ εὔλαλοι αἱ γρᾶες διὰ τὸ παντοδαποῖς αὐθρά σιν ὁμιλεῖν. ¶Γρήιον, παλαιόν. ¶Γρήνη, ἄνθη σύμμικτα. ¶Γρήνικος, ποταμός. ¶Γρηῦτις, βυρσεύς. ¶Γρεῖνος, δέρμα. ¶Γριπίζει, ἁλιεύει.

Γριπεύς, ὁ ῥάπτων τὰ ἁλιευτικὰ λίνα καὶ ὁ ἁλιεύων.

Γριπωμένα, συνελκόμενα, καὶ ἀσπαστικῶς συμπαθοῦντα. οἱ δὲ ἐγγίζοντα. ¶Γρισῶν, ὗς, ἀριστοφάνης δὲ ὄνομα δρομέως νενικηκότος ἐν ὀλυμπίᾳ στάδιον.

Γριφᾶσθαι, γράφειν, οἱ δὲ ξύειν, καὶ ἀμύσσειν λάκωνες.

Γριφεύειν, αἰνίττεσθαι. ¶Γρῖφοι, τὰ ἐν τοῖς πότοις βαλλόμενα ζητήματα. ¶Γριφοειδές, δυσάρεστον.

Γρῖφος, τὸ δίκτυον, καὶ συμποτικὸν ζήτημα αἴνιγμα τώδης, καὶ πρόστιμον τῷ μὴ λύσαντι. τὸν γρῖφον ἔδει πιεῖν τὸ συγκείμενον ὅ ἐστι ἄκρατον ἢ ὕδωρ, τουτέστι κάθαρον ὑδαρές. ¶Γρίφοις, ζητήμασι.

Γριφόμενα, γραφόμενα ἢ ἐπαγγελλόμενα.

Γρομφάς, ὗς, παλαιά, σκρόφα, ὁμοίως καὶ ὁ γρομφίς.

Γρόνθων, ἀναφύσησις ἣν πρώτην μανθάνουσιν αὐληταὶ καὶ κιθαρισταί. ¶Γρονθονεύεται, θυμοῦται.

Γρόσφων, τάραξιν. ¶Γροῦμος. στρόβιλος.

Γρουάσεται, μηκύνεται, ὅσον ἐκτείνεται. ¶Γρομφεῖς, οἱ ζωγράφοι. ¶Γρῦ, ὁ ὑπὸ τῷ ὄνυχι ῥύπος, ὅδη δὲ καὶ τὸ ἐλάχιστον, καὶ ὁ γρυτὸ, καὶ τὸ βραχύ.

Γρυβός, γρύξ. ¶Γρύζειν, φθέγγεσθαι, λέγειν.

Γρύλλιον, ῥωσμὸν δρυός. ¶Γρυλλίων, ὁ χοῖρος.

Γρυλλίζοντα, γρύζοντα. ¶Γρυλλάζειν, γογγύζειν.

Γρύλλη, ὑῶν φωνή. ¶Γρύλλος, χοῖρος.

Γρύμνη, ἄνοκος. ¶Γρυμαία, ἐσθὴς καὶ ἀγγεῖον σκευοθήκη ἐν ᾧ ὁ γρύτη. ἤδη δὲ καὶ τὰ λεπτὰ σκευάσματα καὶ γρύτην λέγομεν. ¶Γρυμπάνειν, γρυποῦσθαι, συγκάμπτειν. ¶Γρῦνος, ὁ γρύψ. ¶Γρύξ, ὁ τόπος τοῦ ὄνυχος. ¶Γρύψαι, ὁμέρα κράξαι, ἢ ἠρέμα φθέγξασθαι, ὑλακτῆσαι. ¶Γρυπαί, αἱ νεοσσιαὶ τῶν γυπῶν· οἱ δὲ γυπαί. ¶Γρυπάνιον, γερόντιον ἢ γρυπάνιον.

Γρύπες, μέρος τῶν τῆς νεὼς σκευῶν καὶ ἀγκῦραι καὶ εἶδος ζῴου τετραπόδου ὃ καλοῦσι γύπην * ἐμέσην.

Γρυπνόν, στυγνόν. κατηφές. ¶Γρυπές, τὰ ἔξω τοῦ στόματος καμπυλώρρις ὁ ἐπικαμπῆ τὴν ῥῖνα ἔχων.

Γρυπόν, γρύψ. κατηφές, στυγνόν. ¶Γρύπτειν, γρυποῦσθαι, συγκάμπτεσθαι. ¶Γρῦται. σκεύη.

Γρυτεύεται, παρασκευάζεται. ¶Γρωθώνη, σαπρὰ γραῦς. οἱ δὲ τὸν παλαιὸν ὄνον. ¶Γρωθύλοι, μυλιοί. σπήλαια. ¶Γρωνάδες, θήλειαι. σύες.

Γρώνοις, τοὺς ἀκούοντας καὶ τοὺς μὴ λαλοῦντας. καὶ παλαιὸν ἀγγεῖον σκότινον καὶ τὸ κενὸν τοῦ δίφρου οὗ λόχοι κεῖνται. ἄλλοι δὲ τὸν ὀπὸν τοῦ πίξας δι᾽ ὃς τὰ χοινία πρὸς τὴν τῶν νεῶν στάσιν ἀσφαλίζοντο.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Υ.

Γ ύαι, ὁδοί. πλέθρα. ¶Γύαια, ἀπόγαια χοινία τὰ πρυμνήσια πείσματα, πλοῖα, πληγαί. ¶Γύαλα, θησαυροί. ταμεῖα. κοιλία. ¶Γύαλον κοῖλον. ἄλλοι περίβολον. ἄλλοι τὸ κύτος τοῦ θώρακος, τιθέασι δὲ καὶ ἐπὶ τοῦ κοιλώματος, καὶ δηλοῦται διὰ περιφράσεως ὁ πᾶς θώραξ. ¶Γυβᾶ, κολυμβᾶ. ¶Γυγᾶ, ἀθηνᾶ ἐγχώριος. ¶Γυγαί, πάπποι. ¶Γύας, γῆς. ¶Γυγαίη, λιμὴν ἐν λυδίᾳ.

Γυγαῖα νύξ. ἡ σκοτεινὴ γῆ. ¶Γυλός, μηνός.

Γυλίον, κόλπον. ¶Γυνότης, χωλός. ¶Γυομέ

μετεγγυμνάσθαι. ¶Γνύπτοντι, ἀσθενοῦντι.

Γ νωπῶνες, στυγνοί. κατηφεῖς, ἄτολμοι, πεζμένοι. ἢ μαλακοὶ ὑπὸ τοῦ ἐις γόνυ πεπτωκέναι. ¶Γνυφαὶ, γάπαι. ¶Γνώριμοι, μαθηταί. ¶Γνωρίμῳ, γινωσκομένῳ δωρικῶς. ¶Γνώριμος, οἰκεῖος, γινωσκόμενος. ¶Γνωρίσματα, τὰ συνεκτιθέμενα τοῖς παισὶν ἔξω τῶν περιρραίων. ¶Γνωρίσαι. φανερὸν ποιῆσαι. ¶Γνῶθι σαυτὸν, ἀπόφθεγμα χείλωνος φασί. ¶Γνῶμα τὸν βαλλόμενον ὀδόντα δι᾽ οὗ τὰς ἡλικίας ἐνδείκνυσι τῶν τετραπόδων. καὶ ὁ κατηρτικὼς ἤδη λιπογνώμων. λέγεται δὲ καὶ γνῶσις.

Γ νῶμαι, τὰ ψηφίσματα. ¶Γνώμη, διάθεσις ποιά τις καὶ γνώμη καὶ ἐπιστήμη. ¶Γνωμοτυπία, γνωμολογία ἀκριβὴς, ἀπὸ τοῦ γνῶναι, λέγεται καὶ τὰ ἐν τοῖς ἡλιοτροπίοις κέντρα καὶ τὸ περὶ τοῖς τακτικοῖς.

Γ νώμων, συνετὸς σοφοκλῆς. ¶Γνῶναι, κρῖναι, καὶ τὸ συνουσιάσαι. ¶Γνωσιμαχῆσαι, τινὲς μὲν τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν, τήν τε τῶν ἐναντίων ἰσχύν. ἄλλοι τὸ γνόντα ὅτι πρὸς κρείττονα ἔχει αὐτῷ μάχην ἡσυχάσαι ἢ μετανοῆσαι. ¶Γνῶσις, σύνεσις, εἴδησις, νόησις. ¶Γνωτὴ, ἀδελφὴ ἢ ἐρωμένη.

Γ νωτοί, ἀδελφοί, γνωστοί.

Γ νωτὸν, εὐεπίγνωστον, ποτὲ δὲ ἀδελφόν.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ο.

γ όνατα, τὸ ὄρειον φοίνικες. ¶Γοβρεῖαι φανοὶ λαμπτῆρες. ¶Γόγγρος, ἰχθύος εἶδος. καὶ ἡ γογγρώδης ἐπὶ ἐλαίας ἔκφυσις τὸ κάτω τοῦ στελέχους. ¶Γογγύζειν, τὸ θορύζειν τὰς ὗς φωνεῖν· ὅπερ ἔνιοι γογγυλίζειν, τὸ αὐτὸ καὶ γρυλίζειν λέγεται.

Γ ογγρῦσαι, ὡς χοῖρος φωνῆσαι. ¶Γογγρώνη, ἀπόστημα ἐν φάρυγγι. ¶Γογγύζειν, φθέγγεσθαι τὸ θορύζειν.

Γ ογγύλον, στρογγύλον. σκληρόν. ¶Γογγυλεῖν, συστρέφειν.

Γ ογγυλόσκινος, στρογγύλον ἔχων τὸ οἴκον ἢ τὸ στόμα.

Γ ογγυλεύματα. στρογγυλεύματα.

Γ ογγυλωπὰ, στρογγύλα, εὔτονα, γοργά.

Γ όγγων, μωρός. ¶Γόδα, ἔντερα μακεδόνες.

Γ οδᾶν, κλαίειν κύπριοι. ¶Γόδαρος, θύρα.

Γ οδὸν, γόητα. ¶Γοδρεῖς, θρηνῳδοί, πενθικῶς.

Γ όης, μάγος κόλαξ πειθήριος. ¶Γοητεύει, ἀπατᾷ, μαγεύει, πείθει, φαρμακεύει, ἐξαιδεῖ.

Γ οησίοδος, ᾠδὸς ἀπατεών. ¶Γοητικὸν, ἀπατηλὸν μαγικὸν τὸ δι᾽ ἐπαοιδῶν ἐσκευασμένον. ¶Γοιαυτὸς, φάρυξ. ¶Γοῖδα, οὐκ οἶδα. ¶Γοιδύες, ῥυτῆρες. ¶Γοίδημι, ἐπίσταμαι. ¶Γοιδοῦλος. λαλιός. οἱ δὲ γοδοῦλος. ¶Γοίνακες, βλαστοί. ¶Γοῖνος, οἶνος. ¶Γοιναῦτις, οἰνοχόη. ¶Γοινὲς, κόρακες.

Γ οῖσος, μέλαν, πλατύ. ¶Γοῖταρις. ¶Γοιταὶ. κεκραμέναι γραστίς. ¶Γῖτος, ῥύπος, πάθος. ¶Γοιτόσυρον, τὸν ἀπὸ ἅλωνα σκῦθαι. ¶Γολοινὰ, χλωρὰ ἢ γελονά.

Γ ολομένη, βοτάνη. ¶Γολύφειον. κέλυφος οἰκεῖον ταρεντίνοις. ¶Γολμοὶ, στολμοί. ¶Γόλμις, ψὰρ τὸ ὄρνεον. ¶Γόλαμος, διωγμός.

Γ όλανα, ἀγκύλη αὐπλαβεύς. ¶Γόλησις, κακοδαιμονία. ¶Γόλλακα, λάκκον. ¶Γόμος, ζωμός.

Γ όμνη, ὀρίγανον. ¶Γομφία, ὄργανον γομφοτήρια, ξύλα ἐις γόμφοις. ¶Γομφιασμὸν, συνθλασμὸν ἢ συντριμμὸν, ἢ μωλωπισμὸν ὀδόντων. ¶Γόμφοι. μῦλοι, σφῆνες, δεσμά. ἄρθρα, σύνδεσμοι, καὶ ὀδόντων γόμφιοι. ¶Γόμφοις, ταῖς τῶν ξύλων ἁρμονίαις.

Γ όμφοις, ὀδόντας ἢ τοῖς συνδέσμοις τῶν ξύλων ἢ μοχλούς. ¶Γομφοτήρια, ἧλοι. ¶Γόμορρα, μέτρον στάσις. ¶Γόμφιος, σφηνώδεσι. ¶Γομφοπαγῆ, συνηρμοσμένα. ¶Γομφῶσαι, συμπῆξαι.

Γ ονάδες, μητέρες. ¶Γονᾷ, κύει, γεννᾷ, φύει, καὶ γυναικεῖον αἰδοῖον. ¶Γόναρ, μητέρα λάκωνες.

Γ ονὰς, τέκνα. ¶Γονορρυὴς, οὗ ἡ γονὴ φέρεται ἀκουσίως. ¶Γονόρρυα, πάθος περὶ τὴν γονήν. ¶Γόνος, υἱὸς, γέννημα. φυλὴ, καὶ ὁ ἀπὸ γένους τῶν ὁμαίμων.

Γ όνοις, τέκνοις. ¶Γόνυ κάμψαι, ἀναπαύεσθαι.

Γ ονὴν, γένεσιν, μητέρα καὶ τὸ σπέρμα. ¶Γονὴς, νάρκισσος τὸ φυτόν. ¶Γονίμη, ἡμέρα ἡ περιττὴ καὶ μὴ ἄρτιος. ¶Γόνιμος, γνήσιος υἱὸς γνήσιος ὁ οὐκ εἰσποιητός. ¶Γόνιμον, εὔκαρπον. ¶Γονίας, δυσχερὴς αἰσχύλος ἀγαμέμνονι. ¶Γονοειδὲς, γονοειδικός.

Γ ονόεσσα, πόλις. ¶Γονιασμῶν, γονοτύλω τὸ τετυλωμένον περὶ γόνατι, τύλας δὲ λέγουσιν ἃ ἡμεῖς τυλώματα. ¶Γουνωνία, σάμψυχος.

Γ ονύκροτοι, ὅτοι βλαισοὶ ἤγουν τὰ γόνατα συγκρούει δηλοῖ, ἀπὸ τῶν δεινῶν ἐστιν ὅτε συγκρούουσι τὰ γόνατα.

Γ ουπετεῖ, παρακαλεῖ, δέεται, ἱκετεύει. ¶Γονόεσσα, πόλις πελοποννήσου. ¶Γόνυγρον, τὰ ἄκαρπα καὶ ξηρὰ πεδία. ἢ ὁ μεταφορὰ ἀπὸ τῶν γερόντων, μηκέτι σθένει δυναμένων τοῖς γόνασι. ¶Γόνον, μέτρον.

Γ ονώνη, ὀρίγανος. ¶Γόοιο, θρήνου. ¶Γόον, θρῆνον.

Γ όος, θρῆνος, ἢ θρηνητικός. ¶Γοόωσα, θρηνοῦσα.

Γ οράσδων, ἁλιάδων, δουλέλω σοφοκλῆς. ¶Γόργεια, προσωπεῖα. ¶Γοργίδες, αἱ νεάνιδες.

Γ οργόνες, αἶγίδες. οἱ δὲ τὰ ἤθη τῶν αἰγίδων πρόσωπα.

Γ οργολόφας, ἀπὸ τοῦ λόφου ἐπὶ περικεφαλαίας, καὶ ἐπὶ ἀσπίδος. ¶Γοργόνα, ἣν ἐπ᾽ αὐτῆς εἶχεν ὁ λάμαχος ἵνα τὸν λάμαχον εἴπῃ. ¶Γόργευσον, τάχυνον, σπεῦσον. ¶Γοργὸς, εὐκίνητος, ταχύς. σκληρός. λιπαρός. εὔγραφος. ¶Γοργῶπιν, φοβερόφθαλμον. ¶Γοργοπενέδραν, φοβερὰν καὶ καθέδραν ἢ ὄψιν. ¶Γοργῶπις, κρατῖνος ἐν πυλαίᾳ λίμνη φασὶ τὴν ἐν κορίνθῳ, εἰληφέναι δὲ τοὔνομα διὰ τὸ γοργὴν ἐμπεσεῖν εἰς αὐτήν. ¶Γοργωπὲν. πικρὸν τὸν βλέψιν, ἢ γοργαλίζειν, ἀδολεσχεῖν, αὐστηρόν.

Γ οργὼ, γοργότης, πέπλασται δὲ ὥσπερ τοῖς ἄλλοις ποιηταῖς ὡς ζολοχρύσω. τὰ γὰρ περὶ τὴν δανάην καὶ τὸν περσέα καὶ τὰς γοργόνας ὅμηρος οὐκ οἶδε.

Γ οργώψατο, πικρὸν ἔβλεψε. ¶Γοργείην, κεφαλὴν οὐ τὴν γοργόνα ἐκληπτέον, ἀλλὰ γοργότητά τινα καὶ φοβερὸν, ἡσίοδος δὲ πλανηθεὶς ἀνέπλασεν ἐκ τούτων τὰ περὶ τὸν περσέα ὅτι ἀπέτεμε τὴν κεφαλὴν γοργόνος. ¶Γοργοτάτω, γοργότατοι δωρικῶς. ¶Γοργύρα, ὑπόνομος δι᾽ αὗ τὰ ὕδατα ὑπεξείη. ¶Γοράπιες, ῥάφανοι. ¶Γορτύνα, πόλις. ¶Γόρτυξ. ὄρτυξ. ¶Γόργνος, μῦς βάτραχος. ¶Γοτὰν, ὗν μακεδόνες. ¶Γορὸς, κυρτός. ¶Γορυτὸς, θήκη τόξου. ¶Γοῦν, γόνυ. ¶Γοράτου, ἡσυχὸν, οἱ δὲ

Γ λαφυρός, αὐθηρός, λαμπρός. τορπνός. κοῖλος. ἡδύς. βαθύς. ¶ Γλάψαι, κοιλᾶναι, γλύψαι, ἐκξέψαι, σκαλεῦσαι, βαθῦναι. ¶ Γλαυκώπης, ὑπὸ ῥυγλεύκοις γενόμενος ἔκλυτος ἢ περιμένος ἀπὸ τῶν οἴνων. ¶ Γλεῦκος, τὸ ἀπόσταγμα τῆς σταφυλῆς πρὶν πατηθῆ. ¶ Γλεῦξις. οἶνος, ἕψημα. ¶ Γλέβα, ἀξίωμα συγκλήρου. ¶ Γλέφαρα, βλέφαρα, ὀφθαλμοί. ¶ Γλήνεα, οἱ δὲ ποικίλ' ἄττα καὶ γλήνων τὸ ποικίλον καὶ ζῶδια ἀγάλματα, ἔνιοι κἀκεῖνα πλάσματα ἀξιοθέατα. ¶ Γλῆνος, φάος. ¶ Γλήνη, κόρη ὀφθαλμοῦ, καὶ παίγνιον. οἱ δὲ τὸ οὐδενὸς ἄξιον, καὶ τὴν πεπλασμένην κόρην, πρόσοψιν, καὶ γλήνας τὰ κηρία τῶν μελισσῶν, ὄρη. ¶ Γλήνωτα, πονηρά. ¶ Γληχονοειδές, δίκταμον. ¶ Γλίον, εὔτονον, ἰσχυρόν. ¶ Γλοῖα. κόλλα. ¶ Γλοῖος, ῥύπος.

Γ λήχραι, κνῆμαι. ¶ Γλισχρόν, ἐνήλατον.

Γ λίσχρος, φειδωλός, σκνιφός, λίαν ῥυπαρός, ἐνήλατος, κολλώδης. ¶ Γλίσχρως, ὀλισθηρῶς.

Γ λίσσα, πόλις. ¶ Γλιᾶται, παίζει, ἀπατᾷ.

Γ λιττόν, γλοιόν. ¶ Γλίχῃ, ἐπιθυμεῖς. ¶ Γλίχεται, παίζει, ἐπιθυμεῖ, προθυμεῖται. ¶ Γλιχόμενοι, ἐπιθυμοῦντες. ¶ Γλιχόμενος, ἐπιθυμῶν.

Γ λιχύτης, ἀτυχής, ἢ ἐπίπονος, ἢ ἐρωτική. ¶ Γλιχός, φειδωλὸς καὶ γλίσχρος. οἱ δὲ πολυπράγμων, περίεργος. ¶ Γλίδου χοάναι, εἰς οἷς τύποις κατέρχεται τὸ ἐν τῇ χώνῃ διὰ τῶν κεντημάτων. ἦσαν δὲ πήλινοι. σοφοκλῆς. ¶ Γλοιάς, ἡ κακοήθης ἵππος, καὶ πολυδίκη παρὰ σοφοκλεῖ. καὶ γλοίης τὸ αὐτό.

Γ λοιάζειν, τὸ καταφερόμενον εἰς ὕπνον καὶ ἐπιμύειν τοῖς ὄμμασι καὶ κατειλλώπτειν. οἱ δὲ διεγγελᾶν.

Γ λοιητά, κακοήθη. ¶ Γλοιός, νωθρός, ἀσθενής, ῥυπαρός. ¶ Γλοιώδης, ναυστακτικῶς. ¶ Γλούρεα, χρύσεα, φρύγες γληρός, χρυσός. ¶ Γλουρί, τὰ περὶ κοτύλης σφαιρώματα. ¶ Γλουτόν, τὸ περὶ τὰ ἰσχία.

Γ λουτός, σφαίρωμα. ¶ Γλυκεῖα, ἡ γλυκύρριζα.

Γ λυκίων, ἡδίων. ¶ Γλυκή, βοτάνη τις ἐδώδιμος.

Γ λυκίννας, διὰ γλυκέος οἴνου πλακοῦς.

Γ λυκερῷ σιδωνίῳ, δρᾶμα δέ ἐστιν ἐν ᾧ περὶ θυμέλης ἄρχεται οὕτως, σιδώνιον ποτ' ἄστυ κάδμος ἐκλιπὼν ἀγήνορος παῖς, δεδέβοηται δὲ τὸ μέρος τοῦτο.

Γ λύκιον, ἥδιον. ¶ Γλυκύ, ἡδύς.

Γ λύκκα, ἡ γλυκύτης. ¶ Γλυκκόν, γλυκύ. ¶ Γλυκύν, τὸ γάλα καὶ τὴν χολήν. ¶ Γλυκύ, μελιχρόν.

Γ λυκυδερκής, ἡδὺ ἐν τῷ ὁρᾶσθαι. ¶ Γλυκυθυμία. ἡδονή. ¶ Γλυκύθυμος, αἱρεμένος. ἡδύς. ἁπαλόψυχος. ἥπιος. προσηνής. γλυκύς. ¶ Γλυκυσίδη, φυτὸν περιὸν συντελοῦν πρὸς ἀπόστημα ὑπὲρ τῶν γυναικείων.

Γ λυκύφαιον, τὸ ἐρυθρόδανον κρύτιον. ¶ Γλυκύφρουροι, τὰ ἐν οἴκῳ φρουροῦντες καὶ ἔνδον μέλιτος ὄντες.

Γ λύκων, ὁ εὐήθης. ¶ Γλύξις, ὁ αἱρεμένος οἶνος καὶ ἄτονος, ὃν ἔνιοι μὲν ἁπαλόστομον, οἱ δὲ γλεῦξιν.

Γ λυφεῖον, ἄνξον τι καὶ ὄρος. ¶ Γλυφίδες, αἱ χεῖλαι τῆς βέλους ἀπὸ τοῦ γεγλύφθαι καὶ κεκοιλάνθαι, εἰς ἃς ἡ νευρὰ ἐντίθεται τοῦ τόξου. ἐνίοτε δὲ καὶ τὰς τῶν ἀκίδων χηλὰς λέγει ὅμηρος, καὶ αἱ θαλάμαι.

Γ λύψαι, ξύσαι, χαράξαι. ¶ Γλωκὶς ἀγκών, παρὰ μίαν ἣν φασιν εἰρῆσθαι ἀπὸ τοῦ λεγομένου μακροῦ ἀγκῶνος ἐν τῷ νείλῳ κατ' ἀντίφρασιν, ἔστιν γὰρ δυσκόμιστον διὰ τὸ ῥεῦμα καὶ ἀηδές, ὅθεν λέγεσθαι τὴν παροιμίαν ἐπὶ τῶν αἰσχρόν τι δοκιμαζόντων, ἐπαινούντων δὲ ὡς καλόν, ἢ τοῦ ἐναντίου σπουδαῖον μὲν ἡγουμένων, χλευαζόντων δὲ ὡς φαῦλον. κλέαρχος δέ φησι τοὺς αἰγυπτίους ὑβρίζειν εἰς τὰς τῶν καταδεεστέρων γυναῖκας καὶ παρθένοις, καὶ τὸ χωρίον ἐν ᾧ ταῦτα ἔδρων ὀνομάσαι γλυκὺν ἀγκῶνα. ¶ Γλῶς, ὄνομα αἰγυπτίου τινός. ¶ Γλωσσαλγία, φλυαρία.

Γ λῶσσαι, φωναὶ καὶ σημεῖα ἐπὶ τοῦ ὕδατος παρὰ τοῖς δύταις. ¶ Γλώσσας. τὰς γλωσσίδας τῶν αὐλῶν καὶ τῶν ὑποδημάτων, καὶ τὰς λαλιάς.

Γ λώσσαργον, στόμαργον, ταχύγλωσσον. ¶ Γλωσσόκομον, θήκη. σορὸς ξυλίνη τῶν λειψάνων.

Γ λωσσοστροφεῖν, περιλαλεῖν καὶ στωμύλλεσθαι.

Γ λώνη, οὐδενὸς ἄξιον. ¶ Γλωρεῖν, χρονίζειν.

Γ λωρόν, νόμον. ¶ Γλωττοκόμιον, ἐν ᾧ οἱ αὐληταὶ ἀποτίθεισαν τὰς γλωσσίδας, καὶ τὸ γυναικεῖον αἰδοῖον.

Γ λωττοποιός, ὁ τὰς αὐλητικὰς γλωσσίδας ποιῶν.

Γ λωχῖνα, τὴν γωνίαν τοῦ βέλους, καὶ τριγλώχινας ὀϊστούς. καὶ γλῶσσαν καὶ ἄκρον. κυρίως δὲ γλωχῖνες αἱ τῶν ἀκίδων ἐξοχαὶ καὶ αἱ τοῦ ζυγοῦ γωνίαι.

Γ λώσσας οὐκ ἐμπήξεται. οὐκ ἂν διαφάγοιτο, οὐκ ἂν γεύσοιτο. ¶ Γλωσσαλγίδες, ῥεῖ τῇ γλώσσῃ ὅπλῳ χρωμένοις ὥσπερ ἀπὸ δι μεταφορικῶς.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ν.

Γ Νάθμοι, γνάθοι, σιαγόνες. ¶ Γναθμόν, τομώτατον καὶ αἱρετικώτατον. ¶ Γνάθοις. θηλείας ἢ γυναῖκας. ¶ Γναθοῦν, τὸ εἰς γνάθους τύπτειν. ¶ Γνάθων, παράσιτος. ¶ Γναμπτά, καμπύλα, πηκτά. ὑγρά. ¶ Γναμπτῆσιν, ἀνακεκλασμέναις, ἐπικαμπέσι. ¶ Γναμπτόν, εὔπειστον, ἔνυγρον. εὔγναμπτον. εὐμετάβολον.

Γ ναφέως, καθαίροντος ῥύπον. ¶ Γναμπτοῖς, χαλινούς. ¶ Γνάμψαι, κάμψαι, κλάσαι, πεῖσαι.

Γ νάμψεν. ἔξεστεν. ἤμυξεν. ¶ Γναπτάς, ἕλικας τὰ καμφθέντα ψέλλια. ¶ Γνάπτει, κάμπτει.

Γ ναταί, ἀκταί. ¶ Γναφάλιον, γναφάλλιον βοτάνη. ¶ Γνάφαλλον, τύλη. λέγεται δὲ καὶ διὰ τοῦ κ κνάφαλλον. καὶ ὁ γναφεύς, κναφεύς.

Γ νάφαλος, πηλός. ¶ Γναφεύς, εἶδος ἰχθύος.

Γ ναφῆναι, κλασθῆναι. καμφθῆναι.

Γ νήσιος, ὁ ἐξισονομούμενος, ἴδιος, οἰκεῖος.

Γ νοῖεν, μάθοιεν. ¶ Γνοίης κεν. εἰδείης ἄν.

Γ νοῖσαι, γνῶναι. ¶ Γνόφεον, μέλαν.

Γ νόφος, συννεφεία, δῖνος, ἄνεμος, ἀχλύς, σκοτομήνια. ¶ Γνώμη δίδωμι, συμβουλεύομαι.

Γ νάθοι: βόθροι, κοιλώματα. σπήλαια, θαλάμαι, καὶ τὰ ἐν τῷ βαδίζειν προσκόμματα. ἔνιοι γνυθούς.

Γ νύσον, νωθραίνειον. ¶ Γνύξ, ἐπὶ τὰ γόνατα.

Γ νυπτεῖν. ἀσθενεῖν. μαλακίζεσθαι.

Γ νυπῆσαι. γονυπετῆσαι.

Γ νυπετόν. ἀργόν, οἱ δὲ ἔκλυτον. ¶ Γνυπτοί, ἐκτεταμένοι, δειλοί. ἄλλοι δὲ κατηφεῖς καὶ κατεγνυπωμένοι

ἐσχηκώς. ¶ Γηγενῶν, τῶν τὰ γήινα ἐργαζομένων καὶ ἁμαρτανόντων, κατὰ κοινὸν λέγει πάντες ἄνθρωποι νοοῦνται γηγενεῖς. καθὸ τὴν ὑπόστασιν ἐπὶ γῆς ἔχουσι. ¶ Γηγγλιξ, γήλιγγος, ὁ ἄγριος μῦς.

Γηγενίδαι, οἰκεῖοι. ¶ Γήθειν, χαίρειν. ¶ Γήθησεν, ἐχάρη. ¶ Γηθῆσαι, ἡσθῆναι, χαρῆναι. ¶ Γηθήσει, χαρήσει. ¶ Γηθόσυνοι, χαίροντες.

Γηθία, ἤθη. ¶ Γηθόσυνος, χαίρων, περιχαρής.

Γηθόσυνον, χαίροντα, ἱλαρόν, χαροποιόν. ¶ Γηθοσύνη, χαρά, τέρψις, ἡδονή. ¶ Γήθοις, χαρᾶς.

Γήθυα, ἀμπελόπρασα. οἱ δὲ γητυλλίδας. οἱ δὲ μεγάλα κρόμμυα, ἄλλοι χλωρά. ¶ Γηΐτης, ὁ τὴν γῆν ἐργαζόμενος γεωργός. ¶ Γηλεχέες, χαμαικοῖται.

Γηλιᾶσθαι, κατέχεσθαι. ¶ Γηλεομένοις, συνειλημμένοις. ¶ Γηλιώμενοι, κατεχόμενοι. ¶ Γῆμα, ἱμάτιον. ¶ Γῆμαι, συνοικῆσαι. ¶ Γημαμένη, συνοικήσασα. ¶ Γήμασθαι, πεμηθῆναι. ¶ Γήνεια. ὅσα ἐκ τῆς γῆς ὠφέλιμα. ¶ Γήνεσθαι, κατέχεσθαι. ¶ Γήουχος, ὁ τὴν γῆν συνέχων.

Γήπεδα, χωρία, κτήσεις.

Γηπόνος, γεωργός, γεωμόρος.

Γηραί, τῷ γήρᾳ. ¶ Γηράλιον, δριμύ, μέλαν.

Γηράλιος, γέρων, γερόντης. ¶ Γηράμων. γραῖα.

Γηρᾶναι, γηρᾶσαι. ¶ Γηράνιον, γῆρας. ¶ Γῆρας, γηράσας κατὰ συγκοπήν. ¶ Γηράσει, φθίνει, λήγει.

Γηράσκοντα, κομίζοντα, γηροκομοῦντα.

Γῆρας, ὄφεως δέρμα. ¶ Γηρεῖν* ποιοῖς. ¶ Γηροί, γεωλόχοι. ¶ Γήρεια, τὰ τῆς ἀκάνθης ἐξανθήματα ἅπερ ἔνιοι πάπποις λέγουσι. ¶ Γηροβοσκῶ, γηροτροφῶ. ¶ Γηροκόμος, γηροτρόφος. ¶ Γηρουχεῖται, ὑπὸ γήρως ὀχεῖται, ἢ γῆρας τῆς ἀρχῆς ἔχει.

Γηρύεσθαι, φθέγγεσθαι, λέγειν. ¶ Γηρύοντες, φωνοῦντες, λέγοντες. ¶ Γῆρυν, φωνήν. ¶ Γῆρυς, φωνή. ὅθεν καὶ κῆρυξ τοῦ κ πρὸς γ συγγένειαν ἔχοντος.

Γηρωπίζεται, γεροντεύεται. ¶ Γῆς ὀμφαλός, ὁ τάφος καὶ Δελφοί. ¶ Γήτεια, κρόμμυα ἃ καὶ γήθυα καλοῦνται. ¶ Γητικὰ παρὰ Ἀλεξάνδρῳ ἐπιστολαὶ ποτήρια οὕτω καλούμενα.

Γηφάγοι, πένητες, ἄποροι, ὡς τὰς ἐκ γῆς βοτάνας σιτίζεσθαι τροφῆς ἀμοιροῦντες Καλλίμαχος ἐν Ἑκάλῃ. ¶ Γήχυτον, τὸ ἁπαλὸν τῆς γῆς.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ι.

Γία, ἄνθη. ¶ Γίαι. ὀδύναι. ¶ Γίαρον, ἔαρ. ¶ Γιγαλία, ἡ γῆ. ¶ Γίγας, δυνάστης, ἰσχυρός. ¶ Γιγαντία. ἡλικία ἡ πρότερον, καὶ οἱ κατοικοῦντες, γίγαντες. ¶ Γίγαντος, μεγάλου. ἰσχυροῦ. ὑπερφυοῦς. ¶ Γίγαρτις, σταφίς. ¶ Γίγαρτον, τῆς σταφυλῆς τὸ ἔνδον. ¶ Γιγγλισμός, περιπαλμὸς ἀπὸ χειρῶν, γέλως. ¶ Γιγγλισμοῖς, κιχλισμοῖς. ¶ Γιγγλίαν, κάλυμμα κεφαλῆς, ἐροῦντες.

Γίγγλος, νάνος. ¶ Γιγγλυμὸς ὁ στρεφόμενος γόμφος ἐπὶ τῶν θυρῶν καὶ ἐπὶ τοῦ θώρακος οἱ στροφεῖς. ἢ βαλλήμαρος εἶδος. ¶ Γιγγρασμός, ἦχος.

Γίγγει. ἐπιφώνημά τι* ἐπὶ κατὰ κώμεων λεγόμενον, καὶ εἶδος αὐλοῦ. ¶ Γιγγρίαι, αὐλοὶ μικροί, ἐν οἷς πρῶτον μανθάνουσιν. ¶ Γίγγρος, αὔλημά τι, ὅπερ ἔνιοι γίγγρον. οἱ δέ, αὐλοῦ γένος.

Γιγνῶν, οἱ δὲ γιγγῶν, παταικός, ἐπιπαταικός, ζαπτέζιος. οἱ δέ, αἰγύπτιον Ἡρακλέα. ¶ Γιγνώσκει, γινώσκει. ¶ Γιλλός, ἑτερόφθαλμος. ¶ Γιμάσαι*, σπαδόνων. ¶ Γιμβάναι, ζεῦναι. ¶ Γίν, σοί.

Γινίς, γερανὸς Τυρρηνοί. ¶ Γίννος, ὁ πατὴρ. ἵππος. ἡ δὲ μήτηρ ὄνος, ὄνομα νωθή. ¶ Γίξαι, χωρίσαι.

Γίο, αὐτοῦ. ¶ Γίπον, εἶπον.

Γίς, ἱμὰς καὶ γῆ καὶ ἰσχάς. ¶ Γισέμεναι, εἰδέναι.

Γίβας, φθεῖρας. ¶ Γισγόν, ἴσον.

Γίσον, μικρὸν τεῖχος. ¶ Γισία, ἐσχάτη.

Γισίαι, ἰσουργοί. ¶ Γισιῶ, παύσομαι. ¶ Γισχύν, ἰσχύν. ¶ Γιτέα, ἰτέα. ¶ Γίρνας τὰ δύο αἰδοῖα.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Λ.

Γλαγέας, γαλακτωμένας. ¶ Γλάζει, περύσσεται. κέκραγε. ¶ Γλάγος, γάλα. ¶ Γλαμός, μύξα. ¶ Γλάματα, ἀσπάλακοι.

Γλαμυρόν, αἱμῶδες, ἔνυδρον, ὑπόδακρυ.

Γλαισμοί, λόφοι. ¶ Γλαινοί, τὰ λαμπρύσματα τῶν περικεφαλαιῶν οἷον ἀστέρες.

Γλακκόν, γαλαθηνόν. ¶ Γλακῶντες, μεστοὶ γάλακτος. ¶ Γλαμῶντες, λημῶντες. ¶ Γλαμῶν. λημῶν. ¶ Γλαμᾶν, λημᾶν. ¶ Γλαμία, πόλις Κρήτης. ¶ Γλαμυξίαν, γλάμαν, λήμαν*.

Γλανίς, ἀργὸς καὶ εἶδος ἰχθύος. οἱ δὲ γλανεός.

Γλανοί, ἀχρεῖοι. ¶ Γλαμψοί, χαλινοὶ στόματος.

Γλάπτειν, πίνειν. ¶ Γλαβίς. ὄρος. ¶ Γλαυκή, ἰσχυρά, φοβερά, λευκή. ¶ Γλαυκία, ἢ γλαύκιον, βοτάνη τις. ¶ Γλαυκίζειν, ἀμβλυωπεῖν.

Γλαυκιόων, καταπληκτικὸν ἔμπυρον καὶ φοβερὸν βλέπων. ¶ Γλαυκός, λευκός. ¶ Γλαυκοφόρβιδες, ἵπποι εὐγενέστατοι. ¶ Γλαυκῶπις, φοβερὰ ἐν τῷ ὁρᾶσθαι, λαμπρόφθαλμος, εὐόφθαλμος.

Γλαύξ, νυκτόβας. πετεινὸν νυκτερινόν. ¶ Γλαύξ, νόμισμα Ἀθήνησι τετράδραχμον. ἐλέγετο δὲ καὶ ὄρχησίς τις καὶ ὄρνεον καὶ φυτόν. ¶ Γλαυσόν, λαμπρόν. θρασύ. ἰταμόν. ¶ Γλαύσσει, λάμπει, φαίνει φάσκει. ¶ Γλαυρόν, σεμνόν. ¶ Γλαῦκ' Ἀθήναζε, παροιμία ἐπὶ τῶν μάτην τι πραττόντων, ὡς παρ' εἰ γλαῦκας Ἀθήναζε ἄγοι. πληθύουσι γὰρ ἐνταῦθα γλαῦκες. ¶ Γλαῦκες Λαυρειωτικαί, Ἀριστοφάνης Ὄρνισιν, οἱ ἀργυροστατῆρες, ἐν Λαυρείῳ γὰρ τὰ μέταλλα τὰ ἀργυρεῖα. γλαῦξ δὲ τὸ ἐπιχάραγμα τοῦ στατῆρος.

Γλαύκου τέχνη. παροιμία ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων. Διονυσόδωρος δέ, τὴν περὶ τὸν σίδηρον κόλλησιν. Γλαῦκος γὰρ Χῖος σιδήρου κόλλησιν εὗρεν.

Γλαῦξ ἐν πόλει, παροιμία τῆς ἀληθείας, ἀνέκειτο ὑπὸ Φειδίου ἐν τῇ ἀκροπόλει.

Γλαῦξ ἵπταται. περὶ τῆς μάχης ἐν Σαλαμῖνι γλαῦκά φασι διαπτῆναι τὴν νίκην προσημαίνουσαν.

Γλάφει, γλύφει. ὀρύσσει. κοιλαίνει.

Γλάφυ. σπήλαιον, ἄντρον. ¶ Γλαφυραί, κοῖλαι, βαθεῖαι. ¶ Γλαφυρᾶς, αἰθηρᾶς. ἄλλοι δὲ κοίλης ἢ βαθείας. ¶ Γλαφυρὸν τερπνόν. κοῖλον. ἡδύ. βαθύ.

γυναικεία θεὸς πεποιημένου τοῦ ὀνόματος παρὰ τὰς γενέσεις ἐοικυῖα τῇ ἑορτῇ. διὸ καὶ ταύτῃ κύνας προστιθέασιν, ἔστι δὲ ξενικὴ ἡ θεὸς καὶ ἑορτὴ τῶν γυναικῶν.

Γ ενετῆει, πατρί. ¶ Γενετυλλίδας, δαίμονας.

Γ ένη, διάφορα, ὁ γενεὰ ἢ βλαστήματα.

Γ ενεῖδα, ἀξίνην. πέλεκυν. ¶ Γενιάς, ἔκγονος.

Γ ενικὰ, γενεά. ¶ Γενικόν, τὸ καθόλου περιεκτικόν.

Γ εννάδαι, εὐγενέστεροι, γενναιότεροι.

Γ εννάδας, γενναῖος, ἀνδρεῖος, εὐγενής, συγγενὴς μέλας.

Γ εννᾶειν, τὸ εὐγενὲς καὶ τὸ τῆς γενέσεως ἀρχηγὸν καὶ συγγενικόν. ¶ Γενναῖος, ἀνδρεῖος, εὐγενής. ¶ Γέννας, μείζος ἀδελφός. ¶ Γέννημα, παιδίον. ¶ Γεννῆται, οἱ τοῦ αὐτοῦ γένους μετέχοντες καὶ ἄνωθεν ἀπ' ἀρχῆς ἔχοντες κοινὰ ἱερὰ, οἱ δὲ, ὁμογάλακτες καὶ φράτορες συγγενεῖς τοὺς γεννήτας. ¶ Γεννητουργός, δημιουργός. ¶ Γεννήτορες, γονεῖς. ¶ Γεννητός, γνήσιος υἱός. ¶ Γεννήτορε. γονεῖς δυϊκῶς.

Γ ἕννου, κύπριοι καὶ λάβε καὶ κάθιζε. ¶ Γενούστης, ἐπὶ τοῦ θεοῦ ἐννοίας, ἢ γεννητικῆς. ¶ Γεννοί, οἱ γυμνοσοφισταί. ¶ Γεννόν, ἀρχαῖον. ¶ Γεννόν. κοῖλον.

Γ εννικῶς, ἰσχυρῶς, γενναίως. ¶ Γενοίατο, γένοιντο.

Γ ένυν, σιαγόνα. ¶ Γένυς, γένειον, πέλεκυς, μάχαιρα.

Γ εννιζαρέτ, παρὰ τὸ ἀρχόντων. ¶ Γενύεσσι, ταῖς σιαγόσιν, ἢ γνάθοις ὁ μητέρες. ¶ Γενύσθην, γένοιντο δυϊκῶς. ¶ Γένυσι, σιαγόσι. ¶ Γέντο, ἔλαβεν, ἀνέλαβεν. ¶ Γέντα, κρέα, σπλάγχνα. ¶ Γεντελισταί, οἱ ἐργάζοντες τῶν παιζόντων. ¶ Γεντιανή, ῥίζα τὶς οὕτω καλουμένη χωροῦσα εἰς τὰς ἀντιδόσεις.

Γ έντινοι, οἰκεῖοι. ¶ Γέντινος, ὕπνος.

Γ *έντερον, ἡ κοιλία. ¶ Γένυξ, πέλεκυς. ¶ Γεν/ων, τῶν πλειόνων. ¶ Γεοῦχος. ὁ τὴν γῆν ἔχων.

Γ έρα, τὰ τίμια. ¶ Γέραα, τιμαὶ, τίμια, γεραιάς. ἐντίμους γυναῖκας τὰς γέρας τι ἐχούσας. ¶ Γέραδος, αἰγιαλός. ¶ Γέραι, τιμή. ¶ Γεραίρειν, τιμᾶν, σέβειν. ¶ Γεραλέον, γέροντα ἢ ἀσθενῆ.

Γ εραρὸν, ἔντιμον, ἱλαρόν. μεγαλοπρεπῆ.

Γ εραίροντες, τιμῶντες, εὐφημοῦντες.

Γ εραιὸς, πρεσβύτης. ¶ Γεραιῶν, γερόντων, ἐντίμων. ἢ τιμῶν ὁ σεβῶν. ¶ Γεράζεται, τιμᾶται.

Γ εραίρει, τέρπει. τιμᾷ. ¶ Γεράνδρυες, αἱ παλαιαὶ δρύες καὶ τὰ παλαιὰ δένδρα, γεράνδρυα.

Γ ερανεῖδαι, οἱ τὴν φοινικὴν νικοῦντες.

Γ εράνιος, βοτάνης εἶδος. ¶ Γεραραὶ, ἱέρειαι κοινῶς. ἰδίως δὲ αἱ τῷ Διονύσῳ τῷ ἐν λίμναις τὰ ἱερὰ ἐπιτελοῦσαι τῷ ἀριθμῷ δεκατέσσαρες.

Γ εράνος, ὄρνεόν τι, καὶ ὄρχησις καὶ ὄργανον ξύλινον ἐν ᾧ κόπτουσιν οἱ ἀλφιτοποιοὶ τὰ ἄλφιτα.

Γ ερανουλκός, ὁ τοῦ χοροῦ τοῦ ἐν Δήλῳ ἐξάρχων.

Γ εραρώτερος, ἐντιμότερος, πρεσβύτερος.

Γ έρας, τιμὴ, σέβας, ἆθλον ἀρετῆς. ἀμοιβή. θαῦμα. δωρεά. ¶ Γεράσμιον, τίμιον. ¶ Γερασφόρος, ὁ τὰς τιμὰς φέρων. ¶ Γέραντας, αἰθίοπας.

Γ έργανα, ἐργαλεῖα. ¶ Γέργινα, πολλά. ¶ Γεργέριμος, ἐλάας εἶδος τὸ ἐπὶ ἐλάας ῥυσσόν.

Γ ερκεινής, διάβολος. ¶ Γέργερος, βρόγχος.

Γ ερύλλος, ζῷον. ¶ Γέρνηθος, πόλις. ¶ Γεργῖνος, διάφορος, διάβολος. ¶ Γέργυπες, νεκροί.

Γ έργυρα, αὐλὸ. δεσμωτήριον. ¶ Γερδιός, ὑφάντης.

Γ έρηρα, ἐτίμησα. ¶ Γεραιστός, ἀκρωτήριον τῆς Εὐβοίας.

Γ έρην, ἔντιμος. οἱ δὲ, γεραιός. ¶ Γερήνιος, ἔντιμος, γέρων. ¶ Γερηνιάδες, αἱ τῶν ἀρίστων ἀνδρῶν γυναῖκες. ¶ Γερηθρεόν, ἱλαρόν.

Γ ερινθοι, ἐρέβινθοι. ¶ Γερητεία, ἀπώλεια.

Γ εροίταν, πάσσαλον κριτῶν. ¶ Γερμανικός, ἔθνος.

Γ έρων, πρεσβύτερος. ¶ Γερηντίας, πάππους.

Γ ερουσία, πρεσβυτέριον, πλῆθος γερόντων.

Γ έροντες, ἔντιμοι. ¶ Γερούσιον, τὸ τοῖς ἐντίμοις κατὰ γέρας διδόμενον. ¶ Γερῶα, γερόντια, ἢν τὸ σύστημα γερόντων. ¶ Γέρων, ἐπὶ μὲν τοῦ ἐντίμου, κἀκεῖ κλήσκεν δὲ γέροντας ἀριστῆας. γέρας γὰρ ἡ τιμή. ἐπὶ δὲ τῆς ἡλικίας, ὦ γέρων. ¶ Γερᾶ, ἡ γεραιά, ἱμάς. ¶ Γέρρα, τὰ σκεπάσματα πάντα ἢ τὰ δερμάτινα σκεπάσματα. ¶ Γέρρα, τὰς σκηνὰς, καὶ τὰ γυναικεῖα καὶ ἀνδρεῖα αἰδοῖα. γέρρας.

Γ ερράδια, σερωτηρίδια. ¶ Γέρρα, τὰ ἀπὸ καλάμων ἢ παπύρων ἐργαστήρια. ¶ Γερρῶ, ἀπώλωλα.

Γ έρσυμνιν, ἄκρον ἀλιευτικοῦ καλάμου. ¶ Γερίς, γέρων. ¶ Γερύτας, γέρων. ¶ Γεροάκται, οἱ δήμαρχοι παρὰ Λάκωσιν. ¶ Γερωνία, γεροντία παρὰ Λάκωσι καὶ Λακεδαιμονίοις καὶ Κρησί.

Γ ερώνοιον, κοῖλον, κενόν. ¶ Γέρως, τιμήματος, ὁμοίως τιμῆς. ¶ Γέσμα, γεῦμα. ¶ Γέστα, γογγυλίς.

Γ εστία. ἐνδυτῆς, μέλη, ἱμάτια. ¶ Γέστρα. στολή.

Γ έτις, ἐλπίς. ¶ Γέτοι, ἔτι. ¶ Γετός, ἐνιαυτός.

Γ εῦμα, γεῦσις, ἔδεσμα. ¶ Γευνέων, γονάτων.

Γ εῦ, μωὸν τίαρα. ¶ Γεύσασθαι, πειρᾶσαι, ἅψασθαι.

Γ εύσει, ἀποπειράσει. ¶ Γευστρίνην, σκῦλον.

Γ ευλόφας, ἡ γηλόφα ὄχθη. τινὲς δὲ, ὀρηγκώλη.

Γ ευσώμεθα, ἀλλήλων πεῖραν λάβωμεν.

Γ εφύρα, διάβαθρα ὁδός. πέραμα, διάβασις.

Γ εφύρας, διόδους, τάξεις, ὑποδοχὰς, τὰ μέσα τῆς φάλαγγος. ¶ Γεφυρίς, πόρνη τις ἐπὶ γεφύρας ὡς ἡρακλέων. ἄλλοι δὲ οὐ γυναῖκα. ἀλλ' ἄνδρα ἐκεῖ καθεζόμενον τῶν ἐν Ἐλευσῖνι μυστηρίων συγκαλυπτόμενον ἐξ ὀνόματος σκώμματα λέγειν εἰς τοὺς ἐνδόξους πολίτας. ¶ Γεφυρισταί, οἱ σκῶπται, ἐπεὶ ἐν Ἐλευσῖνι ἐπὶ τῆς γεφύρας τοῖς μυστηρίοις καθεζόμενοι ἔσκωπτον τοὺς παριόντας. ¶ Γεφύρωσε, διαβατὴν ἐποίησε τὴν ὁδόν. ¶ Γεώργης, ὁ ἡρακλεῖς.

Γ εώδης, πηλώδης. ¶ Γεωμέτρης, ὁ τῆς γῆς μέτρων τὰ μόρια. ¶ Γεωμόρος, γεωργός. ¶ Γεωμόριον, τὸ τῆς γῆς μόριον. ¶ Γεώνα, ὗς θήλεια. λακώνων.

Γ εωνόμοι, οἱ ἐν ταῖς ἀποικίαις διατεμόμενοι κλήρους καὶ νέμοντες τὴν γῆν. ¶ Γεωπεῖναι, οἱ γῆς πενόντες καὶ ἀπορούμενοι. ¶ Γεωργίτης, γεωργός.

Γ έωρες, γεωφύλακες, μέτοικοι, πάροικοι. ¶ Γεωφάνιον, μέταλλον τῆς κεραμίτιδος ἢ ἄλλης ἐργασίας.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Η.

γ

Ηγενεῖς, ἄνδρες, γυναῖκες. ¶ Γηγενέτα. γῆς αἱρεταί. ¶ Γηγενέταις, γηγενέσι. ¶ Γηγενὴς, ὁ ἐκ τῆς γῆς τὴν γένεσιν

ὑπὲρ τὴν χρείαν, ἤγουν περιμαργεῖν. ¶Γαστρίμαργοι, τῇ κοιλίᾳ μαινόμενοι, ἀκρατεῖς. ἄπληστοι, πολυφάγοι. ¶Γάστριον, πέμμα τι σησαμῶδες παρὰ ἀκεισίῳ. ¶Γάστρις, ὁ πολυφάγος, ἢ ἀκρατὴς περὶ τὴν γαστέρα. ¶Γαστρίσαι, εἰς τὰ στέρνα πλῆξαι ἢ χορτάσαι. ¶Γαστρολλὸς, προπάστωρ ἢ γαστροποιῶν.
Γ αστρόπτης, σκεῦός τι μαγειρικόν. ¶Γαστρώα, ἡ πηγυλίς. λάκωνες. ¶Γατάλαι, φυλαί. ¶Γάστρια, τὰ σπαρθέντα πρὸς τὸ λιστρευθῆναι, οἱ δὲ κύαμοι ἢ ῥάφανοι, διὰ τὸ ἐν κόπρου χρῶνται, ὅταν αὐξηθέντα λιστρευθῇ. ¶Γαῦλος, ὁ ἐξ ἀλλοτρίων ζῶων, ὁ κάδος ἐν ᾧ τὰ πλοῖα ἀντλεῖται. ¶Γαῦλοι, τὰ ποιμενικὰ τοῦ γάλακτος ἀγγεῖα, καὶ τὰ φοινικὰ πλοῖα. γαῦλοι καλοῦνται καὶ γαυλικὰ χρήματα τὰ ἀπὸ τῶν πλοίων, τινὲς δὲ καὶ τὰς χύτρας γαύλους καλοῦσι.
Γ αῦρηξ, ὁ γαυριῶν. ¶Γαῦρις, ὁ σεμνυνόμενος.
Γ αυριᾷ, σεμνύνεται. χαίρει. ¶Γαυρίαμα, καύχημα. ἔπαρμα, φρύαγμα. ¶Γαυριῶν, χαίρων, ἀπαλλόμενος, ἐπαιρόμενος, ἀλαζονευόμενος.
Γ αῦρος, αὐθάδης, σεμνός. μεγαλοπρεπὴς ἢ μετέωρος παρ' Εὐριπίδῃ Φιλοκτήτῃ. ¶Γαύρῳ, μεγάλῳ ἀκαταλήπτῳ. ¶Γαυσάδης, ψαύδης.
Γ αυσαλίτης, ὄρνεον παρὰ Ἰνδοῖς. ¶Γαυσόν, σκαμβόν, στρεβλόν. ¶Γαυσῶσαι, προσπλάσαι, κάμψαι.
Γ αφάτα, σκώληξ, ὃν ὁ μὲν τῆς γῆς ἔντερον λέγουσι Συρακούσιοι. ¶Γάφυτον, γηγενές. ¶Γάφυρον, ἐκ γῆς ῥέον. ¶Γδούπησεν, ἐψόφησεν.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ε.

Γ έαρ, ἔαρ. ¶Γέβοις, ζυγά. ¶Γεάπια, κυράλλιαι. ¶Γεγάασι, γεγενημένοι εἰσίν. ὑπάρχουσι. ¶Γέβουτον, ψόφον.
Γ εγάκω, γεγενημένος ὦ. ¶Γεγάλημαι, γεγαλήνισμαι, διακέχυμαι. ¶Γεγανωμένη, λελαμπρυσμένη. ¶Γεγαυῖα, γεγενημένη. ¶Γεγαώς, γεγονώς, ὑπάρχων. ¶Γεγαῶτα, γεγονότα, ὑπάρχοντα. ¶Γέγγει, βρέχει. ¶Γέγηθεν, χαίρει, ἥδεται, γελᾷ. ¶Γεγηθότων, χαιρόντων.
Γ εγηθὼς, χαίρων. ¶Γεγηώτας, τρίγλας, οἱ δὲ βάτον.
Γ έγλαυται, κεκοίλανται. ¶Γεγλύπονται, αὐτεγκλείονται. ¶Γεγραμμένοι, διεζωγρακισμένοι ἢ ἐζωγραφημένοι. ¶Γεγριφὼς, ὁ ταῖς χερσὶν ἀλλοιῶν. ¶Γεγυναικωμένα, πέμματά τινα ὧν γυνὴ ἧψαρ, καλεῖται οὕτω. ¶Γεγυρανωμένον, κεκαυμένον, ἢ τονηκότα περὶ τὸ στόμα. ¶Γεγωνεῖ, αἱ ὁμιλίαι. ¶Γεγωνεῖν, μεγαλοφωνεῖν ἤδη δὲ φθέγγεσθαι.
Γ εγωνοκόμη, ὁ μέγα κεκραγυῖα.
Γ εγωνόν, τὸ διακουστόν, μεγαλόφωνον. ¶Γεγωνὸς, μεγαλόφωνος. ¶Γεγωνέειν, διακουστὸν βοᾶν.
Γ έγωνεν ἐν καλῷ ἐν καλλίστῳ. ¶Γεγωνέσω, βοάτω.
Γ εγωνέμεν, διάκουστον φωνεῖν. ¶Γεγωνίσκει, λέγει.
Γ εγωνὼς, κράξας. ¶Γεγωνὼς, κραυγάζων, βοῶν.
Γ εγώς, γεγονώς, ὑπάρχων. ¶Γεῖ, τῇ γῇ. ¶Γειτπόνος, γεωργός. ¶Γειτνοιᾶ, γειτονεῖ. ¶Γειναμένη, ἐνεγκαμένη, ἢ πατρὶς ἀφ' ἧς ὑπάρχει. ¶Γειναμένοις, γονεῦσι. ¶Γείνατο, ἐγέννησε. ¶Γεινεῖ, γεννήσει. ¶Γεῖθρον, ἔνδυμα. ¶Γεῖσα, τὰ ἐν ταῖς οἰκίαις ἢ τειχῶν ἐξέχοντα κυμάτια, οἱ δὲ πρὸς τῶν θυρῶν στέγασμα, καὶ τὰς ὤας τοῦ ἐνδύματος γείσεις λέγουσιν. ¶Γεισοκόμον, γεωργόν. ¶Γείσους, ἐξοχὰς τῶν οἰκοδομῶν. ¶Γεῖσα, ἐκθήματα.
Γ εισηπολίζειν, τὸ προσβάλλειν τὰ τείχη ἐν τοῖς τοίχοις.
Γ εῖσον, στεφάνωμα οἴκου. ¶Γείσωσις, τὸ τῆς στέγης ἐξέχον. ¶Γείτη, βάμματα ἐξ ἐρίων.
Γ ειτνία, πλησιασμός. ¶Γειτνιῶντες, πλησιόχωροι.
Γ ειτνιῶν, ἐγγίζων. ¶Γειτνίαι, γειτονίαι.
Γ ειτνιᾶν, γειτονεῖν. ¶Γεῖτον, ἐγγύς. ἢ γεῖτον τῷ αὐτῷ. ¶Γειτόνημα, γειτνίαμα. ¶Γείωρας, γείτονας ἐξ ἄλλου γένους καλουμένους παρὰ Ἰσραὴλ προσηλύτους, ἢ τοὺς περὶ τὴν γῆν διαπονουμένους.
Γ έκαλον, ἥσυχον. ¶Γεκαθά, ἑκοῦσα. ¶Γέλαν, αὐγὴν ἡλίου. ¶Γέλανοι, εἶδος ἵππων δυσηνιῶν καὶ εἰς πόλεμον οὐκ εὐθέτων. ¶Γελαρὶς, σελήνη λάκωνες. ¶Γέλαρος, ἀδελφοῦ γυνὴ φρυγιστί.
Γ ελαιώς, ὁ γέλως. ¶Γέλας, ναύτης. ¶Γέλγει, βαπτίζει, χρωματίζει. ¶Γέλγη, ὁ ῥῶπος καὶ βάμματα καὶ ἄβακοι καὶ κτένες. ¶Γελγοπωλεῖν, ῥωποπωλεῖν, παντοπωλεῖν. ¶Γέλγια, τύλη, σπάθη. κουλάεια. ¶Γελγίδες, αἱ τῶν σκορόδων κεφαλαί. ¶Γελγηθεύειν, ἀπατηλογεῖν.
Γ έλεα, τέλεα. ¶Γελεῖν, λάμπειν, ἀνθεῖν. ¶Γέλενος, ἀσφόδελος, νάρκισσος. ¶Γέλιν, ὁρμινάν.
Γ ελανδρόν, ψυχρόν. ¶Γέλινθοι, ἐρέβινθοι.
Γ ελλίζειν, γιγγλίζειν. ¶Γέλλαι, τίλλαι.
Γ ελίκη, ἕλιξ. ¶Γελλίξαι, συνειλῆσαι. ¶Γελλώ, εἴδωλον ἐμπούσης τὸ τῶν δώρων τῶν παρθένων.
Γ ελλώ. δαίμων ἣν γυναῖκες τὰ νεογνὰ παιδία φασὶν ἁρπάζειν. ¶Γελοδυτία, ὁ λιοδυσία*. ¶Γελοίιον, γέλοιον, γέλωτος ἄξιον. ¶Γελοῖος, ἱλαρός. γελοιαστὸς, καὶ ὁ καταγέλαστος ἄνθρωπος καὶ λοίδορος.
Γ έλων. γέλωτα ἢ γέλοιον. ¶Γέλυβον, ἔλυβον ἤγουν λέπυον. ¶Γελσὸν, ἀτυχές. ¶Γελχάνος, ὁ Ζεὺς παρὰ Κρησί. ¶Γελωμάξαι, γελοιάσαι. ¶Γέλως, μαιαικὸς, ὁ σκωπτικός. ¶Γελωτινος, καταγέλαστος. ¶Γέμματα, ἱμάτια. ¶Γεμεῖν, κύειν.
Γ εμπρὸς, κοιλός. ¶Γέμος, γέμισμα, πλήρωμα.
Γ εμπύλοις, τοὺς ἰχθῦς, τὰς πηλαμίδας. ¶Γενάρχου, πατρός. ¶Γενέθλιον, γέννημα. ¶Γενεά, φυλὴ ἢ διάστημα χρόνου τῶν μὴ κατ' αὐτὸ βεβιωκότων, ἔστι δ' ὅτε δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων. τὴν δὲ γενεὰν ὑφίστανται ἐτῶν, οἱ μὲν, κ. οἱ δὲ, κε. οἱ δὲ λ'.
Γ ενεὰ, ἡλικία, εὐγένεια, συγγένεια γενεῇ πρότερος, προγενέστερος. ¶Γενέθλης, γενεᾶς, γενέσεως.
Γ ενέθλια, τὰ ἐπὶ τῇ πρώτῃ ἡμέρᾳ δῶρα, καὶ ἡ εὐωχία. ¶Γενέθλιον, τέκνον. ¶Γενειάδες, αἱ περὶ τὸ γένειον τρίχες, γενειᾶς ἴουλος. ¶Γενείτης, πωγωνίας. ¶Γενέθυστρος, νεώτερος. ¶Γενεός. εἶδός τι πλέκεος, γενεολογία. ¶Γενέσια ἑορτὴ πάνδημος Ἀθηναίοις. οἱ δὲ τὰ νεκύσια ἐν τῇ ἡμέρᾳ τῇ γῇ θύουσι. γένεσιν πατέρα. ἢ μητέρα. ¶Γενέτις Κύπρις, ὁ αὐτὸς δὲ παρὰ Κυπρίοις. γενεσιουργία. ¶Γενέταν πατέρα ἢ γενέτην. ¶Γενέτας, ἔκγονος. ¶Γενετυλλίς.

Γ αισὸς, ἐμβόλιον ὁλοσίδηρον, καὶ ὄνομα ποταμοῦ. οἱ δὲ μισθὸν, ἢ ὁπλοφοράμωτήριον. ¶ Γαῖται, γεωργοί.
Γ αίων, γαυριῶν. ¶ Γαιὸς, μακροκερτὴς, ἢ κονριὰ λαμβάνων. ¶ *Γάκα, ἡ δέος. ¶ Γαιὼν, ποταμὸς παρ' ἕλλησι νεῖλος. ¶ Γαγγῦαι, γλυκεῖαι.
Γ άκεινα, σησαμὸς γῆς. ¶ Γακινίαν, τὴν σησαμόν.
Γ άκυ, ἡδύ. γλυκύς. ¶ Γακούδα, ἡδύσματα.
Γ ακουτζάνης, ἡδυποτιστής. ¶ Γακτὸς, κλάσμα.
Γ αλαθινὸν, ὑποτίτθιον νέον. ¶ Γάλα. ἡδύ. ¶ Γαλακρκόμος. ποιμήν. ¶ Γαλακτώδης, οἰνός τις.
Γ αλακτιῶντες. γάλακτος μεστοί. ¶ Γαλακτοφάγων, ἀβίων, γάλα ἐσθιόντων καὶ τόξα μὴ ἐχόντων.
Γ αλαξία. ἑορτὴ ἐν, ἡ ἕψουσι γαλαξίαν. ἔστι δὲ πλακοῦς κρίθινος ἐν γάλακτι. ¶ Γαλαθίας, ἰχθῦς ὁ ὀνικός.
Γ άλας, γῆ παρὰ θεσσαλοῖς. ¶ Γαλάσιον, ἐνηρόσιον.
Γ αλααδ, παλαιῶν ὄνομα, ὁ μέτοχος. ¶ Γαλαλὰ, πόλις ἔθνους. ¶ Γαλατμὴν, λάχανον ἄγριον.
Γ αλδρὸν, γαληνόν. ἱλαρὸν, εὔδιον. ¶ Γαλεοὶ, μάντεις οὕρι κατὰ τὴν σικελίαν ᾤκησαν, καὶ γένος τι ὥς φησι φανόδημος, ἐκ ῥίνθων. ταραντῖνοι. ¶ Γαλεώτης, ὁ ἀσκαλαβώτης, καὶ ἰχθῦς, καὶ ζῶον χερσαῖον.
Γ άλη, ὀξέδρας εἶδος καὶ ἐν ἡ παλαιὰ τὸ ζῶον.
Γ αλήνη, τὸ ἐπιπολάζον ἐν τῇ μεταλλείᾳ τοῦ ἀργύρου χωνευομένου. ¶ Γαλιωὸν, ἥσυχον, ἱλαρὸν, εὔδιον.
Γ αληρὸν, τὸ αὐτὸ καὶ γαλερόν. ¶ Γαλῆ, ταρτησία. ἡ ταρτησὸς ἔξω τῶν ἡρακλείων στηλῶν ἧς ἀργανθώνιος ἐβασίλευσεν, ἔστι δὲ ἡ πόλις αὕτη πρὸς τῷ ὠκεανῷ μεταλληλίαν, ὡς τῶν ἐκεῖ μετάλλων γινομένων γαλῶν εἶπε. ¶ Γαληψὸς, παίζει περὶ εὔπολις παρὰ τὸ λαμβάνειν. ἔστι δὲ ἡ πόλις, καὶ βοτάνης εἶδος μέλι, ἱκανόν.
Γ αλιαγκὼν, ὁ τὸν βραχίονα ἐλάττονα ἔχων.
Γ αλίαι, οἱ ὀνίσκοι. ¶ Γαλίνη, ὄνομα κυβείου ἑταίρας.
Γ αληδία, κρατῖνος λέγει δὲ ὡς τὸν εὐτελῆ, καὶ ὡς παλὸν παῖδα γαλήδια. ¶ Γάλινθοι, ἐρέβινθοι. οἱ δὲ γάλ
¶ Γαλιὸς, παράλειος. ¶ Γάλις, γαλεός.
Γ αλιώσης, ἀκολασταινούσης. ¶ Γάλλαρος, φρυγιακὸν ὄνομα παρὰ λάκωσι. ¶ Γάλλια, ἔντερα.
Γ άλλοι, ἦλοι. ¶ Γαλλιῶτη, ἀσκαλαβώτη. λάκωνες.
Γ άλλος, ὁ ἀπόκοπος ἤτοι ὁ εὐνοῦχος. ¶ Γάλως, ἡ τοῦ ἀνδρὸς ἀδελφή. ¶ Γαλονὶς, χρῶμα ἵππων τὸ ὀνοειδές. ¶ Γαλὶς, ἡ τοῦ ἀνδρὸς ἀδελφὴ καθάπερ κασάνδρα τῇ ἀνδρομάχῃ. ¶ Γαμάλη. κάμηλος παρὰ χαλδαίοις. ¶ Γάμβειον, βυβλίον. ¶ Γαμβεία, δῶρα, ἢ δεῖπνα γαμβροῦ. ¶ Γαμβρὸς, ὁ ἀνὴρ τῆς θυγατρός. ¶ Γαμήσεται, εἰς γάμον ἄξεται.
Γ αμηλία. θυσία εἰς γάμον, παρασκευὴ καὶ δεῖπνον ὃ τοῖς φράτερσιν ἐποίει ὁ γαμῶν. ¶ Γαμήλιος, ὁ εἰς τοὺς γάμους πεσσόμενος πλακοῦς. ¶ Γαμηλίων, ὁ τῶν μηνῶν τῆς ἥρας ἱερός. ¶ Γαμησείειν, γαμητικῶς ἔχειν, καὶ γαμεῖται μὲν ἡ γυνή. γαμεῖ δὲ ὁ ἀνήρ.
Γ άμμοροι, ἀμέτοχοι, ἐστερημένοι. ¶ Γάμοι, ἡ πρώτη ἡμέρα τῶν γάμων. ἡ δὲ δευτέρα παλία. ¶ Γαμοτελεῖν, γάμοις ἐπιτελεῖν. ¶ Γάμοροι, οἱ διελόντες τὴν γῆν ποιούμενοι, ἢ μοῖραν εἰληχότες τῆς γῆς, ἢ οἱ ἀπὸ τῶν ἐσπείων τιμημάτων τὰ κοινὰ διέποντες. ¶ Γαμφῆλαι. γνάθοι, σιαγόνες. ¶ Γαμφαὶ, αἱ γνάμφαι, γνάθοι, ὅμηρος δὲ ἐπὶ ἀλόγων. ¶ Γαμφολῆσι, σιαγόσι.
Γ άμψηλοι, πόλις μακεδονίας. ¶ Γαμψὸν, ποικίλον, καμπύλον, ἐπικαμπές. ¶ Γαμψώλα, κάμπαι. οἱ δὲ, ἄκρον ἡ περιφέρεια. ¶ Γαμψώνυχας, ἐπικαμπεῖς ὄνυχας ἔχοντας. ¶ Γάμων ἔθη, τὰ προτέλεια καὶ ἀπαρχαί. καὶ τειχῶν ἀφαιρέσεις τῇ θεῷ πρὸ μιᾶς τῶν γάμων τῆς παρθένου. ¶ Γάνα, ἀστεῖον σκαφῶν παρὰ ταλήσιον. ¶ Γάνα. χέρσος. γῆ.
Γ άναι, περιπτύξαι. ¶ Γανάσαι, σμῆξαι, ἡδῦναι, γανάσας, καλῶς. ¶ Γαναυπίας, τελείους ἐν τῷ ὁρᾶν.
Γ ανδᾶν ἢ γανᾶν, λάμπειν. ¶ Γανδάνειν, ἀρέσκειν.
Γ άνδαρος, ὁ ταυροκράτης παρ' ἰνδοῖς. ¶ Γάνδιον, κιβώτιον. ¶ Γάνδωμα, πυροί. ¶ Γανδάμιλον, ἄλευρα. ¶ Γάνδος, ὁ πολλὰ εἰδὼς καὶ πανοῦργος, τινὲς δὲ γάδος. ¶ Γάνεα, κόποις. ¶ Γανεῖν, λευκαίνειν. ¶ Γανιταὶ, δέπαινοι. ἄσωτοι. ¶ Γάνος, παράδεισος. χάρμα, φῶς, αὐγή. λευκότης. λαμπηδών. ἡδονή, καὶ ἡ ὕαινα ὑπὸ φρυγῶν καὶ βυθηνῶν.
Γ ανόωντες, λελαμπρυσμένοι, λάμποντες. ¶ Γάνυμαι, χαίρω. ¶ Γανύμενος, χαίρων. ¶ Γανυρὸν, λευκόν. ἡδύ. ἱλαρόν. ¶ Γανύρματα, ἀρτύματα.
Γ ανύσεται, χαρήσεται, διαχυθήσεται, αὐξηθήσεται, εὐφρανθήσεται. ¶ Γάνυται, χαίρει, εὐφραίνεται. λαμπρύνεται, καὶ γελᾷ, ἥδεται. ¶ Γανυτελεῖν, γανοποτεῖν, ἡδύσματα πιεῖν. ¶ Γανωθεὶς, λαμπρυνθείς.
Γ ανῶσαι, λαμπρῦναι. ¶ Γάποδες, ἄγροικοι, καὶ οἰκεῖοι. ¶ Γαπελεῖν, ἀμελεῖν. ¶ Γάπος, ὄχημα, τυῤῥηνοί. ¶ Γάραβος, ὀλολυγών. ¶ Γάρα, αὔξεροσ. ¶ Γαργαίρειν, λάμπειν, πληθῦναι, κινεῖσθαι, σπαίρειν. ¶ Γάργαλα, πλῆθος. πολλά.
Γ αργαλισμὸς, κίνησις σώματος. ¶ Γαργαλίζει, ἐρεθίζει. ¶ Γαργαλισμὸς, γαργαλισμὸς, ἡ δυσπάθεια πως. τὸ δὲ αὐτὸ καὶ γάργαλος καὶ γαργάλη.
Γ αργαρὴς, θόρυβος. ¶ Γαργαρέων, κιονὶς, ἡ καὶ σταφυλίς. ¶ Γάργαρον, ἀκρωτήριον ὄρους ἴδης, καὶ πόλις βοίας πλησίον αὐτάνδρου. ¶ Γάργασις, γαργαλέη, ὑποστάθμη. ¶ Γαργάρεται, λίθοι αὐτοφυεῖς.
Γ άρελον, γέρος καὶ ἔλαιον. ¶ Γαργηττὸς, δῆμος ἀθήνησι τῆς αἰγηΐδος φυλῆς, ὅπου δοκεῖ κεῖσθαι τὸ σῶμα εὐρυσθέως. ¶ Γαρμάντες, τοὺς βαρβάρους, οἱ δὲ, ἔθνος λιβυκόν. ¶ Γάρκαν, ῥάβδον μακεδόνες.
Γ αρμαφὼν. λευκότης, λαμπηδών.
Γ αρνὸν, τὸ ἔστι τῆς πλήμνης σιδήρεον. ὃ τὸν ἄξονα ξύει.
Γ άῤῥα. ῥάβδος. ¶ Γάῤῥης, ἀγγης.
Γ αῤῥίαι, γάμοι. ¶ Γαῤῥιώμεθα, λοιδορούμεθα.
Γ άρζινα, φρύγανα κριτοῦ. ¶ Γᾶς, χώρας, γῆς.
Γ άσταν, ἡ δύνην. ¶ Γάστος, ὁ ἀπατεὼν, ὁ πολλὰ εἰδὼς, καὶ πανοῦργος ὡς ἡσίοδος ἐν τῇ θεογονίᾳ.
Γ αστέρες οἷον, βορῆς μόνας ἐπιμελούμενοι.
Γ αστρόχειρες καὶ ἐγχειρογάστορες, οἱ ἀπὸ τῶν χειρῶν ζῶντες. ¶ Γαστριμάργῃ. τῇ γαστριμάργῳ.
Γ αστρὶς, γογγυλὶς ἢ κράμβη.
Γ άστραι, τὰ ὀπίσθια τῶν μηρῶν. ¶ Γαστρίαν, στρόφον ἢ διάνοιαν. ¶ Γάστριδες, οἱ τὰς ἕλμινθας ἔχοντες, γίνονται δὲ ἐν ταῖς κοιλίαις αὐταῖ, ὥσπερ τὰ θηρία. ¶ Γαστρίζεσθαι, λαβροτέρως τρέφεσθαι

κατὰ βυθοῦ δομεῖν. ἤγουν οἰκοδομεῖν. ¶ Βύασινα, πορφυρᾶ. ¶ Βυσσός. βυθός. ἄυξον. πυθμήν. ἢ χρῶμα αὐτὶ τῆς ὕσγης παραλαμβανόμενον. ¶ Βυσσοφαρεῖ. μεγαλοφρονεῖ. ¶ Βυσσόφρων, κάτωθεν ἐκ σπλάγχνων βαλβιδόμενος καὶ ἐκ βυθοῦ φρονῶν.

Β υστῶσι, φράττωσι. ¶ Βυστίνα. πώγωνα. ¶ Βυστίχοις, τοῖς ἐν θαλάττῃ βρόχοις. ¶ Βύστραι, αἱ τῶν λαχάνων ἐνθέσεις, ἔνιοι δὲ τοὺς ἐκ τῶν λαχάνων ὀψωμένους. ¶ Βύτθαν, τὴν ψάρα. ¶ Βυτθόν, πλῆθος. ¶ Βύτανα, κονδύλοι, οἱ δὲ βρύτανα.

Β οτίνη. λάγνωος ἢ ἀμίς. ταραντῖνοι. ἤγουν σταμνίον.

Β ύττος, γυναικὸς αἰδοῖον. ¶ Βύων, τὰ ὦτα ἐπιφράττων. ¶ Βυώσης, πληρούσης, καλυπτούσης, κωφωθείσης. ¶ Βυωτὴν, τὴν ἄρσιν.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Ω.

ω, ἐπιβῶ. ¶ Βωβός, τυφλός. ¶ Βωβοὺς,

β χωλούς. ¶ Βωβύζειν, βαλπίζειν.

¶ Βωμεώ. οὕτως ἡ μάκεια ὠνομάζετο.

Β ώδιον, βοίδιον. ¶ Βωθεῖν, ὁμιλεῖν, βοηθεῖν.

Β ωθέοντες. βοηθοῦντες. ¶ Βωθύζειν, βοᾶν, * θουάζειν.

Β ωκάθωνον, βωκὸς, ζοφερὸς χιτών. ¶ Βώκαρος, ποταμὸς ἐν σαλαμῖνι ἐκ τοῦ ἀκάμαντος ὄρους φερόμενος. ¶ Βωλάκιον, χωρίον βώλους ἔχον.

Β ῶλαξ, βῶλος. γῆ. ¶ Βωλία, βωλίς, μάζα, εἶδός τι ἐν ταῖς θυσίαις. ¶ Βωλίνας, καλιὰς ἢ πλινθίνας οἰκίας. ¶ Βωλόναι, οἱ μὲν κολώνας, οἱ δὲ τὸ κίλλαιον ἀκούουσι διὰ τὸ ἀνακεχῶσθαι παρὰ σοφοκλεῖ. ¶ Βῶλοι, γῆ. ¶ Βωλώρυχα, τὴν σὺν λάκωνι. ¶ Βωμακεύμασι, βωμολοχεύμασι, περιαλογισμοῖς. πανουργήμασι, κολακευτικοῖς.

Β ώμαξ, βωμολόχος, καὶ ὁ μικρὸς βωμὸς ὑποκοριστικῶς. ¶ Βώμιδσις, βωμοῦ ἵδρυμα. ¶ Βώμιωσεν ὤμοσε. ¶ Βώμενοι, οἱ περὶ τοὺς βωμοὺς λόφοις καλουμένοις κατοικοῦντες. ¶ Βώμενος, βωμός.

Β ωμίνας, ἀναβάσεις. ¶ Βωμίσκοι, ἀριθμοὶ ἄνισοι.

Β ωμοῖς, βαθμοῖς. ¶ Βωμοῖσι, βάσεσι.

Β ωμοὶ, ἔμβολοι τινὲς οὕτω λεγόμενοι. ¶ Βωμολοχία, γένος κολακείας φορτικὸν καὶ γελωτοποιόν.

Β ωμὸς, ἱερὸν, τέμενος. Βωμολόχος, σκώπτης, ἱερόσυλος παρὰ τὸ λοχᾶν εἰς τοὺς βωμοὺς, ὅ ἐστιν ἐνεδρεύειν, πανοῦργος. ἀσεβής. ἀπατεών.

Β ῶν, βοῦν, ὅπλον. ¶ Βωνίτας, τοὺς ἐν ἀγρῷ. οἱ δὲ βουκόλους ἢ ἀγροίκους. ¶ Βώνημα, εἴρημα λάκωνες. ¶ Βωρθία, ὀρθία. ¶ Βῶρμον, θρῆνον ἐπὶ βώρμου νυμφολήπτου μαριανδηνοῦ. ¶ Βῶροι, ὀφθαλμοί. ¶ Βῶρος, ὄνομα κύριον. ¶ Βῶς, ἀσπὶς. πέλτη, βύρσα. καὶ ποιὸς ἰχθῦς. ¶ Βώσομαι, βοήσομαι, ἐπικαλέσομαι. ¶ Βῶσον, κάλεσον, βόησον.

Β ώσοντι, βοήσοντι. ¶ Βωστῆρες, νομεῖς. ¶ Βωστρεῖν, βοᾶν, καλεῖν, ἐπικαλεῖσθαι. ¶ Βωσόμεθα, μαρτυρόμεθα, ἐπικαλεσόμεθα. ¶ Βωστοῦσι, βομβοῦσιν. ἠχοῦσι. ¶ Βωτάζειν, βάλλειν. ¶ Βωτιάνειρα, ἡ τοὺς ἄνδρας τρέφουσα. ¶ Βωτίον, σταμνίον.

Β ώτορες, βωτῆρες, νομεῖς. ποιμένες. ¶ Βώχ, βοτάνης εἶδος. ¶ Βωώμεν, ὁμόσωμεν.

ΑΡΧΗ ΤΟΥ Γ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Α.

Γ άβαθον, κοῖλον. ¶ Γαβαλὰν, ἐγκέφαλον, ἢ κεφαλή. ¶ Γαβαθόν. τρυβλίον. ¶ Γάβενα. ὀξύβαφα ἤτοι τρυβλία. ¶ Γαβδοργός. ἐργάτης μισθωτός. λάκωνες. ¶ Γαγγαλιᾶν, γαγγαλίζεσθαι, ἥδεσθαι. ¶ Γαγγαλίδες, γελασῖνοι. ¶ Γάγγαλος, ὁ εὐμετάθετος καὶ εὐεπίπιστος τῇ γνώμῃ καὶ εὐμετάβολος. ¶ Γαγγαλεὺς, ἁλιεὺς ὁ τῇ γαγγάμῃ ἐργαζόμενος. ¶ Γαγγάμη. σαγήνη ἢ δίκτυον ἁλιευτικὸν, καὶ σκεῦος γεωργικὸν ὅμοιον τῇ κρεάγρᾳ.

Γ άγγαμον, δίκτυον, καὶ τὸ περὶ τὸν ὀμφαλὸν τῶν ὑποχονδρίων. ¶ Γαγγαμουλκοί, σαγηνευταί.

Γ αγγαίνειν, τὸ μετὰ γέλωτος προσπαίζειν.

Γ αγγαλιοειδέων, γαγγαλίοις ἐοικότων. γαγγάλιον δὲ, νεύρου συστροφή. ¶ Γαγγίας, ἢ γαγγαλίας, οἱ μὲν, γελασῖνον, οἱ δὲ, τὴν τῶν ἰνίων συστροφήν. ἄλλοι ὑποστάθμην. ¶ Γάγγης, φρισῶν ποταμός.

Γ άγγραινα, φαγέδαινα. οἱ δὲ, καρκῖνος πολυδάκρυον ἐν τῷ σώματι πάθος. ¶ Γαδδᾶν, χαίρειν.

Γ αδεῖν, χαρίζεσθαι. ¶ Γαδώ, χαρά.

Γ άδεσθαι, ἥδεσθαι. ¶ Γάδεται. ἥδεται.

Γ άδειρα, νῆσος ἔξω τῶν ἡρακλείων στηλῶν.

Γ άδειρα, τὰ περιφράγματα φοινίκων.

Γ αδειρικὸν, τάριχος τὸ ἀπὸ γαδείρων κομιζόμενον. ἐκεῖθεν γὰρ ἐκομίζετο. ¶ Γαδὴ, κιβωτός.

Γ αδείρων, χώρας ὄνομα. ¶ Γάδιξ, ὁμολογία.

Γ άδονται, εὐφραίνονται. ¶ Γάδος, * αἶλοι. ἄλλοι ὄξος. ¶ Γάδυνα, ἴδιον. ¶ Γάζα, πόλις, παρὰ δὲ πέρσαις βασίλειον. ἢ οἱ ἐκ τῶν πολλῶν φερόμενοι φόροι ἢ τὰ τίμια. ¶ Γάζαν, πλοῦτον.

Γ άζας ἰχθῦς ποιὸς γάζης, κεκορεσμένος.

Γ αζοφυλάκιον, θησαυροφυλάκιον. βαλάντιον, σκευοφυλάκιον. ¶ Γάθεσδον, ἐκ γῆς ῥέον.

Γ αθία, ἀλλαντία. ¶ Γαθιάδας. ἥρωος ὄνομα ὃς καὶ τοὺς καταφεύγοντας εἰς αὐτὸν ῥύεται ἐκ θανάτου.

Γ αῖα. ἡ κόνις καὶ ἡ γῆ.

Γ αιάδες, ὁ δῆμος ὑπὸ λακώνων. ¶ Γαιάοχος, ἠπειρώτης. ¶ Γαῖα χάνοι, καταποθείη ἡ γῆ.

Γ αιᾶται, κορτιμεῖ. καταμωκᾶται. ¶ Γαίειν, χαίρειν, γαυριᾶν. σεμνύνεσθαι. ¶ Γαίεσκον, ἔχαιρον.

Γ αιηΐδα, τὴν φοίβην αὐτίμαχος. ¶ Γαιήϊον, τὸν γῆς υἱὸν τιτυόν. ¶ Γαῖαν, τὴν γῆν. τὸ χῶμα. ¶ Γαιήοχος, ὁ τὴν γῆν συνέχων. ἢ ὑπὸ τῆς γῆς συνεχόμενος, ἢ ὁ ἱππικός ὁ ἐπὶ τοῖς ὀχήμασιν ἀρέσκων. χαίρειν λάκωνες. ¶ Γαλιλαία, κατακυλιστή.

Γ άλλιμον, κεκειρωμένον. ἤτοι κειρῶ κειρῶν.

Γ αιούχῳ, τῷ τὴν γῆν ὀχοῦντι καὶ συνέχοντι.

Γ αίηθες, πρῶτον ἡ ἤπειρος μοίρας ἔχει τέσσαρας, θεσπρωτοὺς, χάονας, μολοττοὺς, κασσωπαίους.

Γ αίνεται, αὔει. ¶ Γαῖντα, σπλάγχνα. ¶ Γαιθυλάδη, ἀμπελόπρασα. ¶ Γαιογράφοι, τὰ ἐν τῇ γῇ γράφοντες. ¶ Γαιὸς, ὁ ἐργάτης βοῦς, καὶ ὁ ἀπόγειος ἄνεμος. ¶ Γαίουσα. ὑποφρυνοῦσα.

ἀκρίδα, βροῦκαν. ταραντῖνοι δὲ, ἀττέλεβον, ἔτεροι ἀγριοκάμπην. ¶ Βρηῦνος, ἐνεὸς ἢ μαινόμενος.

Β ροῦξ, βάτραχος, βρόγχος. ¶ Βρουλός. πονηρός. βροῦς πιεῖν. βροῦτος. ἐκ κριθῶν πόμα. ¶ Βρούχετος, βάραθρος, βάτραχον δὲ κύπριοι. ¶ Βρούχαλ, θερμός. ¶ Βρουχέως ἢ βραχέως σαφῶς. συντόμως, αἰολεῖς. ¶ Βροχμώδης, ὑπὸ ὕδατος καὶ ἁπαλή. δημόκειρος. ¶ Βροχμόν, τὸ βρέγμα. ¶ Βρόχοι, ἅμματα. ¶ Βρόχος, ἀγκύλη δημόκειρος, ἀγχόνη, δεσμός. ¶ Βρύα, ἃ γίνεται μὲν ἐπὶ πετρῶν, λέγεται δὲ καὶ σκάφος ἢ σκαφὶς, ἐπιτίθεται δὲ ἁγνισμοῦ χάριν. ¶ Βρυάζει, θάλλει, τρυφᾷ.

Β ρυάζειν, γαυριᾶν, ἥδεσθαι. ¶ Βρυαζούσης, λεαίνης ἐν ἀθάμαρτι ἀκμαζούσης ἢ ἐγκυμόνος.

Β ρύαθον, βρυασμόν. ¶ Βρυαλισμὸν, ψόφον, ἦχον.

Β ρυαλύζων, διαρρήσσων. ¶ Βρυαλίκται, πολεμικοί. ὀρχησταὶ μὲν * αἰσδίπου ἴβυκος καὶ στησίχορος,

Β ρυανίων, μετεωριζόμενος καὶ κορωνῶν. ¶ Βρυάσομαι, ἀναβακχεύσομαι μετά τινος κινήσεως.

Β ρυγμὸς, καταπάλωσις καὶ νόσος ἀπὸ τοῦ βρύχειν, ὃ ἐστι τοῖς ὀδοῦσι πιέζοντα ψόφον ἀποτελεῖν ὡς ἐν ῥίγει συμβαίνει ἢ ἀκόνησις μύλων, ἢ τρισμὸς ὀδόντων.

Β ρυγμὸς, ἄφωνος, νεκρός. ¶ Βρύκουσα, δάκνουσα, μετελθοῦσα. ¶ Βρυγχὸς, βρόχος. ¶ Βρύει, ῥέει, πιέζει, ἀναβλύζει, πιδᾶ, αὔξει, αὔνησιν, αὔξεται.

Β ρύθακες αἱ χιτῶνες βομβύκινοι, ἢ γένος ἰθαγενῶν.

Β ρύκαι, αἱ ἱδρῶαι ὑπὸ δωρειέων. ¶ Βρυκανήσομαι, βοήσομαι. ¶ Βρυκέδανος, πολυφάγος, οἱ δὲ μακρός. ¶ Βρύκειν, λαύρως ἐσθίειν ἀπὸ τοῦ βρύζειν τοὺς ὀδόντας, οἱ δὲ μασᾶσθαι. ¶ Βρυκετὸς, ταυτὸν τῷ βρυγμῷ, καὶ βρυκθμὸς ὁμοίως δωριεῖς. ¶ Βρύκος, κῆρυξ. οἱ δὲ βάβακρης, οἱ δὲ, ἀττέλεβος. ¶ Βρυκταία, εἶδος βοτάνης. ¶ Βρύκων, συνερείδων τοὺς ὀδόντας μετὰ ψόφου. ¶ Βρυδαλίχα, πρόσωπον γυναικεῖον διὰ τὸ γελοῖον καὶ αἰσχρὸν, ὅθεν τίθεται, ὁ ῥίνθων, τὴν ὀρλάστραν καὶ γυναικεῖα ἱμάτια ἐνδέδυται, ὅθεν καὶ τὰς μαχλάδας βρυδαλίχας καλοῦσι λάκωνες. ¶ Βρυδακίζειν, ἐκτείνειν.

Β ρυλλοχισταὶ, οἱ αἰσχρὰ προσωπεῖα περιτιθέμενοι γυναικεῖα καὶ ὕμνους ᾄδοντες. ¶ Βρυλλῶν, ὑποπίνων

Β ρῦλλαι, πιεῖν βρύματα, μορμάματα. ¶ Βρυνθαλλὸν, βρύσμα. ¶ Βρυνχὸν, κιθάραν, θράκες. ¶ Βρύξαι, δακεῖν, καταπιεῖν. ¶ Βρύοχον. κήρυκα.

Β ρύγδην, χύδην. ¶ Βρύσια, πόλις. ¶ Βρύσαι, κρημνοί, καὶ πόλις κρημνώδης. ¶ Βρύτανα. κονδύλοις.

Β ρυτιγγοὶ, χιτῶνες. ¶ Βρυτία, τὰ λείψανα.

Β ρυττία, στέμφυλα, ἔνιοι εἶδος σκορόδου. ¶ Βρύττειν, ἐσθίειν. ¶ Βρύττιον, πόμα ἐκ κριθῆς. ¶ Βρύττος, εἶδος ἰχθύος πλατέος ὥς φησιν ἀριστοτέλης. οἱ δὲ, ἰχθύων οἱ δὲ τρισυλλάβως βρυγγόνην λάχης ποιεῖ.

Β ρύχιον, ὑποβρύχιον, βυθιζόμενον. ¶ Βροχάνα, σάλπιγγι καμπύλη. ¶ Βροχετὸ, πυρετόν.

Β ρυχηθμὸς, στεναγμὸς, οἰμωγή. ¶ Βροχὶς, κλῆμα.

Β ρυχμοί. ψόφοι. ¶ Βρυχήσασθαι, ὡς λέων.

Β ρύχιον, βυθιζόμενον. ¶ Βρύχος, ποταμὸς περὶ πελλήνην. ¶ Βρυτίνας, γένος παρὰ ἀθηναίοις.

Β ρυτίνη, ἐν μαλθακοῖς ἀμοργὸν ἔνδον. βρυτίνην νύθειν τινα ἔπαιξε πρὸς τὸ πήνισμα τὸ βρύτινον. ἐστι δὲ καὶ ζῶον. ¶ Βρύτον, ὅμοιον κανθάρῳ καὶ τὸ ἀπ' αὐτοῦ, βρύτινον πήνισμα, ὅπερ ὑπ' ἐνίων βομβύκινον λέγεται. ¶ Βρυτίνην, βυσσίνην. ¶ Βρυττόν. πᾶν τὸ ἐκ τρυφῆς ποτόν. ¶ Βρυωνία, ῥίζα τις οὕτως καλουμένη. ¶ Βρύτιχοι, βάτραχοι μικροὶ ἔχοντες οὐράς.

Β ρύχεται, μαίνεται. ¶ Βρυχὸς, κῆρυξ. ¶ Βρυώδης, δυσώδης. ¶ Βρωμᾶσθαι, ὀγκᾶσθαι. ¶ Βρώμην, βρῶσιν. ¶ Βρωμωμένου, ὀγκωμένου.

Β ρωτὸν, βρώσιμον. ¶ Βρωτὺν, βρῶσιν, τροφήν.

Β ρυαταί. βεβυσμένα αὐτή. ¶ Βαβαὶ, ταῦτα ἐπὶ τοῦ μεγάλου τάσσεται.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Υ.

Υβλία, βιβλία. ¶ Βυγὴ, πηγή.

Β ¶ Βύβλιοι, οἱ τῶν τάφων φύλακες παρὰ κυπρίοις καὶ πόλις φοινίκης βύβλος.

Β υδοὶ, οἱ μουσικοί, ἢ κρυῦμά τι σοφοκλῆς κρησίν.

Β ύει, καμμύει, φράσσει τὰ ὦτα. ¶ Βύζαντες, πλήθοντες. ¶ Βυζαντία, εἶδος ὀρμιᾶς. ¶ Βυζάντιος, κωνσταντινουπολίτης. ¶ Βύζην. ἱκανῶς. ἀθρόως. δαψιλῶς. πυκνῶς. ἐπ' ἀλλήλων. ἢ πλήρως.

Β ύζειν, τὸ πεπιασμένως μετέχειν. ¶ Βυζὸν, πυκνόν. συνετόν. γαυρὸν δὲ καὶ μέγα. ¶ Βυθίζων, ποντίζων ἐν βυθῷ. σκῦθαι. ¶ Βυθμὸς, ἄντρον, πυθμὴν καὶ βυθμήν. ¶ Βυκνισταὶ, εἰκασταί. ¶ Βυκάνης, ὑπηλός. ¶ Βυκὸς, δεσμοφόρος. ¶ Βυκτὰ, σχέτλια, δίλαια. ¶ Βυκτάων, πνεόντων, φυσώντων.

Β ύκτης, ὁ ἐκ βυθοῦ ταράσσων, φυσῶν. ¶ Βυλλά. βεβυσμένα. ¶ Βυλλίχαι, χοροί τινες ὀρχηστῶν παρὰ λάκωσι. ¶ Βυλλίχης, χορευτής. ¶ Βυλλιχίδης. ῥαχίδης. ¶ Βύνη. θαλάμη, πύκη. ¶ Βύθαλον. βύσμα. ¶ Βὺξ, βυθός. ¶ Βυνεὺς, σκευασμάτιον κέθινον. ¶ Βυνεῖν, τὸ ἐν τῷ στόματι κατέχειν τι.

Β υπτεῖν, βαπτίζειν. ¶ Βύρθακος, βάτραχος.

Β υρκόμενος, πνιγόμενος, βατραχιζόμενος.

Β υρόθεν, οἴκοθεν. ¶ Βύριον. οἴκημα. ¶ Βύρμακας, μύρμηκας. ¶ Βυρμὸς, σταθμός. ¶ Βυρσοτόνος. τύμπανον. ¶ Βύρσινης, μυρσίνης. ἦν δὲ αὕτη γυνὴ ἱππίου τυράννου ἐν τοῖς ἱππεῦσι. ¶ Βυρσὶς, δέρμα.

Β υρρὸς, κάνθαρος πυρρωνός. ¶ Βυρσαίετον. ἀριστοφάνης ἀπὸ τῆς βύρσης ἐπὶ τοῦ ἁρπάζειν τὸν κλέωνα εἶπε,

Β ύρσαν, τὴν πόλιν ἀθηνῶν ἀριστοφάνης ἐν δράμασι παίζων ἔφη. ¶ Βυρσομώλοις, βυρσοδεψίμοις.

Β υρσοδέψης. συνεψητής. βυρσεύς.

Β υρσοκάπηλον, τὸν κλέωνα. ¶ Βύσσαν, κρύπτουσαν.

Β ύσαι. ἐπιθεῖναι, φορτῶσαι, κρύψαι. ¶ Βύσας, πλήσας. φράξας. ¶ Βύρτη, λύρα. ¶ Βυσαύχην. ὁ συνέλκων τὸν τράχηλον καὶ τὸν αὐχένα μικρὸν ποιῶν, καὶ τοὺς ὤμους ἀνέλκων. ¶ Βύσταλοι. βόθροι.

Β ύστινον. πορφυρόν. ¶ Βυσταλεύοντι, τῷ βυθῷ ἐσκευασμένῳ. ¶ Βυστηβῶσι, μεγάλα ἀπὸ τοῦ καταφερομένων εἰς βυθὸν διὰ τὰ βάρη. ¶ Βυστοδομεύει. ἐνθυμεῖται. μηχανᾶται, ἀποκεκρυμμένως βουλεύεται καὶ ἐκ βάθους. ¶ Βυστοδομεύειν, ἐνθυμεῖσθαι.

Β ραυκὸς, κεκραγυῖα. ¶Βράχαλον, χρεμετισμόν.
Β ράχειν, ἐψόφησε. ¶Βραχεῖν, ἠχῆσαι, ψοφῆσαι.
Β ραχίονα, τὸν βάχηλον. ¶Βραχεῖς, ὀλίγοι.
Β ράχιστον, ἐλάχιστον. ¶Βραχίων, βραχύτατος.
Β ραχμᾶνες, οἱ παρ' ἰνδοῖς γυμνοσοφισταὶ καλούμενοι.
Β ραχὺ ἀντὶ τοῦ ὀλίγον, ὀλίγον. μικρόν. ¶Βραχυτελὲς, μικρόν. ¶Βραχυλὸν, βραχυτελῆ. μικρόν.
Β ραχμάζουσι, χρεμετίζουσι. ¶Βραχέα ἄττα, ὀλίγα τινά. ¶Βραχύνης, βραχύς. ¶Βράψαι, συλλαβεῖν, ἀναλῶσαι, κρύψαι, θηρεῦσαι. ¶Βρέα, κρατῖνος μέμνηται ἐπὶ τῆς εἰς βρέαν ἀποικίας, ἔστι δὲ πόλις θρακίας εἰς ἣν ἀθηναῖοι ἀποικίαν ἐξέπεμπον.
Β ρέγμα, τὸ μέσον τῆς κεφαλῆς. ¶Βρέγμα, τὸ βρέγμον. ¶Βρέκην, τὴν βρέκωνα, τὴν βρεῖαν. βρίγες δὲ οἱ φρύγες. ¶Βρεκύνδαι, δαίμονες οἱ φρύγες.
Β ρεμεῖ. ἠχεῖ. φωνεῖ. σίζει. πατάσσει. ἀπειλεῖ.
Β ρεμεταίνων. ἠχῶν. ¶Βρέμεται. ἠχεῖ. ψοφεῖ, προσρήσσεται. ¶Βρέμοντι, ἠχοῦντι. ἀπειλοῦντι.
Β ρέμβος, ἔμβρυον. ¶Βρεμούσας. ἠχούσας.
Β ρενθύεται, δυσχεραίνει. προσποιεῖται. ¶Βρένθον, ἔλαφον. ¶Βρενθινῷ. ἀνθινῷ. ¶Βρεθινὰ, ῥίζια τινά, οἷς ἐρυθραίνονται αἱ γυναῖκες τὰς παρειάς. οἱ δὲ ἄγχουσαν οὐκ εὖ οἱ δὲ, φυκὸς [illegible] κύδει ἀφροδίτη. ¶Βρένθιξ, θριδακίνη κύπριοι.
Β ρένθιον, μύρον τι, ὡς βάκκαρις, οἱ δὲ ἄνθινον μύρον. καὶ ὄρνεον βρένθος. ὅπερ ἔνιοι κόσσυφον λέγουσι, βρένθος, καὶ ὁ τύμβος λέγεται. ¶Βρενθύεται, μεγαλοφρονεῖ, ὑπερηφανεύεται. ἐπαίρεται.
Β ρενθύεσθαι, θυμοῦσθαι, ὀργίζεσθαι. ἀξιοπιστεύεσθαι, δυσχεραίνεσθαι. προσποιεῖσθαι. ¶Βρενθύνεται, ἀξιοπαθεῖ, βαρεῖται. σεμνύνεται. ¶Βρενθυόμενοι, ἐναβρυνόμενοι. τυφῶντες. ¶Βρενος, πυθμὴν, τύμβος, καὶ ὄρνεον ὁ καὶ βρένθον. ¶Βρέντιοι, ἔθνος ἐν ἰταλίᾳ. ¶Βρεντάπιον, εἰκών. ὁμοίωμα.
Β ρενταὶ, βρονταί. ¶Βρέτας, ξόανον εἴδωλον, ὁμοίωμά τι παρὰ τὸ βροτῷ ἐοικέναι ὥσπερ φασὶν οἱ νεώτεροι δείκελον. ¶Βρέτει, ἀπεικονίσματι.
Β ρεττανία, νῆσος ἡ περὶ τὸν ὠκεανόν. ¶Βρέττανα, φοβερά. ἀκρὶς μικρὰ ὑπὸ κρητῶν. ¶Βρετία, μέλαινα ἢ βάρβαρος ἀπὸ τοῦ βρεττίων ἔθνους.
Β ρέκος, ὁ μικρὰ ἀκρίς. ¶Βρέφος, ἔμβρυον, νήπιον, παῖς. ¶Βρεχμὸν, τὸ κρανίον. ¶Βρεχμὸς, βρέγμα, τὸ μέσον τῆς κεφαλῆς. ¶Βρῆγμα, ἀπόπτυσμα ἀπὸ θώρακος παρὰ ἱπποκράτει. ¶Βρηνεύομαι, ἔλεγον βρύασει, βήσσει. ¶Βρῆσαι. βῆσαι.
Β ρησαῖος, ὁ διόνυσος. ¶Βρέασουσι, βληχῶνται φωνεῖ τὰ πρόβατα. ¶Βρηθὺς, ἀλεκτρυὼν ἐνιαύσιος.
Β ρηχανώμενοι, φωνοῦντες ἢ χασμώμενοι. ¶Βρὶ, ἐπὶ τοῦ μεγάλου καὶ ἰσχυροῦ καὶ χαλεποῦ τίθεται.
Β ριαγχόνην, βάτραχον, φωκεῖς. ¶Βριάγχος, βριαρῶς. ¶Βριαρῶς, βριάγχως, βραδέως ἰαγχάζουσι. ¶Βρίσαι, ἐρασιεύει. ¶Βρίαν, τὴν ἐπ' ἀγροῖς κώμην. ¶Βριάρεων, ἄνθρωπον ἑκατοντάχειρα.
Β ριαρὸν, βαρεῖαν, ἰσχυράν. ¶Βριαροὶ, βαρεῖς, ἰσχυροί. ¶Βριαρὸν, κραταιὸν, ἰσχυρόν. μέγαν, βαρὺν, ἄγριον. ¶Βριάρεω στῆλαι, αἱ ἡράκλειοι λεγόμεναι.

Β ρίγες, οἱ μὲν φρύγες. οἱ δὲ, βάρβαροι, οἱ δὲ, σπλοικισταί, ἰόβας δὲ ὑπὸ λυδῶν φαίνεται βρίαν λέγεσθαι τὸν ἐλεύθερον. ¶Βρίγμα, τὸ μικρὸν κύπριοι. ¶Βρίγκος, ἰχθῦς κητώδης. ¶Βριγμώμενον, ὀργιζόμενον, μυκώμενον. ¶Βρίζει, ἐσθίει. πιέζει, κύει, καθεύδει, ἔνθα οὐκ ἂν βρίζοντα ἴδοις. ¶Βριζομάντις, ἐνυπνιομάντις. ¶Βρίζω, κωλύω. ¶Βρίζοντα, νυστάζοντα. κοιμώμενον. ¶Βριηπύος, μεγαλόφωνος. μέγας, δεινός. ¶Βριηρόν. μεγάλως κεκχαρισμένον.
Β ρίθει, θαρρύνει, αὔξει, ἢ εὐθύνει διατρέφει. ¶Βρίθεται, βαρύνεται καρπῷ. ¶Βρίθειν, γέμειν.
Β ρίθοντα, βρύοντα. ¶Βριθοσύνη, βάρος.
Β ρίθουσαν, λάμπουσαν, βρύουσαν. ¶Βριθύ. ἰσχυρὸν, μέγα, βαρύ. ¶Βρίθων. γέμων, κομῶν ὑπὸ καρπῶν.
Β ρίκελοι. οἱ μὲν, τοὺς ἰσοπόδας ἀπὸ τοῦ βάρους καὶ τοῦ ξύλου. οἱ δὲ βαρβάρους. δίδυμος δὲ τὰ τραγικὰ προσωπεῖα παρὰ κρατίνῳ, οἷον βροτοείκελοι ἐν στείφοις.
Β ρικίνη, εἶδος βοτάνης. ¶Βρικίσματα. ὀρχήσεις φρυγιακαί. ¶Βρικοὶ, πονηροί.
Β ρικὸν, ὄνον κυρηναῖοι, βάρβαρον. ¶Βριμάζει, ὀργῶσα εἰς συνουσίαν κύπριοι. ¶Βριμάζω, τῇ τοῦ λέοντος χρώμενος φωνῇ. ¶Βριμῶν, ἀπειλῶν. ¶Βριμαίνεται, θυμαίνεται, ὀργίζεται. ¶Βρίμη, ἀπειλὴ, καὶ ἡ γυναικεία ἀρρητοποιΐα. ¶Βρίμημα, ἐπίπληξις. ¶Βριμήσασα, δεινὴ, χαλεπή. ¶Βριμὸς, μέγας, χαλεπός. ¶Βριμοῦσθαι, θυμοῦσθαι, ὀργίζεσθαι.
Β ριμά, ἰσχυρά. ¶Βρινδεῖν. θυμοῦσθαι. ἐρεθίζειν.
Β ρίνια, τὰ ἄρνεια κρέα. ¶Βρίξαι, ὑπνῶσαι, νυστάξαι.
Β ρίσαι, βρῦναι, ὁρμῆσαι καὶ νύμφαι. ¶Βρισθεὶς, ὑπνώσας. ¶Βρίσαντα, ἰσχύσαντα, βρύναντα.
Β ρὶξ, θριδακίνη, ἢ εἶδος ἄνθους. οἱ δὲ, πολυστρεῶνα.
Β ρίρος, ἔρως. ¶Βριτόμαρτις, ἡ ἐν κρήτῃ ἡ ἄρτεμις.
Β ριτύ, γλυκὺ κρῆτες. ¶Βρόαγχος, βάτραχος.
Β ρογχάζει. καταπίνει. ¶Βρόδα, αἰολεῖς ῥόδα.
Β ρόγχος, ῥούφισμα, ὁ λάρυγξ. ὁ καταπότης.
Β ρόκοι, ἀττέλεβοι, ἀκρίδες. ¶Βροκὸς, μωρὸς, ἔλλην.
Β ρομέον, ὀζόμενον. ¶Βρομέωσιν, ἠχῶσιν. ¶Βρομήσει, φυσήσει. ψοφήσει. ¶Βρόμιος, παρὰ τηλεκλείδῃ ὁ σάτυρος ἢ ὁ διόνυσος. ¶Βρόμος, βοτάνη ὁμοία σίτῳ μὲν ἔχουσα γόνατα. ¶Βρόμος, ἰδίωμα ἤχου. ἦχος καὶ ὁ τόπος εἰς ὃν ἔλαφοι οὐροῦσι καὶ ἀφοδεύουσι. τὸ σπέρμα λεπτῆς κριθῆς ἡ ὀσμὴ καὶ χόρτος.
Β ροντάζων, βροντῶν. ¶Βρόντημα, ὁ ἐμβρόντητος.
Β ρόξαι. ῥοφῆσαι, ¶Βρόκων, ἀμαθὴς, ἀπαίδευτος. οἷον βόσκημα, ¶Βρόασμος, βραχύτερος.
Β ρόταχος, βάτραχος. ¶Βροτέης, ἀνθρωπίνης.
Β ροτήεια, ἀνθρώπεια, καὶ ἀνθρώπινα. ¶Βροτόεντα, ἡμαγμένα. οἱ δὲ τὰ λαμπρά. ¶Βροτοδαίμων, ὁ μίθηκος. ¶Βροτολοιγῷ, ἀνθρωποφθορῷ.
Β ροτολοιγὸς, ἀνθρωποκτόνος, ἀνθρωποφθόρος.
Β ροτήσια. ἀνθρώπεια. ¶Βροταὶ, γυναῖκες.
Β ρότος, αἷμα, βρότον τὸ αἷμα, ὀξυτόνως μὲν ἄνθρωποι, προπαροξυτόνως δὲ, σημαίνει τὸν ἐκ φόνου λύθρον.
Β ροτὸς, φθαρτὸς, ἢ γηγενὴς ἄνθρωπος. ¶Βροτόφιλος, ἀνθρώπους φιλῶν, τουτέστιν ἀπατεών.
Β ροῦκος, ἀκρίδων εἶδος ἰωνικῶς. κύπριοι δὲ τὸν χλωρὰν

στις, λαχάνου εἶδος. ¶ Βούπρωρον, θυσία τις ἐξ ἑκά-
στου προβάτων καὶ βοὸς ἑνός. οἱ δὲ τὴν ὀβῶσαν ὁ βοσάρ-
χην. σημαίνει δὲ καὶ τὴν βοὸς πρόσωπον. ¶ Βούπρωος,
ἀσθένεια. ¶ Βούπλινον, βοτάνη λεγομένη τρίφυλλον.
Βοῦρα, πόλις τῆς ἀχαΐας. ¶ Βουρεικυπάρισσος, ἡ ἄμ-
πελος. περγαῖοι. ¶ Βούρυγχος, ἰχθὺς κητώδης.
Βούρυρος, ποταμὸς μέγας ῥεῦμα ἔχων. ¶ Βούσβαρον,
τὴν ἄρτεμιν, θρᾶκες. ¶ Βοῦς, πόπανόν τι τῶν θυο-
μένων οὕτως ἐν ταῖς ἁγιωτάταις ἀθήνησι θυσίαις, ἦν
δὲ βοὶ παραπλήσιον. κυρίως δὲ βοῦς ἡ ἀσπίς. βάρος.
ἀργός. ¶ Βοῦς ἐπὶ γλώσσῃ, παροιμία ἐπὶ τῶν μὴ δυνα-
μένων παρρησιάζεσθαι, ὅτι διὰ τὴν ἰσχὺν τοῦ ζώου. ἢ
διὰ τὸ τῶν ἀθηναίων νόμισμα ἔχειν βοῦν ἐγκεχαραγμέ-
νον, ὃν προσεκτίνυον οἱ παρὰ τῶν δόντος παρρησιαζομένοις
ἦν ἔθος. ¶ Βοῦς ἐν αὐλίῳ, παροιμία ἐπὶ τῶν ἀχρεί-
στων κρατῖνος δηλιάσιν. ¶ Βοῦς ἐν πόλει χαλ-
κοῦς ὑπὸ τῆς βουλῆς ἀνατεθείς. ¶ Βοῦς ἐπὶ δέρ-
μα, καὶ βοῦς ἐπὶ φάτνῃ καὶ ἐπὶ σφαγὴν καὶ κύων
ἐπὶ σῖτον καὶ ὗς ἐπὶ δεσμά. ¶ Βουσή, δούλη.
Βοῦς, μάστιγξ. ¶ Βουσία, γογγυλίδι ὅμοιον οἱ ἰτα-
λοὶ βοσκητήριον, εἰς εὐρύ ἔρηται κακοσχόλως
ἐπὶ τοῦ γυναικείου αἰδοίου. ¶ Βοῦς κύπριος, κο-
προφάγος, εἰκαῖος, ἀκάθαρτος, σημαίνει δὲ ἀπορίαν
τῶν κυπρίων, καὶ εὔδοξος ἀφηγεῖται ὅτι κοπροφα-
γοῦσιν. ¶ Βοῦς πτηνός, ὁ ἀναπεπταμένα τὰ κέ-
ρατα ἔχων. ¶ Βοῦς ἐμβαίνει μέγας. στράτις εἶπε
παρὰ τὴν παροιμίαν τὴν βοῦς ἐπὶ γλώττῃ.
Βοῦς ἕβδομος, μνημονεύει δὲ τοῦ ἑβδόμου βοός, ὅτι δὲ πέμ-
μα ἐστὶ καὶ τῆς σελήνης ἱερόν, κλειτόδημος ἐν ἀττικῇ φησί.
Βουστροφηδόν, οὕτως ἔλεγον ἐπὰν ὁμοίως τοῖς ἀροτριῶ-
σι βουσί, τὰς ἀντιστροφὰς ποιῇ τις. ἔλεγον δὲ ἐπὶ τοῦ
γράφειν τρόπῳ τοιούτῳ. ¶ Βούσυκα, τὰ μεγάλα
σῦκα. ¶ Βουστάνη, βοοστασία; ὁ τῶν βοῶν στάσις.
ἡ μάστιξ καὶ πληγή. ¶ Βουτάλαι, γένος ἀθήνη-
σιν ἀπὸ τῆς βούτου γενεᾶς. ¶ Βοῦται, βουκό-
λοι. νομεῖς. βοτῆρες. ¶ Βουτάνη, μέρος τι τῆς
μακρᾶς νεὼς ὁ μάστιξ ὁ τένασις τῆς βοείας, μέρος δὲ
τῆς νεὼς πρὸς ὃ τὸ πηδάλιον δεσμεύεται. δηλοῖ δὲ καὶ
μάχην, ἀηδίαν. ¶ Βούταρος, ὁ παχύς. ἢ ὁ παχύς.
Βούτας, βουκόλοις, βοσκήματα. ¶ Βουτελέειν, θύειν.
Βούτης, ὀρίγανος ὑπὸ κυδωνιατῶν, καὶ βουκόλος, καὶ
παροιμία ἐπὶ τῶν ῥᾳδίως συντελουμένων, ὡς ὁ τοῖς
διιπολίοις τὰ βουφόνια δρῶν. ¶ Βουτιάνειρα, τρο-
φὴν ἀνδράσι παρέχουσα. ¶ Βούτιμοι, βοώνητοι. ὡς
περ ἀλφεσίβοιαι. ¶ Βουτοί, τόποι παρ᾽ αἰγυπτίοις
εἰς οὓς οἱ τελευτῶντες τίθενται. ¶ Βούτομον,
φυτὸν βουσὶ διδόμενον τροφὸν ὅσιον χόρτον.
Βούτερον, γάλακτος τὸ νεφέλῃ ὕστερον βουκεῖ τε, καὶ βού-
τυρος τὸ αὐτό. ¶ Βούτρυον, ὅλον ἄγραπτον. ¶ Βού-
τσοκρον, ὄροβον. ¶ Βούτυπον, πιθμίην ἀθήνησιν ἐκα-
λεῖτο, ἐκ τοῦ θαυλωνιδῶν γένους καθιστάμενος.
Βουτύπος, ὁ βοῦν καταβάλλων, ἢ εἶδος ζώου καλουμέ-
νου ἐμπίς. ¶ Βούτυρος: βοτάνης εἶδος. διονύσιος.
Βουφάγος, πολυφάγος. ¶ Βούφθορον. τὴν δυσάροτον
γῆν. φάρος γὰρ ἡ ἄροσις καὶ ἐπίστροφον βοός.
Βούφθαλμον, βοτάνη τις ὑφ᾽ ἡμῶν ἐσθιομένη.

Βουφονία, ἑορτὴ ἀθήνησιν. ἐν γὰρ τοῖς διιπολίοις φασὶ
βοῦν καταφαγεῖν, τὸ παρεσκευασμένον πόπανον τῇ
θυσίᾳ. οἷον πλακούντιον ἐξ ἄρτου. ¶ Βουφάρας, γε-
φύρας. ¶ Βουφορβός, βοῦς τρέφων. ¶ Βουχανδία,
πολυχώρητα. ¶ Βουχάνδα, τὸν μέγαν λέβητα.
Βουχρώς τις. ἰσχυρὸς ἢ ὁ ξηρός. ¶ Βούχωμα, φρό-
νημα. ¶ Βοῶνα, ὁδόν. ¶ Βοῶν. τῶν τετραπόδων
τῶν βοῶν ἢ ἀπειδῶν. καὶ φθεγγόμενος.
Βοώνας, ἀγροικίας. ¶ Βοώνητα. ἐπὶ ὠνῇ βοῶν δο-
θέντα. ¶ Βοωνία, αὔλιος θύρα κρητῶν.
Βοῶπις, μεγαλόφθαλμος, εὐόφθαλμος, μεγαλόφρο-
νος, εὔπολις δὲ τὴν ἥραν. ¶ Βοώτης, ὁ ὠρίων,
οἱ δὲ φύλαξ. ¶ Βοωτεῖν, ἀροτριᾶν, ὅτε ὁ ἀρό-
σου δύῃ λάκωνες.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Ρ.

Ραβέα, ἄρχοντα βραβεῖα διαλλάξ.

¶ Βραβεῖον. ἐπινίκιον. ἔπαθλον. νικητήριον.
ἀμοιβὴ, ὁ στάδιον. ¶ Βραβεύει, διακρίνει, ἐπιψη-
φίζει, μεσιτεύει διοίκησιν. ¶ Βραβευέτω, μεσιτευέ-
τω, μηνυσάτω, ἰθυνέσθω. ¶ Βραβευτὸς, διαλλα-
κτής. ¶ Βράβυλος, εἶδος φυτοῦ κακοῦ. ¶ Βρα-
άδελφοὶ ὑπὸ ἠλείων. ¶ Βραγός, ἕλος. ¶ Βραχεῖα,
ὁ πολυτράχηλος ἀληκτόδων. ¶ Βραγχιάζεσθαι, πνί-
γεσθαι. ¶ Βραγχίον, τὸ καταφράκτου νεὼς τὸ κύ-
τος. ¶ Βράγχος, νόσημά τι τῶν ἐν τῷ στόματι γι-
γνομένων, τὸν πρόγχον, ὅταν μῦς μάλιστα διαφθείρη-
ται. ¶ Βράγχοντος, βρόχοις ἀλόντος. ¶ Βραγ-
χῶν, φλεγμῶν, ὁ πνευμόνων. ¶ Βραδανίζει, ῥιπίζει.
τινάσσει. ¶ Βραδέως, μελλητικῶς. ¶ Βραίδιον,
ῥαίδιον, αἰολεῖς. ¶ Βράδιον, ἀδύνατος. ¶ Βράζειν.
τὸ ὀστοχοῦ ὀδύρεσθαι. ¶ Βραθὺ, πέα τις θεοῖς θυομέ-
νη. ¶ Βράκαλον, ῥόπαλον. ¶ Βράκανα, τὰ ἄγρια
λάχανα. ¶ Βρακεῖν, συνιέναι. ¶ Βράκεα, ἀνα-
ξυρίδες. ¶ Βράβεσιν, δρέπανον, κλαδευτήριον:
οἱ δὲ, πλῆθος. ¶ Βρακείας, τραχεῖς τόποι.
Βρακεῖς, συνεῖς. ¶ Βρακὸς, κάλαμος, ἱμάτιον πολυ-
τελές. ¶ Βράξαι, συλλαβεῖν. δακεῖν: καταπιεῖν.
Βράπτειν, ἐσθίειν, κρύπτειν. ἀφανίζειν, τῷ στόματι ἕλ-
κειν ἢ στενάζειν. ¶ Βράσσει, ζέει, ἀναβάλλει. ¶ Βρασμοῖ-
σι, τοῖς σεισμοῖς. ¶ Βρασιοζόχος, κεραμικὸς ὁ μὲν
ἐρρωμένος. ¶ Βράσκη, κράμβη ἰταλιῶται. ¶ Βράσσων.
βραδύτερον, ἀσθενέστερον, ὅ ἐστι βραχὺ, ἐνίοτε δὲ ἀπὸ τοῦ τροχοῦ, ἔνιοι
βράσσονας, ταπεινοτέρας. ¶ Βράσσων, ἐλάσσων
ἢ ἄτακτος ἀπὸ τοῦ βρασμοῦ, ὁ οὐ σταθερὸς, βράσσοντε νό-
ος, οἷον ἀκαταστατῶν, ἀσθενέστερος ὤν. ¶ Βρατάναν,
τορύνην ἠλεῖοι. ¶ Βρατάνει, ῥαίζει ἀπὸ νόσου ἠλεῖοι.
Βρατάχοις, βατράχοις. ¶ Βράττειν, πληθύνειν, βαρύ-
νειν. ¶ Βραυκανᾶσθαι, ἐπὶ τῶν κλαιόντων παιδί-
ων λέγεται, ὡς μίμημα φωνῆς. ¶ Βραύκας, ἀ-
κρίδας. ¶ Βραῦλα. φθείρ. ¶ Βραῦλον, κοῖλον.
Βραῦνα, κόλα, κύστις, ἐντεροκήλη. ¶ Βραυνία, κοιλώ-
ματα τῆς γῆς. ¶ Βραυρών. τόπος τῆς ἀττικῆς.
Βραυρωνίοις, τὴν ἰλιάδα ᾖδον ῥαψῳδοὶ ἐν βραυρῶνι τῆς
ἀττικῆς. καὶ βραυρωνία ἑορτὴ, ἀρτέμιδι βραυρωνίᾳ
ἄγεται, καὶ θύεται αἴξ.

ἔνιοι δὲ τὴν ἱππικὴν, ἔνιοι δὲ τὴν στάδιον πέσιν.

Βορυσθένης, ὁ ἐλλήσποντος, ἔστι δὲ ποταμός. ¶ Βόσις, βόσκησις. ¶ Βοσκημάτων, θρεμμάτων.

Βοσκόμενον, δαπανῶν. ¶ Βόσκων, τρέφων. ¶ Βοσκάς, φασκίας, λίβυσσα. ¶ Βοσκέων, ὁ τροφεύς.

Βοσκή, τροφή. ¶ Βόσκομαι, τρέφομαι. ¶ Βόσπορος, οὐ μόνον ὁ σκυθικός, ἀλλὰ καὶ θράκιος οὕτως ἐκαλεῖτο. ¶ Βοστρυχιδεῖ, πολυκάμπτῃ. ¶ Βοστρύχια, σίμφυλα. ¶ Βοστρυχίζεται, κοσμεῖται. ¶ Βόστρυχοι, πλόκαμοι. ¶ Βοστρυχώδης, τὸ θάλπον ἢ θάλλον. ¶ Βοτά, βοσκήματα, κατὰ πάντων δὲ τῶν χερσαίων καὶ πτηνῶν καὶ ἐνύδρων καὶ ἀγρίων ζώων, λέγεται δὲ διὰ τὸ βόσκεσθαι. ¶ Βοτεῖν, βόσκειν.

Βοτῆρα, ποιμένα. ¶ Βοτίς, βόλτιον. ¶ Βοτοῖσι, βοσκήμασι. ¶ Βοτριδία, ἐνωταρίων εἶδος, οἱ δὲ βόστρυς ἢ θεσμοφοριάζουσιν. ¶ Βοτρύδιον, κατὰ συστροφήν. ¶ Βοτρυδόν, ἑτέρα τῆς ἑτέρας ἐχομένη, ὡς οἱ βότρυες τὰς ῥᾶγας ἔχουσι πυκνάς· καὶ κατὰ συστροφήν, ἢ συνηγμένοι. ὁμοῦ. ¶ Βοτρυμός, ζυγωτός.

Βωτιάνειρα, τροφὴν ἀνδράσι παρέχουσα. ¶ Βοτύσι, βοσκήμασι. ¶ Βοτῶν, θρεμμάτων. ¶ Βοῦ. τὸ μέγα καὶ πολὺ δηλοῖ. λάκωνες. ¶ Βοῦα, ἀγέλη παίδων. ¶ Βουαγεῖν, ὑπὸ βοῶν ἑλκυσμένον ξύλον. λάκωνες. ¶ Βουάγορ, ἀγελάρχης ὁ ἐπὶ ἀγέλης ἄρχων παῖς. λάκωνες. ¶ Βουάκραι, οἱ φοίνικες ὑπὸ λακώνων. ¶ Βουβαλίς, οἱ βούβαλοι, ἢ ἀστράγαλοι.

Βουβάλιον, γυναικὸς μόριον, καὶ ὁ ἄγριος σικυός παρὰ ἱπποκράτει. ¶ Βούβαλος, δορκάδιον ἢ μέγα καὶ πολύ. ¶ Βουβάραι, μεγάλαι. ¶ Βουβάρα, μεγάλα.

Βουβάρας, μεγαλοναύτης παρὰ τὴν βάριν καὶ μέγα βάρος ἔχων καὶ αὐχένα, ἢ ὁ μέγας καὶ ἀναίσθητος ἄνθρωπος. ¶ Βουβάρτις, νεὼς ὄνομα παρὰ φιλίσκῳ.

Βούβελα, κρέα βόεια. ¶ Βουβέλιξ, στρατοπεδεία.

Βούβοσις, πολυφαγία. ¶ Βουβωνιασκόπος, ὁ βουβῶνι ἐπιπήδων. ¶ Βουκέτιον, μεγάλως ἐφ' ἑαυτῷ γαυριῶντα. δηλοῖ δὲ καὶ ἀναίσθητον καὶ ἀλαζόνα καὶ μεγάλαυχον ἢ ἀγλαϊζόμενον.

Βούβρωστις, μεγάλη πείνα. λύπη. ζωύφιον. μέγας λιμός. λύμη. φθορά. φθόνος. ¶ Βουγενέων, τῶν μελισσῶν, καλλίμαχος. ἄρμενα παρ' αἰγιναίου γῆς τῶν βουγενέων. ἢ ἡ μέλισσα βουγενὴς ὅτι ἐκ βοείων ὀστέων γίνεται. ¶ Βουγλώσσον. ἰχθύς ποιὸς καὶ βοτάνης εἶδος. ¶ Βουδάκη, ἢ βούπρηστις. ¶ Βουδ[illegible]ιον, τὸ βυρσίον. ¶ Βούδιον, πόλις. ¶ Βουδίος, παρὰ λυσίππῳ τὸ ὄμμα, κύων δέ τις ἐβόα δεδμημένος ὥσπερ βοῦδος. σέλευκος ἀποδίδωσιν ἄφρονα. ἀνόητος.

Βουδόρῳ. μοχλῷ, ᾧ βοῦς δέρουσιν, οἱ δὲ ἀσκῷ. ¶ Βουζύγης, ἥρως ἀττικὸς ὁ πρῶτος βοῦς ὑπὸ ἄροτρον ζεύξας, ἐκαλεῖτο δὲ ἐπιμενίδης. καθίστατο δὲ παρ' ἀστοῖς καὶ ὁ τοὺς ἱερεὺς ἀρότοις ἐπιτελῶν βουζύγης.

Βουθέρει, ἐν ᾧ βόες θέρους ὥρᾳ νέμονται. καὶ βούθοροι τὸ αὐτό. ¶ Βουθώνης. βούχειλος. ¶ Βουθυτον, ὅ τινες ἀμέμαρον. ἀχαιοὶ δὲ ἰσόχοιρον. ἀριστοφάνης. λάκωνες. ¶ Βουθὸς περιφοιτᾷ. παροιμία ἐπὶ τῶν εὐήθων ἢ παχυφρόνων. ἀπὸ βεύθου τινὸς μετενεχθεῖσα τοῦ πυθία νικήσαντος, ὃν ἀναγράφει καὶ ἀριστο

τέλης νενικηκότα. ¶ Βουϊέρθυσιν, βουνέθυσαν.

Βουκαῖος, βουκόλος. οἱ δὲ θεριστής. ¶ Βουκανή. ἄνεμον ἢ τὸ αἶθος κύπριοι. ¶ Βουκάπαι, τῶν βοῶν αἱ φάτναι. ¶ Βουκεράτας, βουλάτας. ¶ Βούκερας, τὸ σπέρμα τῆς τήλης. ¶ Βουκέφαλος, ἵππος ἐγκεχαραγμένος ἔχων τοῖς ἰσχίοις βούκρανον, καὶ ὁ ἀλεξάνδρου ἵππος ἀφ' οὗ πόλιν ἐν ἰνδοῖς κτίσαι λέγεται βουκεφάλειαν. ¶ Βουκολητάς, ἀπατεών.

Βουκόλεια, ἀγέλαι βοῶν. ¶ Βουκολίη, κακολογία.

Ἀπενεγκάμενος, κτησάμενος. ¶ Ἀπενδυνηκὼς, φυγών. ¶ Ἀπενέγκασθαι, λαβεῖν. ¶ Ἀπένεικας, ἀπήνεγκας. ¶ Ἀπενεγκεῖν γραφὴν, τὸ γράψασθαι δίκην. ¶ Ἀπένειμεν, ἀπεκλήρωσεν. ¶ Ἀπενόσω, ἀπέβαλες διεπίδης αὐγῆ. ¶ Ἀπενήνατο, ἀπεῖπεν, ἀπηρνήσατο. ¶ Ἀπενιαυτισμὸς, ὁ εἰς ἐνιαυτὸν φυγὴ τοῖς φόνον δράσασιν. ¶ Ἀπενθεία. ἀπενθοῦ. ¶ Ἀπεννέπει, ἀπαγορεύσει. ¶ Ἀπενώπισαν, ἀπέστρεψαν τὰ νῶτα σοφοκλῆς φινεῖ.

Ἀπεξέβαι, τὸ ἀποπατεῖν κρότες. ¶ Ἀπεξεβίω, ἀπέθανεν. ¶ Ἀπεξενωμένη, ἀλλοτρία. ¶ Ἀπεξεσμένον, ἐκτετορνευμένον ἠκριβωμένον. ¶ Ἀπεξωκησάμην, ἀπεξεφόρησα, ἢ ἐξεκένωσα, ἢ ἀπεδήμην.

Ἀποίκασιν, ἀνομοιοῦσιν. ¶ Ἀπεοικότως, ἀνομοίως.

Ἀπεόντος, ἀπόντος. ¶ Ἀπεπάνωρος; ὁ μὴ παλαιούμενος. ¶ Ἀπεπτοίαν, ἀπεχλωρίασιν. ¶ Ἀπεπάμην, ἀπεχώρησα. ἀπεπήδησα. ¶ Ἀπέπρησεν, ἀπεδάκρυσεν. ¶ Ἀπεδύσηνεν, ἀπεμάρανεν.

Ἀπέπλησε λόγους, ἀπεμύξατο τοὺς λόγους, ἀντὶ τοῦ ἀπεστράφη σοφοκλῆς φαίδρᾳ. ¶ Ἀπερ, καθάπερ.

Ἀπεράντοις, ἀπείροις. ¶ Ἀπεπαύμην, ἀπειπεῖν. ἀπαγορεῦσαι. ¶ Ἀπέραντον, μέγαν, ἀτελείωτον, ἐκ τοῦ πέρας μὴ ἔχειν. ¶ Ἀπέρασθην, ἀπώλεσεν.

Ἀπέραντοι, ἀόριστοι, τέλος μὴ ἔχοντες. ¶ Ἅπερ ἐστιν, ἅτινά ἐστιν. ¶ Ἀπεργὸς, ἀργός. ¶ Ἀπερημάσαι, ἀπαρκῆσαι. ¶ Ἀπεριόριστος, ὁ μὴ καθαρῶς ἐπιφωνῶν, περιορίζειν γὰρ τὸ περικαθαίρειν ἔλεγον.

Ἀπεριάλλακτον, ἀνεξαπάτητον, ἀφελῆ. ¶ Ἀπερίβλεπτον, ἀπερινόητον. ¶ Ἀπερείκασιν, ἀπεφθάρη.

Ἀπερίγραπτον. ἀπερινόητον. ¶ Ἀπερίγραφος, ἀπερινόητος. ἀνίκητος. ¶ Ἀπερίεργος, ἀπερισκέπτως, ἀπολυπραγμονήτως. ¶ Ἀπερινόητον, ἀπερίβλεπτον. ¶ Ἀπερεισαμένοις, στηριχθεῖσιν.

Ἀπερίληπτος, ἀκατάσχετος. ¶ Ἀπερισκέπτως, ἀβουλεύτως, ἀπρονοήτως. ¶ Ἀπερισπάστως, ἀμερίμνως. ἀφροντίστως, ἡσύχως. ¶ Ἀπερίστατον, μωρόν, ἀφορμὰς μὴ ἔχον. ¶ Ἀπεριμέριμνος, ἀμερίμνως. ¶ Ἀπερείσατο. ἀπετινάξατο. ¶ Ἀπερεισαμένοις, στηριχθεῖσιν. ¶ Ἀπερείσεται, στηρίξεται.

Ἀπερείσια, πολλά, ἄπειρα. ¶ Ἀπερισκήπτως, ἀνεπινοήτως. ¶ Ἀπερίτρεπτον, τὸ μὴ περιτρεπόμενον. ἤγουν τὸ μὴ καταστρεφόμενον. ¶ Ἀπέρονα, πέρας μὴ ἔχοντα. ¶ Ἀπέρρε, ἀποφθείρου. πορεύου μετὰ φθορᾶς. ¶ Ἀπέρρηκται, τέτμηται. ¶ Ἀπερρήσει, ἀπολέσει, ἀποφθερεῖ. ¶ Ἀπερρίκασι, πεφρίκασιν. ¶ Ἀπερρώοντο, ἐρρωμένοις ἤλαον.

Ἀπερύκειν, κατέχειν, κωλύειν, ἀποδιώκειν. ¶ Ἀπερύκοι, κωλύοι. ¶ Ἀπερωεύς. κωλυτής. ἐρωεῖν γάρ ἐστι τὸ ὁρμᾶν. ¶ Ἀπερωπὸς, ἀπάνθρωπος.

Ἀπερωπῶς, θαυμαστῶς, ἀδοκήτως. ¶ Ἀπερωήσειας, ἀποχωρήσειας. ¶ Ἀπέσαξεν, ἔζωσεν, ἀπέζωσεν. ¶ Ἀπέσβη, ἐσβέσθη. ¶ Ἀπεσείσατο, ἀπεβάλλετο. ¶ Ἀπέσθαι, ἀκολουθῆσαι.

Ἀπεσίμωσεν, ὕψωσεν, πρὸς μετέωρον ἀνήγαγεν, σίμαι γὰρ αἱ μετέωροι προσαναβάσεις. ¶ Ἀπέσεισεν, ἀπεσείσατο. ἀπέρριψεν. ¶ Ἀπεσκευάζετο, ἄκυρον ἐποίει. ¶ Ἀπεσκευασάμην, ἀπέρριψα, ἀπεδοκίμασα. ¶ Ἀπέσκη. τόξον ἀπέσκη. ἔνιοι δὲ γυμνὰ θήκαις τόξα. σοφοκλῆς τρωΐλῳ. ¶ Ἀπέσκλη, ἀπέθανεν.

Ἀπεσκληκὼς, ἀναισθήτως ἔχων. ¶ Ἀπεσκόλυπτεν. ἀπέσκεπε τὸ δέρμα ὅθεν καὶ σκολοδίφης. ¶ Ἀπεσκοράκιστο, καταπεφρόνιστο. ¶ Ἀπεσκόραζεν, ἀπεσύρατο. ¶ Ἀπεσκοτωμένα, ἐσκιαγραφημένα, τὰς τῆς χρίσεις, σκότους καλοῦσιν οἱ ζωγράφοι.

Ἀπεσκύψισται, κεκάθαρται. ¶ Ἀπέσοιξεν, ἀπέσωσε λάκωνες. ¶ Ἀπεσουτὴρ, ἀπεσώθη λάκωνες.

Ἀπεσούπαζον, ξύλοις ἀπεδίωκον. ¶ Ἀπεσποδηκότων, φλεγομένων ἐν τῇ τέφρᾳ. ¶ Ἀπεσπάδευρ; ἀπέστησεν. ¶ Ἀπεσπελῆσθαι, ἀπερρίφθαι, ἀποθανεῖν. ¶ Ἀπεσία, ἄνεσις καὶ ἀπέδρα. ¶ Ἀπεσκλάγη, ἠφανίσθη. ¶ Ἀπεσταύρωσαν, ἀπέφραξαν ξύλοις.

Ἀπέστη, ἐχωρίσθη. ¶ Ἀπέστηλεν, ἀπῆλθεν.

Ἀπεστλεγγισμένον, ἀπεξυσμένον. στλεγγὶς γὰρ ἡ ξύστρα.

Ἀπεστύλουν, ἀπέσυρον, ἀπεγύμνουν τὸ αἰδοῖον.

Ἄπεστιν, ἀπέχει. ¶ Ἀπεστὼς, ἀποχώρησις. ¶ Ἀπεστροφέλιξεν. ἀπέρριψεν. ¶ Ἀπέσφηλεν, ἀπέκρουσεν.

Ἀπεδέσεισεν, ἐδίωξεν. ¶ Ἀπέστω ἄγνοια. ὁ ἀπεῖναι; ἢ μὴ γένοιτο. ¶ Ἀπεσφακέλισεν, ἐσάπη. ἀριστοφάνης ὁλκάσιν. οἱ δὲ ἰατροὶ, τὴν ἐκ τοῦ ὄψεως μελανίαν, ἢ ἀντὶ τοῦ προσεπάσθη ἢ αἰφνιδίως ἀπέθανεν.

Ἀπέσφηλεν, ἀποτυχεῖν ἐποίησεν. ¶ Ἀπεσφραγίσθαι, ἀποκεκλεῖσθαι. ¶ Ἀπέσχας, ἀποσχάσας.

Ἀπ' ἐσχαρόφιν, ἀπὸ τῆς ἐσχάρας. ¶ Ἀπεσχεδίαζετο, ἀσκέπτως ἐγίνετο. ¶ Ἀπεσχεδιάζετο, ἐτοιμάζετο. ¶ Ἀπεσχοινισμένος. ὡς ληστικῶς διεζευγμένος, ἀποκεκλεισμένος. ¶ Ἀπετείχιζον, ἀπεχώριζον.

Ἀπετέλεσεν, ἀπήρτισεν. ¶ Ἀπετέλουν, ἀπεπλήρουν.

Ἀπετίννυον, ἀπεδίδουν. ¶ Ἀπετίννυτο, ἀπελάμβανεν.

Ἀπέτισεν, ἀπέδωκεν. ¶ Ἀποτμήγουσι χαράδραι. ἀποτέμνουσιν αἱ ὑδρορρόαι. ¶ Ἀπετράπημεν. ἀπεφύγομεν. ¶ Ἀποτυμπανίσαι, ξύλα ἀνῃρήκασιν.

Ἀπευθανατίζειν, ἀποθνήσκειν.

Ἀπευνήκασιν, ἐξωρμημέναι εἰσίν. ¶ Ἀπευθὴς, οὐδὲν ἀκούσας. ¶ Ἄπευθος, ἀνήκοος ἢ ἀπαθὴς ὢν παντὸς κακοῦ. ¶ Ἀπευθύναι, κολάσαι. ¶ Ἀπευθύνει, κολάζει. ¶ Ἀπευκταίοις, ἀχρησίμοις. ¶ Ἀπευκτὸν, μισητὸν, τὸ μὴ εὐχῆς ἄξιον. ¶ Ἀπεύδα, ἀπηγόρευσεν.

Ἄπευστος, ἀνόλιος. ¶ Ἀπευτελεῖσθαι, ἀπάρξασθαι.

Ἀπεύχεται, ἀρᾶται. ¶ Ἀπέφαρ, ἀπέθανεν.

Ἀπέφαρ, ἀπεῖπαρ, ἀπεφήναρ. ¶ Ἀπέφοσεν, ἐρνήσαρ. ¶ Ἀπεφθαρμένον, ἀποθνήσκοντα.

ἀπαράλλακτα. ❡ Ἀπάραρον, ἀπυκνῶδες, ἀπάραντον.
Ἀπαράχυτος οἶνος, ᾧ οὐ προστίθεται θάλασσα.
Ἀπαράβατον, ἄπιστον. ❡ Ἀπάργματα, ἀπαρχαί.
Ἀπαρέμφατος, ἄνευ δηλώσεως ἀριθμοῦ ἢ προσώπου.
Ἀπαρές, ὑγιές. ἀπλήρωτον. ❡ Ἀπαρέσκεσθαι, εἰς ἀρέσκειαν ἀπαιτεῖν. ❡ Ἀπαρθένευτος, ἀκέραιος, καθαρά, Σοφοκλῆς ἱππονόῳ. ❡ Ἀπαρθένευτα, οὐ πρέποντα παρθένοις, Σοφοκλῆς Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι.
Ἀπαρίνη, φυτάριόν τι, ἔνιοι δὲ, ὀροβάγχην.
Ἀπαρκῆ. ἁρμόζοντα, αὐτάρκη. ❡ Ἀπαρκτίας. οὗτος ἄνεμος. ❡ Ἀπαρκτεῖν, ἀποτυχεῖν.
Ἀπαρθῆναι. ἀρθῆναι. ❡ Ἀπαντῆσαι, χωρῆσαι, διαστῆσαι. πληρῶσαι. ❡ Ἀπαρτί. ἀπηρτισμένως, ἀκριβῶς Αἰσχύλος Ἀθάμαντι. ❡ Ἀπάρτια, τὰ ἐπίπωλα. ❡ Ἀπαρτίας, μετάβασιν. ἀποσκευήν. τέλος, ἀπαρτισμόν. ❡ Ἀπαρτίζει, τελειοῖ.
Ἀπαρτικός. πρὸς ἀπάρσιν καὶ ἀποδημίαν ἕτοιμος.
Ἀπαρτιλογία, ἀπηρτισμένη ψῆφος. ❡ Ἀπαρτύειν. ἀποκηρύσσειν Ταραντῖνοι. ❡ Ἀπαρτῦναι, τάξαι.
Ἀπαρνύμενον, ἀφαιρούμενον. ❡ Ἀπάρχεσθαι, μεταδιδόναι. ❡ Ἀπαρχή, προσφορά, ἀφαίρεμα.
Ἀπαρχῆς χριστός. πρῶτος χριστός. ❡ Ἀπάρχου, τὰς ἀπαρχὰς πρόσφερε. ❡ Ἅπασι χαλκῆ, λαμπρὰ ὅλη κροτοῦν. ❡ Ἀπασίας: διαζυγῆς. ❡ Ἄπαστος. ἄγευστος. ❡ Ἀπαστοῦν, τὸ δεσμωτήριον. ❡ Ἀπαπαρίζειν, ἐπαίρειν. ❡ Ἀπαστιόντα, παμποίκιλον. οἱ δὲ λινὸν χιτῶνα, οἱ δὲ μαλλωτόν. ❡ Ἀπαστί. ἀγευστί. ❡ Ἀπαστύων, ψευδόμενος. ❡ Ἀπαστικῶς, ἁμαρτών. ❡ Ἀπατᾷ. πλανᾷ. φενακίζει.
Ἀπάτη, πλάνη, ψεῦδος. ❡ Ἀπατηλόν, ψευδές. ἀπατητικόν, παραλογιστικόν. ❡ Ἀπατηδόν, τὸ αὐτομάτως συγκείμενον παρὰ Δημοκρίτῳ. ❡ Ἀπάτερθεν, ἄποθεν ἢ χωρίς. ❡ Ἀπατούρια. ἑορτὴ Ἀθήνησιν ἐπὶ ἡμέρας τέσσαρας ὧν ἡ πρώτη, δορπία καλεῖται. ἡ δευτέρα, ἀνάρρυσις. ἡ τρίτη κουρεῶτις. ἡ τετάρτη, ἐπίβδα. ❡ Ἀπατοῦργος, κωλυτικός. ❡ Ἀπαύγασμα. ἡλίου φέγγος. ❡ Ἀπαύγιος, λαμπρός, φωτεινός. ❡ Ἀπαυδῶ, ἀπαγορεύω.
Ἀπαυθαδιάζοντας, μέγα φρονοῦντας. ❡ Ἀπ' αὐτόφιν, ἀπ' αὐτῶν ἢ ἀπ' αὐτοῦ. ❡ Ἀπαυλεῖσθαι, τὸ μὴ προσαυλεῖν κατὰ τρόπον. ❡ Ἀπαυλία ἡ ἐπαυλία, διχῶς λέγεται, ἡμέρα ἐν ἡ ἐπαυλίζεται τῷ ἀνδρὶ ἡ νύμφη.
Ἀπαυλόν, ἄποικον. ❡ Ἀπαυσίας*, ἀπαροχύτας.
Ἀπαυτομολήσει, ἀφ' ἑαυτοῦ ἔλθῃ. παρὰ τὸ μολεῖν ὅ ἐστιν ἐλθεῖν. ❡ Ἀπ' αὐτομάτου, ἐξαίφνης.
Ἀπαφίνιον, Λάκωνες κάρδοπον λιθίνην ἐν ἡ μάττουσι, ὃν κτητίαν καλοῦμεν. ❡ Ἀπαφίσκειν, ἀπατᾶν, ἀφαιρεῖσθαι. ❡ Ἀπαφός, ἔποψ τὸ ὄρνεον. ❡ Ἀπαφυλίστωρ, σταφυλῖνος Λάκωνες. ❡ Ἀπαφῶ, ἀπατήσω.
Ἀπέβη, συνέβη. ἐγένετο. ❡ Ἀπέβλησεν, ἀπεπίασεν.
Ἀπεβήσατο, ἐπορεύθη. ❡ Ἀπέβαισεν, ἀπέδυσεν.
Ἀπεβίω, ἀπέθανεν. ❡ Ἀπεγγυαλίζειν, ἀποκαθιστᾶν.
Ἀπεγένετο, ἀπέθανεν. ❡ Ἀπεγνωσμένος, ἀνέλπιστος.
Ἀπεδέξατο, ἀπέλαβεν. ❡ Ἀπέδοτο. ἐκδέδωκεν.
Ἀπεδίζειν, ὁμαλίζειν. ❡ Ἀπεδικάσθη. κατεδικάσθη.
Ἄπεδον, ὁμαλόν. ἰσόπεδον, ἐπίπεδον. ❡ Ἄμπεδον.

ἀνάπαλιν. ❡ Ἀπέδρα. ἀπεπαλήσατο.
Ἀπέδοτο. ἐκδέδωκεν. ❡ Ἀπέδου. παρέδου.
Ἀπέδρα, ἀπέφυγεν. ❡ Ἀπέειργεν, ἀπεκώλυσεν.
Ἀπήσει*, ἀπέστη. ❡ Ἀπεῖπεν, ἀπηρνήσατο, ἀπεῖπεν.
Ἀπέθριξεν, ἀπέκειρεν, ἀπέκοψεν. ❡ Ἀπείργει, ἀπείργει, κωλύει. ❡ Ἄπει, ἄπιθι, ἄπελθε, βάδιζε.
Ἀπείης γῆς. τῆς πολὺ ἀφεστώσης γῆς. ❡ Ἀπειθεῖ, ἀντιλέγει. ❡ Ἀπειθές, ἀνυπότακτος, ἄπιστος, Σοφοκλῆς αἰχμαλωτίσιν. ❡ Ἀπείθησεν, οὐκ ἐπείσθη. ❡ Ἀπεικάσματα, ὁμοιώματα. ❡ Ἀπεικός, ἄλογον. οὐ πρέπον. ❡ Ἀπειλή, ὀργή. ❡ Ἀπειλεῖται. ❡ Ἀπεῖπαρ, ἀρνήσασθαι. ❡ Ἀπεῖπεν, ἠρνήσατο. ❡ Ἀπειπάμεθα, ἀπερριψάμεθα. ❡ Ἀπείπαντο, παρῃτήσαντο, ἀπετάξαντο.
Ἀπείπατο, ἀποτάσσεται, ἀπάρχεται. ❡ Ἀπειραίη, ἡ ἠπειρωτική. ❡ Ἀπειράκις, πολλάκις, πλειστάκις.
Ἀπείργομεν, ἐκωλύομεν. ❡ Ἀπειρηκότων, ἀπειπαμένων.
Ἀπειρημένοι, ἀπεγνωσμένοι. ❡ Ἀπεγνωκότων, ἀπηγορευμένοι. ❡ Ἀπειρέσιον, πολύ. ❡ Ἄπειρον. πλῆθος. ❡ Ἀπειρέσια καὶ ἄπειρα, τὰ πλήθει πολλά. ἐν δ' αἶγες ἀπειρέσιαι. ❡ Ἀπείρητον, ἄρρητον. ἀνεκλάλητον. ❡ Ἀπείρητος, ἄπειρος. ❡ Ἀπείρηται, ἀπηγόρευται. ❡ Ἀπεῖρξεν, ἐκώλυσεν.
Ἀπείρων, πολύ. ἄγευστον, περιφερές. στρογγύλον. διὰ τὸ μήτε ἀρχὴν μήτε πέρας ἔχειν. ❡ Ἀπείρονα, πέρας μὴ ἔχοντα. ❡ Ἀπείρονας, ἀπειράτους Σοφοκλῆς Θυέστῃ. ❡ Ἀπείρου. ἀγνώστου, μεγάλου.
Ἀπείρω, πολλῇ. ❡ Ἀπειρομένων, ἀποφθινόντων.
Ἀπείρων, μεγάλων, ἀναριθμήτων, πέρας μὴ ἐχόντων.
Ἀπειροπλάσιον, πολυπλάσιον. ❡ Ἄπεισιν, ἀπέρχεται. ἀπέθανεν. ❡ Ἀπεισουτῆρες, σκόλοπες.
Ἄπιτε, ἀπέλθατε. ❡ Ἀπεκάκισεν. ἐπικράνθη.
Ἀπεκαίνυτο, ἐνίκα, ἀφῃρεῖτο. ❡ Ἀπέκαμον, ἠτόνησαν.
Ἀπεκέκλοφεν, ἀπέκλεψεν. ❡ Ἀπεκεύθησαν τὴν ἀλήθειαν. οἷον ἰδίχεο ὃ ποῖον ἐν τῷ πράγματι.
Ἀπέκλεξαν, ἀποπτύειν φυσῶντες ἐποίησαν. ❡ Ἀπεκομίσθη. ἀπηνέχθη. ἀπόθεν τοῦ τεκόντος ἐγένετο.
Ἀπεκορύφου, εἰς κορυφὴν τὸ τέλος ἦγεν. ❡ Ἀπεκόσμεον, ἀπετίθουν, ἀπετίθεντο. ❡ Ἄπεκρον, ἀπηκτημένον, ἄκαρπον. ἀπόκροτον. ❡ Ἀπεκυπάρωσεν, ἀπέκτεινεν. ❡ Ἀπεκωλύθη, ἀπεχωρίσθη.
Ἀπελάζειν, ἐκκλησιάζειν Λάκωνες. ❡ Ἀπελασία, διωγμός. ❡ Ἀπέλεθρον ἶνα, τὴν δύναμιν τὴν ἀμέτρητον. ❡ Ἀπέλεθρον, ἀμέτρητον, πλέθρου γὰρ εἶδος μέτρου. ❡ Ἀπεληλαμένοι, διωχθέντες. ❡ Ἀπέλεξα, ἀπεῖπον, ἀπηγόρευσα. ❡ Ἀπελέπη, ἀπελεπίσθη. ❡ Ἀπέλυκα, ἀπέρρωγα Κύπριοι. ❡ Ἀπέλαστον. ἀπρόσιτον. ❡ Ἀπελέκησεν. ἀπετέμησεν, καὶ τοῖς δακτύλοις ἐψόφησεν. ❡ Ἀπελλαί. σηκοί, ἐκκλησίαι, ἀρχαιρεσίαι. ❡ Ἀπέλλειν, ἀποκλείειν.
Ἀπελεύθερος. ἐκ δούλου ἐλεύθερος. ❡ Ἀπελεύσῃ, ἀπέρχῃ. ❡ Ἀπελιγμένη, ἀπερριπισμένη.
Ἀπελλόν. αἴγειρος ὅ ἐστιν εἶδος δένδρου. ❡ Ἀπελλάκας, ἱερῶν κοινωνούς. ❡ Ἀπελύκησεν, ἀπέτεμεν.
Ἀπελυμαίνοντο, ἀπεκαθαίροντο, ἀφαγνίζοντο.
Ἀπέλυσεν, ἀπελύτρωσεν. ❡ Ἀπελύσωσιν, ἀπέτεμον, ἀπέκοψεν. ❡ Ἀπεμάσσετο. καθήψατο, ἀπῴκισεν.

Ἀοιδή, ᾠδή, φωνή. ¶ Ἀοίδιμος, ἀείμνηστος, λαβὸν ρος, ἀεὶ ᾀδόμενος, εὐκλεὴς ὀνομαστός. ¶ Ἀοιδάει, ᾄδει, ὑμνεῖ. ¶ Ἀοιδοὶ, περιβόητοι, ὀνομαστοὶ, ἢ εὐνοῦχοι. ¶ Ἀοιδοπόλος, περὶ τὰς ᾠδὰς ἀναστρεφόμενος.
Ἀοιδὸς, ᾠδὸς, κιθαρῳδός. ἢ ὁ ποιητὸς, καὶ ὁ θρηνῳδὸς ὁ εὐνοῦχος πολῶν. ¶ Ἀοιδὴ, ὁμοίως. ¶ Ἄοινα, ἱερὰ τὰ καὶ νηφάλια. ¶ Ἄοιμος, ἄπορος ἢ ἀληθὴς ἢ ἀπρόστυχος. ¶ Ἄοιμον, ἄρρητον. ¶ Ἀσκηθὴς, ὑγιής. ¶ Ἀολλέες, ἀθρόως ὁμοῦ πάντες.
Ἀολλεῖ, συνάγει. ¶ Ἀολλίσασαι, ἀθροίσασαι.
Ἀολλισθῆναι, συναθροισθῆναι. ¶ Ἀελλόποις, ταχεῖς πόδας ἔχων. ¶ Ἀόξοος, ἀδιάγλυφος. ¶ Ἄοπος, ἄφωνος, ἀόρατος. ¶ Ἄορ, ξίφος, μάχαιρα.
Ἀόρας, ξίφη ἀρσενικῶς. ¶ Ἀορι, τῷ ξίφει.
Ἄορες, γυναῖκες λέγονται καὶ ξίφεσι. Ἀόρατον, μὴ θεωρούμενον. ¶ Ἀορίστως, ἀπολύτως.
Ἀόρκτοις, ὁμιλίας. ¶ Ἄορον, μοχλὸν, πυλῶνα, θυρωρὸν, κύπριοι. ¶ Ἄορος, ἄυπνος μηθυμναῖοι.
Ἀόρμος, λιμὴν ἢ λίμνη. ¶ Ἀόρτα νυηκὲς, ξίφος ἐκτεταμένον. ¶ Ἀορτεὺς, φορεὺς τοῖ ξίφοις.
Ἀόρτης, ξιφιστὴς ὑπὸ μακεδόνων, ἄγγος. ¶ Ἄγγος δερμάτινον ἱμάτιον. ¶ Ἀορτῆρες, οἱ ἀναφορεῖς τῶν ξίφων, ἢ οἱ κρίκοι τῆς θήκης. ¶ Ἀόρων, γυναικῶν.
Ἄος, πνεῦμα, ἴαμα. ¶ Ἀοσσητὴρ, βοηθός.
Ἄοσον, ἄριστον. ¶ Ἀούματα, τὰ τῶν πλυνομένων κριθῶν ἄχυρα, κύπριοι. ¶ Ἄουρον. ἀνέκορον. ἄζωτον. ¶ Ἀοιροὶς, τὰς μακροτάτας πέζας. οἱ δὲ, μεγίστας, ἄλλοι ἀφυλάκτοις. ¶ Ἄοψ, ἀνόφθαλμος.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Π.

Ἀ Παβοῖδερ, ἐμμελῶς λάκωνες. ¶ Ἀπαγὼν, ἀφελών. ¶ Ἄπαγε, παῦσαι, ἀναχώρει, πέπαυσαι. ¶ Ἀπάγει, ἀναχωρεῖ.
Ἀπάγεσθαι, εἰς θάνατον ἕλκεσθαι. ¶ Ἀπάγελος, ὁ μηδέπω συναγελαζόμενος παῖς. ὁ μέχρι ἐτῶν ἑπτακαίδεκα κρητῶν. ¶ Ἀπαγκωνισάμενοι, ἐντείναντες τοὺς ἀγκῶνας. ¶ Ἀπάγλαυτον. δόλῳ κατέχω.
Ἀπαγγέλλω, φανερὸν ποιῶ. ¶ Ἀπαγορεύει, κάμνει, παραλέγεται, κωλύει, ἀποφαίνεται.
Ἀπαγόρευσις, ἀπόφασις. ¶ Ἀπαγρευθεὶς, ἀφαιρεθείς. ¶ Ἄπαγρος, ἀτυχὴς περὶ τὰς ἄγρας.
Ἀπαγωγὴ, ἡ τῶν κακούργων πρὸς τοὺς ἐν δικαστηρίῳ παράδοσις, ἢ ἀπαίτησις, ἀποκομιδή. ¶ Ἀπᾶδον, ἀπρεπὲς, οὐχ ἁρμόζον. ¶ Ἀπᾴδοντα, ἀλλότρια.
Ἀπαιρόμενον, ἐπαίροντα. ¶ Ἀπαθὴς, ἀνάλγητος. ἀβλαβής. ἄζωτος, σκληρός. ¶ Ἀπαιάζειν παρεῖσθαι, παραλελύσθαι. ¶ Ἀπαιγείρων. αἰδοκλέα τὸν ἀπαιγείρων, ἀντὶ τοῦ συκοφαντῶν. ἐπειδὴ ἐκ τῆς ἐν τῇ ἀγορᾷ αἰγείρου τὰ πινάκια ἐξῆπτον. τουτέστιν ἐξέρτων οἱ ἔχαροι. ¶ Ἀπαιδεύειν. τὸ μὴ λέγειν προσόμοια.
Ἀπαιδευσία, ἀγυμνασία. ¶ Ἀπαίδευτον, ἀμαθῆ.
Ἀπαιδοτρίβητος, ἀγύμναστος.
Ἀπαινύμενον, ἀφαιρούμενον. ¶ Ἀπαιδίωται, ἀπηναισχύντηκε, τέτμηται. ¶ Ἀπαΐξαι, ἀπελθεῖν, ἀποχωρῆσαι. ¶ Ἀπαΐξας. ἀποχωρήσας.
Ἀπαιόλη, ἀπάτη, ἀποστέρησις, αἰσχύλος περραιβοῖς.
Ἀπαιολᾶν, παραλογίζεσθαι. ¶ Ἀπαιόλημα, ἀποκάθαρμα. ἢ ἀποπάτημα, ἢ ἀποπλάνημα σοφοκλῆς
Ἀπαιόλησις μισθοῦ, ἀποστέρησις μισθοῦ. ὡς ὑστεροῦντας τῶν μισθῶν τοὺς ὑπηρετοῦντας. ¶ Ἀπαίρει. ὁδεύει. ἀποδημεῖ. ἀναχωρεῖ. ¶ Ἀπαίρονται, ἀποδημοῦνται. ¶ Ἄπαις, μὴ ἔχων τέκνον. ¶ Ἄπαις, ὄνομα πόλεως. ¶ Ἀπαιτίζοντα, ἀπαιτοῦντα.
Ἀπαιώνιστον, δύσφημον εἰσὶ παρ' ἀλλαχοῦ ἐν μηδίᾳ κόρινθον ἀπαιώνιστον, δύσφημον. ¶ Ἀπ' ἄκρας μάχη, ἢ ἑνὸς πρὸς ἕνα μάχη λάκωνες. ¶ Ἀπακτένων. ὁ κινεῖσθαι μὴ δυνάμενος. ¶ Ἀπάλαμνος, ἀσθενὴς, ἀμήχανος. ¶ Ἀπαλαυξίνα, εἰς αὐτὸν κατεστρέφοντα. ¶ Ἀπαλαστήσασα, σχετλιάσασα.
Ἀπαλέξασθαι, ἀποφυλάξασθαι, σοφοκλῆς ἱππόνῳ.
Ἀπαλεξήσειν, βοηθήσειν. ¶ Ἀπαλεξίκακον, ἀθεράπευτον. ¶ Ἀπαλθήσεσθον. δυϊκῶς ἀποθεραπεύονται ἢ θεραπεύσονται. ¶ Ἀπαλέειν, ἀμελεῖν.
Ἀπαλεύντων. ἀμελοῦντες.
Ἀπάλλακες, ἰδίων κοινωνοί. ¶ Ἀπάλλαξις, ἀπαλλαγή.
Ἀπαλλαξείοντες. ἀπαλλακτικῶς ἔχοντες.
Ἀπαλλαξήσομαι, ἀπαρνήσομαι. ¶ Ἀπαλλοτέν. θαυμαστὸν. ἔξαλλον πολύ. παρηλλαγμένον. ¶ Ἀπαλλὸν, μόνον. ¶ Ἀπαλλᾶσθαι. ἀπαντλεῖν.
Ἀπαλοῖξαι, ὀμόσαι. λάκωνες. ¶ Ἀπαλοβραχία. ἀπαλοσαρκῆ. ἀπαλῶς θάλλοντα. ¶ Ἀπάλιον. ὄνομα δελφάκιον. ¶ Ἄπαλον, ἀνοχὴ ἀπὸ τῆς παλαίσ.
Ἀπαλοῖς. μικροῖς. ¶ Ἀπαλός. μικρὸς, ζυφόρός.
Ἀπαμείβομαι, ἀνταποκρίνομαι. ¶ Ἀπαμειβόμενος, ἀνταποκρινόμενος. ¶ Ἀπαμβράκου. αὐξήσζε. καρτέρει. ¶ Ἀπαμείρεται, ἀφαιρεῖται.
Ἀπαμήσεται, ἀποθερίσει. ¶ Ἀπαμῦναι, ἀπαξέψαι.
Ἀπαμυνοὶ, βοηθοί. ¶ Ἀπαμφιάσαντες, ἀποδύσαντες. ¶ Ἀπαμφιεῖ, ἀπογυμνώσει.
Ἅπαν, ὅλον, ἅπαντα. ¶ Ἀπανάνας, ἀποστρέψας.
Ἀπανᾶν, καλεῖν. ¶ Ἀπανεῖ, καλεῖ.
Ἀπανάστασις, ἀποικία. ¶ Ἀπάνεσον. κάλεσον λάκωνες. ¶ Ἀπάνευθεν, μακρόθεν, ἄποθεν, πορρωτέρω. ¶ Ἀπανιζόμενοι, ξηραινόμενοι. ¶ Ἀπαγηνάμενοι, ἀπαρνησάμενοι. ¶ Ἀπανθρακίδες, οἱ πρὸς ὄπτησιν ἐπιτήδειοι ἰχθύες, καὶ πέμματος εἶδος ἀπανθρακίς. ¶ Ἀπάνθρωπος, σκληρός. ἀνόητος ἄφρων, ἀνελεήμων. σοφοκλῆς ἀπανι* ¶ Ἀπαντίζοφα, ἐναντία. ¶ Ἀπαντινά. ἀνεύφορα. ἐκτετμημένα.
Ἀπαντλοίην ἄν. ἐπικουφίσαιμι ἄν. ¶ Ἀπαξιοῖ, οὐκ ἀξιοῖ. ὑποδυσφανεύεται. ¶ Ἀπαξοὶ, μοναχοί.
Ἅπαξ, ἐπίρρημα ἀριθμητικόν. ¶ Ἄπαξον, ἀπόρρητον. ¶ Ἀπατάλο. ἀπαντήτεια ἤγουν ἀπαταλὴ, ἀπατήτεια ἀλαζὼν ἢ μαντευόμενος. ¶ Ἀπαράγκληρος, ἀσύγκληρος. ἀνόμοιος. ¶ Ἀπαραίτητον, ἄφυκτον, ὃ οὐ δύναταί τις παραιτήσασθαι.
Ἀπαράλλακτον, ἀλλοιωτόν ¶ Ἀπαραλλάκτῳ, ὁμοίῳ, κατὰ μηδὲν παραλλάσσοντι. ¶ Ἀπάραζεν, ἀπέτεμεν. ¶ Ἀπαρεμπόδιστος, ἀνεμποδίστως.
Ἀπαρασιώπως, ἀπλάστως. ¶ Ἀπάρας, σκευασάμενος, ὁρμήσας. ¶ Ἀπαράσσεται, ἀποκατάγνυται.
Ἀπαράσημον, ἀσυνέκριτον, ἀπαραχάρακτον.
Ἀπαραλόγιστον, ἀψευδὲς, ἀληθές. ¶ Ἀπαράντινα,

Ἀντιχάλκωμα, μέρος τι τῆς μακρᾶς νεώς. ¶ Ἀντίχορδα, σύγχορδα, ἰσόχορδα. ¶ Ἀντιχόρροις. συνόροις.
Ἀντίψυχοι. οὕτως καλοῦντες οἱ μέμνονος ὄρνιθες.
Ἀντιψάλμοις, ἀντιστρόφοις, εὐριπίδης ἰφιγενείᾳ τῇ ἐν ταύροις. ¶ Ἀντλεῖται, ἐλαύνεται.
Ἀντλητήρ, κάδος ναυτικός. ¶ Ἀντλεία, σκάφη ἐν ᾗ μαλάσσουσι, καὶ τῆς πλοίου δὲ σκαφίδιον, ἡ ἀντλεία.
Ἀντλείαν, δὲ καδίσκον. ¶ Ἄντλον. κάδον. ἀντλητήριον, τινὲς δὲ καὶ τὴν θάλασσαν καὶ τὸν σωρὸν τῶν δραγμάτων. ¶ Ἀντρίσομεν, ἀντισώσομεν.
Ἀντλίη. ἀνατλῇ. ¶ Ἀντλαῖ, πλύσεις.
Ἄντομαι, πάντα ἱκετεύω. ἢ αἱ κάλαμοι. ¶ Ἀντόμεναι, ὑπαντῶσαι ὑπὸ παραντίνων. ¶ Ἀντομένη, ὑπαντήσασα, ἐντυχοῦσα, ἱκετεύσασα. ¶ Ἀντέμοις, σκόλοπας σκελοί. ¶ Ἀντομῶσαι, παρακαλέσαι.
Ἀντομαί, αἱ τῶν χειρῶν φοραί. ¶ Ἄντος. εὖρος, εὐριπίδης. ¶ Ἄντυγες, περὶ πᾶξ ἀσπίδος.
Ἀντίφρις. βοτάνης εἶδος. ¶ Ἀντρέσας, ἀναφοβηθείς.
Ἄντρον, σπήλαιον, ἢ ὑπόγειος τόπος. ἢ βαθὺ, ἢ σκοτεινὸν σπήλαιον. ¶ Ἀντρώδη. σπηλαιώδη.
Ἀντρώδων, ἀνανεάζων ἢ σπηλαίων. ¶ Ἄντρον, πόλις θεσσαλίας. ¶ Ἀντρώνιος, ὄγκος. ¶ Ἄντυ, ἄντινα, ῥόδιοι. ¶ Ἀντυία, δὲ ὑποπόδιον. ¶ Ἄντυγος, περιφερείας τοῦ ἅρματος. ¶ Ἀντύγων, χνόαι, αἱ περιφέρειαι τοῦ ἅρματος, οἱ τροχοί. ¶ Ἀντυγας, ἀναδιδομένος ὅθεν αἱ ἄντυγες κατασίονται.
Ἀντικάρτερα, ἀντίχυρα λάκωνες. ¶ Ἄντυξ, ἅρματος περιφέρεια. ¶ Ἄντυπος, ἴσος, ὅμοιος, ἢ ἐναντίος. ¶ Ἀντωμοσία: ἑκατέρου μέρους ὅρκος. τῶν μὲν, διαφεύγοντος ὅτι μὴ ἠδίκησεν, τῶν δὲ ἐγκαλοῦντες ὅτι ἠδίκηται. ¶ Ἀντωπεῖ. ἀντοφθαλμεῖ.
Ἀντωπὴν, ἀντοφθαλμόν. ¶ Ἀντωπός, λαμπρός, ἀντίος τοῖς ὄμμασιν. ¶ Ἀνυδρευόμενος, ἐκ φρέατος ἀντλῶν. ¶ Ἀνύδρευτος, ἄταφος. οὐ λελουμένος, οὐδὲ τῶν νομιζομένων τυχών. ¶ Ἄνυμφον, κακόνυμφον ἢ τὴν μὴ δυναμένην νυμφευθῆναι.
Ἀνῦξαν, ἀνώρμησαν. ¶ Ἀνύξιον. ἄβρωτον εὐκλείδης.
Ἀνυλήεντα, κατὰ τὸ ὑλώδη. ¶ Ἀνύοντα, ἀναπληροῦντα. ¶ Ἀνυπαίτιος, ἀναίτιος. ¶ Ἀνυπείκαστον, ἀνυπέρβλητον. ¶ Ἀνυπομόνητον, πρόχουν, ἢ βόλος τίς. ¶ Ἀνύπηνον, ἀγένειον. ¶ Ἀνυπείκτον, ἀνυποχώρητον. ¶ Ἀνύποδας, ταχύποδας, ἀπὸ τῶν τοῖς ποσὶν ἀνύειν. ¶ Ἀνύποιστον, ἀφόρητον, ἀνυπομόνητον. ¶ Ἀνυπόκειτος, ἄδολος. ἀπροσωπόληπτος. ¶ Ἀνυποστόλως. ἀνυπόπτως.
Ἀνύπουλος, ἀνύποπτος. ¶ Ἄνυεις, ἄδικος, ἀσεβής.
Ἄνυρος. ἄδικος. ¶ Ἀνύσας, συνελών. ¶ Ἀνύει, πληροῖ. ἀπαιτεῖ. ¶ Ἀνύσεις, τελειώσεις. καρποθώσεις, δύναμις πράξεων ἀποτελεστική. ¶ Ἄνυσις, ἀνύσις, πράξις, αὔξησις, ἐπίδοσις. ¶ Ἄνυσις, περαίωσις. κατόρθωμα. δύναμις πράξεων ἀποτελεστική. ¶ Ἀνύστη, τελειοῦται. ¶ Ἀνύω, τελειῶ, ἐκτελῶ, ἀφελῶ, ἀπαιτῶ. ¶ Ἄνω, ἀπὸ τοῦ ἀνωτέρου τόπου, καὶ χρόνου δὲ ἐπίρρημα τάσσεται. ¶ Ἀνωθεῖ. ἀπειθεῖ.
Ἀνώγει, παρακελεύεται. ¶ Ἄνωγεν, ἐκέλευσεν.
Ἀνώγει. προστάξει. ¶ Ἀνωϊστί. ἀνυπομονήτως, ἀ-

προσδοκήτως. ¶ Ἀνώϊστον, ἀνόητον, ἀπροσδόκητον.
Ἀνῳκισμένος, ἐν τοῖς ἀνωτάτοις γενέσθαι ἄνω οἰκῶν.
Ἄνω κοιλία, παρὰ τοῖς ἰατροῖς λέγεται, ἡ τὰ σιτία δεχομένη. ¶ Ἀνώκται. κελεύεται.
Ἀνωδόρκας, βρίγχος ὁ ἰχθὺς ὑπὸ θηβαίων.
Ἀνώλεως, ἰσχυρός. ¶ Ἀνωλόφυκτον. ἀδάκρυτον.
Ἀνώμαλα διδάσκειν, ἀνωμάλως μερίζειν. ¶ Ἀνωμαλία. ¶ Ἀνωμαλοκρως, ἀνωμάλως κεκαρμένη. οἱ δὲ, διῃρημένως. ¶ Ἄνων. ἀνύων. ¶ Ἀνώνυμος. ἄδηλος. ¶ Ἀνωνύμους, ἀδόξους. ¶ Ἄνωξις. βούλευσις.
Ἀνώπιστον, ἀόρατον, ἀπέρακτον, ἀνεπίστροφον. ¶ Ἄνω ποταμῶν, παροιμία ἐπὶ τῶν ἐπ᾽ ἐναντία γινομένων, κέχρηται καὶ αἰσχύλος καὶ εὐριπίδης. ¶ Ἀνωρέας. οὐκ ἀπηλλαγμένους. ¶ Ἄνωθεν, ὀξύν. ¶ Ἀνωστόν, ἐγκλητόν. ¶ Ἀνώσαντες, ἀναστρέψαντες. ¶ Ἀνωφύουσα, ἀναβλαστάνουσα. ¶ Ἄνωχθι. παρακέλευε.
Ἀνωχθέω. κελευέτω. ¶ Ἄνωχμον, κελευστικόν.

TO A META TOY Ξ.

Ἄξαι, κόλασαι προστακτικόν. ¶ Ἄξαντες, κατεάξαντες. ¶ Ἀξέμεναι, ἐνεγκεῖν. ¶ Ἄξενοι. οἱ μὴ ἔχοντες τὸ μὴ ξενιοῦντα.
Ἄξενος, ἀνεπίμικτος. ¶ Ἄξεσθαι, ἀπάγεσθαι, ἀφίξεσθαι. παραγενέσθαι. ¶ Ἀξέστοις, ῥαχίας στεφοκλῆς σινῶνι. ¶ Ἀξία τιμή. καθῆκον. ἀξίωμα.
Ἀξιοπηγητότατον, ἀξιολογώτατον, ἀξιοῦ ὑφηγήσεως.
Ἀξιέπαινος, ἐπαινετός. ¶ Ἀξιεπαινέτερος, ἄξιος ἐπαίνου. ¶ Ἀξιέραστον. ἀγαπᾶσθαι ἄξιον.
Ἀξιεπιθύμητον, ἐπέραστον. ¶ Ἀξίνη. δίστομος πέλεκυς. ¶ Ἀξιοῖς. βούλει, προκρίνεις. ¶ Ἀξιόλεκτον, ἐπαινετόν. ¶ Ἀξιομανεῖς, δυνατώτεροι.
Ἀξιομάχοι, ἱκανοὶ μάχεσθαι. ¶ Ἀξιομνημονεύοντες, ἄξιος μνημονεύεσθαι. ¶ Ἀξιόν, εὔωνον. ¶ Ἀξιόπιστος, ἀξιόχρεως. ¶ Ἀξιόχρεως, ἀξιόπιστος. ¶ Ἀξιοχρέως, ἱκανῶς. ¶ Ἄξιος, ποταμὸς παιονίας.
Ἀξιούμενος, παρακαλούμενος. ¶ Ἀξιῶν παρακαλῶν ἢ ἄξιον ἡγούμενος. ¶ Ἀξιῶται. ἔθνος ζωάδος.
Ἄξονα. ξύλον τὸ τοὺς τροχοὺς φέρον. ¶ Ἄξοον, ἄτμητον. ¶ Ἄξος, ὕλη παρὰ μακεδόσιν. ¶ Ἀξύλιστον, ἄκοπον. ¶ Ἄξυλον. πολύν, ὅθεν οὐδεὶς ξυλοφορεῖ, ἢ ἱερὸν τόπον. ¶ Ἀξυλοφύλη, πολυξύλῳ, ἢ ὅθεν οὐδείς πω ἐξυλεύσατο. ¶ Ἀξύμβλητον ὁ μηδενὶ ἀπαντᾷ ἢ δυνατὸν ἢ ἀσυνάντητον σοφοκλῆς λημνίαις.
Ἄξυνος, ἀκοινώνητος. πολύξενος.
Ἀξυγγενὲς, ἀλλότριον κατὰ γένος. ¶ Ἀξυνέτου, ἀσυνέτου, ἀνοήτου, ἄφρονος. ¶ Ἀξυρές, ἄξυρον, ἄστομον, ἄρμον, ἀμβλύ. ¶ Ἄξω. ἀπάξω, φέρω.
Ἄξων, ὁ διὰ τῶν τροχῶν διήκων ξύλον περὶ ὃ στρέφονται.

TO A META TOY O.

Ἀοξοί, μάγειροι, ὑπηρέται, θεράποντες, ἀκόλουθοι καλλίμαχος. ¶ Ἀόξεον, ἐθεράπευον.
¶ Ἀοξῆσαι, διακονῆσαι, ὑπουργῆσαι, αἰσχύλος ἐλευσινίαις. ¶ Ἀοί. νεοί. ἀείμνηστοι. ¶ Ἀοῖα, δένδρα κοπτόμενα καὶ ἀνατιθέμενα τῇ ἀφροδίτῃ ὡς ἱστορεῖ ἰάσανδρος περὶ ταῖς εἰσόδοις. ¶ Ἄοιζον, τὸ ἀβλέψειον. ¶ Ἀοιδάων, ᾠδῶν, φωνῶν.

ἀμαζόνων, ἦρι διότι ἀνδράσιν ἐναντιοῦντο οὐ θέλουσαι ἀνδράσι συνευνασθῆναι. ¶ Ἀντιβαίνων, ἀνθιστάμενος. ¶ Ἀντιβάλλανης, ἡ κικκίς. ¶ Ἀντιβάλλει, ἀντιστρέφει, ἢ διαβάλλει ἢ διορθοῖ ἢ ἐπιστρέφει.

Ἀντιβάλμοις, ἀντιστρόφοις. ¶ Ἀντιβαρυνική. ἡ κακοσία. ¶ Ἀντίβιον, ἐναντίον ἀλλήλων. ¶ Ἀντίβιος. ἐξ ἐναντίας. ¶ Ἀντίβοιον, ἰσόβοιον ἀντὶ βοὸς καθαγιαζόμενον σοφοκλῆς μελεάγρῳ.

Ἀντίβιον, ἐξ ἐναντίας πολεμοῦντες. ¶ Ἀντιβολεῖν, συναντᾶν καὶ ἱκετεύειν. ¶ Ἀντιβολὴρ, στρωτὴρ μικρὸς λάκωνες. ¶ Ἀντιβολῆσαι, μεταβάλλειν συναντῆσαι. ¶ Ἀντιβολῶ, παρακαλῶ.

Ἀντιγόνιον, βοτάνη καὶ ἄνθος. ¶ Ἀντιγόμιος, βόλος τις οὕτως ἐκαλεῖτο. ¶ Ἀντίγονον. ἀκακία.

Ἀντιγράφεσθαι. ἀντιποιεῖσθαι κλήρου, ἢ ἀντικατηγορεῖν, ἀττικοὶ δὲ ἀντιποιεῖσθαι κλήρου ἢ ἀντικατηγορεῖν. ¶ Ἀντιγραφὴ, τὸ ἐν ἴσῳ τῇ ἀντωμοσίᾳ, σημαίνει δὲ καὶ τὸ ἐν ἴσῳ τὸ ἀντιποιεῖσθαι. ¶ Ἀντιαπλέκειν. ἀντιμηχανᾶσθαι. ¶ Ἀντιδιαιρεῖται, ἀντιμερίζεται. ¶ Ἀντιδιαστέλλεται. ἀντιβάλλει ἀντιδιίστησιν. ¶ Ἀντιδικεῖν. ἐν δίκῃ ἀντιβαίνειν.

Ἀντίδικος. ἀντίπαλος. ἐχθρός. ἐναντίος. ¶ Ἀντίδοξος, ἐναντίος κατὰ τὴν δόξαν. ¶ Ἀντίδοσις, ἡ μετάληψις. ¶ Ἀντίζηλον, στρογγύλον, ἀστραπαλῶδες ἐν κύκλῳ. ¶ Ἀντίζυγα, ἰσόζυγα. ¶ Ἀντίθεον, ἰσόθεον. ¶ Ἀντίθεσις. ἀντιλογία. ἐρώτησις.

Ἀντίθετα. ἐναντία. ¶ Ἀντιθεόντων, ὑπαντώντων.

Ἀντικαθεστώσας, ἀντικειμένας. ¶ Ἀντίκαινον, ἰσόκαινον. ¶ Ἀντικαρά, τόπος ὁ μετὰ τὴν κλεῖδα.

Ἀντικασιγνήτου, ἴσος τοῦ ἀδελφῷ. ¶ Ἀντικαταλαβεῖν, τὸ ἀντιλαχεῖν δίκην. ¶ Ἀντίκειται, ἐναντίος κεῖται. ¶ Ἀντικήνσωρ, ὁ τοὺς νόμους μεμαθηκώς.

Ἀντικρὺ, κατέναντι, ἐξ ἐναντίας. ¶ Ἀντικρυς, φανερῶς. ἀπέναντι. ἄντικρυ. ¶ Ἀντικύρικον, ὁ ἐλλέβορος. ¶ Ἀντικύων, ἀλώπηξ. ¶ Ἀντιλαχεῖν, τὸ δίκην ἐπιδικαστήριον λαχόντα ἐρήμην ὀφλεῖν, καὶ πάλιν περὶ τὰ αὐτὰ δικάζεσθαι. ¶ Ἀντιλαβεὶς, ὁ πόρπαξ διὰ τοῦ ὀπλίτου ἀσπίδος. ¶ Ἀντιλάζυσθαι, ἀντιλαβέσθαι. ¶ Ἀντιλαμβάνεται, βοηθεῖ ἢ κωλύει. ¶ Ἀντιλαοὶ, τῶν ἄρτων κλάσματα.

Ἀντικρὺ δ᾽ ἀπόφημι. φανερῶς λέξω. ¶ Ἀντιλαβαί. λογικαὶ ῥήσεις ἐξ ἡμιστίχων λεγόμεναι κατὰ μικρὸν περὶ τραγικοῖς, ἱπποκράτης. ¶ Ἀντιλήπτωρ, ἀντιλαμβανόμενος. ὑπερασπιστὴς, βοηθός. ¶ Ἀντιλογικὸς, ἀντιλεκτικός. ¶ Ἀντίλυξον, ἀντίδορν

Ἀντὶ μῆνα, κατὰ μῆνα. ¶ Ἀντιμισθωτὸς, ὁ ἀντ᾽ ἄλλου τῶν ὑπηρετῶν. ¶ Ἀντίον, ἄν τινι ἐνέτυχεν, ἐναντιώθη. ¶ Ἀντίον πολλῶν, ἴσος πολλοῖς. ¶ Ἀντίξοοι, ἀντίπαλοι. ¶ Ἀντίξοοι, ἐναντίοι ἀντίπαλοι

Ἀντίον, ἐξ ἐναντίας. ¶ Ἀντιόφρων, ἐναντίων φρονῶν,

Ἀντιόων, ὑπαντῶν ἢ μεταλαμβάνων. ¶ Ἀντιοώντων, ὑπαντώντων ἢ μεταλαμβανόντων. ¶ Ἀντιόωσα, ἀπαντῶσα, παραγινομένη, συνερίζουσα. ¶ Ἀντιοχεῖ. ἐναντιοῦται. ¶ Ἀντίπαις, νέος παῖς.

Ἀντίπαλον, ἐναντίον ἐχθρὸν θουκυδίδης.

Ἀντιπαράθεσις, ἀντιπαρεξάγει, ἀντιπάσει.

Ἀντίπορα, τὸ ἐν τῷ πέρα ἢ ἀντικρὺ πέρα τῆς θαλάσσης ἢ ἐναντίον. ¶ Ἀντιπεριλαχεῖν, ἀντιστρέφειν.

Ἀντιπεφᾶσθαι, τεθνάναι, ἀναιρεῖσθαι. ¶ Ἀντιπεφυκότων, ἐναντίως πεφυκότων. ¶ Ἀντίπηξ, κιβωτός.

Ἀντίπηγα. κίστην οὕτως εἶπε δῆλος ἴων. ἤγουν ἀγγεῖον.

Ἀντιπέραια, τὰ ἐν τῷ πέρα καὶ τὸ πέραν. ¶ Ἀντιπιφάσκει, ἀνταποδίδωσιν. ¶ Ἀντίπλαστον, σοφοκλῆς ἰνάχῳ. πατὴρ δὲ ποταμὸς ἴναχος, τὸν ἀντίπλαστον ἔχει νόμον κεκμηκότων, ἀντὶ τοῦ ἰσόπλαστον, ὅμοιον.

Ἀντιπολέμοις, πολεμίοις. ¶ Ἀντιπράττεται, ἀντιμάχεται. ἐναντιοῦται. ¶ Ἀντίπροικα, τὰ ἔπαινα καὶ ἰσόπροικα. ¶ Ἀντιπροΐσχειν, ἀντιδοῦναι.

Ἀντιπροκλήσεις. ἀντιλογίαι. ἀντεγκλήματα.

Ἀντίπρῳρα, ἀντιπρόσωπα, πρῷρα γὰρ τὸ πρόσωπον, καὶ ἀνθρωπόπρῳρον, ἀνθρωποπρόσωπον. σοφοκλῆς τραχινίαις

Ἀντίπυργος, ἰσόπυργος, ἴσον κατὰ τὸ ὕψος τοῦ μήκους τὸ ἀνάστημα ἔχων. ¶ Ἀντίρρησις, λόγος ὁ τὸ θανὸν ἑτέρου λόγου διαβάλλων. ¶ Ἀντίρρινον, ἀντίρριζον, οἱ δὲ, βοτάνης εἶδος. ¶ Ἀντίρροπον, ἴσον, ἰσόσταθμον. ἰσόζυγον. ¶ Ἀντίρρωται, ἀντὶ τοῦ ἀποπέμπεται. ¶ Ἀντίπαστον, φιλήματος ὄνομα

Ἀντήσειεν, ἀπαντήσειεν. ¶ Ἀντήσεις. λιτανεῖαι.

Ἀντισκνεῖται, ἀναβάλλεται. ¶ Ἀντιστάτης, ὁ ἀνθεστὼς ἐν τῇ μάχῃ. σημαίνει δὲ καὶ ἐν θυσίᾳ. ¶ Ἀντιστρατευόμενον, ἀνθιστάμενον. ¶ Ἀντιστρέφω, ἀντεξιῶ σοφοκλῆς τυμπανισταῖς. ¶ Ἀντισκόπτεται, ἀνταλλάξεται. ¶ Ἀντιστοιχεῖν, κατὰ στοῖχον ἑστάναι. ¶ Ἀντίστομος, ἡ ἐξ ἑκατέρου μέρους τάσις.

Ἀντίστροφος. ἴση, ὁμοία. ¶ Ἀντίσχαδος. τὸ μηδενὸς ἄξιον. ¶ Ἀντιτα. ἀνέκτιστα, ἀντιτιμώρητα.

Ἀντιτάλαντον, ἀντίσταθμον. ἴσον. ¶ Ἀντιτάσσεται, ἀντίκειται. ¶ Ἀντιτεχνήσει, ἀντικατασκευάσει.

Ἀντιτείνει, ἐρίζει. ¶ Ἀντίτιμα, τὰ ἄποινα. τὰ ἀντίλυτα. ¶ Ἀντιτιμᾶσθαι, ὁ χρὴ παθεῖν ἐν τοῖς δικαστηρίοις ἢ ἀποτίσαι τὸν ἁλόντα. ¶ Ἀντιτίμημα, ἡ ἀντιτίμησις. ¶ Ἀντιτίσασθαι. ἀνταποδοῦναι.

Ἀντίρ ικεῖν ἱκέτευο, ἴσος ἱκέτης σοι εἰμί. ¶ Ἀντιτορήσας, διορύξας, κατακόψας, ἀντιτορήσας.

Ἀντίτομον, φάρμακον, ἀντιπαθὲς ὅπερ ὁ πιὼν οὐ βλάπτεται ὑπό τινος. ἀλεξιφάρμακον. ¶ Ἀντίτυπα

Ἀντιτυπῆσαι, ἐναντιωθῆναι, ἀντειπεῖν. ¶ Ἀντιτυπίαι, ἀντιλογίαι. ἐναντιώσεις. ¶ Ἀντιτύπησις. σκληρότης. ¶ Ἀντιφθάρα, ἀντιλογία. μάχη. ζάλη. οἱ δὲ, [illegible]. ¶ Ἀντίφασις, ἀπόκρισις. ¶ Ἀντιφερές, ἐναντίον. ¶ Ἀντιφάτης. ὁ τῶν λαιστρυγόνων βασιλεὺς οὕτως ἐκαλεῖτο. ¶ Ἀντιφέρεται, ἐναντιοῦται.

Ἀντιφέρεσθαι, ἐριστικῶς, ἢ ἀντιλέγειν ἢ ἀντιτάσσεσθαι ἢ ἐναντιοῦσθαι. ¶ Ἀντέκτισε, διαξεργάσαιντο εἰς ἡμᾶς

Ἀντιφερίζειν, ἐξισοῦσθαι, ἀντιστῆναι. ¶ Ἀντιφέροιντο, ἐξισοῖεν. ¶ Ἀντιφιλοτιμούμενοι, πρὸς τὴν δίκην ἄν ἕκαστος ὁρῶντες φιλοτιμίαν καὶ δόξαν. ¶ Ἀντιφολκός. μέρος τῆς πολεμικῆς νεώς. ¶ Ἀντίφρουροι, τὴν ἴσην ἔχοντες φρουράν. ¶ Ἀντίφωνα, ἐναντιόφωνα.

Ἀντίχειρες. ἔνια τῶν βαρβάρων ἐθνῶν τοὺς ἀντίχειρας ὑποτιθέντα τοῖς γενείοις, καὶ τοὺς δακτύλους ἐκτείνοντα προσκυνεῖ τοὺς ἡγουμένους αὐτῶν.

Ἀνοιμώζοντα, ἀναστενάζοντα. ¶ Ἀνοιμῶξαι, στενάξαι, ὀλολύξαι. ¶ Ἀνοίσω. ἀναφέρω. ἀναβάσω.
Ἄνοιτο, ἀνύοιτο, τελοῖτο. ¶ Ἀνόκεον, ὑπόβρωον, γράφεται καὶ ἀνώγεων. ¶ Ἀνοκωχία λόγων, ὃν παρὰ τὸ εἰκὸς εἰρημένον. ¶ Ἀνοκωχή, ἀναχώρησις, ἀνοχή.
Ἀνόλεθρον, ἀθάνατον, ἀκίνδυνον, ὄλεθρος γὰρ ὁ θάνατος καὶ ὁ κίνδυνος. ¶ Ἀνόλκητον, ὑφ' οὗ τι ἀνέλκηται.
Ἀνόλβοις, ἀπόροις, ἀνοήτοις, κακοδαίμονας.
Ἀνομβρεῖ. ἀναβάλλει. ¶ Ἀνομεν, περαθῶμεν.
Ἀνόμαλον, τραχεῖαν. ¶ Ἀνόμαλον, κατὰ τὸ πλῆθος ἢ ἔκφυλον. ¶ Ἀνομένω, ἀρνουμένω.
Ἀνομολογίαι, αἱ διὰ λόγων συγκαταθέσεις.
Ἀνόθως, γνησίως. ¶ Ἄνομον, τὸ μὴ ὑποκείμενον νόμῳ, παράνομον. περὶ τοῦ νόμου. ¶ Ἄνομος γνώμη, ἡ ἔξω μᾶλλον νόμου. ¶ Ἀνονδόκως, ἀνωθεν.
Ἀνόνητον, ἀνωφελῆ, ἀκερδῆ. ¶ Ἀνόητος, μωρός, ἠλίθιος, ἀσύνετος, ἄφρων, ἢ ἀνύοντος, ἢ ὁρῶντος.
Ἀνοπαῖα, ὀρνέου ὄνομα καὶ εἶδος, ἢ ἀνὰ τὴν ὀπὴν τοῦ θυρας. ἢ ἀνὰ τὴν θυρίδα, ἢ ἄφαντος.
Ἀνόπιν, εἰς τοὐπίσω. ¶ Ἄνορ, νοῦς ὑπὸ σκυθῶν.
Ἀνορπάζειν, ἀνακινεῖν, ἀνάλλεσθαι. καὶ τὸ τὰ παιδία ταῖς χερσὶν ἀναβάλλειν. ¶ Ἀνορνίας, ἀμνησίας.
Ἀνοροῦσαι, ὁρμοῦσαι, κατάγουσαι. ¶ Ἀνόρουσεν. ἀνώρμησεν. ¶ Ἀνόρεος πόλεμος, ἀνδρεῖος ὁ πρὸς τοὺς ἄνδρας, σοφοκλῆς ναυπλίῳ. ¶ Ἀνορταλίζειν, ἅλλεσθαι. ἐντεῦθεν καὶ οἱ νεοττοὶ ὀρτάλιχοι.
Ἀνοσάμικρον, ὀλιγόρρυτον ὕδωρ. ¶ Ἀνόσια, βέβηλα, ἄδικα, ἄνομα. ¶ Ἀνόστιμος, ὃ νοστῆσαι οὐκ ἦν.
Ἀνοσιουργηθέντων, ἀνοσίως ἐργασθέντων. ¶ Ἀνόστεος, ὁ θαλάσσιος πολύπους. σκώληξ. ¶ Ἄνοστοι, μὴ ἐπιστρέψαντες ὅθεν ἦλθον. ¶ Ἄνου, ἄνω ἰωνικῶς.
Ἄνους. ἀσύνετος. ¶ Ἀνούταρος. ἄξωρος ἐκ χειρὸς αἰσχύλος λυκούργῳ. ¶ Ἀνοχλήν, ἄνανδρος.
Ἀνοτεγκτον, ἀθρήνητον. ¶ Ἀνούλεγοι, ἀνόλεθροι.
Ἄνουροι, ἄβρεκτοι, ὑψηλαί. ¶ Ἀνοχῆ, μακροθυμία, παρὰ τὸ ἀνέχειν καὶ ἀνέχεσθαι, ἢ ἀναβολῆ, ἢ χάειτι.
Ἀνοχίου, ἀνατολικοῦ. ¶ Ἀνοχλίζων. ἀναμοχλεύων.
Ἀνοψοφαγῆν, τὸ μὴ βλέπειν. ¶ Ἀνστάντες δὲ, ἀναστάντες δέ. ¶ Ἄνσχετον, ἅψασθαι, συνάψαι, κρητικῶς.
Ἀνσκτὴρ, βουβὼν λακωνικῶς. ¶ Ἀνστείσασθαι, τὸ μὴ νομ πρὸς τὸ πῦρ στῆναι λακωνικῶς. ¶ Ἀνστήτην, ἀνέστησεν δωρικῶς. ¶ Ἄνστησον, ἀνάστησον. ¶ Ἄντα, ἐξεναντίας, κατὰ πρόσωπον. ¶ Ἀνταγωνιστής. ἀντίπαλος. ¶ Ἀνταποβίδας. γένος ἀθήνησιν.
Ἀντάλλεται, ἐναντιοῦται. ¶ Ἄνται, ἄνεμοι.
Ἀνταίας, πολεμίας, ἐχθρᾶς, σοφοκλῆς πολυείδῳ.
Ἀνταίαν, ἔκτροπον, χαλεπήν. σοφοκλῆς ἀκρισίῳ.
Ἀνταία. ἐναντία. ἱκέσιος. αἰσχύλος σεμέλῃ. σημαίνει δὲ καὶ δαίμονα, καὶ τὴν ἑκάτην δὲ ἀνταίαν λέγουσιν ἀπὸ τοῦ ἐπιπέμπειν αὐτά. ¶ Ἀντβροῦσιν, ἀντιλέγουσι σοφοκλῆς θυέστῃ. ¶ Ἀντακάς, σήμβρον.
Ἀντακαῖοι, ἰχθῦς κητώδεις. ¶ Ἀντακές, σημεῖον.
Ἀντάλλαγμα, ἀντάμοιβον. ¶ Ἀνταλλαγῆναι, ἀναπαύσασθαι, κρητικῶς. ¶ Ἀνταλλές, ταύτης τῆς ἡμέρας. ¶ Ἀντάμειψιν, ἀνταπόδοσιν. ¶ Ἀνταμιλλᾶσθαι. ἀντερίζειν. ¶ Ἀνταν, ἀντιπάζειν ἱκετεύειν. ¶ Ἀνταναγνῶναι, ἀντιβάλλειν βιβλίον.

Ἀνταναιρεθῆ. ἀφανισθῆ. ¶ Ἀνταναίρεται. ἀφαιρεῖται. ¶ Ἀντανακλωμένη, κατ' ἀνάκλασιν διά τινος μεταπεμπομένη, γίνεται δὲ ἐπὶ τῆς φωνῆς ἣν καλοῦσιν ἠχώ. καὶ ἐπὶ φωτὸς, ἢ ἀντιπέμψεως. ¶ Ἀντανελέσθαι. ἀντιλαβεῖν χείρονα. ¶ Ἀντανελών, ἐκκοπών, ἀφελών. ¶ Ἀντάντην, ἐπίβολον, ἀντίδικον.
Ἄνταξ, ἐν μέρει. ¶ Ἀντάξιον, ἴσον κατὰ τὴν ἀξίαν.
Ἀντάποτος, συνδιδόμενος.
Ἄνταρ. ἀετὸς ὑπὸ τυρρηνῶν, διφθείρων δὲ διάσμα.
Ἀντάρτης. τύραννος ἀντιβαίνων βασιλεῖ. ¶ Ἀντάς, πνεάς. ¶ Ἀντᾶσθαι, συναντᾶν. ¶ Ἀντεγράψαν, ἀντεδικάσαν. ¶ Ἄντα τιτυσκόμενος, ἐξ ἐναντίας τιτυσκόμενες. ¶ Ἀντεβόλησα, ἀπήντησα.
Ἀντερῦσ, τοῦ ἀντὶ τοῦ ἔρις λακωνικῶς. ¶ Ἀντῆν, ἢ ἐναντίος τῇ ἀγωγῇ. ¶ Ἀντείχοντο, κατέχοντο. ¶ Ἀντεδύσαν. ἀνέδυ, ἀνέβη. ¶ Ἀντεκκομιεῖ, ἀντεύξει.
Ἀντεκκομίσαι, ἀντεκφέρει. ¶ Ἀντέκτασις, ἀνταπόδοσις καὶ ἀντέκτισις. ¶ Ἀντεμβριάζειν, ἀντεξετάζειν. ¶ Ἀντεμμάχεσθαι. ἀνταποδοῦναι. ἐπιπλῆξαι εὐριπίδης πελιάσιν. ¶ Ἀντεμφανίζομαι. ἀντιδεικνύς. ¶ Ἀντεξάγοντες. ἀντεκφέροντες.
Ἀντεξάγω, ἀντεισφέρω. ἀντιστήκω. ¶ Ἀντεξετάζω, ἀντερωτῶ. ¶ Ἀντέπνει. ἀνταπήρχετο.
Ἀντεπιπλεῖν, ἐναντιοῦσθαι. ¶ Ἀντεκπονησόμεθα ἀντεπινενήκωμεν. ¶ Ἀντβρασις, ὁ ἀντβρῶν. ¶ Ἀντερείσεις, ἀντέρεισις, ἀντιζηλώσεις. ¶ Ἀντίσχεν, ὑπέμεινεν.
Ἄντεσθαι, ποτὲ μὲν λιτανεύειν, ποτὲ δὲ ἐξεναντίας παραγίνεσθαι, ἢ παραγίνεσθαι πρὸς λιτανείαν.
Ἀντέσω. ἀντισοῦ, ἀντικρὺς ἐλθεῖν*. ¶ Ἀντεταιῶς. ἀναγεγραμμένως. ¶ Ἀντεφέροντο, ἐναντιοῦντο, ἀντέπραττον. ¶ Ἀντέχεται, ἀντιλαμβάνεται, φροντίζει, προθυμεῖται. ¶ Ἀνετετέρησι, διεπρόνησε. δέζοσι. δέπεχεσιν. ¶ Ἀντήλιοι, θεοὶ, οἱ πρὸ τῶν πυλῶν ἱδρυμένοι, εὐριπίδης μελεάγρῳ. ¶ Ἀντήλιες, ὁ ἴσος καὶ ὅμοιος ἡλίῳ φαινόμενος, καταχρηστικῶς δὲ, ὁ ἀντικρὺ ἡλίου ἱδρυμένος βωμὸς ἢ θεός.
Ἄντην, ἐξεναντίας, ἐναντίον. φανερῶς. ¶ Ἀντήρεις, ἀντιθήρεις σοφοκλῆς ἠλέκτρᾳ ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐλαύνωσι καὶ μὴ ἐπὶ θάτερα περιάγηται ἡ ναῦς. ¶ Ἀντήρεται. ἴσον ἀπὸ τῶν ἐξ ἴσου ἐρεσσόντων ἢ σώω κωπηλατούντων. ¶ Ἀντίον, ἀντωπίαν. ¶ Ἀντήρη. τὸ ἐξεναντίας ἀντιπαρατεταγμένον. ¶ Ἀντήρειδες, τὰ ἀντερείδοντα ξύλα ἢ λίθινα κατασκευάσματα. ¶ Ἀντήρειος, στήμων, καὶ ὁ κανὼν προσκείμενος τῇ θύρᾳ ὃν ἔνιοι καλυπτῆρα φασί. ¶ Ἀντήλλω, ἱκετευτικῶς. ¶ Ἀντῆρον δῶρον ἱκέσιον. ¶ Ἀντῆσαι, τυχεῖν. ἀντιάσαι.
Ἀντήσεσι, λιτανείαις, ἀντήσεσιν. ¶ Ἀντήσεις, ἱκεσίαι, λιτανεῖαι, ἱκετεῖαι. ¶ Ἀντί, πρόθεσις, ἢ ἀντίον γυναικεῖον ἴσου. ¶ Ἀντιάαν, μεταλαβεῖν. ¶ Ἀντιάζει. ἀπαντᾷ. συναπαντᾷ. ¶ Ἀντιάζων, ἀπαντῶν.
Ἀντιάσεις, μεταβάλλων, ἢ συντυχήσεις, ἢ ἵλεως γενοῦ.
Ἀντιάσειεν, ἀποτύχοιεν, ἢ ἐπιτύχοι. ¶ Ἀντιάσμενος. σπρον μεταβάλλοντα. ¶ Ἀντιάσασκεν, ὑπηρετοῦσα ἦν.
Ἀντιάνειραι, ἀριστάρχος ἰσάνδροι. τὸ δὲ ἐπίθετον τῶν

διεναντίας ἕκαστον. ¶ Ἀνθελέσθαι, χειροτονῆσαι.
Ἀνθέλκει, ἀντισπᾷ. ¶ Ἀνθελομένου. προκρίναντος.
Ἄνθημα, ἀνάθημα καὶ μάζα τις. ¶ Ἀνθόμασιν, δι᾽
ανθήμασιν. ¶ Ἀνθέμιον, τὸ ἐκλεκτὸν χρυσίον, ὃ
γραμμό τις ἑλικοειδὴς ἦν ἐν τοῖς λίθοις, ἢ τόπος ἀθή
νησιν ἐν τῇ ἀκροπόλει. ¶ Ἀνθέμη, ὁ ὑπ᾽ ἐνίων ἀμά
ρακος πόα. ¶ Ἀνθεμόεντα, ἐμπεποικιλμένον.
Ἀνθοφόρον, ἀνθηρὸν ὃ θύεται, ἀνθηματικόν. ¶ Ἀνθεμό
εσσα, ὑψηλὰ ἄνθη ἔχουσα. ¶ Ἀνθεμοῦς, πόλις, χώ
ρα, ποταμός. ¶ Ἀνθεμουσία, πόλισμα τὶ παρὰ μακεδό
σιν διὰ ἀνθεμοῦντος πόλεως μακεδονίας. ¶ Ἀνθε
μώδη, ἄνθος ἔχοντα. ¶ Ἀνθέξεται, ἀντιλήψεται.
ἢ λύει. ¶ Ἀνθέξομαι, κρατῶ. ¶ Ἀνθερεῶν, ὁ
ὑπὸ τὸ γένειον τόπος, ἀφ᾽ οὗ μέρους ὁ πώγων ἄρχεται.
Ἀνθέρικας, τὰ τῶν σταχύων ἄκρα, καὶ αἱ προβολαί, καὶ ὁ
ἀσφοδέλου καρπός, ἢ βοτάνης εἶδος, καὶ τὰ ἐν τοῖς
στάχυσι κέντρα. ¶ Ἄνθεσι μήλων, τοῖς ἀκροδρύοις.
ἀπὸ μεταφορᾶς τῶν μήλων. πᾶς καρπὸς δένδρου, μῆ
λον λέγεται. ¶ Ἀνθεστήρια, τὰ διονύσια.
Ἀνθεστηριάδας, τὰς ἐχούσας ὥραν ἀκμῆς ῥόδιοι.
Ἀνθῖται, ἐλεύθεροι παρὰ ταραντίνοις.
Ἄνθη, τὰ χρώματα. ¶ Ἀνθηδών. ὁ μέλισσα, καὶ
πόλις βοιωτίας καὶ παλαιστίνης.
Ἀνθηλά, ὑποκέραια. ¶ Ἀνθόλα, πώγων ὁ περὶ τὸ δέρ
μα. ¶ Ἀνθηλεῖν, πυρός. αἴθει. αἴθουσι.
Ἀνθήλιον, τὴν σελήνην. ¶ Ἀνθ᾽ ἡμέρας. δι᾽ ὅλης τῆς
ἡμέρας. ¶ Ἀνθήμερον, σήμερον ἡμέρα σοφοκλῆς
δανάῃ. ¶ Ἀνθηρημένος, ἀντιλαμβανόμενος.
Ἀνθηρόν, τὴν σανδαράκην. ¶ Ἀνθόνας, ὁ προσφάτως
συντεθειμένος τυρός. ¶ Ἀνθινὸς οἶνος, ἡδυσμένος
ἀπὸ βοτανῶν. ¶ Ἀνθινόν. ἀνθηρόν. βαπτόν.
Ἀνθιπποσασίων, τῶν ἱππικῶν. ἀσκήσεις ἢ ἀγῶνες αὐτῶν.
Ἀνθοβόσκον, ἀνθοζόφον, σοφοκλῆς αἰθίοψι.
Ἀνθολεῖν. ἀνθολογεῖν. ¶ Ἀνθολκόν, ἀντίρροπον,
ἑτεροκλινές. ¶ Ἀνθοπωλεῖν, οἰνοπωλεῖν, φαρ
μακοπωλεῖν. ¶ Ἀνθορισθήσεται, ἀντιτεθήσεται.
Ἄνθος, βλάστησις. ¶ Ἀνθοσμίας οἶνος, εὔπνους, ἢ ἄν
θος ἔχων. ¶ Ἀνθοῦσαι, βλαστήσασαι. ἄνθος ἀφιεῖ
σαι ἐκ τῶν ἀνθῶν εἰς ὄμφακα μεταβάλλουσαι.
Ἀνθ᾽ ὅτου δὲ δή. ἀνθ᾽ ὅτου τινὸς δή.
Ἀνθράκιον, τὸ μικρὸν τριπόδιον, καὶ λίθος τίμιος ὁ ἐν
δακτυλίῳ. καὶ χυτροπόδιον. καὶ πᾶσα μικρὰ κάμι
νος. ¶ Ἀνθρεῖ. κρύπτει. ¶ Ἀνθρηδών, ὁ τενθρη
δών. ¶ Ἀνθρήνη, εἶδος μελίσσης. ἀεὶ στερ
χος. παρ᾽ ᾧ καὶ ἀνθρήνεια τὰ μελίσσια.
Ἀνθρήνιον, τὸ τῶν μελισσῶν πλάσμα. ¶ Ἀνθρίσκιον,
λάχανον ἔχον ἄνθος ὡς ἀθόνιον ὃ τὸ ἄνησον.
Ἀνθρωπώ. ὁ γυνὴ παρὰ λάκωσιν. ¶ Ἀνθρωπείοις,
ἡμέρας τὰς ἀποφράδας ῥόδιοι. ¶ Ἀνθρώσκε,
ἄνω θρῶσκε, ὀρχοῦ, σοφοκλῆς κώμῳ. ¶ Ἀνθυπό
μνυσθαι, τὸ ἀναβάλλεσθαι δίκην ὁ χειροτονίαν μεθ᾽ ὅρ
κου. ¶ Ἀνθυπούργησιν. ἀντευεργέτημα.
Ἀνθυποφορά. ἀνταπόκρισις, ἀνθυφαίρεσις.
Ἀνθυφεστῶτα, ἀντικαθεστῶτα. ¶ Ἄνθει ἥλιος. λαμ
πόμενος. ¶ Ἀνθώπλισαν. ὥπλισαν.
Ἀνθωπλισμένοι, ἀντιτεταγμένοι.

Ἀνιάζειν, ἀνιᾶσθαι. ¶ Ἀνιαρόν, λυπηρόν. μο
χθηρόν. ¶ Ἀνίασιν, ἀναδιδόασιν.
Ἀνιᾶται. ὀδυνᾶται. λυπεῖται.
Ἀνίατον, ἀθεράπευτον. ¶ Ἀνίσχεν, ἀνεβόησεν.
Ἀνιγρόν, ἀκάθαρτον, φαῦλον, κακόν. δυσῶδες. ἀσε
βές. ¶ Ἀνιδρωτί. ἄνευ ἱδρῶτος.
Ἀνίει. ἐλύπει, ἔλυεν. ¶ Ἀνιείς, ἀφείς, ἐρεθίζεις.
Ἀνιεῖσαι. ἀναπείθουσαι. ¶ Ἀνιάκειν, ὄζειν.
Ἀνιγροδίτης, βυρσοδέψης. ¶ Ἀνιδιτί, ἀνιδρωτί.
Ἀνιεμένη, ἀνέλκουσα καὶ ἀναχαλῶσα τὸν πέπλον. ἢ
τὸν μαστὸν δεικνύουσα, καὶ ἐκ τοῦ αὐχένος προβάλλου
σα. ¶ Ἀνιεμένοις, ἐκ τῶν κάτω μερῶν ἐπὶ τὰ ἄνω
ἕλκοντας, καὶ ἐκδέροντας κάτωθεν ἀρξαμένους ἤδη
πυρὸς ὀξεωμένους. ¶ Ἀνιέναι. δέρειν.
Ἀνιέντα. ἐνδόντα. ¶ Ἀνίερα, κακά, βέβηλα.
Ἀνιδροῦσθαι, εἰς θυσίαν κρίνεσθαι. ¶ Ἀνιδρῶσαι,
ἀναπαιωνίσαι. ¶ Ἀν᾽ ἴσον. ἀνὰ τὸ ὀρθόν.
Ἀνίεσθαι, τὸ ἀπολύεσθαι, συγχωρεῖσθαι, καθίζεσθαι.
Ἀνιδρώσαντες, ἀναθέντες. ¶ Ἀνιηθέντα, λυπηθέν
τα. ¶ Ἀνίηρ. βοτάνη τις. ¶ Ἀνίησιν. ἐᾷ.
ἀπολύει, ἀναπαύει, ἐνδίδωσι. ¶ Ἀνίησιν, ἐνδί
δωσιν, ἀναβάλλει. ¶ Ἄνιθι, ἄνελθε.
Ἀνήκεστον, ἀνίατον. ¶ Ἀνικλώμενον, ἀνακαθαι
ρόμενον. ¶ Ἄνικμος, ξηρά. ἰκμάδα, ὃ ἐστιν ὑγρασί
αν μὴ ἔχουσα. ¶ Ἀμίλλεσθαι, συζέφεσθαι.
Ἀνιμᾶται. πιπίζει. ¶ Ἀνιείς, ἀνατιθείς.
Ἀνιμᾶσθαι. ἀντλεῖν. ¶ Ἀνιμένοι. ἐκλελυμένοι.
Ἀναίξειαν, ὁρμήσειαν.
Ἀνιόντα. ὑποστρέφοντα. ¶ Ἀνιόντος, ἀνερχομένου,
ἀνατέλλοντος. ¶ Ἀνιπτάμενοι, ὀνεωσμένοι.
Ἀνιπτάμενος, ἀναπετασθείς. ¶ Ἀνίπτοισιν, ἀνίπτοις.
Ἀνιπτόποδες, δι᾽ ἁγνείαν χρείαν μὴ ἔχοντες νίπτεσθαι.
Ἀνιγροῦ. χαλεποῦ, λυπηροῦ.
Ἀνοίσει. ἀναφέρει. ¶ Ἀνισοφυές, ἀνόμοιον.
Ἀνιστάμενος, ἀναστάς. ¶ Ἀνίστη. ἤγειρεν ἢ οἱονεὶ ἀναστάς.
Ἀνίσχει, ἀνατέλλει. ¶ Ἀνίσχουσαν, ἀναδύουσαν. ἀνα
τέλλουσαν. ¶ Ἀνίσχων. ἀνατέλλων. ¶ Ἀνισῶ
σαι, τὸ ἴσους ποιεῖν τοὺς ὕστερον ἐλθόντας.
Ἀνιχνεύων, ἀναζητῶν τὰ ἴχνη. ¶ Ἀνίψανον, οὐ βε
βλαμμένον. οἱ δέ, ἡλικίας τάξιν. ¶ Ἀνιωμένους,
λυπουμένους, δακνομένους. ¶ Ἀν᾽ ἰωγμόν. κατὰ
τὸν δίωξιν ἢ τὴν ταραχήν. ¶ Ἀννεμεῖν. ἀναγινώ
σκειν. ¶ Ἀνεῖται. ἀνατέλλει. ἀναφέρεται.
Ἀννησοειδές, κώνειον. ¶ Ἀννίς, μητρὸς ἢ πατρὸς μήτηρ
Ἀνοδιῶς, ζοφερῶς, ἀβρῶς. ¶ Ἄννωμα, θρυπτόμενα
ταραντῖνοι. ¶ Ἀνέφελος, ἄνευ νεφέλης. ῥυτέ
στιν αἰθρία. ¶ Ἀν᾽ ὄγμους, κατὰ τὰς τῶν στίχων φυ
τείας. τὴν σχιζομένην αὔλακα. ¶ Ἄνοδος, ἀνά
βασις ὁ ἑνδεκάτη τοῦ πυανεψιῶνος ὅτε αἱ γυναῖκες
ἀνέρχονται εἰς θεσμοφορεῖον, οὕτω καλεῖται.
Ἀνόδοντος, ὀδόντας οὐκ ἔχων. ¶ Ἀνόζεστα, τὰ μὴ
ἐζεσμένα. ¶ Ἀνοήμων, ἄνους, ἄφρων. ¶ Ἀνοη
ταίνει, μωραίνει *. ¶ Ἀνόθευτος. γνήσιος.
Ἀνόθευρον. νεαθρόν. ¶ Ἀνοί. μωρίας.
Ἀνοικτές, ἀταλαιπώρετον. ¶ Ἀνοίκτως. ἀνηλε
ῶς. ἀταλαιπώρως.

ἀνεκίνουν. ¶ Ἀνέῤῥιψαν, ἀνεβάλοντο.

Ἀνελαύνοντες ἀντὶ τοῦ ἤλασαν. ¶ Ἀνεῤῥοιβδήσαν, ἀνέπιον, ἀνεῤῥόφησαν. ¶ Ἀνεῤῥώσθημεν, ἀνελάβομεν, ὑγιεῖς γεγόναμεν. ¶ Ἀνέρυσαν, εἰς ῥυπισμὸν ἔκλασαν. ¶ Ἀνδρύσκος, ἄνθους εἶδος. ¶ Ἀνερχομένῳ, ὑποστρέφοντι. ¶ Ἀνέρσει, ἀμφιστήσει, κρεμάσει. ¶ Ἄνες, ἄφες, ἀπόλυσον, παῦσον.

Ἀνέσαιμι, ἀναπείσαιμι καὶ παρορμήσαιμι.

Ἀνέσαντες, ἀνακαθίσαντες. ¶ Ἀνοίξαντες, ἀναλαμβάνοντες. ¶ Ἄνεσις, ἀνάπαυσις. ¶ Ἀνέσει, σώσει, ἀναπέμψει, καὶ ἐπανάληψιν ποιήσει τὴν οἰκίαν.

Ἀνέσθαι, αὐξάνεσθαι, οἱ δὲ, φθίνειν. ¶ Ἀνεσίτων, ἀμέμπτων. ¶ Ἀνεσθίων, μηκέτι ἐσθιομένων.

Ἀνεσκολόπισαν, ἀνεσταύρωσαν. ¶ Ἀνεσκολοπίσθη, ἀνεσταυρώθη. ¶ Ἀνεσπάκασιν, εὑρήκασιν, εἰλήφασιν.

Ἀνέσπερον, ἀσκότεινον. ¶ Ἀνέσσοιτο, ἀνέρχοιτο, ἀνεπήδησεν. ¶ Ἀνεστάλη, ἐστάλη, μετεκλονήθη.

Ἀνεστάλησαν, ἐκρύβησαν.

Ἀνέστην, ἀνέστησαν. ¶ Ἀνεστέλλοντο, ὑπεχώρουν.

Ἀνεστενάχιζεν, ἀνέστενεν. ¶ Ἀνέστιοι, ἄοικοι, ἑστία δὲ ἡ οἰκία. ¶ Ἀνεσύρατο, ἄνω τὰ ἱμάτια ἔσυρεν.

Ἀνέσφηλεν, ἀνέζησεν. ἄνω ἔσχεν. ¶ Ἀνέσχεν. ἐκράτησεν. ἄνω ἔσχεν. ἐπῆρεν, ὕψωσεν. ¶ Ἀνέσχεθεν, ἀνέσχεν, ἀνέτεινεν. ¶ Ἀνέσχον, ἀνάστασιν ἐποίουν.

Ἄνεται, ἀνύεται καὶ ἀναλοῦται. ¶ Ἀνέτειλεν, ἀνεβλάστησεν. ¶ Ἀνέτησι, πόρναις ἢ φίλαις.

Ἀνέτρεχον, ἐν συνθήκῃ οὐκέτι ἔμμενον. ¶ Ἀνετράπετο, ἀνεστάθη, ἔπεσεν ὕπτιος. ¶ Ἀνέτως, ἀναπεπταμένως, σοφοκλῆς τυμπανισταῖς. ¶ Ἄνευ, ἄνευθεν.

Ἄνευ, χωρίς. ἄνευ. δίχα. ¶ Ἀνευθέρου, ἀχρήστου.

Ἀνεύθυνον, ἀζήμιον, ἀνέγκλητον, ἄνευ πρυτανείων. δίκαι τινὸς, αἱ δίχα τοῦ τεθῆναι, πρυτανεῖα κρίνονται.

Ἀνευρόντες, εὑρόντες. ¶ Ἀνεύροι, διευρυνθῶσι.

Ἀνευρύνει, διαπλοῖ. ¶ Ἀνευφημήσει, ἀνοιμώξει κατὰ ἀντίφρασιν, σοφοκλῆς τραχινίαις.

Ἀνέφαινον. ἀνέκαιον.

Ἀνέφικτον, ἀκατάληπτον. ἀδύνατον.

Ἀνεφίτου, ἀσυγχωρήτου.

Ἀνέφλυεν, ἀνέβλυζεν, ἀνέζει. ἀνέβαλλεν. ἀνέφυ, ἀνῆλθεν. ¶ Ἀνεχέγγυος. ἄπιστος. ¶ Ἀνέχαζεν, ἀνεπόδιζεν. ἀνεχώρει. ¶ Ἀνεφυσίαζεν, ἀπέθανεν.

Ἀνεχαίτισεν, ἠπείθησεν. ¶ Ἀνεκρούσατο, ἀνέῤῥιψεν.

Ἀνέχει. ἀνατέταται. ¶ Ἀνέχειν. ἄνεσιν ἔχειν.

Ἀνέχεσθαι, ἀνατέχεσθαι καὶ τρέφειν. ¶ Ἀνεχήσει, αὔξει καὶ ἄνω ἔχει καὶ μὴ καταβάλλει. ¶ Ἀνέχομαι, καταδέχομαι. ¶ Ἀνεχομένων, ὑποστρεφόντων. ¶ Ἀνεχόμην, ἄνω εἰχόμην σεμνυνόμενος.

Ἀνέχουσιν. ἀκρατοῦσιν. ¶ Ἀνέχραζεν: ἀνέχρεμπτεν. ἀνήρει δ' ἐνεκούφιζεν. ¶ Ἀνεχρήσαντο, διέφθειραν.

Ἀνέχω, κωλύω. ¶ Ἀνεψιοί. ἀδελφῶν υἱοί.

Ἀνεψιωνυμένως, ἐσπουδασμένως. ¶ Ἀνεψιαδοῦς, ἐκ τοῦ ἀνεψιοῦ γεγονὼς ἢ ἐκ ἀνεψιᾶς. ¶ Ἀνεψιότης, ἡ μέχρι ἀνεψιαδῶν συγγένεια. ¶ Ἀνέψυχθεν, ἀνεκτήσαντο. ¶ Ἀνέψυξα, ἀνεπαυσάμην.

Ἀνέψυξεν, ἀνέπαυσεν. ¶ Ἀνέψυχον, ἔπνεον.

Ἄνεῳ, ἄφωνοι, ἐννεοὶ καὶ ἐκπλήξει ἥσυχοι. ¶ Ἀνέῳσαν,

ἀνώγεον. ¶ Ἀνή, ἄνυσις ἢ πρᾶξις. ¶ Ἀνηβᾶ, ἐκ δευτέρου ἀνθεῖ. νεάζει. ¶ Ἀνηβητήρια, πᾶν ἀνανεάζον νεότητος. ¶ Ἄνηβος, ὁ μὴ προφθάσας τὴν ὀφείλουσαν ἡλικίαν τουτέστιν δωδεκαέτης ἢ Σόλων ὄνομα.

Ἀνέβραχεν, ἤχησεν. ¶ Ἀνήγγελεν, εἶπεν, ἀπήγγελεν.

Ἀνῆες, ἀνοίξας, ἀνῆξας. ¶ Ἀνηγμένον, ηὐξημένον, διεσκευασμένον. ¶ Ἀνήιξαν, ἀνώρμησαν. ¶ Ἀνήη, ἀναπείσῃ, ἀφῇ. ¶ Ἀνηθείη, ὁμιλία. ¶ Ἀνῆκα, ἀφῆκα, ἀνέπεισα. ¶ Ἀνῆκεν, εἴασεν, ἀπέλυσεν, ἐῤῥύσατο, διήγειρεν, παρώρμησεν. ¶ Ἀνηκές, ἀνῆκον, σοφοκλῆς αἰχμαλωτίσιν. ¶ Ἀνήκεστον, ἀνίατον. ¶ Ἀνηκέσαι, ἀναπαῦσαι. ¶ Ἀνηκέστου, ἀθεραπεύτου. ¶ Ἀνηκέστων, ἀνιάτων, ἀνυπομονήτων. ¶ Ἀνηκίδωτι, ἄνευ ἀκίδος αἰσχύλος ψυχοστασίαις. ¶ Ἀνηκουστήσει, παρήκουσεν, ἀνήκοος ἐγένετο. ταχέως ἤκουσεν. ¶ Ἀνηλεές, ἀφειδές. ¶ Ἀνηλεέσ. οἴκτιστον. ὠμόν. ¶ Ἀνηλεῶς, ἀνοίκτως, ἀσπλάγχνως. ¶ Ἀνήλιον, ἀδιάλυτον καὶ τὸ μὴ ἔχον ἥλιον. ¶ Ἀνηλόκισμαι, ἀναίσχυσμαι.

Ἀνίημι, συγχωρῶ. ¶ Ἀνήλιον, ἄνοδον. ¶ Ἀνημμένος, διηρτημένος, ἠρτημασμένος. ¶ Ἀνημέρων, ἀγρίων.

Ἀνήμυκτος, ἀχάρακτος. ¶ Ἀνήν, ἄνυσιν, ἢ δαπάνην.

Ἀνήνασθαι, παραιτεῖσθαι. ἀρνεῖσθαι. ¶ Ἀνήνυσε. παρῄτησαν. ¶ Ἀνηνέχθη. ἀνήνεγκεν, διὰ ἀφωνίας καὶ λειποψυχίας ἐφθέγξατο. ¶ Ἀνηνεχῦαν, ἀναφέρουσαν.

Ἀνήνηται. ἀπεξένηται, ἀπηρνήσεται.

Ἀνήνοθεν, ἀνεφέρετο, ἀνεπήδα ἐξ ἀρχῆς.

Ἀνήνορα, ἀδύνατον, ἄνανδρον. ¶ Ἀνήνυεν, ἐτέλει, διεπόνει. ¶ Ἀνηνύτῳ. ἀπράκτῳ. ἀτελειώτῳ.

Ἀνήνυτα, ἄπρακτα, δύσκολα, ἀκατόρθωτα, μὴ ἀνυόμενα. ¶ Ἀνήροος, ᾧ τέκνα οὐ γίνεται. ἄτεκνος.

Ἀνήξεις, κολυμβήσεις. ¶ Ἀνηπλαίη, ἀσθένεια.

Ἀνήπλαστον, ἀνήκεστον. ¶ Ἀνῆπται. ἀνάκειται. ἀνιεροῦται. ¶ Ἀνηρέθη. διηλείφθη. ¶ Ἀνήρεοι, κέκοιδ' ὧν οἱ κάλοι διαδέχονται. ¶ Ἀνήρεστον, ἄρεστον.

Ἀνήρει, κουφίζει. ¶ Ἀνήρης, ἀνδρώδης. αἰσχύλος σαλαμῖνι. ¶ Ἀνήρετο, ἠρώτησεν. ¶ Ἀνηρόμεθα, ἠρωτήθημεν. ¶ Ἀνηρείψαντο, ἀνήρπασαν.

Ἀνήεισται, ἀνέεισται, ἄπλαστα. ¶ Ἀνηείπτεσθαι, χρείζεσθαι. ¶ Ἀνηείναστος, ἐειναστοῦ ἐν συκῆς πεπλάστον, ὄλυνθοι ἀγρίας οὔσης ὑπὲρ τοῦ τελεσφορεῖσθαι καὶ τὴν ἡμέραν, καὶ τὸ μὲν ἐεινάζειν λέγεται. οἱ δὲ, μαλακὸς καὶ ἄγονος. ¶ Ἀνήρτησαν, ἀνεκαίνισαν.

Ἀνήροτα. οὐκ ἠροτριωμένα. ἀγεώργητα.

Ἀνήρρηξα, ἀνελεξάμην ἐμαυτὸν ἐκ τόπου.

Ἀνήρυσαν, ὀνήντλησαν. ¶ Ἀνήροτον, μὴ ἠροτριωμένον. ¶ Ἀνήσει. ἀναπείσει. ἀφήσει. ¶ Ἀνήσειν, ἀφήσειν. ¶ Ἀνήσω, ἀφήσω. ¶ Ἄνησιν. ἀνέρχεται.

Ἀνησιδώρα, ἡ γῆ, διὰ τὸ τοὺς καρποὺς ἀνιέναι.

Ἀναχαίας, χάσμης. ¶ Ἀνῆστις. ἀντὶ τοῦ νῆστις, προσκειμένου τοῦ α ὡς ἀσταφίς. ¶ Ἀνήφθω, διήφθω, δεδέσθω. ¶ Ἀνῆψαν, ἔδησαν, ἀνέθηκαν.

Ἀνῆψαν, προσέθηκεν, ἀνέθηκεν, προσήνεγκεν.

Ἀνῃσχμόν, κατὰ τὴν ταραχήν. ¶ Ἄνθια, φάρμακα ποικίλα. ¶ Ἀνθῖαι. ὧραι. ¶ Ἄνθεια, πόλις τῆς πελοποννήσου, καὶ ἀφροδίτη παρὰ κνωσσίοις.

Ἀνθήλαντο, προέκειναν, ἐπλάβοντο. ¶ Ἀνθίκασιν,

φειν, ἀνασπίειν. ¶ Ἀνεκάζεσθαι, ἀνασκώψαι.
Ἀνέβραχεν, σημ. ἀνοίγειν, ἀνέστελλεν, ἀπεκώλυεν.
Ἀνειμένη, ἀνέλκουσα ἢ ἀναχαλῶσα τὸν πέπλον καὶ τὸν μαστὸν δεικνύουσα, καὶ ἐκ τοῦ αὐχένος προβάλλουσα κόλπον ἀνειμένη. ¶ Ἀν' εἰλείθυιαν, ἀνὰ τόκον θεὰ ἐπιδημοῦσαν. ¶ Ἀνειλεῖτο, ἀνέβαινεν.
Ἀνείχεσθαι, συστρέφεσθαι καὶ ἀλλήλοις τοῖς δόρασι τύπτειν. ¶ Ἀνεῖσαι, ἐρευνῆσαι, ζητῆσαι.
Ἀνειλυσπᾶσθαι, ἀναρριχᾶσθαι. ¶ Ἀνείμαστος. ἄφθορος, ἄπληστος. ¶ Ἀνεινῶς, οἰκτρῶς.
Ἀνεῖπεν, ἐκήρυξεν, διὰ κήρυκος εἶπεν. ¶ Ἀνειρεσιώτισον, πεῖθε. ¶ Ἀνειρεσίαν, οὐσίαν πολλήν.
Ἀνείργον, ἀπαραίτητον. ¶ Ἀνειρήκασιν, κεχρηστηκάκασιν. ¶ Ἀνεῖρπεν, ἐβάδιζεν. ¶ Ἀνειρπε. ἐβάδιζεν. ¶ Ἀνειρῶν, ἁμαρτωλῶν, ἀναπείρων.
Ἀνείς, ἀφείς, ἐάσας. ¶ Ἀνεῖσθαι. ἀφεῖσθαι.
Ἀνεισιν. ἀνέρχεται. ¶ Ἀνεῖται, ἀπολέλυται.
Ἀνέκαθεν, μακρόθεν ἤτοι ἐκ πολλοῦ ἢ ἀπ' ἀρχῆς. ἑκὰς δὲ τὸ μακρόν. ¶ Ἀνέκαιρεν, ἀνέβαλλετο.
Ἀνέκραγον, ἀνεφέρετο. ¶ Ἀνεκαλαμήσατο. ἀνεθέρισεν. ¶ Ἀνεκαλέσαντο, ἀπέστρεψεν. ¶ Ἀνεκλάλητον, ἀνεκλάλητον, ἄρρητον. ¶ Ἀνεκήκιεν, ἀνέπιδε, ἀνέβαλλετο, ἀνεφέρετο. ¶ Ἀνεκολυμβήθη, ἐκ βυθοῦ ἀνηνέχθη. ¶ Ἀνέκναψαν, ἀνέλυσαν, ἀνέκαμψαν. ¶ Ἀνεκάμφθη, ἀνεκλάσθη. ¶ Ἀνεκόρει, ἐσάρουν, ἐσάρου. ¶ Ἀνεκνάδαλλον, ἀνέκλων, ἔκνιζον ὡς οἱ ἀρτοπῶλαι. ¶ Ἀνεκλητεῖν, διαφέρειν πιέσθαι ποδὶ ῥοδίοις. ¶ Ἀνεκρούσαντο, ἐκιθάριζον. ¶ Ἀνέκτημαι, ἀνείληφα σοφοκλῆς κρεούση. ¶ Ἀνεκτόν, φορητόν, ὑπομονητικόν.
Ἀνεκτοτέρων, ἐλαφροτέρων, ἡμερωτέρων. ¶ Ἀνεκτῶς, πράως, ἐπιεικῶς. ¶ Ἀνεκυμβαλίαζον. ἀνέστρεφον τὴν κεφαλὴν παρὰ τὸ κύμβαχος. ἦχον ἀποτελεῖσθαι παρὰ τῶν κυμβάλων. ¶ Ἀνέκφραστον, ἀνερμήνευτον. ¶ Ἀνεκώκοσεν, ἀνεστέναξεν. ¶ Ἀνελέσθαι, διελέσθαι. ¶ Ἀνελευθέρως, ἐκτὸς τῆς ἀληθείας ποιεῖν τι. ¶ Ἀνελίξεις, ἀνοίξεις. ¶ Ἀνέλλιπής. ὁ τοῖς ποσὶ μὴ ἀλλόμενος, ἤτοι χωλός.
Ἀνέλκτον καὶ ἀνέκλητον, τὸ ὑγιῶς καὶ ὀρθῶς ἔχον.
Ἀνελίττεται, ἀποπολίττεται. ¶ Ἀνελοίμην, ἀναλάβοιμι, ἐκθρέψαιμι. ¶ Ἀνέλοιο, λάβοις.
Ἀνέλω, φονεύω. ¶ Ἀνελών, ἀναλαβών.
Ἀνεμέσητον, ἄμεμπτον. ¶ Ἀνέμητα, ἀμέριστα.
Ἀνεμιαίων, ἐκ τῶν ἀνέμων. ¶ Ἄνεμνον, ἀνέμβυον.
Ἀνέμιον, ὑπηνέμιον, ὃ καλοῦσιν ᾠόν. ¶ Ἀνεμοκοῖται, οἱ ἀνέμοις κοιμίζοντες. γένος δὲ τοιοῦτόν φασιν ὑπάρχειν ἐν κορίνθῳ. ¶ Ἀνεμυμάχει, ὑπείδετο.
Ἀνεμώλια. μάταια, ἄκαιρα, ἀπὸ τοῦ μετὰ τῶν ἀνέμων μολίσκειν καὶ φέρεσθαι τὰ τοιαῦτα.
Ἀνεμώνη, μάλιστα εἶδος καὶ φίλημα καὶ ἡ μήκων καὶ τὸ ἄνθος καὶ πᾶν φυτὸν ταχέως ὑπὸ ἀνέμων φθειρόμενον καὶ μάταιον καὶ ἀνεμῶδες. ¶ Ἀνεμώρεια, πόλις τῆς φωκίδος. ¶ Ἀνεμοσκεπέων, τῶν πρὸς ἀνέμου σκέπην ἐπιτηδείων χλαμύδων.
Ἀνεμοστρεφές, τὸ ὑπὸ τοῦ ἀνέμου στρεφόμενον, τὸ πλόμενον καὶ κινούμενον οἱονεὶ στερεὸν καὶ εὔτονον. ἔστι δὲ πάλιν ἀνεμοστεφής, ἰσχυρὸς στερρόν, δόρυ.
Ἀνεμώτας, ὄνομα. ¶ Ἀφεκτός. ἱερός. τοῖς ἀνέμοις θυόμενος ἐν ταραντίνοις. ¶ Ἀνενδοτον, ἄκλιτον, ἀκαταπέρατον. ¶ Ἀνενδοίκτον, ἀπαράδεκτον.
Ἀνενδοιάστως, ἀναμφιβόλως, ἀδιστάκτως.
Ἀνενέγκαι, ἐστέναξεν ἐκ βάθους. ¶ Ἀνενέργητος, μὴ ἐμπαθὴς εἴτε ἐλθὼν εἰς ἐνέργειας.
Ἀνενεχθείς, ἀναβιώσας.
Ἀνενήνοθεν, ἀνῆλθεν ἢ ἀνέβη.
Ἀνέντονον, ἱμάτιον λακώνων.
Ἀνενευτεῖ. ἀρνεῖται. ἀπὸ τοῦ ἄνω νεύειν, ἢ ἀπαρνεῖται.
Ἀνεμοξαφές, εὔτονον, ὑπὸ ἀνέμου γεγυμνασμένον.
Ἀνένθεν, ἀνένθωσιν, ἀνέντες δὲ, ἀπήμονες, ἀφέντες.
Ἀνεξαπάτητος, μὴ ἀπατώμενος, ἢ χλευαζόμενος.
Ἀνεξέλεγκτος, ἀβασάνιστος. ¶ Ἀνέξεται, ὑπομένει, ἐνδέχεται, μακροθυμεῖ. ¶ Ἀνεξίκακος, ὑποφέρων κακά. ¶ Ἀνεξικώμη, ἧς οὐκ ἀνάσχοιτο ὅλη κώμη παρὰ κρατίνῳ. ¶ Ἀνεξηνιάσκετο, ἐξηνιάσκετο. ἀνεξηραίνετο. ¶ Ἀνεξίτητον, ἀνεξέλευστον, ἀσυλεύτον, ἀδιάβατον, μὴ ἔχον ἔξοδον. ¶ Ἀνεξιχνίαστος, ἀκατάληπτος. ¶ Ἀνέξομαι, ὑπομένω.
Ἀνεοί. ἥσυχοι. ἄφωνοι. ¶ Ἀνεοστασίη. θάμβος.
Ἀνεπάγγελτοι, οἷς οὐ παρηγγέλλη ἐλθεῖν δεῖπνον ἐλθεῖν. ἄκλητοι. ¶ Ἀνεπάλλετο. ἀνεκινεῖτο.
Ἀνεπάταξεν. ἐξ ὕπνου ἀνέβλεψεν,
Ἀνεπάφλαζον. ἀνεκόχλαζον.
Ἀνέπαφος, ἀψηλάφητος.
Ἀνέπαλτο, ἀνήλατο.
Ἀνεπής, ἄφωνος. ¶ Ἀνεπίδεκτον, ὅλως μὴ ἐπιδεχόμενον. ¶ Ἀνεπινόητα, ἀσύνετα. ¶ Ἀνεπικόρρητος, ἄπιστος ἀνύβριστος. ¶ Ἀνεπίληπτον, ἄμεμπτον, ἀκατάγνωστον. ¶ Ἀνεπιλόγιστον, τὸ μὴ διὰ λογισμοῦ συνιστάμενον. ¶ Ἀνεπίπλη, ἀνεπλήρου.
Ἀνεπιπλήκτοις. ἀμέμπτοις. ¶ Ἀνεπιπλήκτως, ἀμέμπτως, εὐσεβῶς. ὁ ὑγιῶς ἔχων. ¶ Ἀνεπιστάτητον, ἀφύλακτον, ἀνεπίσκοπον. ¶ Ἀνεπιστρέπτως, μὴ ὑποστρέφον. ¶ Ἀνεπιτήδευτον, ἀμελέτητον μὴ σπουδαζόμενον εἰς τέχνην ἢ μάθησιν. ¶ Ἀνεπιβούλευτον, ἀσύλητον. ¶ Ἀνεπίτιμητοι, μισθώσεις, ὡς ὑποτμήσεις οὐ δίδονται διὰ τὸ βλάβην καὶ ἀφορίαν.
Ἀνεπιτίμητος ἀπολογία, ἡ μὴ ἔχουσα τι ἀπόρημον.
Ἀνεπίφατον, ἀπροσδόκητον καὶ ἀμιγής. ¶ Ἀνεπιχάδην. οὐκέτι χωροῦν. ¶ Ἀνεπιχείρητοι, ἀνεπιβούλευτοι. ¶ Ἀνεπιδόσιν, ἀνέκαμψεν, ἀνέλυσεν.
Ἀνέπνεον, ἀνεκτῶντο. ¶ Ἀνεπείληται, ἀνεμνήσθην.
Ἀνεπταμένας, ἀναπεπτασμένας, ἀνεῳγμένας.
Ἀνεπταμένη, ἀνεῳγμένη. ¶ Ἀνεπτεροωμένος, μετεωρισμένος καὶ κεκουφισμένος. ¶ Ἀνεπτύξατην, ἀνέπτυξαν δυικῶς. ¶ Ἀνήρ, ἀνὴρ κλητικῶς.
Ἀνέρας, ἄνδρας. ¶ Ἀνέρες, ἄνδρες. ¶ Ἀνέρεξα, ἔπραξα. ¶ Ἀνερειψάμενοι, ἀναρπάσαντες.
Ἀνερεπτομένη, χωριζομένη ἀναλίσκεται. ¶ Ἀνερεπίσθη, ἀνεκινήθη. ¶ Ἀνερείψαντο, ἀφήρπασαν.
Ἀνερμάτιστα, ἀστήρικτα, ἀπόφρακτα. ¶ Ἀνερμάτιστος ναῦς. κουφισθεῖσα ὕφους. ¶ Ἀνέρπει, ἀνέρχεται.
Ἀνερπύσαι, ἀναχωρῆσαι. ¶ Ἀνερρίπιζον, ἀνήγειρον,

Ἀναψοχήν. παραμυθίαν. ¶ Ἀναψύχουσα. ξηραίνουσα. ῥιπίζουσα. σοφοκλῆς. ¶ Ἀναψύχοντα, ἀναπνέοντα. ¶ Ἀνάψω. ἀναθήσω πρὸς τὴν τοῦ ἀνέμου πνοήν. ¶ Ἀναψῦχαι, ἀναπαύσασθαι.

Ἄνδα, αὐτὴ κύπριοι. ¶ Ἀνδάνει, ἀρέσκει. ¶ Ἀνδάνον, ἀρέσκον. εὐάρεστον. ¶ Ἀνδάνοντα, ἀρέσκοντα.

Ἄνδ᾽ ἀρ᾽ ἔβαινεν, ἀνέβη δέ. ¶ Ἄνδας, βορέας ὑπὸ τυῤῥηνῶν. ¶ Ἄνδ᾽ αὐτὴν, καὶ αὐτήν.

Ἀνδειράδες, πρασιαὶ, ὀχεροὶ ταφρώδεις. ¶ Ἄνδηρα, ὅ ἐστι τοῦ ῥαχικοῦ σκηνῆς παρατόμενος παράκοιτος. ¶ Ἄνδηρον, ἄκρον, ἢ τὰ χείλη τῶν ποταμῶν.

Ἄνδικε, ἀνάῤῥιψον, δίκειν γὰρ τὸ ῥίπτειν, ὅθεν καὶ ὁ δίσκος. ὑπὸ τοῦ ῥίπτεσθαι. καὶ τὸ δίκτυον τὸ δικούμενον εἰς τὴν θάλασσαν. ¶ Ἀνδίκτης, τὸ ἀναπιπτόμενον τῆς μυάγρας ξύλον. ¶ Ἀνδινὸς, περὶ παντός.

Ἀνδικλόβολος, δίκη ἡ ἐξ ὑπάρχων δικαζομένη παρὰ ταραντίνοις. ¶ Ἄνδιχα, διχῶς, εἰς δύο μέρη.

Ἀνδιάχων, ἀνατείνων. ¶ Ἀνδοκάναις, δοκοῖς δέ.

Ἀνδοκάδην, ἐκ διαδοχῆς. ¶ Ἀνδοκεὺς, ἀνάδοχος.

Ἀνδοκίδου, ἑρμοῦ. ἐπειδὴ πρὸ τῆς οἰκίας τοῦ ἀνδοκίδου εἱστήκει ὁ ἑρμῆς. ἀνάθημα φυλῆς.

Ἄνδρα. τὸ ἀνδρεῖον. καὶ τὸ κατὰ κοινωνίαν ἐπὶ γυναικὸς ὑπολαμβάνει. ¶ Ἀνδραγαθία, καλοκαγαθία, ἔπαινος. ¶ Ἀνδραγαθίζεται. ἀνύεται περὶ ἀγαθοῦ. ¶ Ἀνδράγρια. σκῦλα τὰ τῶν πιπτόντων ἐν τῷ πολέμῳ ἀνθρώπων ὅπλα ἀγρεύματα ὄντα.

Ἀνδρακάς. κατ᾽ ἄνδρα ἕνα ἕκαστον ἐπιῤῥηματικῶς ὡς εἰπεῖν καθ᾽ ἕνα ἢ κατ᾽ ἄνδρα, οἱ δὲ μερίδες μοῖραι.

Ἀνδραπόδνοι, οἱ ὑπὸ ἀνδραπόδοις ἀποδημοῦντες.

Ἀνδραπόδεσσι, τοῖς αἰχμαλώτοις τοῖς δούλοις.

Ἀνδραποδίζεσθαι. τὸ βιάζεσθαι καὶ τὸ συνήθες.

Ἄνδραχος, δήμιος. ¶ Ἀνδραποδίζει, αἰχμαλωτίζει. βιάζει καὶ ὑφαιρεῖ.

Ἀνδραποδισμὸς, αἰχμαλωσία. ¶ Ἀνδραποδίσταις. δουλοπρεπεῖς. ¶ Ἄνδρας γράφειν, τὸ ἐν διδασκάλου τὰ παιδία ὀνόματα γράφειν. ¶ Ἀνδραποδοκάπηλον, ἀνδραπόδων μεταβόλον. ¶ Ἀνδραφασσέειν, κατ᾽ ἄνδρα ἐφάπτεσθαι. ¶ Ἀνδραφυστεῖν, φεύγειν, ἢ ἐπὶ φόνῳ διώκειν. ¶ Ἀνδραχέεσι, τοῖς δυναμένοις καὶ ἀνδράσιν ἄχθος ποιῆσαι. ¶ Ἀνδρεία. ἰσχύς. καὶ τὰ συσσίτια κρητῶν. ¶ Ἄνδρε δύω, ἄνδρες δύο. ¶ Ἀνδρείων, γενναίων. ¶ Ἀνδρεὼν, ὁ μέγας οἶκος. ¶ Ἀνδρειᾶται, κατήγοροι καὶ ἐπὶ φόνῳ διώκοντες. ¶ Ἀνδρείκελον, ἀνδρὶ ὅμοιον. ἀνθρώπῳ ὅμοιον. ¶ Ἀνδρεάς. δύναμις εὐπρεπὴς ἢ ὑποκρινομένη. ¶ Ἀνδρείκελον, χρώματος εἶδος, καὶ τὸ ὅμοιον. ¶ Ἀνδριφόντης, ἀνδροφόνος.

Ἀνδρὶ χέρηι, ἀνδρὶ ἐλάττονι καὶ ἰδιώτῃ.

Ἀνδρόβασμος, στενὴ ὁδός. ¶ Ἀνδρόγυνος, ὁ ἑρμαφρόδιτος, καὶ ὁ ἀσθενὴς ἤγουν ὁ ἄνισχυρος.

Ἀνδροδάμις. ὕπανδρος γυνή. ¶ Ἀνδροδόμων, τρικλίνων. ¶ Ἀνδροκάδης, πόα τις.

Ἀνδροκὰς, μορίς. ¶ Ἀνδροκλεῖδαι, γένος ἀθήνησιν.

Ἀνδροκμήτῳ, ἐν ᾧ ἀνὴρ ἀποθανὼν κεῖται, ἢ ὑπὸ ἀνδρὸς οἰκοδομηθέντι. ¶ Ἀνδροκόβαλλος κακοῦργος, πανοῦργος. ¶ Ἀνδροκόνοι. ἀνδροφόνοι.

¶ Ἀνδροκτασίαι. ἀνδροφονίαι.

Ἀνδροκτασιάων, ἀνδροφονιῶν. ¶ Ἀνδροκτόνοιο, ἀνδροκτόνου. ¶ Ἀνδροληψία. ἐνεχυράζων ἐπὶ τοὺς ἔχοντας ἀνδροφόνους. ¶ Ἀνδρολογεῖ. στρατολογεῖ. ¶ Ἀνδρομανὴς, ἐπιμεμηνυῖα τοῖς ἀνδράσιν.

Ἀνδρομέης, ἀνθρωπίνης. ¶ Ἀνδρομέοιο, ἀνθρωπίνου. ¶ Ἀνδρομαίου, ἀνθρωπίνου.

Ἀνδρομέον, ἱμάτιον, κρητῶν. ¶ Ἀνδρόμηρον, συμπαστὸν ἐγχειρίδιον βραχὺ καὶ ἀνδρόμηρον.

Ἀνδρολημίαν, ἀνδρὸς ἔχουσαν λῆμα.

Ἀνδρόμηνον, τὸ τῶν ἀνδρῶν.

